Hujus etiam ex meditatione extremi judicii *Canticum compunctionis*, quod ex bibliotheca Bavarica Latine e Græco reddidit Jacobus Pontanus, prodiit Ingolstadii apud Adamum Sartorium anno 1603. In *Bibliotheca* autem *veterum PP.*, tomo III, exstat Epistola ad regem Saracenorum de Christianæ fidei veritate et Saracenorum impietate, hac inscriptione : *Leonis, cognomento philosophi, imperatoris Constantinopolitani, ad Omarum Saracenorum regem, de fidei Christianæ veritate ac mysteriis, et de variis Saracenorum hæresibus et blasphemiis, Symphoriano Camperio Lugdunensi, ex Chaldaica in linguam Latinam interprete.* Sed non dubito, quin alia plura in aliis bibliothecis lateant

sapientissimi imperatoris scriptorum monumenta, quæ aliquando Deo volente proferentur in lucem.

Cum autem doctissimus hic imperatorum, morbo correptus periculum minitante, administrato jam per viginti sex annos Romanorum imperio, mortem imminere sibi cerneret : advocato senatu, sic infit : *Caro mea,*[*amici, morbo consumpta diffluxit, viresque defecerunt, ac fortassis vobiscum amplius non vivam, neque ad festum Resurrectionis Christi diem* (erat tunc jejunii Quadragesimæ tempus) *vitam perducam. Hanc itaque unam, et postremam a vobis gratiam postulo mihi dari. Recordamini, quam me vobis benignum præbuerim : atque ideo uxorem filiumque vobis commendatum habetote.* Senatus cum fletu atque ejulatu ostendit, se jactura hujus domini atque imperatoris incredibilem percipere dolorem; Augustæ autem et filio imperatori ita se fideles fore, ut vel millies pro eo sint, ita rebus poscentibus, mortem appetituri. Alexandrum fratrem, et Constantinum filium imperatores creavit, hoc solo in extremis respirationibus pronuntiato : *Alexandrum etiam* (*proh parcum malignumque tempus !*) *post tredecim menses video.* Volebat enim significare regnum Alexandri tantillum temporis duraturum; quæ sane Leonis vox minime vana fuit; nam Alexander voluptatibus et compotationibus indulgens, nec ulla re tanto imperio digna, vel opere, vel verbis perfecta, vel animo denique concepta, ceu flos solis efficacitate marcescens, exstinctus est, et a morbis celeriter absumptus. Itaque solus imperium Constantinus obtinuit, ætatis adhuc teneræ puer.

Rebus excessit humanis anno salutiferæ Redemptionis 911, imperii 26, diei 11 Junii, seu ut alii volunt Maii, a Constantino filio imperatore in Historia de vita et rebus gestis avi sui Basilii Macedonis per Leonem Allatium Latinitate donata, dictus Leo mitissimus et sapientissimus; a Constantino Manasse in *Annalibus* appellatus revera doctrinæ studiosissimus, omni scientia copiose instructus, et omnibus disciplinis a puero excultus; atque a Joanne Zonara tomo III *Annalium* prædicatus doctrinarum omnis generis amator, et in doctrina de motibus siderum eorumque effectibus versatus. De quo præter auctores, quos supra memoravimus, cum laude meminere, Bellarminus in lib. *De script. eccles.* sæculo IX; Petrus Canisius, lib. V *De Deipara*, cap. V; Joannes Bonifacius, in *Historia virginali*, lib. II, cap. 12; Ferdinandus Quirinus de Salazar, in *Tract. de Conceptione*, cap. 42, sæculo X; Ludovicus Jacob a Sancto-Carolo, in *Bibliotheca pontificia* lib. II, et in Bibliotheca Cæsareo-Regia nondum edita; L. Claudius Clemens, in *Instructione Musæi* lib. I, cap. 25; Joannes Serranus episcopus Acernensis, *De Conceptione beatæ Virginis*, lib. II, cap. 23, num. 9; Gregorius Gyraldus, *De poetis historicis*, dialog. V; Laurentius Beyerlingh, in *Theatro vitæ humanæ*, variis in locis, aliique permulti. Nonnulli tamen cum Leone illo Byzantio, stirpe Morocharzaniorum, cognomento pariter Philosopho, confundunt, qui, ut referunt Cedrenus et Glycas, sub Theophilo imperatore floruit, et rhetoricam, philosophiam, arithmeticam, reliquasque scientias in Antro insula didicit, ibi versatus cum Michaele Psello præstante viro ; ab eoque principiis tantum, et quibusdam præceptis dicendi instructus : neque tantum quantum desiderabat adeptus, monasteriorum per totam fere Græciam bibliothecas pervagatus, librosque in eis repositos perquirens, atque scrutans, studioseque meditans, ad summum doctrinæ atque eruditionis fastigium pervenit, cum certo certius sit, Leonem illum usquequaque a nostro esse diversum. Nam ut alia inter eos discrimina, enumerata a Leone Allatio in sua de Psellis eorumque scriptis Diatriba, silentio premam, ille licet a tradendæ philosophiæ munere, sive præstantia, qua ipse in philosophicis alios superabat, cognomento philosophus, nunquam tamen fuit imperator Constantinopolitanus, sed archiepiscopus Thessalonicensis : quamvis postea, Simulacripardorum hæresi profligata, et ejus sectatoribus dejectis, ab episcopatu fuerit deturbatus. Noster vero Leo, quanquam ob omnis scientiarum generis perfectissimam cognitionem, et ob plurima, quæ etiam exstant in disciplinis omnibus laudabiliter conscripta, eodem Philosophi cognomento decoratus, nunquam fuit archiepiscopus Thessalonicensis, sed solum imperator Constantinopolitanus.

II

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΡΩΜΑΙΩΝ ΒΑΣΙΛΕΩΣ

ΚΕΦΑΛΑΙΑ ΠΑΡΑΙΝΕΤΙΚΑ ΞϚʹ ΠΡΟΣ ΤΟΝ ΕΑΥΤΟΥ ΥΙΟΝ ΛΕΟΝΤΑ,

ἔχοντα ἀκροστιχίδα·

Βασίλειος ἐν Χριστῷ βασιλεὺς Ῥωμαίων, Λέοντι τῷ πεποθημένῳ υἱῷ καὶ συμβασιλεῖ.

—

BASILII IMPERATORIS ROMANORUM

EXHORTATIONUM CAPITA SEXAGINTA SEX AD LEONEM FILIUM;

Quorum acrostichis sic se habet :

Basilius in Christo Romanorum imperator Leoni charo filio, et imperii collegæ.

(Bandurius, *Imp. Orient.* tom. I, pag. 171.)

—

Περὶ παιδεύσεως. A

Εὐωφελές τι χρῆμα καὶ σπουδαιότατον, οὐ μόνον βασιλεῦσιν, ἀλλὰ καὶ ἰδιώταις, ἡ παίδευσις. Καὶ γὰρ τοῖς κεκτημένοις αὐτὴν καὶ κατὰ σῶμα, καὶ κατὰ ψυχὴν τὰ μέγιστα ὠφελεῖ· τὴν μὲν διὰ τῆς μελέτης τῶν θείων λόγων· τὸ δὲ διὰ τῆς γυμνασίας τῶν κοσμίων ἔργων. Ταύτην οὖν σε, τέκνον ἠγαπημένον, ὁ πατὴρ ἐγὼ καὶ συμβασιλεὺς, ἡγεμονεύουσάν σου τὴν βασιλείαν ἔχειν νουθετῶ. Αὕτη γὰρ καὶ βασιλείαν κοσμεῖ, καὶ τοὺς βασιλεύοντας ἀειμνήστους ἀποτελεῖ. Ὥσπερ γὰρ ἡλίου ἐπὶ γῆς μὴ παρόντος, σκοτεινὰ τὰ πάντα καὶ ἀδιάκριτα, οὕτω καὶ παιδεύσεως ἐν ψυχῇ μὴ παρούσης, πεφυρμένα τὰ πάντα καὶ ἀδιόρθωτα. Δράξαι οὖν παιδείας, τῆς ἐναρέτου· μόνη γὰρ ἀρετὴ τῶν κτημάτων ἁπάντων ἀθάνατος.

De litteris.

Bona cum primis atque ad vitam recte instituendam perutilis res est litterarum cognitio, non solum regibus, sed etiam privatis hominibus. illis enim, qui sibi eas acquisiverunt, magnas affert commoditates et ad corpus et ad animum excolendum : hunc quidem studio sacrarum Litterarum, illud vero exercitatione bonorum operum. Quapropter, o mihi dilecte Leo fili, ego qui et pater et regni sum socius, admoneo, ut eam tibi imperii ducem adsciscas, quæ et regnis ornamento est, et reges immortalitate donat. Quemadmodum enim cum sol abest, obscura sunt omnia atque indiscreta, ita in animo nulla eruditione, nullisque litteris imbuto confusa atque inordinata jacent universa. Eam igitur capesse disciplinam quæ sit cum virtute conjuncta : virtus enim sola ex iis quæ possideri queunt, deperire non potest.

Περὶ πίστεως. B

Ἀρχὴν τοῦ βίου παντὸς καὶ θεμέλιον ὀχυρὸν κτῆσαι τὴν εἰς Χριστὸν πίστιν εἰλικρινῆ. Προσκύνει Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, ἀδιαίρετον καὶ ἀσύγχυτον, τὸν ἕνα καὶ μόνον Θεόν· καὶ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Θεοῦ Λόγου πίστευε, δι' ἧς ὁ κόσμος ἐκ τῆς δουλείας τῆς φθορᾶς ἠλευθέρωται, καθὼς ὁ τῆς μητρός σου τῆς Ἐκκλησίας ὅρος ἀναδιδάσκει. Αὕτη τῶν ἀρετῶν πασῶν ἡ τελείωσις. Αὕτη ἡ πίστις πάντων τῶν ἀγαθῶν τὸ κεφάλαιον. Ταύτην οὖν ἔχε παρακαταθήκην ἄσυλον, ἥ σοι γέγονε τροφὸς ἀπὸ σπαργάνων αὐτῶν. Ἐγώ σοι ταύτης ὑπῆρξα διδάσκαλος, μή με καταισχύνῃς πατέρα φιλόστοργον· ὀφείλουσι γὰρ οἱ μὲν ζωγράφοι τοὺς χαρακτῆρας ἀναστηλοῦν, οἱ δὲ τῶν βασιλέων παῖδες, ἐμ-

De fide.

Amplectere sinceram in Christum fidem, quæ vitæ totius initium et fundamentum inconcussum est. Adora Patrem et Filium, et Spiritum sanctum : Trinitatem consubstantialem, indivisam, atque inconfusam, unum videlicet ac solum Deum : ac Verbi Dei humana in carne œconomiam, id est, incarnationem credas, per quam homines a peccati servitute vindicati sunt, quemadmodum Ecclesiæ matris docet institutio. Hæc est fides bonorum omnium summa, hæc virtutum omnium perfectio. Hanc penes te tanquam depositum inviolabile retineas, qua et ab ipsis incunabulis educatus es, cujus ego ipse tibi magister exstiti : ne me, quæso, amantissimum tui patrem

dedecore afficias : sicuti enim pictores corporum lineamenta, ita regum filii quasi vivæ imagines patrum virtutes referre debent.

A πνοοι εἰκόνες τῆς τῶν πατέρων ἀναδείκνυσθαι ἀρετῆς.

De honore sacerdotibus habendo.

Sanam habe mentem in iis, quæ ad rectæ fidei doctrinam pertinent, et summo honore prosequere matrem tuam Ecclesiam, quæ te in Spiritu sancto lactavit, et tuo capiti ad Dei per Christum laudem imperii coronam mecum imposuit. Si enim quos natura tibi dedit parentes debes revereri, multo magis eos qui te in spiritu Dei genuerunt, omni pietatis officio colere debes : illi enim duraturam ad tempus vitam liberis per generationem impertiuntur; isti vero æternam per regenerationem largiuntur. Honora ergo Ecclesiam, ut tu vicissim a Deo in honore habeare; et sacerdotes ejus reverere tanquam spirituales patres, et deprecatores pro nobis apud Deum. Honor enim qui sacerdotibus habetur ad Deum refertur : et sicut propter te ministros tuos in honore habere justum est, ita et propter Deum sacerdotes ejus colere atque observare jus fasque est. Quemadmodum autem honor qui eis habetur ad Deum pertinet, ita eorum contumelia et contemptus longe etiam gravius ejus iram provocat.

Περὶ τιμῆς ἱερέων.

Σῶον ἔχε τὸ φρόνημα πρὸς τὰ ὀρθόδοξα δόγματα, καὶ τίμα περισσῶς τὴν μητέρα σου τὴν Ἐκκλησίαν, ἥτις ἐν ἁγίῳ Πνεύματί σε ἐτιθηνήσατο, καὶ σὺν ἐμοὶ διὰ Χριστοῦ ἐν Θεῷ τῇ κεφαλῇ σου τὸ στέφος ἐπέθηκεν. Εἰ γὰρ τοὺς σαρκικοὺς γονεῖς ὀφείλεις αἰδεῖσθαι καὶ τιμᾷν, πολλῷ πλέον τοὺς ἐν πνεύματι Θεοῦ σε γεγεννηκότας ὑπερτιμᾷν. Ἐκεῖνοι μὲν γὰρ πρόσκαιρον τὴν ζωὴν τοῖς τέκνοις χαρίζονται· οὗτοι δὲ τὴν αἰώνιον ζωὴν διὰ τῆς ἀναγεννήσεως προξενοῦσι. Τίμησον οὖν τὴν Ἐκκλησίαν, ἵνα τιμηθῇς παρὰ τοῦ Θεοῦ, καὶ τοὺς ἱερεῖς αἰδοῦ, οἷα πατέρας πνευ- B ματικοὺς, καὶ μεσίτας ἡμῶν πρὸς τὸν Θεόν. Ἡ γὰρ τῶν ἱερέων τιμὴ εἰς Θεὸν ἀναφέρεται. Ὥσπερ γὰρ διὰ σὲ τοὺς σοὺς ὑπηρέτας τιμᾶσθαι δίκαιον, οὕτω καὶ διὰ Θεὸν τοὺς αὐτοῦ ἱερεῖς τιμᾷν, ὅσιόν τί ἐστι. Καὶ ὥσπερ ἡ εἰς αὐτοὺς τιμὴ ἐπὶ τὸν Θεὸν ἀναβαίνει, οὕτω καὶ ἡ εἰς αὐτοὺς ἀτιμία πολλῷ πλέον τὸν Θεὸν παροργίζει.

De supremo judicio et retributione.

Persuasum habe corruptioni obnoxium esse mundum, quippe qui ortum habuit; sed post corruptionem rursus ad incorruptam integritatem esse reversurum; nihil enim eorum quæ a Deo creata sunt in nihilum unquam abibit, etiamsi peccati lapsus et nos et omnem simul creatam naturam mortali dissolutioni adjudicavit. Ea autem ratione incorruptibilem esse mundum admittens confitere etiam mortuos ab inferis excitandos esse, et justam exspecta judicationem omnium quæ quisque in vita sua gesserit : nihil enim mali impunitum divinam justitiam effugiet, nihil boni non suo præmio coronatum latebit. Sic enim statuere apud te debes, neque interitura esse unquam bonorum merita, neque malorum supplicia finem habitura, quoniam utraque perpetuo duratura sunt, et neutrius finis ullus futurus est.

Περὶ κρίσεως καὶ ἀνταποδόσεως.

Ἴσθι πιστεύειν τὸν κόσμον εἶναι φθαρτὸν, ἐπειδὴ καὶ γέγονε· μετὰ δὲ τὴν φθορὰν, εἰς ἀφθαρσίαν πάλιν μεταποιούμενον. Οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ γεγονότων εἰς τὸ μὴ ὂν χωρήσει, κἂν τὸ τῆς ἁμαρτίας παράπτωμα ἅμα ἡμῖν καὶ πᾶσαν τὴν κτίσιν τῇ διαλύσει συγκατεδίκασεν. Ἄφθαρτον δὲ τὴν κτίσιν πάλιν, ἤγουν τὸν κόσμον, ἀπεκδεχόμενος, καὶ νεκρῶν C ἀνάστασιν ὁμολόγει, καὶ κρίσιν δικαίαν τῶν ἑκάστῳ βεβιωμένων ἀνάμενε. Οὐδὲν γὰρ κακὸν ἀτιμώρητον τὴν θείαν διαφεύξεται δίκην, οὐδέ γε καλὸν ἀστεφάνωτον διαλάθῃ. Μήτε γὰρ τὰ τῶν ἀγαθῶν γέρα λογίζου θνητὰ, μήτε μὴν τὰς τῶν φαύλων κολάσεις τέλος δέξεσθαί ποτε. Ἀμφότερα γὰρ αἰωνίαν ἔχει τὴν διαμονὴν, καὶ ἐν ἀμφοτέροις ἔσται τὸ ἀτελεύτητον.

De eleemosyna.

Limitem etiam mortis sæpe movet eleemosyna, sicuti vulgo fertur; vita enim potest emi pecunia, cum propter vitam salutemque nostram Deus se muneribus flecti patiatur. Divitias ergo caducas in terra profundens, immortales tibi concervas in cœlo, ut etiam quæ isthic sunt bona assequaris. Enimvero reapse inexhaustus est beneficentiæ thesaurus; dum enim dispergitur colligitur, et dum donatur recipitur : neque solum eos qui illum possident divites hic efficit, sed illic etiam beatos.

Περὶ ἐλεημοσύνης.

Λύει καὶ ὅρον θανάτου ἡ ἐλεημοσύνη πολλάκις, κατὰ τὸ φάσκον ῥητόν. Καὶ χρημάτων γὰρ, ὡς ἔοικεν, ἐστὶν ὠνητὴ ἡ ζωὴ, ὁπόταν ὁ Θεὸς διὰ τὴν ἡμετέραν ζωὴν καὶ σωτηρίαν δωρολήπτης ᾖ. Πλοῦτον D οὖν σκορπίζων θνητὸν ἐπὶ γῆς, πλοῦτον συνάγεις ἀθάνατον ἐν οὐρανῷ, καὶ προσπορίζεταί σοι καὶ τὰ ἐνταῦθα ἀγαθά. Καὶ γὰρ ἀληθῶς ἀδαπάνητός ἐστι τῆς εὐποιίας ὁ πλοῦτος· σκορπιζόμενος γὰρ συνάγεται, καὶ διδόμενος πάλιν λαμβάνεται· καὶ οὐ μόνον ἐντεῦθεν τοὺς κεκτημένους αὐτὸν πλουσίους ποιεῖ, ἀλλὰ κἀκεῖθεν μακαριστοὺς ἀποδείκνυσι.

De diligentia et vigilantia.

In mente semper habeto parentum tuorum mores, et ad eorum exemplum vitam tuam studiose componito; neque enim oscitanter nos aut ignaviter in rebus gerendis versamur; sed ut vita nostra velut virtutis imago tibi proponatur sedulo agimus, iner-

Περὶ ἐπιμελείας καὶ ἐγρηγόρσεως.

Ἔχε κατὰ νοῦν τοὺς γονικούς σου τρόπους διηνεκῶς, καὶ τούτοις τὸν σὸν βίον ἐπιμελῶς κατάρτιζε. Οὐδὲ γὰρ ὀλιγώρως ἡμεῖς, οὐδὲ ῥαθύμως περὶ τοὺς ἀγῶνας διατελοῦμεν, ἀλλὰ τῆς ἀρετῆς εἰκόνες σοι προκεῖσθαι φιλονεικοῦμεν· ἐπίψογον μὲν τὸν ὄκνον

ἡγούμενοι, ἐν ἐπαίνῳ δὲ τὸν πόνον ποιούμενοι. Μηδὲ παρὰ καιρὸν χρῶ τοῖς πράγμασιν, ἀλλὰ γύμναζε σαυτὸν, ἀπολαύειν μὲν τῶν δοκούντων ἐν βίῳ ἀγαθῶν, ὡς θνητὸς, ἐπιμελεῖσθαι δὲ τυχεῖν τῶν μελλόντων, ὡς ἀθάνατος.

Περὶ συναναστροφῆς χρησίμων ἀνδρῶν.

Ἰατροῖς ψυχῶν ὁμίλει συνεχῶς, ἵνα εὐεκτεῖν ἔχῃς κατὰ ψυχήν. Μάθοις γὰρ ἂν παρ' αὐτῶν, τίνων χρὴ πραγμάτων ὀρέγεσθαι καὶ τίνων ἀπέχεσθαι, καὶ τίσι τῶν ἀνθρώπων συναναστρέφεσθαι, τίνας δὲ ἀποστρέφεσθαι, καὶ πῶς τὸν σὸν βίον οἰκονομήσεις, ἵνα μὴ συχνοῖς τοῖς νοσήμασι περιπέσῃς. Εἰ γὰρ ταύτην τρέψεις τὴν ὁδὸν, τοῦ τῆς ἀρετῆς ἀκριβοῦς ὅρου γνησίως ἐφικέσθαι δυνηθήσῃ.

Περὶ ἀρετῆς.

Οὐχ οὕτω τὰ τοῦ κόσμου πάντα τερπνὰ, ὡς ὁ τῆς ἀρετῆς πλοῦτος τὸν βασιλέα κοσμεῖ. Τὸ μὲν γὰρ κάλλος καὶ ἡ εὐπρέπεια ἢ νόσῳ ἢ χρόνῳ μαραίνεται· πλοῦτος δὲ ῥᾳθυμίας καὶ ἡδονῶν ὑπάρχει πατήρ. Ῥώμη μὲν γὰρ τὰ μὲν σώματα ταῖς νίκαις κοσμεῖ, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπισκοτεῖ. Ἡ δὲ κτῆσις τῆς ἀρετῆς, οἷς ἂν προσγένηται, καὶ πλούτου καὶ εὐγενείας χρησιμωτέρα ἐστί· καὶ ἅπερ ἄλλοις ἀδύνατα δοκεῖ, αὕτη ταῦτα σὺν Θεῷ δυνατὰ παριστᾷ.

Περὶ ἐπιθυμίας.

Σώματος ἐπιθυμία εὐμόρφου μή σου κατακρατήσει, ὅτι χώματος ὀλίγου ἄξιον τὸ τοιοῦτον. Σῶμα γὰρ μετ' ὀλίγον χῶμα πάλιν ὀλίγον. Μήτε οὖν ἐπ' εὐγενείᾳ σώματος ἐπαρθῇς, μήτε μὴν δυσγένειαν ἐξουθενώσῃς, μήτε κάλλει ἀγρευθῇς, μήτε δυσμορφίαν ἀποστραφῇς, ἀλλ' ὅρα τὸ κάλλος τὸ τῆς ψυχῆς, καὶ ἔρα τῷ πνεύματι τὴν ψυχήν. Ἔρως γὰρ ἐκεῖνος μόνος ἀληθὴς καὶ ἀθάνατος, οὐχ ὃς ἅμα τῷ τυχεῖν εὐθὺς ἀπογίνεται, ἀλλ' ὃς μετὰ τὸ τυχεῖν μᾶλλον ἐπιγίνεται.

Περὶ τῆς τῶν τρόπων ἀρετῆς.

Ἔλαβες ἐκ Θεοῦ βασιλείαν, φύλαξον αὐτὴν ὡς παρακαταθήκην ἄσυλον· μὴ φαῦλος ὀφθῇς τοῦ δεδομένου σοι φύλαξ· μηδὲ ἀγενὲς, μηδὲ ἀνάξιον αὐτῆς διαπράξῃ. Ἀλλ' ὥσπερ βασιλεύειν τῶν λοιπῶν ἀνθρώπων προεκρίθης κατὰ τὴν ἀξίαν, οὕτω προτερεύειν τῶν ὑπὸ χεῖρα πάντων σπεῦδε καὶ κατ' ἀρετήν. Ἡ γὰρ ἀρετὴ κρείττων ἐστὶ παντὸς ἀξιώματος. Εἰ οὖν κατὰ μὲν τὸ ἀξίωμα κυριεύεις ἁπάντων, κατὰ δὲ τὴν ἀρετὴν ὑπό τινων κυριεύῃ, κατὰ μὲν τὸ ἔλαττον εἶ βασιλεὺς, κατὰ δὲ τὸ κρεῖττον ἀληθῶς οὐκ εἶ βασιλεὺς, ἀλλ' ὑφ' ἑτέρων βασιλευόμενος. Μὴ οὖν νόθος γίνου δεσπότης ἐν τῷ ὑφ' ἑτέρων κρατεῖσθαι, ἀλλὰ βασίλευε ἀληθῶς ἐν τῷ πάντων κρατεῖν κατὰ τὸ μέρος τῆς ἀρετῆς.

Περὶ σωφροσύνης.

Νίκας σοι καὶ τρόπαια κατ' ἐχθρῶν τότε παρέξει Θεὸς, ὁπόταν αὐτὸς τρόπαια καὶ νίκας στήσεις κατὰ τῶν παθῶν. Νικῶντι γάρ σοι τοὺς ἀοράτους ἐχθροὺς, ἐπάναγκές ἐστι νικᾷν καὶ τοὺς ὁρατούς. Ὃν γὰρ ὡς ἀνδράποδον αἱ ἡδοναὶ νικᾷν καὶ παρασύρειν ἰσχύουσιν, οὐκ εὐδοκήσει Θεὸς ἐλευθερίας νίκης τιμηθῆναί

A liam in vitio ponentes, et laborem in laude ducentes. Ne igitur intempestive rebus utaris, sed ita te compara, ut et iis quæ hac in vita esse videntur, commodis fruare, ut mortalis, et futura bona consequare, ut immortalis.

De consuetudine utilium virorum.

Cum medicis animorum assidue versare ut ipse animo valeas: ab iis enim discere poteris quas res appetere, et a quibus abstinere debeas; quibus cum hominibus consuescere, et a quorum consuetudine abhorrere, et quomodo vitam omnem moderari oporteat, ut ne in frequentes morbos incidas. Si hanc enim institeris viam, ad veræ solidæque virtutis limites revera pervenire poteris.

De virtute.

B Haud tantum vitæ jucundæ res, quantum solæ virtutis opes regibus afferunt ornamenti. Forma enim ac decor aut morbo aut ætate marcescunt. Divitiæ voluptatum atque ignaviæ plerumque sunt fomites: at vero robur corpus quidem victoriis honestat, sed animi luminibus officit. Virtutis autem possessio quibus contigerit, et divitiis et nobilitate præstantior est; et quæ aliis fieri non posse videntur, hæc illa Deo favente ad faciendum reddit expedita.

De cupiditate.

Impotenti formosi corporis cupiditate vide ne unquam capiaris: nam illud exigui pulveris pretio debet æstimari; corpus enim mox paululum erit C pulveris. Ergo neque nobilitate corporis efferaris neque ignobilitatem despicias, neque forma captus tenearis, neque deformitatem averseris: sed animi pulchritudinem intuere, et mente animum ama; ille demum verus est amor atque immortalis, qui non simul atque potitus fueris evanescit, sed quo plus potiaris eo adolescit magis.

De virtute morum.

Numinis beneficio regnum accepisti; custodias illud tanquam depositum quod incolume servari debet: cave autem ne malus illius custos videaris, neu degeneris aliquid aut indigni committas; sed sicuti cæteris prælatus es, ut imperares, ita contende ut virtute quoque cæteris antecellas; virtus enim omni dignitate præstantior est. Si ergo di- D gnitate quidem reliquis præstas omnibus, virtute autem ab alio superaris, imperator es in eo, quod minoris excellentiæ est: in eo vero quod præclarius est, imperator non es, imo alterius imperio subes. Ne sis ergo veluti supposititius atque adulterinus dominus, cum alius te præstantior reperiatur; sed verus imperator, cum cæteris omnibus virtute præcellas.

De temperantia.

Concedet tibi Deus victorias ac triumphos adversus hostes, cum de domitis animi cupiditatibus victorias ac trophæa retuleris: si enim invisibiles hostes deviceris, visibiles etiam necessario superabis. Sed quem voluptates ut vile mancipium pessumdare ac transversum agere valent, nun-

quam Deo lubebit eum victoriæ honore condecorare: qui vero animi motus voluntario labore frenaverit, is in certum argumentum futuræ postea retributionis æternorum bonorum, etiam in hac vita de inimicis concessam sibi a Deo quasi debitore victoriam reportabit.

De fidelibus amicis.

Majori te gaudio sincerum amicorum studium afficiat, quam propinquorum: nam consanguineorum amicitia non a virtute, sed a natura proficiscitur, quippe quæ ne voluntaria quidem merito censeri possit, sed amicorum in te benevolentia a virtute et libero arbitrio nascitur; et illa quidem naturam, hæc autem Deum habet auctorem. Verum ubi quid opus est, longe major habenda ratio morum est, quam sanguinis, et voluntatis quam necessitatis: nam propinqui sæpenumero etiam exiguæ pecuniæ causa parentibus insidias moliuntur; veri autem amici totius mundi divitias nihili facientes, etiam vitam ipsam præ amicorum charitate vilem habent.

De fortitudine et prudentia.

Robur corporis magni facito, atque in pretio habeto si cum prudentia conjunctum est: quantum enim prodesse cum prudentia, tantum nocere absque ea solet iis, qui sunt illo præditi. Vis enim consilio temperata hominem figurat; si vero amentiæ comes est, bestiam ratione carentem depingit ac format. Proba igitur eos qui prudenti robore, non qui stolido utuntur: siquidem vis cum stoliditate conjuncta temeritas, cum prudentia vero fortitudo appellatur.

De modestia.

In te propitium si Deum habere vis, ipse subjectis tuis esto propitius; nam etsi aliorum dominus es constitutus, ipse tamen etiam servus es; unum enim ac solum universorum Dominum omnes habemus, ac limus terræ generis nostri auctor idem ac propagator est; etsi alii adversus alios, qui nihil nisi pulvis sumus intumescimus. Tu igitur qui nunc sublime elatus pulvis es, memento quantumcunque modo emineas, futurum aliquando ut ad terram deprimaris: ita nunquam adversus humiliorem pulverem animo effereris. Recordare peccatorum quæ in Deum commisisti: ita fiet ut si quid proximi in te peccarint, obliviscaris.

De prudentia.

Reputa, quæso, quanto sit apud omnes in honore prudentia, et quam vehementer ab omnibus expetatur; omnes enim eam laudant ut bonam, sed non omnes laborant ut eam adipiscantur: quo fit ut raro qui ea præditus sit reperire possis. Tu vero da operam non solum ut eam contubernalem habeas, sed etiam si quis est qui illam teneat, ut eum observes, atque in pretio habeas, et cum illo frequens nocte dieque verseris: ille enim solus animum tuum juvare plurimum poterit, et quæ tibi plerumque in angustiis rebus inexplicabilia vide-

ποτε· ὃς δὲ τὴν κατὰ τῶν παθῶν νίκην τοῖς ἑκουσίοις ἀναδέξηται πόνοις, εἰς δεῖγμα σαφὲς τῆς τῶν μελλόντων ἀγαθῶν ἀντιδόσεως, καὶ τὴν κατ' ἐχθρῶν νίκην χρεωστικῶς αὐτῷ χορηγουμένην κομιεῖται παρὰ Θεοῦ.

Περὶ φίλων πιστῶν.

Χαῖρε τοῖς σπουδάζουσι περὶ σὲ τῶν φίλων, μᾶλλον, ὡς ἀληθέσιν, ἢ τοῖς γένει προσήκουσιν. Ἡ μὲν γὰρ τοῦ γένους φιλία, οὐκ ἐξ ἀρετῆς, ἀλλ' ἐκ φύσεως περιγέγονεν, ἥτις οὐδὲ ἑκούσιος σὺν δίκῃ κριθείη. Ἡ δὲ ἀγάπη τῶν φίλων ἐξ ἀρετῆς καὶ γνώμης ἑκουσίου κατώρθωται περὶ σέ. Κἀκείνη μὲν τὴν φύσιν ἔχει νόμον, αὕτη δὲ τὸν Θεόν. Πολλῷ γὰρ κρείττων ἐν χρείᾳ καὶ ὁ τρόπος τοῦ γένους, καὶ ἡ προαίρεσις τῆς ἀνάγκης. Συγγενεῖς μὲν γὰρ συγγενέσι πολλάκις μικρῶν ἕνεκα χρημάτων ἐπεβούλευσαν· φίλοι δὲ ἀληθεῖς τὸν κόσμον ἅπαντα παριδόντες, οὐδὲ τὴν ζωὴν αὐτὴν τῆς τῶν φίλων ἀγάπης προέκριναν.

Περὶ ἀνδρείας καὶ φρονήσεως.

Ῥώμην σώματος καὶ τίμα καὶ ἀποδέχου, ἐὰν καὶ φρονήσει κοσμεῖται. Ὅσον γὰρ μετὰ φρονήσεως ὠφελεῖν δύναται, τοσοῦτον ἄνευ φρονήσεως βλάπτειν τοὺς ἔχοντας εἴωθεν. Ἰσχὺς γὰρ ἔμφρων ἄνθρωπον χαρακτηρίζει· εἰ δὲ ἀφροσύνη ταύτῃ παρέπεται, θηρίον ἄλογον ἐξεικονίζει. Ἀποδέχου τοίνυν μὴ τοὺς ἄφρονι ῥώμῃ, ἀλλὰ τοὺς ἔμφρονι χρωμένους. Ἡ μὲν γὰρ μετὰ ἀφροσύνης ῥώμη θράσος λέγεται· ἡ δὲ μετὰ φρονήσεως, ἀνδρεία.

Περὶ ταπεινοφροσύνης.

Ἵλεων ἔχειν βούλει περὶ σὲ τὸν Θεόν; ἵλεως γενοῦ περὶ τοὺς ὑπηκόους καὶ αὐτός. Κἂν γὰρ δεσπότης ἐκρίθης, ἀλλὰ καὶ σύνδουλος ὑπάρχεις. Ἕνα γὰρ Δεσπότην τῶν ὅλων καὶ μόνον κεκτήμεθα πάντες ἄνθρωποι· καὶ πηλὸς ἡμῶν τοῦ γένους εἷς ὑπάρχει προπάτωρ, κἂν κατ' ἀλλήλων οἱ χόες φυσώμεθα. Μέμνησο τοίνυν ὁ ὑψηλὸς χοῦς σεαυτοῦ, καὶ εὖ ἴσθι ὡς ὅπου δ' ἂν ὑψωθῇς ἀπὸ γῆς, πάντως πάλιν κατενεχθήσῃ πρὸς γῆν· καὶ οὐδέποτε κατὰ χοὸς ἐπαρθήσῃ ταπεινοῦ. Μέμνησο τῶν σεαυτοῦ σφαλμάτων πρὸς Θεὸν, καὶ ἐπιλήσῃ τῶν τοῦ πλησίον σφαλμάτων πρὸς σέ.

Περὶ φρονήσεως.

Σκόπει κατὰ σεαυτὸν, ὅτι πᾶσιν ἀνθρώποις ἡ φρόνησις τιμιωτάτη καθέστηκεν, πᾶσι δ' ὑπάρχει διὰ σπουδῆς. Πάντες μὲν γὰρ αὐτὴν ὡς ἀγαθὴν ἐπαινοῦσιν, οὐ πάντες δὲ κτήσασθαι πονοῦσι. Διὸ καὶ σπανιώτατον εὕροις ἂν τὸν ταύτην κτησάμενον. Μὴ μόνον οὖν αὐτὸς σπουδάσῃς τὴν φρόνησιν σύνοικον ἔχειν, ἀλλὰ καὶ τὸν ταύτην κεκτημένον αἰδοῦ, καὶ τίμα, συναναστρέφου αὐτῷ, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί. Ἐκεῖνος γάρ σε δύναται μόνος ὠφελῆσαι τὰ μέγιστα εἰς ψυχήν· καὶ ἃ πολλάκις ἀμήχανά σοι δοκοῦσι πραχθῆναι ἐν περιστάσει, ταῦτα δι' αὐτοῦ ῥᾳδίως σὺν

Θεῷ κατορθώσεις. Ἢ γὰρ φρόνιμον εἶναί σε δεῖ, ἢ A φρονίμοις συνέπεσθαι, ἐν οἷς ἀληθῶς, ὡς ἐπὶ θρόνου Θεὸς ἀναπαύεται.

16

Περὶ τρόπων τοῦ βίου καὶ λόγου.

Τρόπος ἔστω σοι τοῦ λόγου πιστότερος, ἵνα μὴ μόνον λέγων, ἀλλὰ καὶ σιωπῶν, τὸ αἰδέσιμον ἔχῃς. Ἀλλὰ μηδὲ τοὺς λόγῳ μὲν πιθανούς, ἔργῳ δὲ τοὺς λόγους μὴ βεβαιοῦντας ἀποδέχου. Εἰσὶ γὰρ οἳ λόγῳ μὲν εἰσιν ἀγαθοί, ἔργῳ δὲ καὶ λίαν αἰσχροί. Μήτε οὖν αὐτὸς εἶναι τοιοῦτος θέλε, μήτε μὴν ἑτέρους περὶ σὲ τοιούτους εἶναι καταδέχου· ἀλλ' ἐκείνους στέργε καὶ οἰκειοῦ, οἵτινες οὐ κοσμοῦσι τοὺς τρόπους λόγῳ, ἀλλὰ τοὺς λόγους τρόπῳ. Καὶ ἃ πάλιν πράττειν αἰσχύνῃ, ταῦτα λέγειν μὴ ἀναισχύντει· μηδὲ ἃ λέγειν αἰσχύνῃ, ταῦτα πράττειν διαλο- B γίζου.

7

Περὶ μελέτης τῶν θείων Λόγων.

Ὥσπερ τὰ νεοθαλῆ τῶν φυτῶν ἀρδευόμενα τοῖς ὕδασι θάλλει καὶ καρποφορεῖ, οὕτω καὶ ἡ σὴ διάνοια, τέκνον ἐμόν, ἀρδευομένη ταῖς τῶν θείων λόγων μελέταις, ἔτι μᾶλλον αὐξηθήσεται καὶ καρποφορήσει τὰς ἀρετάς. Σῶμα μὲν γὰρ αἱ κατάλληλοι τροφαὶ λιπαίνουσι· ψυχὴν δὲ οἱ πνευματικοὶ λόγοι διατρέφουσιν. Ἀλλ' ἐκείνη μὲν γὰρ ἡ τροφή, μέχρι φάρυγγος ἡδεῖα, καὶ φθορὰν αὔξει, καὶ ὑπὸ φθορᾶς αὐξάνεται καὶ δαπανᾶται. Ἡ δὲ τῆς ψυχῆς τροφὴ ἀΐδιον ἔχει τὴν εὐφροσύνην, καὶ ἀφθαρσίαν προξενεῖ, καὶ εἰς ἀφθαρσίαν μεταχωρεῖ. Μελέτην οὖν ποιοῦ τῶν τοιούτων ὠφελίμων λόγων, ἵνα τοὺς ἐξ αὐτῶν καρποὺς τρυγήσῃς καὶ καλῶς τὴν βασιλείαν C διοικήσῃς.

18

Περὶ βουλῆς.

Βουλῆς ἀρίστης οὐδὲν ἀσφαλέστερον, καὶ πράξεως ἀπροβουλεύτου οὐδὲν σφαλερώτερον. Ἵνα οὖν μετὰ ἀσφαλείας πράττῃς ἃ βούλει, αἱροῦ προβουλεύεσθαι ἃ πράττεις. Μετὰ μὲν γὰρ τὸ πρᾶξαι οὐκ ἔνι προβουλεύσασθαι, μετὰ δὲ τὸ βουλεύσασθαι δυνατόν σοι μεταβουλεύσασθαι. Ὅρα οὖν ἑκάστου πράγματος τὸ τέλος, καὶ οὕτω τῆς πράξεως ἀπάρχου. Συμβούλοις δὲ χρῶ τοῖς καλῶς περὶ τῶν οἰκείων βουλευσαμένοις καὶ διοικήσασιν, ἀλλὰ μὴ τοῖς κακῶς ἐξ ἀβουλίας τὰ ἑαυτῶν οἰκονομήσασιν. Ὁ γὰρ κακῶς περὶ τὰ οἰκεῖα διατεθείς, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Ἀλλὰ μηδὲ τοῖς ἀπείροις D περὶ ὧν ἂν βούλει πραγμάτων ἀνακοινοῦ, μήτε μὴν ταῖς κολακείαις περὶ σὲ χρωμένοις. Οἱ μὲν γάρ, ὡς τυφλοί, ἀνεπιστημόνως βουλεύσονται, οἱ δὲ κατὰ χάριν σοι προελεύσονται. Ἀλλ' ἐκείνοις μάλιστα συμβουλεύου οἳ καὶ περὶ τὸ ἐπίστασθαι περὶ τῶν πραγμάτων ὀρθῶς ἔχουσι, καὶ οἳ μάλιστα ἐπὶ τοῖς ἐσφαλμένοις σοι πολλάκις διελέγχειν εἰώθασι· μόνοι γὰρ οὗτοι καὶ φίλων καὶ συμβούλων [εἰς] τάξιν πιστεύεσθαι ἄξιοι.

Περὶ ἀγνείας καὶ σωφροσύνης.

19 Ἁγνὸν σεαυτοῦ τήρει μὴ μόνον τὸ σῶμα, ἀλλὰ καὶ αὐτὴν τὴν διάνοιαν. Ὥσπερ γὰρ ὁ διεφθαρμένος βίος χωρίζει Θεοῦ, οὕτω καὶ ἡ ἐν ἁγνείᾳ ζωὴ οἰκειοῖ πρὸς Θεόν. Ἔστω οὖν τὸ φῶς σου λαμπρὸν ἐνώπιον τῶν

buntur, ea per illum, Deo juvante, expedite perficies : aut enim te prudentem esse oportet, aut uti consilio prudentum, in quibus quasi in solio suo Deus conquiescit.

De vita et oratione.

Tui mores ejusmodi sint, ut fide digniores habeantur quam sermones, quo te non solum loquentem, sed tacentem etiam revereantur homines : neque eos tibi adscisce qui verbis probi factis ea non confirmant. Sunt enim nonnulli qui cum honestissime loquantur, turpissime vivunt. Cave ergo ne aut tu similis eorum sis, aut eis similes tibi adjungas; sed eos dilige et tibi in contubernium adhibe qui non mores verbis, sed verba moribus cohonestant. Et quæ te facere pudet, ea dicere te quoque pudeat, et quæ dicere pudor vetat, ne cogitare quidem lubeat.

De studio sacrarum Litterarum.

O fili, quemadmodum teneræ plantæ aquis irrigatæ virescunt ac fructus ferunt, ita mens tua sacrarum Litterarum studiis irrigua magis augescet, ac virtutum fructus procreabit; nam corpus quidem saginatur cibis qui alius super alium infarciuntur; animus vero sanctis sermonibus alitur ac vegetatur; sed hoc interest quod cibus ille corporis ad fauces usque suavis, et corruptionem auget, et a corruptione augetur, ac tandem absumitur; animi vero alimentum sempiternam menti affert lætitiam, et incorruptionem parit, et ad immortalitatem deducit. Meditare ergo ita frugiferos sermones, ut et eorum fructibus perfruaris, et regnum tuum sapienter administres.

De consilio.

Res nulla securior est quam sapiens consilium, nihilque periculosius, quam inconsulto rem ullam aggredi : ut ergo tuto facias quæ vis, velis antea consultare quæ facis : post factum enim consultandi locus amplius non est. Sed post initam deliberationem mutare etiam licet consilium. Perpende igitur quorsum res quæque evadere queat, atque ita demum ad illam accingere. In consilium autem eos adhibe, qui rebus suis bene consuluerunt, atque eas recte administrarunt, non eos qui per inopiam consilii res suas male gubernarunt; qui enim rebus suis male prospexerit, nunquam bene providebit alienis. Neque vero communica cum imperitis earum rerum, de quibus consilium capis, neque cum iis quos adulari tibi senties : illi enim ut cæci ignoranter tibi consilium dabunt; hi autem etiam errata tua laudabunt : sed eos potissimum in consilium assume, qui et scienter de iis rebus loqui possint, et de tuis erratis confidenter te reprehendere soleant; illi enim soli digni sunt, qui in amicis et consiliariis habeantur.

De castitate et temperantia.

Omni labe impudicitiæ purum conserva non solum corpus, sed etiam animum tuum. Quemadmodum enim impudica vita a Deo nos separat, ita in castitate transacta nos ei conciliat. Sit

ergo lux tua splendida et clara in oculis tuorum; et esto perfecta imago virtutis eis qui sub tua ditione vivunt; nisi enim pudicitiam ipse servaveris, qua fronte eos, qui tuæ dominationi subjecti sunt ad eam servandam cohortaberis? Nam quæ facientem te viderint, ad eadem quoque facienda incitabuntur: solent enim ad exemplum principis mutari subjecti. Sicut ergo nisi in animum induxeris recte vitam instituere, gravis detrimenti causa subjectis eris: ita si pudicitiam cum cæteris virtutibus colueris, salutis auctor universo populo eris, et inde eam mercedem referes, ut non solum te Deo dignum, sed eos etiam qui tibi obediunt præstitisse judiceris.

De pietate erga parentes.

Coronam a Deo datam de manu mea suscepisti. Redde ergo donatori munus eo dignum. Honora Deum qui te honoravit per honorem quem patri tuo deferes: me autem honorabis non eodem penitus modo quo subjecti faciunt, nempe aut genuflectens aut latus meum stipans, aut mihi bene precans: ista enim principe viro non satis digna sunt; sed potius virtutem colens, temperantiam sequens, mores tuos exornans, litterarum studia capessens, quibus animi juvenum excoli solent, et ut in summa dicam ita te comparans, ut terreno hoc imperio dignus habeare, ac cœlorum regis imaginem repræsentes. Is enim solus merito vocabitur imago Dei a quo in regni solio collocatus est, qui omnimodam virtutem amplexatur: isque optimo jure secundo loco post Deum a subjectis amabitur, et tanquam de se suisque optime meritus omni honore dignus habebitur.

De justitia.

Administrationem regni ut omni reprehensione vacuam præstes, quæ in aliis reprehendis hæc ipse facere ne audeas: sunt enim plerumque subditi ad principum actiones examinandas acerrimi. Si enim id diligenter observaveris, duo isthæc maximi momenti commoda consequeris: te enim irreprehensum adversus omnes calumnias præstabis, et subjectos tuos non dicendo solum, sed etiam tacendo virtutem omnem exercere docebis. Si vero dictis tuis facta minime respondent, accusatricem tui conscientiam habebis: at si probos sermones similes actiones consequantur, eos qui te observant, tuæ probitatis et testes simul et imitatores habebis omni exceptione majores.

De beneficentia.

Nullius eorum qui aut a te munera postulant, aut dignitates ambiunt, mores tibi lateant: cumque satis eos perspexeris, benefac duntaxat bonis: ab eis enim perpetuam recipies benevolentiam, quæ nullo unquam tempore vacillatura sit. Beneficium enim apud virum bonum collocatum thesaurus est nullis raptoribus obnoxius, qui multiplicem collatori refert gratiam: qui autem improbo bene facit serpentem in sinu alit, isque aliquantisper ipsius calore fovetur, sed oblata oc-

A ὑπὸ χεῖρα, καὶ ἀγαθὴ γενοῦ τοῖς ὑπηκόοις εἰκών. Εἰ γὰρ αὐτὸς τὴν ἁγνείαν οὐ τηρήσεις, ποίῳ προσώπῳ τοὺς ὑπὸ σὲ ταύτην ἔχειν νουθετήσεις; Ἃ γὰρ ἂν σε πράττοντα θεωρῶσι, τὰ αὐτὰ καὶ αὐτοὶ πράττειν συνενεχθῶσι· πέφυκε γάρ πως ταῖς ἀρχαῖς συμμεταβάλλεσθαι τὸ ὑπήκοον. Ὥσπερ οὖν, εἰ μὴ καλῶς βιοῦν προαιρῇ, τῆς τῶν ὑπηκόων βλάβης αἴτιος ὑπάρξεις, οὕτω τὴν ἁγνείαν μετὰ τῶν λοιπῶν ἀρετῶν ἐξασκῶν, πρόξενος τοῦ λαοῦ σου παντὸς τῆς σωτηρίας γενήσῃ, καὶ μέγαν σεαυτῷ τὸν μισθὸν ἐντεῦθεν περιποιήσῃ, τῷ μὴ μόνον σεαυτὸν ἄξιον Θεοῦ, ἀλλὰ καὶ τοὺς ὑπὸ χεῖρα γενέσθαι παρασκευάζειν.

B

Περὶ τιμῆς γονέων.

Στέφανον ἐκ Θεοῦ διὰ τῆς ἐμῆς ἐδέξω χειρός. Ἄμειψαι τῷ δεδωκότι τὸ ἀντάξιον δῶρον. Τίμησον Θεὸν τόν σε τιμήσαντα διὰ τῆς εἰς τὸν γεγεννηκότα τιμῆς. Ἐμὲ δὲ τιμήσεις, οὐ καθάπερ τινὲς τῶν ὑπηκόων, ἢ γονυπετῶν, ἢ δωροφορῶν, ἢ ἐπευφημῶν· ἀνάξια γὰρ ταῦτα βασιλέως ἀνδρός· ἀλλὰ τιμῶν μὲν τὴν ἀρετήν, ἀσκῶν δὲ τὴν σωφροσύνην, κοσμῶν δέ σου τὸ ἦθος, σπουδάζων δὲ περὶ τοὺς λόγους, οἷς ἡ τῶν νέων καλλωπίζεται γνώμη· καὶ ἁπλῶς οὕτω σεαυτὸν παρασκευάζων ἄξιον βασιλεύειν τῶν ἐπὶ γῆς, καὶ εἰκόνα τοῦ βασιλέως τῶν οὐρανῶν. Μόνος γὰρ ὁ τῆς ἀρετῆς ἐφικέσθαι δυνάμενος εἰκὼν τοῦ καταστήσαντος αὐτὸν Θεοῦ δικαίως κληθήσεται, καὶ μετὰ Θεὸν παρὰ τῶν ὑπηκόων εἰκότως ἀγαπηθήσεται, καὶ C ὡς εὐεργέτης κοινὸς ἑαυτοῦ τε καὶ τῶν ὑπ' αὐτὸν, ἀξίως τιμηθήσεται.

Περὶ δικαιοσύνης.

Ἵνα σου τὴν βασιλείαν ἄμεμπτον διαφυλάξῃς, ἅπερ ἂν ἑτέροις πράττουσιν ἐπιτιμήσεις, ταῦτα πράττειν αὐτὸς μὴ ἐπιχειρήσῃς· δεινὸν γάρ πως τὸ ὑπήκοον τὰς τῶν ἀρχόντων πράξεις λογοθετεῖν. Εἰ γὰρ τοῦτο φυλάξῃς, δύο ταῦτα μέγιστα κατορθώσεις, καὶ σεαυτὸν ἀνέγκλητον παντὸς μώμου διατηρήσεις, καὶ τοὺς ὑπὸ χεῖρα διδάξεις, καὶ σιωπῶν καὶ λέγων, πᾶσαν ἀσκεῖν ἀρετήν. Εἰ δὲ ἐναντία, ὧν λέγεις, πράττεις, ἕξεις σου κατήγορον τὴν συνείδησιν· εἰ δὲ λέγων D ἀγαθὰ, τὰ ὅμοια πράττεις, ἕξεις τοὺς λογοθετοῦντάς σου τὸν βίον ὁμοῦ καὶ μάρτυρας, καὶ μιμητάς σου τῆς καλοκαγαθίας ἀπαραγράπτους ἕξεις.

Περὶ εὐεργεσίας.

Λανθανέτω σε μηδεὶς τῶν παρὰ σοῦ δωρεὰς αἰτούντων, ἢ ἀξιώματα ἐπιζητούντων, καὶ τούτους ἀναλαμβάνων, τοὺς ἀγαθοὺς εὖ ποίει. Ἕξεις γὰρ ἀεὶ τὴν εὔνοιαν διαπαντὸς, ἢ μᾶλλον εἰπεῖν, ἀδιάπτωτον. Ἄσυλος γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ, καὶ πολυπλασίων ἡ χάρις παρ' αὐτοῖς ἐποφείλεται. Ὁ δὲ τοὺς κακοὺς εὐεργετῶν, ἐγκόλπιον ἔχει τὸν ὄφιν, ἐν καιρῷ μὲν θαλπόμενον, ἐν καιρῷ δὲ τὸν εὐεργέτην ἰοβόλῳ δήγματι ἀμυνόμενον. Ὥσπερ γὰρ οἱ ἀλλότριοι κύνες τῶν σιτιζόντων ξένων καθυλακτοῦσιν, οὕτως

οἱ κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας, ἀδικοῦσιν. Ἀγαθοὺς γὰρ εὐεργετῶν, ἕξεις σεαυτὸν πολλαπλοῦν, καὶ κτήσῃ μίαν ψυχὴν πολλῶν φίλων καὶ ὀφθαλμῶν κύκλῳ διαφυλαττομένην.

A casione venenato morsu benefactorem suum remunerat. Sicut enim canes alienis etiam cibum offerentibus oblatrant, ita homines perversi perinde eos qui bene de ipsis merentur offendunt, atque eos qui male. Bonos ergo beneficiis tibi devinciens te ipsum quodammodo multiplicem habebis, nempe vitam unam multis circum oculis multisque vigilantibus amicis custoditam.

Περὶ φίλων.

Ἐκείνους κτῆσαι φίλους καὶ θεράποντας οἰκειοτάτους, οἵτινες ἀγαθοὶ καὶ πρὸς ἑτέρους φίλους ἢ δεσπότας προγεγονότες τυγχάνουσιν· ἃ γὰρ ἐν ἐκείνοις εἰργάσαντο, ταῦτα καὶ εἰς σὲ ποιῆσαι οὐκ ἀποκνήσουσι. Ὁ μὲν γὰρ σπουδαῖος περὶ τοὺς πάλαι φίλους γεγονὼς, σπουδαῖος ἂν καὶ περὶ σὲ γενέσθαι πιστευθήσεται· ὁ δὲ τοῖς προτέροις φίλοις ἢ δεσπόταις ἄχρηστός τε καὶ ῥᾴθυμος γεγονὼς, σχολῇ γε περὶ σὲ σπουδαῖος καὶ χρήσιμός ποτε ὀφθήσεται.

De amicis.

Opta tibi eos amicos, et intimos familiares, qui sancte cum aliis amicitiam coluerint, et aliis dominis fidelem operam navaverint. Quod enim aliis præstiterunt, idem etiam præstare tibi non gravabuntur; et qui bonus erga veteres amicos exstiterit, bonus erga te etiam futurus merito credetur. Qui autem prioribus amicis aut patronis ignavus atque inutilis ante fuerit, vix unquam postea B bonus erga te atque utilis erit.

Περὶ ὑπεροψίας χρημάτων.

Ὑψηλὸν μὲν καὶ ἀδούλωτον τὸ τοῦ βασιλέως δεικνύει φρόνημα, οὐ τοσοῦτον ὄγκος τοῦ ἀξιώματος, ὅσον ἡ τῶν χρημάτων ὑπεροψία. Ἐν τούτῳ γὰρ μᾶλλον τὸ εὐγενὲς αὐτοῦ τῆς ψυχῆς καταφαίνεται. Ὑπεροψία δὲ χρημάτων οὐ τὸ μάτην τοῖς βαλαντίοις ἐναποτίθεσθαι, ἀλλὰ τὸ δαψιλῶς ἐν ταῖς ἀναγκαίαις χρείαις αὐτὰ χορηγεῖν. Ἀναγκαῖα δὲ βασιλεῖ καὶ μᾶλλον τῶν ἄλλων φίλους εὖ ποιεῖν, καὶ ἐχθροὺς ἀμύνεσθαι, ὧν ἀμφοτέρων τὸ κατορθοῦν ἡ τῶν χρημάτων δαπάνη. Εἰ οὖν καὶ αὐτὸς ὑψηλὸς ἐν πᾶσιν εἶναι βούλει, καὶ μάλιστα ἐν συνέσει, ὑπερόπτης γίνου χρημάτων· ἐπεὶ οὐδέ ἐστι τὰ σαυτοῦ ἴδια σὰ, ἀλλὰ τῶν συνδούλων τῶν σῶν, καὶ μάλιστα τῶν πενήτων καὶ ξένων. Φάνηθι τοίνυν ἴδιος εὐεργέτης ἐν τοῖς κοινοῖς, καὶ οὕτως ὑψηλὸς ἔσῃ καὶ περίβλεπτος ἐν φρονήσει.

De contemptu pecuniæ.

Excelsum atque invictum principis animum non adeo magnitudo dignitatis ostendit ac pecuniæ contemptus: in hoc enim maxime animæ ipsius generositas elucescit. Pecuniæ autem contemptus non in eo cernitur cum in saccos inutiliter congeritur et seponitur, sed cum largiter in usus necessarios expenditur. Necessarium autem est, ac regi potissimum, amicos promereri, atque inimicos vindicare, quorum utrumque recte facere, is demum verus est pecuniæ sumptus. Si ergo in omnibus excellere vis, ac in prudentia præsertim atque solertia, contemptor esto divitiarum. Neque C enim ipsa tua pecunia proprie tua solius est, sed communis servorum tuorum, et inopum atque hospitum. Fac igitur ut te beneficum peculiariter exhibeas in eo quod commune est; atque ita demum eris animi magnitudine ac prudentia commendandus.

Περὶ μέθης.

Συνουσίας τὰς ἐν πότοις εὐλαβοῦ· μέθη γὰρ τῇ φρονήσει ἐναντίον τι χρῆμα καὶ πολέμιον. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ τοῦ οἴνου τυραννηθῇ, ταυτόν τι πάσχει τοῖς φαύλοις ἡνιόχοις, οἳ τὸ ἅρμα κυβερνᾷν ἀδυνατοῦντες, καὶ ἑαυτοὺς καὶ τοὺς ἵππους ὧδε κἀκεῖσε περιφέρουσι, καὶ γέλωτα τοῖς ὁρῶσι μέγιστον ἐμποιοῦσιν. Οὕτω δὲ πασχούσης τῆς διανοίας, ἀνάγκη καὶ τὴν ψυχὴν πολλὰ σφαλλομένην διατελεῖν.

De ebrietate.

Refuge comessationes in quibus indulgetur poculis: ebrietas enim inimica est prudentiæ: ubi enim mens a vino opprimitur, idem ei contingit, quod imperitis aurigatoribus, qui cum regere currum nesciant, et se et suos equos huc illucque circumagunt, et spectatoribus magnos risus excitant. Quando autem mens ita affecta est, fieri nequit quin animus multa præpostere faciat.

Περὶ κτήσεως.

Ῥᾳδίως κτήσῃ φίλον, ὃν ἂν βουληθῇς, εἰ ἀγαθά τινα λέγεις περὶ αὐτοῦ ἀπόντος ἐπὶ τῶν ἐπαγγελλόντων αὐτῷ· ἀρχὴ γὰρ, ὡς ἔοικε, φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος ἐστίν. Ἀλλὰ καὶ οὓς ἤδη κέκτησαι φίλους, εἰ βούλει πλέον ἐφέλκεσθαι, ἐπαίνει ἀπόντας ἐπὶ τῶν παρόντων. Καὶ γὰρ οὕτω δόξειας ἂν ἐπαινεῖν καὶ τοὺς παρόντας ἐπὶ τῶν ἀπόντων. Δοκίμαζε δὲ τοὺς φίλους, ἔν τε ταῖς ἀνάγκαις καὶ ταῖς δυσπραγίαις· τῶν γὰρ εὐημερούντων φίλοι πολλοί. Κἀκείνους ἀληθεῖς φίλους λογίζου, ὅσοι μὴ κέρδους ἕνεκα φιλοῦσιν, ἀλλὰ δι' αὐτὴν τὴν ἀρετὴν τῆς ἀγάπης. Ἡ γὰρ ἄλλως φιλία τῷ καιρῷ δουλεύουσα, ἐμπορία τις, ἀλλ' οὐ φιλία, ταύτῃ λογίζεται.

D *De amico comparando.*

Ubi voles facile quemlibet amicum tibi comparabis, si de eo absente bene dixeris coram aliis, qui ei renuntiaturi sunt: initium enim amicitiæ fere laudatio est, inimicitiæ vero, vituperatio. Et quos jam habes amicos, eos si magis devincire tibi voles, lauda absentes coram aliis eorum amicis; nam ita videberis præsentes etiam laudare in absentibus. Amicos autem in angustiis atque in adversis rebus explora; felicium enim multi sunt amici: sed eos amicos veros judicato, qui te non lucri causa diligunt, sed propter ipsam amicitiæ virtutem: alia enim amicitiæ species, quæ tempori servit, non tam amicitia, quam negotiatio quædam esse putatur.

De opibus et avaritia.

Quæ ad augendam rempublicam conferre possunt ea perficere ne cuncteris. Rem autem publicam optime administrabis, si pecuniæ publicæ curam diligentem habebis, sed quæ justis rationibus colligitur, non ex oppressione aut lacrymis subditorum; pecunia enim si juste cogitur multum affert emolumenti, et nervos imperio addit; sed quæ ex subditorum lacrymis atque iniquitate corrasa fuerit, etiam juste collectam dissipabit: attrahet enim Deum, qui justitiæ leges condidit ad vindicandam injuriam. Ignis vero non ita celeriter paleam consumit, ut male et injuste congestæ opes etiam jure paratas in perniciem secum abripiunt.

De lenitate et mansuetudine.

In subjectos tuos ne criminosus sis; molesta enim res est: neque in congressibus promptus sis ad alios objurgandos; odiosa quippe res est: neque risum immoderate effusum ama; male morati hominis est: sed lenis esto in eos qui offenderint, clemens in castigationibus delictorum, gravis moribus, mitis sermone, facilis aditu, affabilis congressu: hæc enim omnia populorum benevolentiam tibi conciliabunt, qui propterea patrem te potius quam imperatorem appellabunt.

De veritate et mendacio.

Maximi pendito et veracem esse in sermone, et veraces homines in familiaritatem admittere: ita enim firmus et constans in omnibus et factis et dictis existimaberis, et veram ac non suspectam tuorum in te benevolentiam retinebis. Si autem vanitatis et mendacii in suspicionem veneris, indigna facere imperatoria majestate qua auctus es, convinceris, efficiesque ut subjecti formidolosi, ac rerum omnium incerti sint; quantum enim verax oratio amabilem hominem reddit, tantum mendacii deprehensa, aut etiam suspecta, odiosum, qui ea utitur facit.

De magistratibus.

Præstantissimus medicorum ille est, qui morbis appositas adhibere novit curationes: et rex optimus, qui eos instituit magistratus, qui a subjectis omnem injuriam arcere ac propulsare queant. Sicut enim equisonis virtus propria est equi cujusque nosse præstantiam; et venatorum intelligere quantum quisque canum cursu valeat ad persequendas feras, ac imperatoris milites suos cognoscere, et qua quisque eorum fortitudine sit, perspectum habere ut quam optime aciem instruere valeat: ita boni regis est magistratuum suorum mores, animos, actus et sententias perdiscere, ut de singulis edoctus unumquemque sciat suo ordine disponere, ac pravos quidem ac pestilentes homines a republica extorres ejicere, probos autem et virtutis amantes publicis honoribus decorare.

De consilio et consideratione.

Esse sibi consentientem hominis est gravis et

A *Περὶ πλούτου καὶ πλεονεξίας.*

Ὧν ἕνεκα τὴν πολιτείαν ὑψώσεις, τούτων χάριν ποιεῖν μὴ κατόκνει. Ἄριστα δὲ τὸ ὑπήκοον διασώσεις, εἰ χρημάτων δημοσίων κτῆσιν ἐπιμελῶς ποιήσεις, ἀλλὰ τὴν ἐκ δικαίων πορισμῶν, οὐχὶ δὲ τὴν ἐξ ἀδίκου συναγωγήν, οὐδὲ τὴν ἐκ δακρύων συλλεγομένην. Χρήματα μὲν γάρ, εἰ μὲν δικαίως συνάγεται, πολλὰ τὸν κεκτημένον ὀνήσει, καὶ ἰσχὺς τῇ βασιλείᾳ χρηματίσει· εἰ δὲ ἐξ ἀδικίας καὶ δακρύων πορίζεται, καὶ τὰ δικαίως συνειλεγμένα ἐξαφανίζει, καὶ Θεὸν ἀντίδικον τὸν τοῦ δικαίου νομοθέτην ἐπισπᾶται. Οὐχ οὕτω γὰρ πῦρ ἀφανίζει χόρτον, ὡς ὁ κακῶς καὶ ἀδίκως συνηγμένος πλοῦτος, καὶ τὸν καλῶς καὶ δικαίως ἐπισωρευθέντα πλοῦτον προσαπόλλυσι.

Περὶ μακροθυμίας καὶ πραότητος.

B Μὴ ἦσθα φιλαίτιος ἐν τοῖς ὑπὸ χεῖρα· βαρὺ γάρ· μηδὲ ἑτοίμως ἐπιτιμῶν ἐν ταῖς ἀναστροφαῖς· φορτικὸν γάρ· μηδὲ γέλωτα ἀκρατῆ στέργε· ἀπαίδευτον γάρ· ἀλλὰ ἔσο μακρόθυμος μὲν ἐπὶ τοῖς πταίουσι, φιλάνθρωπος δὲ ἐν τοῖς ἐπιτιμίοις, σεμνὸς τὸ ἦθος, πρᾶος τὸν λόγον, ἥμερος δὲ καὶ ὁμιλητικὸς τὸν τρόπον· ταῦτα γὰρ ἅπαντα ποθητόν σε ποιήσει τοῖς ὑπὸ χεῖρα, καὶ πατέρα μᾶλλον ἢ βασιλέα καλεῖσθαι παρασκευάσει.

Περὶ ἀληθείας καὶ ψεύδους.

Ἀληθῆ λόγον ἔχειν περὶ πλείστου ποιοῦ, καὶ αὐτὸς ἔχειν, καὶ ἑτέρους τοὺς ἔχοντας οἰκειοῦσθαι. Οὕτω γὰρ βέβαιός τε εἶναι δόξεις πρὸς ἅπαντά σου
C τὰ λεγόμενα καὶ πραττόμενα, καὶ ἀνύποπτον καὶ βεβαίαν τὴν εἰς σὲ φιλίαν τῶν ὑπηκόων διαφυλάξεις. Εἰ γὰρ ψευδέσι λόγοις χρῆσθαι ὑποπτευθείης, κἂν βασιλεύειν κατηξιώθης, ἀλλ' ἀνάξια τῆς τοιαύτης ἀξίας διαπραττόμενος ἐλεγχθείς, καὶ περιδεεῖς τοὺς ὑπὸ χεῖρα καὶ τεταραγμένους σοι πάντας εἶναι παρασκευάσεις. Ὅσον γὰρ ὁ τῆς ἀληθείας λόγος τὸν κεκτημένον ἄνδρα ποθητὸν ἀπεργάζεται, τοσοῦτον ὁ ψευδής τε καὶ ὕφαλος τὸν ἐπιτηδεύοντα μισεῖσθαι παρασκευάζει.

Περὶ ἀρχῆς.

Ἰατρὸς ἐκεῖνός ἐστιν ἀληθής, ὃς καταλλήλους τοῖς νοσήμασι τὰς ἰατρείας ἐπιτίθησι· καὶ βασιλεὺς ἐκεῖνός ἐστιν ἀγαθός, ὃς ἀδικουμένων τῶν ὑπηκόων τοὺς τὰς ἀδικίας ἐκδιώξαντας προβάλλεται ἄρχοντας. Ὡς
D γὰρ ἱπποκόμου μὲν ἴδιον, τὸ τῶν ἵππων ἑκάστου τὴν ἀρετὴν ἐπιγινώσκειν, κυνηγέτου δὲ τὸ τοὺς διώκοντας τῶν κυνῶν καλῶς ἐξεπίστασθαι, καὶ στρατηγοῦ δὲ τὸ τοὺς στρατιώτας γνωρίζειν, ὁποῖοι τὰς ἀρετὰς ὑπάρχουσιν ἕκαστος, ἵν' ἐν παρατάξει τὸ ἄριστον τῆς ἐκτάξεως ἔχῃ· οὕτω καὶ βασιλέως ἀγαθοῦ, τὸ τὰ ἤθη καὶ τοὺς τρόπους καὶ τὰς ἀρετὰς καὶ γνώμας τῶν ὑπ' αὐτὸν ἀρχόντων ἀναμανθάνειν, ἵν' ἐπιστημόνως ἔχῃ περὶ ἑκάστου, καὶ καταλλήλως τὸν καθ' ἕνα τῇ προσηκούσῃ τάξει διατάττειν· καὶ τοὺς μὲν λοιμοὺς τῆς πολιτείας ἐξορίζειν, τοὺς εὐσεβεῖς δὲ καὶ ἐναρέτους τὰς πολιτικὰς ἀρχὰς διοικεῖν καταπιστεύειν.

Περὶ βουλῆς καὶ σκέψεως.

Ὥσπερ τὸ ἑαυτῷ συμφωνεῖν ἔμφρονα καὶ ἐπαινε-

τὸν τὸν ἄνδρα χαρακτηρίζει, οὕτω τὸ τοῖς οἰκείοις διαμάχεσθαι καὶ λόγοις καὶ πράγμασι ψεκτόν τι χρηματίζει καὶ ἀγενές, καὶ οὐκ ἀγαθῆς ὑπολήψεώς ἐστιν ἐγγύς. Ἅπερ οὖν ἢ λέγειν ἢ πράττειν βούλει, μηδέποτε ἀπερισκέπτως προβάλῃ, καὶ οὐδαμοῦ σεαυτῷ διαμαχόμενος φωραθείης· ῥίζα μὲν γὰρ τοῦ τοιούτου πάθους ἡ ἀβουλία· εἰ δὲ μετὰ βουλῆς ἅπαντα πράττεις, τὴν ῥίζαν προεκτεμών, οὐδέποτε σεαυτῷ μαχόμενος εὑρεθείης.

Περὶ εὐνομίας.

Νόμον ἄγραφον τὸν σεαυτοῦ τρόπον τοῖς ὑπηκόοις παρέξεις, καὶ τὴν μνήμην ἄληστον τῆς σῆς βασιλείας διατηρήσεις, ἐὰν καὶ αὐτὸς τοῖς καλῶς κειμένοις νόμοις τῶν πρὸ σοῦ βασιλέων συνακολουθήσεις, καὶ τούτους ἀπαραβάτους πολιτεύεσθαι διατηρήσεις. Ἃ γὰρ τοὺς ὑπὸ χεῖρα φυλάττειν ἀναγκάσεις, ταῦτα πολλῷ μᾶλλον τηρεῖν σεαυτῷ τὴν ἀνάγκην ἐπίθες. Εἰ γὰρ αὐτὸς τῶν πρὸ σοῦ τοῖς νόμοις οὐ πολιτεύσῃ, οὐδὲ τοῖς σοῖς ἕτεροι θεσπίσμασιν ἕψονται· καὶ οὕτως οἱ νόμοι ὑπ' ἀλλήλων ἀνατρεπόμενοι, ταραχῆς καὶ συγχύσεως τὸν βίον ὅλον ἐμπλήσουσι, δι' ὧν πολλάκις ὁλόκληρα ἔθνη πρὸς καταστροφὴν κατωλίσθησαν.

Περὶ σκαιῶν ἀνδρῶν.

Λοιμοὺς ἄνδρας τῆς πολιτείας ἐξόριζε, καὶ μηδέποτε τοῖς τοιούτοις ἀρχὴν καταπιστεύσῃς, ἵνα μὴ καὶ αὐτὸς ὅμοιος ἐκείνοις εἶναι δόξῃς, καὶ χαίρων ἐπὶ ταῖς ἐκείνων ἀδικίαις· ἃ γὰρ ἂν ἐκεῖνοι πράξωσι κακά, σοὶ τούτων τὰς αἰτίας ἀναθήσουσι, καὶ τῆς ἐκείνων φαύλης γνώμης κοινωνόν σε νομίσουσι, καὶ λόγον ὑφέξεις περὶ αὐτῶν τῷ Θεῷ. Ἡ γὰρ τῶν φαύλων ἀνθρώπων προαγωγή, τῶν προαγαγόντων ἐστὶν ἔλεγχος ἀκριβής, καὶ τὰ ἐκείνοις πεπραγμένα πονηρὰ τοῖς προχειριζομένοις αὐτοὺς ἅπαντες ἐπιγράφονται. Σπούδαζε οὖν μάλιστα τοὺς ἀγαθοὺς ἄνδρας προβάλλεσθαι ἄρχοντας, ἵνα αἱ καλαὶ αὐτῶν φῆμαι σὸς γένωνται κόσμος, καὶ ἅπερ ἐκεῖνοι πράττουσιν ἀγαθά, σοὶ ταῦτα τὸ ὑπήκοον ἐπιγράφηται· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

Περὶ ἐλέους.

Ἔρα χρημάτων, μὴ χάριν ἡδονῆς, ἀλλὰ χρείας ἕνεκα τῆς ἀναγκαίας, ἢ ἵνα τοῖς δυστυχοῦσι βοηθῇς, ἢ ἵνα τοῖς ὑπὲρ ἀλλήλων θνήσκειν αἱρουμένοις χορηγῇς. Ἡ γὰρ ἄλλως φιλοχρηματία οὐ μόνον ὠφέλειαν οὐ ποιεῖ, ἀλλὰ καὶ βλάβην μᾶλλον προξενεῖ. Πλοῦτος μὲν γὰρ μὴ δι' ἀρετὴν ἐνυπάρχων, κακίας μᾶλλον, ἀλλ' οὐχ ἀρετῆς ὑπηρέτης ἐστίν. Ὁ δὲ χάριν ἀρετῆς προσὼν τοῖς κεκτημένοις μεγάλα δύναται ὠφελεῖν, καὶ τὰς ψυχὰς αὐτῶν καὶ τὰ σώματα· τὸ μὲν τοῖς δεομένοις δαψιλευόμενος, τὸ δὲ τοῖς ἀγαθοῖς τῶν φίλων ἐπιχορηγούμενος. Εὐποιία γὰρ ἀμφότερα, κἂν διαφόροις ἐπιγράφηται τοῖς ὀνόμασι.

Περὶ ἀγάπης φίλων.

Οὐδὲν ἀγάπης, ὡς ἔοικε, κραταιότερον. Φίλου γὰρ ἀληθοῦς οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν· φύλαττε οὖν τὴν φιλίαν ἐν παντὶ καιρῷ καὶ τόπῳ πρὸς τοὺς γνησίους σου φίλους, ἵνα καὶ αὐτοὶ ἀνύπ-

A cordati : quemadmodum pugnare secum dictis et factis hominis est levis omnique reprehensione digni; ac pravi judicii argumentum est. Quæ ergo aut dicere aut facere meditaberis cave ne inconsulte proferas, ne uspiam minus tibi constare deprehendaris : hujus enim mali radix est inconsulta temeritas : si autem consulto omnia feceris, radicem illam cum præcideris, nunquam a te dissidere comperieris.

De bonarum legum observatione.

Legem non scriptam mores tui subditis repræsentent; ita immortalem regni tui memoriam relinques, si et ipse bonis legibus prædecessorum obsequaris, et in administratione reipublicæ eas nunquam prætergrediaris : et quæ subditos observare B coges, ipse multo magis ea servandi tibi necessitatem impones. Si enim positas a majoribus leges in republica gerenda repudiaveris, nec cæteri edictis tuis obtemperabunt : atque ita fiet ut leges aliæ ab aliis invicem subversæ, confusione ac perturbatione rempublicam totam impleant; qua quidem ex juris eversione sæpenumero totæ nationes ad interitum sunt redactæ.

De perditis hominibus.

A reipublicæ muneribus perditos homines summoveto, neque ullum iis magistratum committas, ne et ipse similis eis esse, atque improbis eorum factis gaudere videaris. Nam quæcunque mala illi perpetraverint, ea tibi crimini dabunt, teque perversæ voluntatis eorum participem esse judica- C bunt : quin etiam de illorum sceleribus rationem Deo es redditurus : perditorum enim hominum promotio certa condemnatio est eorum, qui ipsos provexerunt, et scelerata eorum facinora illis attribuuntur, qui eosdem promoverunt. Vide ergo ut bonos viros ad honores evehas, ut bona de factis eorum fama gloriam tuam augeat, cum subjecti præclara illorum gesta tibi ascripturi sint : est enim a populo consentiente profecta laus magnis opibus longe præstantior.

De misericordia.

Necessitatis, non voluptatis causa divitias amato, nempe ut aut egentium inopiam subleves, aut iis qui pro se invicem mori parati erunt, sumptus D suppedites; alioqui enim pecuniæ cupiditas non solum nihil affert emolumenti, sed detrimentum potius affert. Opes enim, quæ virtutis ergo non coacervantur, vitiorum potius quam virtutis sunt ministræ; quæ autem ad virtutis officia comparantur, possessorum animis et corporibus juvandis magnas afferunt utilitates, cum aut egenis copiose erogantur, aut fortibus et fidelibus amicis impenduntur : utrumque enim beneficentiæ officium est, etiamsi alio atque alio nomine inscribatur.

De amicorum charitate.

Nihil potentius amicitiæ vinculo esse videtur : nihil enim est in rebus humanis quod cum amico fideli permutari possit : omni igitur et tempore et loco cum fidelibus amicis necessitudinem serva,

ut illi sine ulla titubatione aut suspicione mutuum erga te animum gerant : et ne nunquam ingrati animi fueris; pars enim pietatis est bene merentibus gratiam referre : qui vero ingratus est ipse sibi infensus est : gratia enim cum refertur, quodammodo multiplicatur ; cum vero non refertur, etiam quæ parta fuerat, deperit. Dum ergo te gratum exhibueris, multos habueris tui demerendi cupidos ac studiosos : si autem ingratus fueris, nullum omnino amicum habebis, quicum jucunde vivere possis, etiamsi omnes simulatam in te amicitiam ac benevolentiam præ se ferant.

De sermone et silentio.

In detegendis hominum ingeniis solers et consideratus esto : et bona quidem voluntate præditos tibi adjunge, improba vero aversare. Quidquid autem enuntiaturus unquam sis, apud te prius diligenter considera, ne lingua cogitationem antevertente, quod præpostere loquaris tibi exprobretur. In cœtu enim hominum antequam aliquid dicas, in tua potestate est cogitare, si forte post primam sententiam alia tibi melior succurrerit. Iis autem quæ semel dixeris pugnantia subjicere non poteris, si sermones tuos ab omni reprehensione immunes esse volueris. Dicere autem oportebit aut ea quæ perfecte scies, aut quæ temporis ratio postulabit; de reliquis autem omnibus satius erit silere quam loqui.

De eleemosyna.

Largire copiose egentibus misericordiæ stipem, ut ipse ab universorum rege misericordiam consequaris : proprie enim pietas est egenorum sustentatio. Eam ergo diem periisse existimato, qua nemini benefeceris, pro beneficiis quæ ipse a Deo acceperis. Exerce igitur eleemosynam, ut eam vicissim a Deo recipias. Præbe aures tuas supplicum precibus, et hilari vultu eorum pudori consule : miserere lacrymarum viduæ, ac gemitus orphanorum ne repellas : quæ enim fecerimus, eadem et patiemur, et sicut audimus, ita et audiemur, et sicut videmus, ita et videbimur. Qualem ergo tibi se Deum præbere optares, talem et subditis tuis te impertias : qua enim mensura mensus fueris, eadem tibi reponetur.

Momentanea et caduca esse omnia quæ hic sunt.

Scito, fili mi, nihil in hac vita firmum, nihil stabile, nihil perpetuum esse : nam subinde res aliter atque aliter variantur, et rotæ in morem quæ circumvolvitur, ea quæ sursum sunt deorsum feruntur, et quæ deorsum jacent sursum evehuntur : quapropter neque secundis rebus extollere, neque adversis dejicere, sed in utraque fortuna constans esto atque immutabilis, tantum honestis rebus studens, cætera vero Deo committe : nam cum secunda uteris fortuna, adversæ metus te ab superbia revocare debet, et cum adversa jactaberis, melioris spes pariter te ab animi dejectione deducere : hoc enim pusilli est animi ac regia virtute indignum : quia quod futurum est videri ne-

οπτόν σου καὶ βεβαίαν τὴν ἀγάπην διατηρῶσι· καὶ μὴ γίνου τῇ γνώμῃ ἀχάριστος· μέρος γὰρ εὐσεβείας τὸ ἀνταποδιδόναι τοῖς εὐποιοῦσι τὰς χάριτας. Ὁ γὰρ ἀχάριστος ἑαυτῷ ὑπάρχει πολέμιος. Χάρις μὲν γὰρ ἀνταποδιδομένη πλεονάζεται· μὴ ἀνταποδιδομένη δὲ, καὶ τὴν καταβληθεῖσαν προσαπόλλυσιν. Εὐχάριστος τοίνυν γενόμενος, πολλοὺς ἕξεις τοὺς περὶ σὲ σπουδάσοντας, καὶ πολλάς σοι καταβαλοῦντας τὰς χάριτας· ἀχάριστος δὲ ὑπάρχων, οὐδένα κτήσῃ φίλον οὐδαμῶς, μεθ' οὗ συμβιώσεις ἡδέως, κἂν πάντες ἄνθρωποι τὴν πρός σε φιλίαν ὑποκριθῶσι.

Περὶ λόγου καὶ σιωπῆς.

Νουνεχὴς ἔσο, καὶ φρόνιμος ἐν τῷ τὸ ἑκάστου ἦθος ἀναμανθάνειν, καὶ τῶν μὲν σπουδαίων τὰς γνώμας ἀποδέχεσθαι, τῶν δὲ φαύλων ἀποστρέφεσθαι. Ἀλλὰ καὶ ὅπερ ἂν μέλλεις ἐρεῖν, προεπισκόπει τῇ γνώμῃ, ἵνα μὴ καὶ ἡ γλῶσσα προτρέχουσα τοῦ λογισμοῦ, ἀτάκτως λέγειν ὀνειδισθῇ. Σκοπήσας μὲν γὰρ ἐν συλλόγῳ κύριος εἶ πρὸ τοῦ τι εἰπεῖν, ὧν μέλλεις εἰπεῖν, εἴ που καὶ μετὰ τὴν προτέραν γνώμην ἡ δευτέρα κρείττων ἀναφανῇ. Λαλήσας δὲ ἅπαξ, οὐ δυνήσῃ τοῦ λαληθέντος ἐναντία προσεπειπεῖν, εἴγε μώμου χωρὶς τὰς ὁμιλίας ποιεῖσθαι ποθεῖς. Λέγειν δὲ ἀναγκαῖον, ἢ περὶ ὧν ἀκριβῶς γινώσκεις, ἢ περὶ ὧν ὁ καιρὸς ἀπαιτεῖ· ἐν δὲ τοῖς ἄλλοις ἅπασι κρείττων τοῦ λέγειν ἡ σιωπή.

Περὶ ἐλεημοσύνης.

Τὸν ἔλεον ἐπιδαψιλεύου τοῖς δεομένοις, ἵνα ἔλεον ἐπισπάσῃ παρὰ τοῦ τῶν ὅλων βασιλέως· εὐσέβεια γὰρ κυρίως ἡ τῶν δεομένων ἐστὶ μετάδοσις. Καὶ μηδὲν ἡγοῦ τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ μηδένα εὐεργετήσεις, ὑπὲρ ὧν παρὰ Θεοῦ καὶ αὐτὸς εὐηργετήθης. Κτῆσαι οὖν τὴν ἐλεημοσύνην, ἵνα τὸ ὅμοιον παρὰ Θεοῦ ἀντιδέξῃ· κλῖνον τὸ οὖς σου τοῖς ἱκετεύουσι· δυσωπήθητι ὄμματι ἱλαρῷ τοὺς δυσωποῦντας· οἴκτειρον δάκρυα χήρας, καὶ στεναγμοὺς ὀρφανῶν μὴ ἀπώσῃ· ἃ γὰρ ἂν ποιήσωμεν, ταῦτα καὶ πάθωμεν, καὶ ὡς ἀκούομεν ἀκουσθησόμεθα, καὶ ὡς ὁρῶμεν ὁραθησόμεθα. Οἷον οὖν εὔχῃ τὸν Θεὸν γενέσθαι σοι, τοιοῦτος περὶ τοὺς οἰκέτας γενοῦ καὶ αὐτός· ἐν ᾧ γὰρ μέτρῳ μετρήσεις, ἀντιμετρηθήσεταί σοι.

Ὅτι πρόσκαιρα τὰ τῇδε πάντα.

Ἴσθι, τέκνον ἐμὸν, ὡς οὐδὲν ὁ βίος οὗτος ἔχει τὸ στάσιμον, οὐδὲν τὸ βέβαιον ἢ ἀμετάβλητον. Ἄλλοτε γὰρ ἄλλως ἀμείβει τὰ πράγματα, καὶ τροχοῦ δίκην κυλιομένου, τὰ μὲν ἄνω φέρεται κάτω, τὰ δὲ κάτω φέρεται ἄνω. Διὸ μήτε εὐτυχίαις ἐπαίρου, μήτε ἐν ταῖς δυστυχίαις καταφέρου· ἀλλ' ἔσο κατ' ἄμφω σταθηρὸς καὶ ἀμετάπτωτος, μόνῳ τῷ καλῷ σπουδάζων, τὰ δ' ἄλλα προσανατιθεὶς τῷ Θεῷ. Ὅταν γὰρ εὐτυχῇς, τῇ ἐλπίδι τῆς δυστυχίας ἐπαίρεσθαι οὐκ ὀφείλεις· μηδ' ὁπόταν δυστυχῇς, τῇ ἐλπίδι τῆς εὐτυχίας καταφέρεσθαι παρενεχθῇς· μικροψυχίας γὰρ τὸ τοιοῦτο καὶ ἀνάξιον βασιλικῆς ἀρετῆς, διότι τὸ μέλλον ἀόρατον. Μήτε οὖν στυγνάζων ποτὲ, μήτε γελοιάζων αὐθαδῶς φωραθῇς· οὕτω γὰρ φρόνιμός τε δόξεις εἰ-

ναι, καὶ τὰ ἐξ ἑκατέρου πάθη διαφύγοις· καὶ οἱ τὰ σὰ A λογοπραγοῦντες οὐδεμίαν ἕξουσι λαβὴν τοῦ μέμφεσθαι τὰ προσπίπτοντα.

quit. Neque igitur tristis neque etiam procacius ridens palam deprehendaris; ita enim et prudens existimaberis, et affinia utrinque vitia devitabis, neque curiose maledicis ansam ullam præbebis obloquendi de iis, quæ tibi accident.

39 *Περὶ ἐπιμελείας.*

Ταύτην σεαυτῷ τὴν ἀνάγκην ἐπίθες, τὸ πάντα μὲν ἐθέλειν ἐφορᾷν, μηδὲν δὲ καταδέχεσθαι παρορᾷν. Αὐτὸ δέ φημι, ἐπεὶ βασιλεὺς ὑπάρχων, οὐδένα ἔχεις ἐπὶ γῆς ὑπὲρ σὲ, ὃς ἀναγκάσαι σε δύναται. Ἀλλ' εἰ καὶ πάντων βασιλεύεις τῶν ἐπὶ γῆς, ἀλλ' ἔχεις καὶ αὐτὸς τὸν ἐν οὐρανοῖς βασιλέα. Εἴγε οὖν ἐκείνῳ πάντων μέλει ὡς Θεῷ, οὕτω χρὴ καὶ σὲ μηδὲν παρορᾷν, ὡς ὑπὸ Θεῷ βασιλεῖ. Ὥσπερ γὰρ τὰ παρὰ σοῦ ἐπιμελῶς ὁρώμενά τε καὶ διοικούμενα μεγάλης ἀπολαύει τῆς ὠφελείας, οὕτω καὶ τὰ παρορώμενα πρὸς μεγά- B λην κατολισθαίνει ἀπώλειαν. Εἰ γὰρ καὶ ἐπὶ πάντων οὐ μικρὸν τὸ παρὰ μικρὸν, ἀλλ' οὖν ἐπὶ βασιλεῖ τὸ σοφὸν τοῦτο μᾶλλον ἁρμόσειε.

De diligentia.

Obstringe te huic necessitati, ut omnia tibi oculis inspicienda esse ducas, et nihil inexploratum prætermittas: quippe imperator cum sis, in terris quidem neminem superiorem habes, qui te cogere valeat; ac licet omnium in terra sis dominus, regem tamen habes superiorem in cœlo, cui sicut omnia ut Deo curæ sunt, ita tibi quoque ut regi curæ esse debent: nihil ergo tibi negligendum est, utpote qui rex Deo subjectus es. Quemadmodum enim ea quæ a te diligenter inspecta administrantur, haud parum proficiunt, itaque neglectim prætereuntur, in magnam perniciem labuntur; et si omnibus in rebus non parvum est quod parum abest, præcipue tamen regibus sapiens hoc dictum convenit.

40 *Περὶ φυλακῆς.*

Ὡς ἀγαθὴ λίαν σώματι βασιλικῷ φυλακὴ, ἡ παρὰ τῶν ὑπηκόων εὔνοια σὺν Θεῷ, καὶ τὸ πάντας εὐποιεῖσθαι παρ' αὐτοῦ, καὶ μηδέν' ὑφορᾶσθαι τυραννικόν τι παθεῖν. Ἀλλ' ὥσπερ δεῖ τὴν βασιλείαν σου φυλάττειν παρὰ τῶν ἐχθρῶν ἀνεπίβουλον, οὕτω χρὴ τηρεῖν καὶ τοῖς πάθεσιν ἀνεπίβατον· ἀμφότερα γὰρ ὁ λόγος ἐπιβουλὴν ὁρίζεται, καὶ ἐν ἑκατέροις μέγας ὁ κίνδυνος. Ἀλλ' ἡ μὲν τοῦ σώματος ἐπιβουλὴ παρὰ τῶν C ἐχθρῶν, πρόσκαιρον ἔχει τὸν θάνατον· ἡ δὲ κατὰ τῆς ψυχῆς ἐπιβουλὴ παρὰ τῶν παθῶν, τιμωρίαν προξενεῖ, καὶ μετὰ τὸν θάνατον, τὴν ἀθάνατον.

De custodia.

Nulla regii corporis melior est custodia, quam subditorum benevolentia, Deo juvante; cum ita sunt omnes ab eo beneficiis cumulati, ut nemo ab eo tyrannici quidquam sibi metuat. Sed quemadmodum imperium tuum ab inimicorum insidiis sartum tectum servare oportet, ita et a perturbationum incursionibus inoffensum: utrumque enim insidiarum nomine continetur, et ab utroque ingens imminet periculum. Sed corpori quidem paratæ ab hostibus insidiæ temporariæ mortis discrimen afferunt: adversus autem animam a cupiditatibus comparatæ, etiam post mortem, immortalem secum pœnam trahunt.

41 *Περὶ τῆς ἐπουρανίου βασιλείας.*

Πολλοὶ βασιλεῖς τὰ βασίλεια ταῦτα παρῴκησαν· ἀλλ' ὀλίγοι τὴν ἐπουράνιον βασιλείαν κατῴκησαν. Σπούδαζε οὖν, τέκνον ἠγαπημένον, μὴ μόνον ταύτην τὴν βασιλείαν κατορθῶσαι διὰ τῆς τῶν τρόπων καλοκἀγαθίας, ἀλλὰ καὶ τὴν ἐπουράνιον κληρονομῆσαι διὰ τῆς τῶν ἀρετῶν ἀγαθοεργίας. Σήμερον γὰρ εἰσι τὰ βασίλεια σὰ, καὶ αὔριον ἔσονται οὐ σὰ, μετὰ δὲ τὴν αὔριον ἑτέρου· καὶ τὴν μετ' ἐκείνην, τοῦ μετ' ἐκεῖνον, ὥστε οὐκ εἰσὶν οὐδέποτε οὐδενός. Εἰ γὰρ καὶ D πολλοὺς ἀμείβουσι τοὺς δεσπότας, οὐδένα ἄρα τὸν γνήσιον ἔχουσι δεσπότην. Ἐπεὶ οὖν μεταβῆναι χρὴ τῆς ἐντεῦθεν ἐξουσίας, σπεύσωμεν ἀμείψασθαι δι' ἀρετῆς τὴν ἐκεῖθεν βασιλείαν, ἥτις μόνη τὸ ἀθάνατον κέκτηται καὶ ἀδιάδοχον· τὰ δὲ ἄλλα πάντα ῥεῖ καὶ παρέρχεται.

De cœlesti regno.

Regiam istam permulti reges incoluerunt; sed pauci cœleste regnum adepti sunt. Tu vero charissime fili, enitere non solum terrenum istud regnum per morum probitatem recte administrare: sed cœlestis etiam hæreditatem per virtutis exercitationem adipisci. Hodie enim tua sunt ista palatia, crastina die tua fortasse non erunt, ac perendie alterius fient, ac post perendinum diem alius adhuc post alium, ita ut nullius unquam sint propria. Nam etsi multos vicissim permutant dominos, tamen proprie nullum verum ac germanum habent. Quoniam ergo dominatione ista cedendum est, studeamus eam per virtutem cum cœlesti regno commutare, quod solum nec morti, nec vicissitudini obnoxium est, cum cætera omnia defluant ac prætereant.

42 *Περὶ μνήμης Θεοῦ.*

Ἐὰν νόμον σεαυτοῦ τὴν συνείδησιν ἔχῃς, καὶ ἅπερ αὐτὸς παθεῖν οὐκ ἐθέλεις, οὐδὲ ἑτέρους παθεῖν ἐπιτρέψῃς, οὐδέποτε μέμψιν ἁμαρτίας ὑποστήσῃ· εἰ δὲ καὶ τὸν Θεὸν ἐν πάσῃ σου πράξει ἐπόπτην καὶ ἐξεταστὴν, ὥσπερ ἐστὶν, ἀναλογίσῃ, οὔτε φανερῶς ποτε, οὔτε κρυπτῶς ἁμαρτήσεις. Κἂν γὰρ ἑτέρους λανθά-

De memoria Dei.

Conscientiam tuam si pro lege habueris, et quæ pati ipse nolis, nunquam alios pati permiseris, nullius unquam peccati labe fœdaberis; et si Deum omnium quæ facis inspectorem cognitoremque, sicut est, esse tibi persuaseris, nunquam neque palam neque clam peccabis. Nam etsi alios latere

videberis quæ secreto facies; at conscientiam certe tuam, et Deum ipsum qui usque in abditos animi recessus intuetur, revereberis. Homines enim quæ corporis sunt vident; at quæ in penetralibus animi latent, solus Dei oculus, quem nihil latet, conspicatur. Sicut enim cum sol lucet sub dio nihil occultum esse potest, ita Deo inspiciente omnia nihil illum latere potest.

νειν δόξης, ἅπερ ἐν κρυφῇ πράξεις, ἀλλ' οὖν γε τὴν σεαυτοῦ συνείδησιν καὶ Θεὸν, τὸν καὶ αὐτῶν τῶν τῆς ψυχῆς ταμείων ἔφορον, ἐπαισχυνθήσῃ. Τὰ μὲν γὰρ τοῦ σώματος ἐφορῶσιν ἄνθρωποι, τὰ δὲ ἐν τῷ βάθει τῆς ψυχῆς ὁ μόνος ἀλάθητος ὀφθαλμὸς τοῦ Θεοῦ ὁρᾷ. Ὥσπερ ἡλίου λάμποντος ἐν αἰθρίᾳ κεκρυμμένον οὐδὲν, οὕτω τοῦ Θεοῦ ἐποπτεύοντος τὰς πράξεις, λαθεῖν δυνατὸν οὐδέν.

De corruptione munerum.

Venales muneribus dignitates cave ne habeas, sed potius gratis eas largire. Qui enim magistratum pretio emit, multo magis eidem subjectos emit, ut muneribus quæ dedit fretus ipse audacius munera capiat. Proba igitur atque explora diligenter, atque ita demum ad honores provehe eos, qui donum hoc sine muneribus ambibunt, si vis omnem a republica concussionis labem exsulare. Nam qui dat ut magistratum capiat, quæstum sibi a magistratu captat; dat enim ut jus capiendi habeat, et violatione jurium jurium violationem negotietur. Qui enim sine pretio magistratum obtinuerit, is nunquam concussionis vitio laborabit: at qui pretio magistratum mercatus fuerit, is nunquam ad faciendum aliquid sine mercede assuescere poterit: te autem concussionis et sordium habebit magistrum, quem vindicem habere debuerat: neque ipse solum captabit munera, sed etiam alios sibi subjectos ad idem faciendum compellet.

Περὶ δωροληψίας.

Προῖκα χαρίζου τὰ ἀξιώματα, καὶ μὴ δώροις ἀπεμπόλει τὰς ἀξίας. Ὁ γὰρ τιμῆς τὴν ἀρχὴν ὠνούμενος, πολλῷ πλέον τοὺς ἀρχομένους ὠνήσατο, ἵνα τῇ δωροδοκίᾳ θαῤῥῶν, πρὸς δωροκοπίαν ἀδεῶς ὁρᾷ. Ἀναζήτει οὖν ἐπιμελῶς, καὶ ἐρώτα, κἀκείνους ἐπὶ τὰς ἀρχὰς ἀναβίβαζε, εἴ γε βούλει τὴν δωροληψίαν ἐξορίσαι τῆς πολιτείας, ὅσοι δωρεὰν ἀλλ' οὐ δώροις ταῦτα ἐπιζητοῦσιν. Ὁ γὰρ διδούς τι διὰ τὴν ἀρχὴν, κέρδος τι ζητεῖ λαβεῖν παρὰ τῆς ἀρχῆς, δόσει τὴν λῆψιν ὠνούμενος, καὶ παρανομίᾳ τὴν παρανομίαν πραγματευόμενος. Ὃς γὰρ ἂν ἄμισθον τὴν ἀρχὴν λάβοι, δωροληψίας οὐ περιπεσεῖται ἐγκλήματι. Ὁ δὲ μετὰ μισθοῦ λαβὼν τὴν ἀρχὴν, οὗτος οὐδὲν χωρὶς δώρων πρᾶξαί ποτε μεταμάθοι· καὶ σὲ τῆς δωροληψίας διδάσκαλον ἔχων, τὸν ταύτην κρίνειν ὀφείλοντα, οὐ μόνον αὐτὸς δωροληπτήσει, ἀλλὰ καὶ ἑτέρους τοὺς ὑπ' αὐτὸν τὰ αὐτὰ πράττειν συναναγκάσει.

De injustitia.

Haudquaquam tam graviter peccat qui facit injuriam, quam qui sciens fieri sinit. Cum ergo aliquis passus injuriam ad te accesserit, ne querimoniam et afflictionem illius contemnas, ne occasionem præbeas iis qui facere injuriam parati erunt. Qui enim læsus injuria est, in te uno spem suam ponit, teque ipsum injuriæ suæ vindicem futurum opponens, persequitur eum a quo est injuria violatus. Omnino ergo oportet supplicem, qui apud te conqueritur; jus suum obtinere, cum æquum sit injuriam propulsari. Si vero ipse in injuria connivebis, atque eum qui læsus erit, despicies, eum autem qui læserit, cum solus ulcisci valeas, nullam justitiæ rationem habeas, quid reliquum spei erit misero illi quo fugiat? a quo amplius vindictam exspectabit, nisi a Deo, qui a te rationem injuriæ neglectæ reposcet? Jus igitur reddito ei, qui injuriam passus est, atque illius auctorem vindicato, ne connivenlia tua videaris cum facientibus injuriam conspirare, atque alieni sceleris te ipsum reum agere.

Περὶ ἀδικίας.

Οὐχ οὕτως ἁμαρτάνει ὁ ἀδικῶν, ὡς ὁ τὴν ἀδικίαν παραχωρῶν. Ὅταν οὖν σοι προσέλθῃ ἀδικηθεὶς, μὴ ὑπερίδῃς αὐτοῦ τὴν συντριβὴν, ἵνα μὴ χώραν δῷς τοῖς βουλομένοις ἀδικεῖν. Ὁ γὰρ ἠδικημένος ἐπὶ σοὶ μόνῳ τὰς ἐλπίδας σαλεύει, καὶ σὲ τῆς ἀδικίας ἐκδικητὴν προβαλλόμενος, τὸν ἠδικηκότα ἀμύνεται. Πάντως δὲ χρεὼν παρὰ σοῦ τὸν προσελθόντα δικαιωθῆναι, ἐπεὶ δίκαιον τὴν ἀδικίαν ἀνασταλῆναι. Εἰ δὲ αὐτὸς τὴν ἀδικίαν παραχωρήσας τῷ ἀδικοῦντι, τὸν ἠδικημένον ὑπερίδῃς, καὶ δυνάμενος μόνος τὸν ἠδικηκότα ἀμύνεσθαι, τῆς δίκης μηδένα ποιήσῃς λόγον, ποῦ ὁ δείλαιος ἐκεῖνος ἔτι καταφυγεῖν ἐλπίσει; παρὰ τίνος ἀπολήψεται τὴν ἐκδίκησιν, εἰ μὴ παρὰ Θεοῦ, ὃς καὶ σὲ τῆς ἀμελείας ἀπαιτήσει τὰς δίκας; Δικαίωσον οὖν τὸν ἠδικημένον, καὶ ἀμύνου τὸν ἠδικηκότα, ἵνα μὴ δι' ὧν παρορᾷς, δόξῃς καὶ αὐτὸς τοῖς ἀδικοῦσι συναδικεῖν, καὶ ἀλλοτρίων ἁμαρτημάτων σεαυτὸν ὑπεύθυνον καταστήσεις.

De mortalitate et immortalitate.

Mortalis quidem es corpore, anima vero immortalis: in iis ergo quæ carnis sunt propria mortale sapias; quæ vero animi, immortale. Amplectere mundum istum corruptibilem corpore mortali; animo vero beatitudinem æternam quasi immortalis. Etsi enim in regni solium evectus es, post aliquantum temporis tamen ab eo descendes: et si totum terrarum orbem armis subigere contenderis, post mortem tamen nihil amplius quam

Περὶ θνητότητος καὶ ἀθανασίας.

Θνητὸς ὑπάρχεις τῷ σώματι, ἀθάνατος δὲ τῇ ψυχῇ διαμένεις· φρόνει οὖν θνητὰ τῇ σαρκὶ, τῇ δὲ ψυχῇ ἀθάνατα. Περίβαλε κόσμον τῷ σώματι, ὡς θνητὸν τῷ θνητῷ· περιβαλοῦ καὶ ὄλβον ἀθάνατον τῇ ψυχῇ, ὡς ἀθανάτῳ. Κἂν γὰρ ἐπὶ θρόνον ὑψωθῇς, ἀλλ' οὖν μετὰ χρόνον καταβήσῃ· καὶ εἰ τῆς γῆς ἁπάσης καταχρατῆσαι φιλονεικήσῃς, ἀλλ' οὐ πλέον τριπήχεως γῆς μετὰ θάνατον κληρονομήσεις. Ἐπιμελοῦ οὖν τῆς θνητῆς βασιλείας ὡς θνητός· περιποιοῦ δὲ καὶ κτῶ τὴν

ἀθάνατον βασιλείαν διὰ τῆς τῶν ἀρετῶν κτήσεως, ὡς A ἀθάνατος· διὰ τοῦτο γὰρ τῆς θνητῆς ἠξιώθης ἐξουσίας, ἵνα δι' αὐτῆς ἐμπορεύσῃ τὴν ἀθάνατον βασιλείαν.

tres humi cubitos occupabis. Proinde terrenum hoc regnum ut mortalis, administra; enitere tamen ut immortale regnum per virtutem adipiscaris, ac teneas, quasi immortalis; propterea enim terrena potentia donatus es, ut per eam cœlestem atque æternam dominationem acquiras.

46 *Περὶ ἀρχόντων.*

Ἣν ἔχεις γνώμην περὶ σεαυτοῦ, ταύτην ἔχειν θέλε καὶ περὶ τῶν ὑπὸ σὲ, καὶ περὶ παντὸς ποιοῦ, ἀγαπητῶς αὐτοὺς ἔχειν περὶ τὴν σὴν ἀρχήν. Ἐκεῖνοι γὰρ μάλιστα ἡδέως βασιλεύουσιν, οἵτινες τὸ ὑπήκοον ἄριστα θεραπεύουσι, καὶ τοὺς μὲν ἀξίους τιμῶντες ἀγαθοποιήσουσιν, τοὺς δ' ἀναξίους οὐκ ἀδικήσουσι. Μάλιστα δ' ἂν εὐδοκιμήσεις, εἰ τὴν ἑκάστῳ χώραν ἀποδώσῃς· καὶ τοῖς μὲν ἀξίοις ἄρχειν τὰς ἀρχὰς καταστήσεις, B τοῖς δὲ ἀρχομένοις πάλιν μήθ' ὑβρίζειν τοὺς ἄρχοντας, μήθ' ὑβρίζεσθαι παρασκευάσεις. Γίνωσκε οὖν ἀναμανθάνων ἕκαστον, καὶ οὕτω προσηκόντως τά τε περὶ τῶν ἀρχόντων, καὶ τῶν ἀρχομένων, πραγματεύου, ἵνα μὴ ἄρχωσιν ἔλαφοι λεόντων, ἀλλὰ λέοντες ἐλάφων.

De magistratibus.

Fac eamdem habeas de subjectis tuis, quam de te ipso habes sententiam, et da operam quoad ejus fieri poterit, ut tuam illi ament dominationem. Illi enim soli jucunde regnant, qui subjectos suos diligentissime curant, ita ut eos qui digni sunt, honoribus et beneficiis cumulent, indignos vero minime lædant. Ita autem potissimum bene audies, si suum cuique locum et gradum servaveris; et iis quidem qui cæteris præesse digni erunt, præfecturas commiseris : eos autem qui parere debent, ita temperaveris, ut neque præfectos suos offendere, neque ipsi vicissim ab iis violari possint. Da igitur operam, ut unumquemque exploratum et perspectum habeas, atque ita ut par est, de iis qui præesse, et qui obedire debebunt sapienter statuas, ne cervi imperent leonibus, sed potius leones cervis.

47 *Περὶ εἰρήνης.*

Μακάριον σεαυτὸν καὶ κόπου χωρὶς ἀποδείξεις, εἰ τὰ μαχόμενα σπεύδεις εἰρηνοποιεῖν, καὶ πᾶσαν ἔχθραν καὶ πᾶσαν ἔριν τῆς πολιτείας ἐξορίζεις, καὶ πᾶσαν γαλήνην, καὶ πᾶσαν ἀγάπην τὸ ὑπήκοον ἀσπάζεσθαι διδάξεις, καὶ τοὺς μὲν τὰς ἔχθρας γεννῶντας, ἀποβλήτους εἶναι, τοὺς δὲ τὴν εἰρήνην φιλοῦντας, οἰκειοῦσθαι. Υἱὸς γὰρ ἐμοῦ τοῦ γηΐνου βασιλέως C ὑπάρχων κατὰ σάρκα, καὶ τοῖς παρ' ἐμοῦ σοι λεγομένοις πειθόμενος λόγοις, υἱὸς κληθήσῃ καὶ τοῦ ἐπουρανίου Βασιλέως, τὴν θείαν σεαυτῷ συγγένειαν ἐπιγραφόμενος κατὰ πνεῦμα, τοῦ πράου καὶ εἰρηνικοῦ Χριστοῦ μαθητὴς ὑπάρχων· *Μακάριοι*, γὰρ, φησὶν, *οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.*

De pace.

Beatum te porro ac sine magno labore reddideris, si lites omnes componere, omnesque inimicitias ac simultates e republica eliminare studueris, et subjectos paci studere, ac mutua se charitate complecti docueris : si nimirum eos qui lites serunt exsulare jusseris, pacis autem amantes tibi adjunxeris. Filius enim meus, hoc est terreni regis, natura cum sis, monitis meis ac præceptis si parueris, cœlestis quoque Regis filius vocaberis, divinam tibi consanguinitatem per gratiam adipiscens, ac te pro pacifici ac mitissimi Christi discipulo gerens : *Beati*, enim, inquit, *pacifici, quoniam filii Dei vocabuntur*[1].

48 *Περὶ ἐπαίνου.*

Ἐπαίνει τῶν συνόντων, μὴ τοὺς ἅπαντα τὰ πραττόμενά σοι ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἐσφαλμένοις μᾶλλον ἐπιτιμῶντας· τούτους γὰρ ἐγὼ εὐνουστέρους καὶ σωφρονεστέρους οἶδα τῶν ἄλλων. Καὶ γὰρ τοῦ ψεύδους ἡ ἀλήθεια προτιμητέα. Ἀλλὰ καὶ τοῖς εὖ φρονοῦσι παῤῥησίαν χαρίζου, ἵνα περὶ ὧν ἀγνοεῖς, D ἔχῃς μεθ' ὧν ἄριστα συμβουλεύσῃ. Καὶ οὕτω διατεθεὶς, σκοπήσεις, ὡς οὐ χρὴ τοῖς διὰ τέχνης κολακεύουσιν, ἀλλὰ τοῖς μετ' εὐνοίας θεραπεύουσι προσέχειν ἀεί· τῆς γὰρ ἑτέρου ὠφελείας καὶ βλάβης εὖ μάλιστα πειραθεὶς, τὸ μὲν ἀποφεύξῃ, τοῦ δὲ ἐπιτεύξῃ.

De laude.

Lauda ex familiaribus non eos qui facta tua omnia probabunt, sed potius eos qui peccata interdum tua reprehendent; eos enim ego et amantiores et sapientiores esse judico : semper enim veritas mendacio præferenda est. At bene animatis erga te loquendi libertatem concedes, ut habeas quibuscum de rebus quas ignoras, optimum consilium capere possis : et ad hunc modum si te comparaveris, cognosces, non iis qui artificiose adulantur, sed illis qui sincera benevolentia tibi deserviunt, adhærendum esse : horum enim utilitate, et illorum pernicie explorata, ab istis quidem cavebis, illos vero tibi adjunges.

49 *Περὶ προσοχῆς.*

Νεότητα κόσμησον, μὴ τοῖς γυμνικοῖς ἀγῶσιν, ἀλλὰ τοῖς ἐναρέτοις, μηδὲ περιΐδῃς σου τὴν φύσιν ἅμα πᾶσαν διαλυθῆναι· κἂν γὰρ σώματος ὑπάρχεις θνητοῦ, ἀλλὰ καὶ ψυχῆς ἔλαχες ἀθανάτου. Πειρῶ οὖν

De sui cura.

Juventutem tuam exorna non corporis exercitatione, sed virtutis; neque naturam tuam sinas simul totam interire, etsi enim mortale corpus sortitus es, at animum mortalitatis expertem habes. Con-

[1] Matth. v, 9.

nitere ut per boni nominis memoriam immortalitatem consequaris. Gloriosam autem tui nominis memoriam relinques, si eos, qui talem reliquerint, imitaberis; ut mediteris quidem et honesta dicere, et similia facere consuescas, et quæ te sentire dictis indicaveris, eadem opere implere curaveris.

De commiseratione.

Ut corporis omnis umbra semper est comes, ita semper hominem peccatum consequitur: natura enim humana valde ad labendum est proclivis, et ad cadendum prona. Esto igitur errantibus lenis, et justitiæ admisce humanitatem. Si enim ipse ab errantibus exigis rationem, tuorum ipse peccatorum censorem habes Deum: proinde quotidie tibi ipse denuntia; ut aliis peccata remiseris, ita a Deo remissum iri tibi spera. Cum ergo præjudicium tibi ipse facias, remitte debentibus debita, ut et tibi remittantur tua: quæ enim conservis tuis feceris, eadem a communi Domino recipies, et quo judicio alios judicaveris, eodem et ipse judicaberis.

De æquitate.

Præbe faciles aures precanti, eique placide responde. Etsi propter terreni regni celsitudinem aditu facilis non es, at propter regni cœlestis spem accessus ad te pateat omnibus. Consolare mœrentes si non muneribus, at saltem verbis: nam vel unum verbum quam multa munera pluris esse novi, et dictum unicum ad consolandum efficacius esse quam res alias sexcentas. Non enim tantum valet pecuniæ copia ad levandum animi dolorem, quantum blanda et lenis oratio principis: hac igitur ratione subditorum tibi populorum benevolentiam sine ullo sumptu tibi conciliabis, qui ex eo te patrem potius quam dominum prædicabunt.

De referenda gratia.

Quot a Deo accepisti beneficia, tot scito debere te gratias ei referre, qui debita non tanquam debita excipiat, sed quasi pro gratia duplo plures gratias reddat. Igitur largitori bonorum bonam gratiam redde, et quam ab eo accepisti dominationem, eam beneficiis in tuos conferendis impende. Sed eos tamen ad benefaciendum ditiores te esse putato, qui te sunt minores quod ad imperii potentiam attinet. Non enim eam accepisti ut retineres, sed suscepisti ut administrares, et ab eo, qui eam tibi tradidit, probæ administrationis mercedem ac pro terreno regnum cœleste reciperes.

De pulchritudine corporis.

Corporis forma hominem reddit idoneum, qui in aula regi terreno assistat; sed animi pulchritudo illum cœlesti regi charum gratumque reddit: et illa quidem ut momentaneis honoribus perfruamur facit: hæc vero æternam nobis Dei ac Domini amicitiam familiaritatemque conciliat. Tu vero nullum habes te superiorem cui corporis pul-

A διὰ τῆς ἀγαθῆς μνήμης κτήσασθαι τὸ ἀθάνατον· μνήμην δὲ καταλίπῃς ἀγαθὴν, ἐὰν καὶ αὐτὸς τοὺς ἀγαθὴν καταλιπόντας μνήμην ζηλοῖς· ἵνα καλὰ μὲν ἐκμελετήσῃς λέγειν, τὰ ὅμοια δὲ συνεθισθῇς πράττειν, καὶ ἃ φρονεῖν ἐπιτηδεύσεις διὰ τῶν λόγων, ταῦτα ποιεῖν ἐπιμελήσει διὰ τῶν ἔργων.

Περὶ συμπαθείας.

Ὥσπερ οὐκ ἔνι σῶμα ᾧ οὐ παρέπεται σκιὰ, οὕτως οὐδὲ ἄνθρωπος ᾧ οὐ παρέπεται ἁμαρτία. Ἡ γὰρ φύσις ἡμῶν εὐόλισθόν τι χρῆμα καὶ πρὸς τὸ πταίειν εὐκατάφορον. Ἔσο οὖν τοῖς ἁμαρτάνουσιν εὐμενὴς, καὶ τῷ δικαίῳ κίρνα τὸ φιλάνθρωπον. Κἂν γὰρ ἑτέρους πταίοντας λογοθετεῖς, ἀλλὰ καὶ αὐτὸς τῶν σεαυτοῦ σφαλμάτων λογοθέτην ἔχεις τὸν Θεόν. Καὶ καθ'
B ἑκάστην ἑαυτῷ παρεγγύα τὴν ἡμέραν, ὡς ἀφήσεις καὶ αὐτὸς ἀφεθῆναί σοι παρ' ἑαυτοῦ ἔλπιζε. Ἐπεὶ οὖν σεαυτῷ τὴν κρίσιν ἐπιψηφίζῃ, ἄφες τοῖς ὀφειλέταις τὰ ὀφειλήματα, καὶ ἀφεθήσεταί σοι τὰ ἁμαρτήματα. Ἃ γὰρ ἂν τοῖς συνδούλοις ποιήσεις, ταῦτα παρὰ τοῦ κοινοῦ Δεσπότου ἀνταποδέξῃ, ὅτι ἐν ᾧ κρίματι κρίνεις, ἐν τούτῳ καὶ κριθήσῃ.

Περὶ ἐπιεικείας.

Ὑπόκλινον τὸ οὖς σου τῷ δεομένῳ, καὶ ἀποκρίθητι αὐτῷ τὰ εἰρηνικά. Κἂν γὰρ ἀπρόσιτος ὑπάρχῃς διὰ τὴν κάτω δυναστείαν, ἀλλ' εὐπρόσιτος γενοῦ διὰ τὴν ἄνω ἐξουσίαν. Παραμύθησαι τοὺς ὀδυνωμένους, εἰ καὶ μὴ δώροις, ἀλλ' οὖν τοῖς λόγοις· πολλῶν γὰρ δωρεῶν οἶδα καὶ λόγον ἕνα ὑπεράξιον, καὶ μυ-
C ρίων ἄλλων πραγμάτων ῥῆμα ἓν εἰς παραψυχὴν ἰσχυρώτερον. Οὐ τοσοῦτον γὰρ χρημάτων δύναται περιουσία, ὡς βασιλέως ῥῆμα ἐπιεικὲς, παραμυθήσασθαι ψυχὴν ἀλγοῦσαν. Οὕτως ἀγαπητὸς γενήσῃ τοῖς ὑπὸ χεῖρα μάλιστα, καὶ δαπάνης χωρὶς τὴν ἁπάντων εὔνοιαν κερδήσεις, καὶ πατέρα σε μᾶλλον ἢ δεσπότην ἀνακηρύξουσι.

Περὶ ἀντιχάριτος.

Ἴσθι ὡς ἐφ' ὅσον ἠξιώθης παρὰ Θεοῦ τῶν ἀγαθῶν, ἐπὶ τοσοῦτον ὀφείλεις αὐτῷ ἀντιδιδόναι τὰς χάριτας, τῷ μὴ ὡς χρέος δεχομένῳ τὰς ὀφειλὰς, ἀλλ' ἀντιδιδόντι, ὥσπερ ἀντὶ χαρίτων διπλασίονας χάριτας. Ἄμειψαι οὖν τῷ εὐεργέτῃ τῶν ἀγαθῶν χάριν ἀγαθὴν, καὶ ἣν ἔλαβες παρ' αὐτοῦ ἐξουσίαν χρῆσαι ταύτῃ
D ταῖς εἰς τοὺς πλησίον εὐεργεσίαις. Πλουσιωτέρους δέ σου μᾶλλον νόμιζε κατὰ τὴν εὐποιΐαν, ὅσοι μικρότεροί σου τυγχάνουσι διὰ τὴν ἐξουσίαν. Οὐ γὰρ ἔλαβες, ἵνα κατέχῃς, ἀλλ' ἐδέξω, ἵνα οἰκονομήσῃς, καὶ τῆς καλῆς διοικήσεως παρὰ τοῦ δεδωκότος τοὺς μισθοὺς ἀπολήψῃ, καὶ ἀντὶ τῆς ἐπικήρου βασιλείας, τὴν ἀθάνατον.

Περὶ κάλλους σώματος.

Ὡραιότης σώματος ἄξιον τὸν κεκτημένον ἐποίησε παρίστασθαι τῷ ἐπιγείῳ βασιλεῖ· ὡραιότης δὲ ψυχῆς ἀγαπητὸν ἐργάζεται τὸν ἄνθρωπον τῷ ἐπουρανίῳ Βασιλεῖ. Ἀλλ' ἡ μὲν πρόσκαιρον ἔχει τὴν τῶν ἀξιωμάτων ἀπόλαυσιν· ἡ δὲ αἰωνίαν εὑρίσκει τὴν πρὸς τὸν Θεὸν καὶ Δεσπότην οἰκείωσιν. Ἀλλ' αὐτὸς μὲν οὐκ ἔχεις ἕτερον ὑπὲρ σὲ, ᾧ τῷ τοῦ σώματος κάλλει

ἀρέσεις, ἀλλ' ἔχεις Θεὸν, ὃς οὐ κάλλος σώματος ἐκζητεῖ, ἀλλὰ ψυχῆς εὐγένειαν. Τούτῳ οὖν ἀρέσκειν σπεῦδε διὰ παντὸς, τὴν αὐτοῦ εἰκόνα σεαυτῷ καθαρὰν καὶ ἀμόλυντον φυλάττων, διὰ τῆς σωφροσύνης καὶ ἀγαθότητος.

54 Περὶ ἰατρείας.

Κενὸς ἐκεῖνός ἐστιν ὁ τοῦ ἰατροῦ πόνος, ἐὰν τὸ παρ' αὐτοῦ φάρμακον τὸ σῶμα μὴ ἰατρεύσῃ· καὶ μάταιος ἐκεῖνος ὁ τοῦ φιλοσόφου λόγος, ἂν μὴ δύνηται τὰ πάθη τῆς ψυχῆς θεραπεῦσαι. Ὥσπερ γὰρ ἰατροὺς περὶ σωμάτων φιλοσοφεῖν, οὕτω καὶ φιλοσόφους ψυχὰς ἰατρεύειν ἀναγκαῖόν ἐστιν. Ἐκείνους γοῦν ἡγοῦ ἰατροὺς ἀληθεῖς, ὅσοι ἀπὸ σωμάτων τὰς νόσους τῇ τέχνῃ διώκουσι· κἀκείνους ὁρίζου φιλοσόφους ἀψευδεῖς, ὅσοι ἀπὸ τῶν ψυχῶν τὰ πάθη τοῖς λόγοις ἐξορίζουσιν· εἴ γε πειθηνίους ἔχουσιν τοὺς ἀσθενοῦντας δι' ὅλου.

55 Περὶ συκοφαντῶν.

Ἀκοὴν ματαίαν μὴ παραδέχου, μηδὲ τοὺς συκοφαντοῦντας ἐναγκαλίζου, μηδὲ φαύλοις ἀνθρώποις εἰκῇ πίστευε. Οἱ μὲν γὰρ πολλάκις τοὺς ἀγαθοὺς ἄνδρας διὰ κακίας ὑπόληψιν ἀπώλεσαν, οἱ δὲ τοὺς οἰκείους τῆς κακίας θυμοὺς ἐμοῦντες, ἀθώου αἵματος ὑπεύθυνόν σε καταστήσουσιν, οἱ δὲ ὑποπτόν σε ποιήσουσιν, ὡς χαίροντα τοῖς κακοῖς. Μεθ' ὧν γὰρ ἀναστρέφειν ποθεῖς, καὶ οἷς πιστεύειν φιλονεικεῖς, καὶ σὺ τοὺς αὐτῶν τρόπους εὐλόγως κεκτῆσθαι δόξεις.

56 Περὶ μελέτης γραφῶν.

Ἱστορίας ἀρχαίας ἐξέρχεσθαι μὴ κατόκνει· ἐν αὐταῖς γὰρ εὑρήσεις ἀκόπως ἅπερ ἕτεροι συνῆξαν ἐγκόπως. Καὶ μάθοις ἐκεῖθεν τάς τε τῶν σπουδαίων ἀρετὰς, καὶ τὰς τῶν φαύλων κακίας, τάς τε τοῦ βίου πολυτρόπους μεταβολὰς, καὶ τῶν ἐν αὐτῷ πραγμάτων τὰς ἐναλλαγὰς, καὶ τοῦ κόσμου τὸ ἄστατον, καὶ τὸ τῆς ἀρχῆς εὐμετάπτωτον, καὶ ἁπλῶς εἰπεῖν, τῶν μὲν φαύλων τὰς ἀμοιβὰς, τῶν δὲ σπουδαίων πράξεων τὰς ἀντιδόσεις, ὧν τὰς μὲν φύγῃς, ἵνα τῆς ἐκεῖθεν δίκης πεῖραν μὴ λάβῃς, τὰς δὲ κατορθώσεις, ἵνα τῶν ἐντεῦθεν ἐπάθλων καταξιωθῇς.

57 Περὶ εὐεργεσίας.

Σοφόν τί σε νουθετήσω, καὶ ἀηθὲς ἴσως τοῖς συμβουλεύουσι, πλὴν καὶ πατρὸς καὶ στοργῆς οὐκ ἀνάξιον. Μᾶλλον ἀποδέχου, τέκνον, τοὺς παρὰ σοῦ δωρεὰς ἐξαιτοῦντας, ἢ τοὺς δῶρά σοι φιλοτιμότερον προσκομίζοντας. Τοὺς μὲν γὰρ χρεώστας καταστήσεις εὐχομένους σοι τὰ ἀγαθὰ παρὰ τοῦ Θεοῦ· κἀντεῦθεν καὶ αὐτὸν τὸν Θεὸν ὀφειλέτην ποιήσεις, τὰς ἀμοιβάς σοι χρεωστικῶς ἀπονέμοντα· τῶν δὲ χρεώστης ὑπάρξεις, καὶ ὡς εὐεργέτας αἰδοῦς ἀνελευθέρου καταξιώσεις. Θέλοις οὖν εὐεργετεῖν μὲν ἅπαντας ἀνθρώπους, εὐεργετεῖσθαι δὲ παρ' οὐδενὸς τῶν ἀνθρώπων, ἀλλ' ἢ παρὰ μόνου Θεοῦ· τοῦτο γὰρ ὄντως ἁρμόδιον ἐλευθέρῳ καὶ ἀληθεῖ τυγχάνει βασιλεῖ. Καὶ τοῖς μὲν αἰτοῦσι δίδου, καὶ στέργε τούτους· τοὺς δὲ διδόντας ἧττον ἀποδέχου. Τούτοις μὲν γὰρ ὅλος ὁ σκοπὸς τὴν χάριν ἀντιλαβεῖν· ἐκείνοις δὲ ἅπασα σπουδὴ τὴν

A pulchritudine placeas, sed Deum habes Dominum, qui corporis formam non requirit, sed animi nobilitatem. Huic igitur in omnibus placere studeas, illius imaginem puram incorruptamque per temperantiam ac morum puritatem in te ipso conservans.

De medicina.

Medici labor inanis est, si quæ ab eo exhibetur medicina corpus non curat: ita vana est philosophi oratio, quæ non potest animi perturbationibus mederi. Sicut enim medicis proprium est de corporibus philosophari, ita et philosophos necesse est animi morbis medicinam facere. Eos igitur veros medicos existima, qui arte sua morbos e corporibus expellunt, et philosophos non fictos quicumque

B persuasione sua cupiditates ex hominum animis evellunt, si modo obsequentes sibi omnino habeant infirmos.

De calumniatoribus.

Noli aures futilibus præbere sermonibus, aut calumniatores fovere, aut improbis hominibus temere credere. Illi enim sæpenumero viros bonos propter improbitatis suspicionem afflixerunt, hi vero propriæ improbitatis iras evomentes innocentis sanguinis reum te constituent, aut suspectum reddent quasi improborum consuetudine gaudeas. Quibuscum enim amas consuescere, et quibus fidem habere soles, non immerito eorum mores induisse judicaberis.

C *De studio legendi historias.*

Historias veterum evolvere ne te pigeat: ibi enim sine labore reperies quæ alii magno cum labore congesserunt. Atque inde bonorum virtutes, et improborum vitia cognosces, et varias humanæ vitæ mutationes, et rerum quæ in ipsa fiunt vicissitudines, cum rerum humanarum instabilitatem, tum imperii ad cadendum proclivitatem, atque ut uno verbo dicam, maleficiorum quidem pœnas, virtutum vero præmia leges; quorum illa quidem devitabis, ne ultionis, quæ illa persequitur, severitatem patiaris; istas vero amplecteris ut debita illis præmia consequi merearis.

De beneficentia.

Regulam tibi sapientem, licet ab usu consulentium

D fortassis alienam, fili, suggeram paterno tamen amore non indignam. Eos approba, fili, potius, qui a te munera postulabunt, quam qui ambitiose sua tibi dona obtrudent. Illos enim obæratos tibi constitues, qui tibi a Deo bona precabuntur, et ipsum etiam Deum debitorem facies, qui benefactorum remunerationem persolvet, quasi obligatus: istis autem debitor ipse obligaberis, et quasi benefactores reverentia quadam illiberali prosequeris. Velis ergo potius omnes homines obligare tibi beneficiis, ipse autem nemini obligari nisi uni et soli Deo. Hoc enim profecto magis congruum est generoso et magnifico imperatori. Largire igitur petentibus, atque istos complectere: eos autem qui tibi offerent magis reproba. Iis

enim hoc propositum est, ut a te munera auferant, illis autem omne studium erit, ut gratiam tibi referant, humanitus quidem si solvendo erunt; sin secus, multiplicem a Deo tibi precibus impetrantes.

De nobilitate.

Summam injuriam corporis nobilitati facit is qui animi nobilitatem negligit. Tu ergo regiæ corporis nobilitati quam habes fac ut animi nobilitatem, quæ summa est, adjungas; illa enim a natura et sine præmio habetur, hæc vero a voluntate, et mercedem conjunctam habet. Honora ergo et lauda, non eos, qui corpore sunt nobiles, sed potius eos qui sunt animo variis virtutibus ornato. Neque enim debet homo sola corporis nobilitate, sicut cætera animalia, esse contentus. Nam equi nobilitas est ut sit ferox atque interritus; canis ut latrator acer in persequendis feris, et de cæteris animantibus similiter: hominis vero, ut animum habeat omni virtutum genere exornatum. Corporis ornatus est forma, et robur, et bona valetudo: animi autem generositas in verbis moribusque, ac virtutum omnium perfectione consistit.

De patientia.

Nunquam in re ulla, mi fili, adversus Deum irascaris: id enim sæpenumero animi exilitas efficere solet: sed æquo animo casus omnes perferto, et sine cunctatione ulla obtemperato omnibus quæ tibi Deus obtingere voluerit; si gaudere, gaude; si mœrere, mœre; si secunda uti fortuna, utere: si adversa, patere. Omnibus cede, omnibus acquiesce: a peccato duntaxat abstine: hoc enim unum est quod nunquam te admittere oportet: quoniam ex Deo non est, imo ex inconsiderantia fere nasci solet. Neque ergo secundis rebus extollere, neque adversis deprimere. Si enim in omni rerum acerbitate fortiter ferenda animi æquitatem ostenderis, patientiæ mercedem a Deo feres: si vero mœrore te conficiens Dei consilio ac voluntati de te repugnare volueris, invitus tamen patieris, quæ Dei providentia de te statuerit, et patientiæ præmium simul amittes.

De eruditione.

Cogitare non solum de suis, sed etiam de subditorum rebus sollicitudo est rege dignissima: neque enim satis est bonum te præstare iis qui tuæ ditioni subjecti sunt, sed et liberos relinquere oportet, qui quasi vivæ virtutis imagines sint cæteris. Quemadmodum qui liberos probe instituit, de universo regno bene meretur, ita qui eos male moratos, ac nullis litteris excultos relinquit, totam rempublicam graviter lædit. Obedi ergo, fili, paternis admonitionibus, ut et tibi ipse prosis, et regnum recte modereris, et mihi institutionis tuæ gratiam, bonam videlicet nominis memoriam persolvas.

De linguæ noxa.

Omnia audi, et ab omnibus disce: at quædam ex iis rejicies, quædam vero admittes, nempe ea quæ tibi usui atque honori esse queunt, ac tuis subditis

A χάριν ἀνταποδοῦναι, εἰ μὲν ἔχουσιν, ἀνθρωπίνην, εἰ δὲ μὴ ἔχουσι, πολλαπλασίαν παρὰ τοῦ Θεοῦ.

Περὶ εὐγενείας.

Ὑβρίζει τὴν τοῦ σώματος εὐγένειαν ἐσχάτως, ὁ τὴν τῆς ψυχῆς εὐγένειαν μὴ κεκτημένος. Καὶ αὐτὸς οὖν σὺν τῇ τοῦ σώματος βασιλικῇ εὐγενείᾳ, κτῆσαι καὶ τὴν τῆς ψυχῆς ἀκροτάτην εὐγένειαν· ἐκείνη μὲν γάρ ἐστι φυσικὴ καὶ ἄμισθος, αὕτη δὲ προαιρετικὴ καὶ ἔμμισθος. Καὶ τίμα μὲν καὶ ἀποδέχου μὴ τοὺς εὐγενεῖς τῷ σώματι, ἀλλὰ τοὺς κεχαρισμένους τῷ πνεύματι. Οὐ γὰρ ὁμοίως τοῖς ἄλλοις ζώοις καὶ ὁ ἄνθρωπος ὀφείλει γυμνὴν ἔχειν τὴν τοῦ σώματος εὐγένειαν. Ἵππου μὲν γὰρ εὐγένεια B τὸ σοβαρόν τε καὶ εὐσταθές· κυνὸς δὲ τὸ ὑλακτικόν τε καὶ κυνηγετικὸν, καὶ τῶν ἄλλων ζώων ὁμοίως· ἀνθρώπου δὲ, τὸ τὴν ψυχὴν ἔχειν παντοίαις κεκοσμημένην ἀρεταῖς. Τῶν μὲν γὰρ σωμάτων ὁ κόσμος, κάλλος καὶ ῥώμη καὶ εὐεξία· τῶν δὲ ψυχῶν, λόγος καὶ τρόπος ἀγαθὸς, καὶ τῶν ἀρετῶν ἡ τελείωσις.

Περὶ ὑπομονῆς.

Μηδέποτε πρὸς Θεὸν ἀγανακτήσῃς, τέκνον, ἐν οὐδενί· τοῦτο γὰρ πολλάκις οἶδεν ἡ μικροψυχία γεννᾷν· ἀλλ' εὐχαρίστως ἅπαντα δέχου τὰ περιπίπτοντα, καὶ πᾶσιν ἕπου ἀνενδοιάστως, οἷς ἂν θέλῃ ὁ Θεὸς γενέσθαι περὶ σέ· ἂν χαίρειν, χαῖρε· ἂν λυπεῖσθαι λυποῦ· ἂν εὐημερεῖν, εὐημέρει· ἂν πάλιν δυστυχεῖν, δυστύχει. Πᾶσιν εἶκε, πᾶσιν ἀρέσκου· μόνης C δὲ τῆς ἁμαρτίας μακρύνου· ταύτην γάρ σε μόνην καταδέχεσθαι οὐ χρή· οὐδὲ γὰρ ἐκ Θεοῦ, ἀλλ' ἐξ ἀπροσεξίας ἐπιγίνεσθαι εἴωθε. Μήτε οὖν εὐτυχῶν ἐπαρθῇς, μήτε γοῦν δυστυχῶν ὑπεραλγήσῃς. Εἰ μὲν γὰρ μακροθύμως φέρων ἐπὶ πᾶσιν εὐχαριστήσεις τοῖς ἀνιαροῖς, καὶ τὸν τῆς ὑπομονῆς πάντως ἀπολήψῃ μισθόν· εἰ δὲ σεαυτὸν τρύχων, ἐναντιώσῃ τῇ περὶ σὲ τοῦ Θεοῦ οἰκονομίᾳ, καὶ ἄκων πάθοις, τῇ προνοίᾳ φερόμενος, καὶ οὐδὲν μὲν προσωφελήσεις σαυτὸν, μᾶλλον δὲ καὶ τὸν τῆς ὑπομονῆς προσαπολέσεις μισθόν.

Περὶ παιδείας.

Βασιλικώτατόν ἐστιν ἔργον μὴ μόνον τὰ ἑαυτοῦ τὸν βασιλέα σκοπεῖν, ἀλλὰ καὶ τὰ τῶν ὑπηκόων ἐπι-D σκοπεῖν. Οὐ γὰρ ἀρκεῖ τὸ ἑαυτὸν ἀγαθὸν παρέχειν τοῖς ὑπὸ χεῖρα, ἀλλὰ καὶ τῆς ἰδίας ἀρετῆς τοὺς παῖδας καταλιμπάνειν εἰκόνας. Ὥσπερ γὰρ ἀγαθοὺς παῖδας ἐκτρέφων, ἅπασαν τὴν βασιλείαν εὐεργετεῖ, οὕτως ὁ πονηροὺς καὶ ἀπαιδεύτους ἐῶν, ἅπασαν τὴν πολιτείαν ἀδικεῖ. Πείθου οὖν, τέκνον, τοῖς πατρικοῖς μου λόγοις, ἵνα καὶ σεαυτὸν ὠφελήσῃς, καὶ τὴν βασιλείαν εὐοδώσῃς, καὶ ἐμοὶ χάριν τῆς παιδείας τὴν ἀγαθὴν μνήμην χαρίσῃ.

Περὶ γλωσσαλγίας.

Ἄκουε πάντα, καὶ παρὰ πάντων μάνθανε· ἀλλὰ τὰ μὲν ἀποδέχου, τὰ δὲ ἀποστρέφου, καὶ ἀποδέχου μὲν ὅσα σοι ὄφελος καὶ τιμὴν περιποιεῖται, καὶ τοῖς

ὑπηκόοις οὐδὲν λυμαίνεται· ἀποστρέφου δὲ, ὅσα καὶ τοὺς ὑπηκόους βλάψει, καὶ σὲ μηδὲν ὠφελήσει. Γλῶσσα γὰρ δολία, ἐὰν ἔχῃ τὸν συνεργάτην δυνάμενον, πολλῶν κακῶν αἰτία ἑαυτῇ τε καὶ τοῖς ἑπομένοις, γενήσεται· στόμα δὲ εὔφημον σὺν ἀληθείᾳ διαλεγόμενον, πολλὰ τούς τε ἀκροωμένους, καὶ τὸν κεκτημένον ὀνίνησι. Θέλε οὖν μὴ τοῖς κακοῖς χαίρειν, ἀλλὰ τοὺς ἀγαθοὺς ἀποδέχεσθαι· καὶ εἰρηνεύειν μὲν τὸ ὑπήκοον, ἀλλὰ μὴ κατ' ἀλλήλων ὀτρύνεσθαι· οὗ γὰρ μάχαι καὶ ἔριδες, ἐκεῖθεν μακρύνεται ὁ Θεός· οὗ δὲ εἰρήνη καὶ ἀγάπη, καὶ ὁμόνοια, καὶ τοῖς εἰρηνεύουσιν, εὔιλατον καὶ ἐγγὺς τὸ Θεῖον παριστᾷ, καὶ τοῖς εἰρηνοποιοῖς τὴν υἱοθεσίαν τοῦ Θεοῦ προξενεῖ.

Περὶ ἀγαθοῦ τρόπου.

Στέφανον βασιλείας τὴν ἀγαθὴν ὁρίζου συνείδησιν, δι' ἧς κοσμήσεις σεαυτὸν μᾶλλον ἢ τοῖς μυρίοις B ἄλλοις ἐγκαλλωπίσμασιν. Ὁ γὰρ πλοῦτος ἄπιστόν τι χρῆμα καὶ εὐόλισθον· ἡ δὲ δόξα, παρέρχεται· τὸ δὲ κράτος ἀπέρχεται· καὶ αἱ ἡδοναὶ διαῤῥέουσι· μόνος δὲ ὁ ἀγαθὸς τρόπος εἰς αἰῶνας συμπαρεκτείνεται, καὶ ἀθάνατόν σε ποιήσει τῇ μνήμῃ, ἀλεξιφάρμακον ὥσπερ τὴν σὴν ἀρετὴν τοῖς μετὰ σὲ χαριζόμενος, καὶ πάντας καὶ ἐπαινέτας, καὶ μιμητὰς τῆς σῆς πολιτείας ποιούμενος.

Περὶ τοῦ κρατεῖν τῶν ἡδονῶν.

Ἴσθι, τέκνον ἐμὸν, ὡς τότε σε κατὰ τὴν ἀλήθειαν βασιλέα ὁρίσονται, ὅταν μὴ μόνον τῶν ὑπηκόων κρατῇς, ἀλλὰ καὶ τῶν ἡδονῶν ἁπασῶν ἐπικρατῇς. Ἔστω γάρ σοι στέφανος, τῆς βασιλείας σύμβολον· ἀλλ' ἔστω C καὶ δικαιοσύνη τῷ πράγματι σύνδρομος· πορφύρα δέ σε κοσμήσει, ἐὰν ἡ σωφροσύνη ταύτῃ συνεπανθήσει· καὶ τῶν ποδῶν σε τὸ ἐρυθρὸν τιμήσει ὑπόδημα, ἐὰν αὐτοῖς τὴν φλόγα τοῦ τύφου καταπατήσῃς. Ἐκεῖνα μὲν γὰρ πρόσκαιρόν σοι τὴν βασιλείαν χαρακτηρίζει· ταῦτα δὲ καὶ τῆς αἰωνίου κολάσεως ῥύσεται, καὶ τὴν ἀθάνατόν σοι προξενεῖ βασιλείαν.

Περὶ λόγου τελείου.

Λόγου τοῦ τελειοτάτου πάντων ἐν ἀνθρώποις λίαν ἐπιμελοῦ· δι' αὐτοῦ γὰρ ἡ ἐπίγειος βασιλεία ἐξεικονίζει τὴν ἐπουράνιον τάξιν, καὶ ἁρμονίαν· λόγος γὰρ ἡγεμονεύει τῶν ἀνθρωπίνων πραγμάτων, οὗ περιαιρεθέντος συμπεριαιρεῖται τὰ ἡμέτερα. Κτῆσαι οὖν τοῦ λόγου τὸ χρῆμα, μὴ ἐνδεὲς, ἀλλὰ τέλειον. Οὐδὲ γὰρ κυβερνήτῃ πιστευτέον τοῦ σκάφους τὴν σωτη- D ρίαν, εἰ μὴ καλῶς κυβερνᾷν ἐξεπίσταται· οὔτε δὲ βασιλεῖ βασιλικώτατα κρατεῖν, εἰ μὴ τοῦ λόγου τὴν ἄσκησιν τοῦ πρακτικωτάτου διεξέρχεται. Λέοντι μὲν γὰρ τὸ ἀρχικὸν ἐν θηρίοις, ὡς ὁ λόγος, ἡ δύναμις· ἀετῷ δὲ ἐν πετεινοῖς, τὸ ὑψιπετὲς καὶ δραστήριον· ἀνθρώπῳ δὲ κατὰ γῆν ὁ λόγος τὴν ἐξουσίαν χαρίζεται.

Περὶ τοῦ μὴ ἐπαίρεσθαι.

Ἐπὶ νίκαις ὑπεναντίων μηδέποτε ἐπαρθῇς, μηδὲ ἐπὶ πολεμίων συμφοραῖς γαυρίαμα κτήσῃ, μηδὲ ἐπιχαρῇς ἐπὶ πτώσει ἐχθρῶν σου, μηδὲ ἐγγελάσῃς δυστυχίαν ἑτέρου, μηδὲ ἐπικροτήσῃς ἐπ' ἀπωλείᾳ ἀνθρώπου· κοινὴ γὰρ ἡ φύσις, καὶ τὸ μέλλον ἀόρα-

A minime obesse possunt : rejice autem ea quæ et subjectos lædunt, et tibi nihil prosunt. Lingua enim fraudulenta, si potentem adjutorem nacta fuerit, et sibi et sectatoribus suis multum afferet detrimenti. Os autem sincerum, quod nil nisi verum proloquitur, et dominum suum, et eos qui illum audiunt juvat plurimum. Malis ergo ne gaudeas, sed bonos assume : pacem inter populos fove, neque eos inter se committas. Ubi enim lites sunt et pugnæ, procul abest Deus : ubi vero pax, et charitas, et concordia, pacificis se præsentem et propitium exhibet et adoptionis in filios Dei copiam eis facit.

De bonis moribus.

Lectissimam esse regni tui coronam statuito B bonam conscientiam, qua te magis meliusque exornabis quam sexcentis aliis ornamentis. Divitiæ enim infida quædam res est, et quæ facile dilabitur. Gloria evanescit, robur marcescit ; voluptates diffluunt : sola innocentia bonique mores in multas ætates protenduntur, ac tuum nomen immortalitati commendabunt, virtutemque tuam quasi adversus mala omnia pharmacum posteris imitandam relinques, eosque et laudatores et imitatores tuæ administrationis habebis.

De voluptatibus superandis.

Scito, mi fili, verum te regem homines judicaturos cum non solum subditos in manu habebis, sed a voluptatibus etiam omnibus temperabis. Sit ergo tibi corona pro signo imperii, sed coronæ semper C adjuncta sit comes justitia. Purpura quidem tibi ornamento erit, si temperantia illam comitetur. Calcei rubri decenter pedes tuos ornabunt, si in ipsis superbiæ fastum proculcabis. Illa enim perituri imperii tibi nota erunt ac signum : ista vero ab æterno supplicio te vindicabunt, et immortali regno donabunt.

De perfecta dicendi facultate.

Eloquentiam rerum omnium humanarum perfectissimam diligenter exerce : per eam enim terreni regni principatus refert quodammodo cœlestium rerum ordinem et convenientiam : oratio rebus omnibus humanis præest, quam si tollas, simul et omnia nostra tollas. Da ergo operam ut tibi di- D cendi facultatem pares, non eam quidem mancam aut diminutam, sed perfectam. Neque enim gubernatori navigii salus committitur, nisi bene gubernare didicerit : neque regi imperio regio uti, nisi facultatem dicendi ad res gerendas accommodatissimam diligenter exercuerit. Leoni siquidem regnum in bestias dat robur animi et corporis : aquilæ in aves volatus sublimis et velox : homini autem super terram imperium dat oratio.

Non esse gloriandum.

Propter relatam de hostibus victoriam gaudio ne efferaris, nec adversariorum calamitatibus insultes, neque ob ruinam inimicorum læteris, nec alterius miseriam rideas, nec ob ullius hominis interitum manibus plaudas : natura enim commu-

nis est omnibus, et futurum provideri nequit. Reminiscere eorum quæ ante te fuerunt, et quæ postea evenient intelliges, magnæ enim ac multæ sunt vitæ hujus vicissitudines, ac præteritorum recordatio præsentibus documento esse debet. Ne te efferas, aiunt, ne tanto profundius dejiciaris; ne partas tibi victorias ascribe, ne unquam fortunam experiaris adversam : sed aliorum calamitatibus illacrymare, atque hominum miseriis condolesce, homo ipse cum sis : festorum celebritates propter partas victorias soli Deo gratus acceptas refer, ut et in secundis rebus te submittens, et in adversis erigens, nunquam te hominem esse obliviscaris.

De studio litterarum.

Ad mores tuos omni ex parte excolendos veterum sapientum sententias continenter evolve : multa enim in illis præcepta utilissima reperies, præsertim in operibus Salomonis atque Isocratis. Adde etiam si vis Jesu filii Sirach documenta atque consilia, e quibus multum civilis et regiæ prudentiæ haurire poteris. Cætera etiam divinitus inspiratæ Scripturæ oracula perlecta tibi esse oportet, ut cum sapientia consummatus fueris, me regem, patrem ac præceptorem tuum, lætitia perfundas ac cæteros etiam ipse exhortari ac docere possis : et homo cum sis finem tibi præscriptum esse, melius intelligas ; ac nullum hominem esse peccati, nullum mortis expertem; nullum qui non judicandus sit de omnibus quæ in vita gesserit, nullum qui de mortis suæ termino aliquid certi sciat.

A τον· ὅρα οὖν τοὺς πρὸ σοῦ, καὶ τότε μαθήσῃ τὰ μετὰ σέ. Πολλὰ γὰρ οἶδεν ὁ βίος πράγματα ἀμείβειν, καὶ τῶν παρελθόντων τὰ πάθη τοῖς νῦν παροῦσιν ὑπάρχει διδασκαλία. Μὴ οὖν μέγα ἐπαρθῇς, φησὶν, ἵνα μὴ μεῖζον πέσῃς, ἀλλ' οὐδὲ τῶν κατορθουμένων σοι τροπαίων μηδὲν ὅλως ἴδιον λογίσῃ, καὶ οὐδέποτε τῶν ἀπευκταίων πειραθήσῃ. Ἀλλ' ἐπιδάκρυε μὲν ταῖς ἀλλοτρίαις συμφοραῖς, συμπάθει δὲ πάσχουσιν ἀνθρώποις, ἄνθρωπος ὢν καὶ αὐτός· τὰς δὲ ἐπὶ ταῖς νίκαις πανηγύρεις, ἀνατίθει μόνῳ τῷ Θεῷ εὐχαρίστως, ἵνα καὶ ἐν ταῖς εὐτυχίαις δυστυχῶν, καὶ ἐν ταῖς δυστυχίαις εὐτυχῶν, τὸ ἄνθρωπος εἶναι μὴ ἀπολέσῃς.

Περὶ ἀναγνώσεως γραφῶν.

Ἵνα δέ σου τὸ ἦθος διὰ πάντων κοσμήσῃς, μὴ
B κατόκνει τὰς τῶν παλαιῶν διεξέρχεσθαι γνώμας· πολλὰ γὰρ ἐν αὐταῖς εὑρήσεις τὰ χρήσιμα· καὶ πλέον πάντων τά τε Σολομώντεια, τά τε Ἰσοκράτεια. Εἰ βούλει καὶ τὰ τοῦ Ἰησοῦ τοῦ Σιρὰχ διαμελέτα βουλεύματα καὶ διδάγματα, ὡς ἐκεῖθεν καὶ πολιτικὰς καὶ βασιλικὰς ἀρετὰς δυνάμενος ἀνκλέξασθαι. Τὰ γὰρ ἄλλα πάντα τῆς θεοπνεύστου Γραφῆς σωτήρια λόγια συναναπνέεσθαί σοι πάντως ἐπάναγκες. Ἐπὰν δὲ τέλειος γένῃ τὴν φρόνησιν, κἀμὲ τὸν βασιλέα, καὶ πατέρα, καὶ παιδευτὴν εὐφρανεῖς, καὶ αὐτὸς τότε νουθετεῖν ἑτέρους ἀξιωθήσῃ· καὶ τὸ οἰκεῖον τέλος ἄνθρωπος ὢν, μᾶλλον ἐπιγνώσῃ, ὅτι οὐδεὶς ἀνθρώπων ἀναμάρτητος, οὐδεὶς ἀνθρώπων ἀθάνατος, οὐδεὶς ἀνθρώπων τὴν τῶν βεβιωμένων διαφεύξεται κρίσιν, οὐδεὶς ἀνθρώπων οἶδε τοῦ βίου τὸ ἄδηλον τέλος.
C

MONITUM.

(Ang. Mai. *Script. veter. nov. coll.* t. II, pag. 679.)

—

Cum in Vaticanis codicibus politica scripta vestigarem, Basilii quoque imperatoris editas ad filium admonitiones lectitabam, ab iisque, in uno saltem codice, caput XXIII, quod est de pecuniæ contemptu, abesse videbam. Verum idem codex prædictum defectum cum fenore resarciebat : namque in admonitionum illarum pervulgatarum calce, alia subtexebatur ejusdem Basilii ad eumdem filium admonitio, quæ in editionibus, quantum vidi, desideratur.

III

ΒΑΣΙΛΕΙΟΥ ΒΑΣΙΛΕΩΣ

ΕΤΕΡΑ ΠΑΡΑΙΝΕΣΙΣ

ΕΙΣ ΤΟΝ ΑΥΤΟΥ ΥΙΟΝ ΛΕΟΝΤΑ ΒΑΣΙΛΕΑ.

BASILII IMPERATORIS

ALTERA EXHORTATIO

AD FILIUM SUUM LEONEM IMPERATOREM.

Ἡ θεία καὶ παναγία Τριὰς ἡ παντοδύναμος καὶ A ζωοποιὸς ἀγαθότης, ἡ ἐν τρισὶν ὑποστάσεσιν ὁμοουσίως δοξαζομένη, τὸ ὑπερβάλλον ἐπιδεῖξαι βουλομένη τῆς οἰκείας ἀγαθότητος, καὶ ἐν πᾶσι μὲν τοῖς οὖσι, κατεξαίρετον δὲ τοῦ ἀνθρώπου πρόνοιαν ποιουμένη, κατ' εἰκόνα ἰδίαν τὸ νοερὸν τούτου δημιουργήσασα, δόξῃ τε καὶ τιμῇ στεφανώσασα, σοφίαν αὐτῷ ἐδωρήσατο, δι' ἧς κατὰ τὸ δυνατὸν Θεὸν γνωρίσαι δυνάμενος, δοξάζοι διὰ παντὸς τὸν τῶν ἁπάντων κτίστην· ἡ σοφία τοίνυν ἐκ τῆς αὐτῆς μεγαλειότητος τοῖς ἀνθρώποις δοθεῖσα, προδήλως καὶ καλὴ καὶ τερπνὴ ὡς Θεοῦ δῶρον καθέστηκε. Καὶ σὺ οὖν, τέκνον ἐμὸν θεοφύλακτον, σοφίᾳ ἐκτρεφόμενος γενοῦ φιλόσοφος (2) ἐκ τοῦ τὸν Θεὸν φοβεῖσθαι· ἀρχὴ γὰρ σοφίας φόβος Κυρίου· σύνεσις δὲ ἀγαθὴ, πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Ἀγάπα τοίνυν τὸν Κύριον ἐξ ὅλης B ψυχῆς καὶ καρδίας σου καὶ αὐτῷ λάτρευε, καὶ αὐτὸν μόνον δόξαζε Δημιουργὸν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, πάντων τε ὁρατῶν καὶ ἀοράτων, ὃς καὶ γενήσεταί σοι βοηθὸς ἐν πάσαις ταῖς ἡμέραις τῆς προσκαίρου τῆσδε ζωῆς σου, καὶ ἐν αἰῶνι τῷ μέλλοντι· σχόλασον τῇ θεοδιδάκτῳ σοφίᾳ (3)· ἀρίστη γὰρ ἥδε ὑπάρχουσα, δυσὶ τρόποις ἐν τῷ ἀνθρώπῳ θεωρεῖταί τε καὶ γνωρίζεται, τουτέστιν ἐν λόγοις καὶ ἐν ἀρεταῖς. Αὕτη τὰ βάθη τῶν πραγμάτων ἐναργῶς ἀποδεικνύουσα, καὶ ἐν σεμνῇ διαγωγῇ καὶ ἔργοις ἁγνοῖς καὶ θεαρέστοις· δι' ὧν δύναταί τις πάντα πράττειν ἁρμοδίως, ὥστε καὶ Θεὸν θεραπεύειν, καὶ ἀνθρώποις μέγας καὶ ἔνδοξος ἀναδείκνυσθαι. Τίμα ἱερεῖς καὶ πρεσβύτας, καθάπερ γονεῖς, ὅπως καὶ αὐτὸς κελεύσει Θεοῦ τιμηθῇς ἐκ παίδων τῶν οἰκείων καὶ ἀλλο- C τρίων. Πτωχοῖς καὶ ἐνδεέσι καὶ ἐν ἀνάγκαις ὑπάρχουσι μεταδίδου προθύμως· γινώσκων ὅτι δι' αὐτῶν

Divina et sanctissima Trinitas, quæ est omnipotens vivificansque bonitas, tribus consubstantialibus in personis honoranda, dum summam suam benignitatem gestit demonstrare, atque omnium rerum, sed hominis præcipue, curam præ se ferre; hujus quidem animam ad imaginem sui creavit, et gloria atque honore exornavit, sapientiamque indidit; cujus ope Deum, quatenus fieri potest, agnosceret, naturæque universæ conditorem nunquam non honoraret. Itaque sapientia ex eodem supernæ liberalitatis fonte dimanans, sine dubio et decora est et jucunda, videlicet quia donum Dei est. Tu quoque igitur, fili mi (cui Deus utinam semper faveat!), sapientiæ lacte nutritus, philosophum te timendo Deum profitere: initium quippe sapientiæ timor Domini; recte autem sapiunt quicunque illam exercent. Ergo Dominum toto ex animo et corde ama, illique cultum exhibe: atque ut unicum cœli, terræ marisque visibilium invisibiliumque Conditorem honora, qui vicissim tibi tum in omni hac temporali vita, tum in futuro sæculo fautor erit. Sacræ præsertim doctrinæ studium impende; hanc enim et præ cæteris et dupliciter homini esse utilem compertum est, quia scilicet eum litteris simul et virtutibus instruit. Nam rerum illi naturam intimam perspicue revelat, eumdemque honesta vita, puris Deoque gratis operibus, florentem efficit: ex quo consequitur, ut cuncta recte ab homine fiant, Deo cultus exhibeatur, ipseque magnus inter cives suos et præclarus evadat. Honora sacerdotes et senes, parentum instar, ut tu vicissim honorem a Deo liberisque tuis et alienis consequaris. Inopibus, calamitosis, et ne-

NOTÆ.

(2) Scilicet Philosophi seu Sapientis agnomen reapse Leo virtute sua doctrinaque consecutus est.

(3) Revera Leonis Sapientis scripta multis in argumentis sacris versantur.

cessitate pressis alacriter largire; reputans scilicet te pecuniam apud Deum in fenore ponere, a quo majorem sortem reportabis. Beneficium ne in crastinum differas : *Nescis*, enim, inquit divinum Scriptum, *quid crastina dies latura sit*. Esto animo atque opera liberali. Quidquid enim in terra seritur, ibidem succrescit : sola eleemosyna est quæ humi sata, in cœlis centuplicem fructum parit. Erga bonos esto mitis, adversus pravos severus; blandus hominibus, voluptatibus austerus. Cum sanctis viris versare; improbos fuge et detestare : *Corrumpunt enim*, ut ait Scriptura, *bonos mores colloquia prava*. Iniquo homini ne blandiaris; imo vero eum commoneto : nam si resipuerit, bene est; sin propositi tenax fuerit, acerbius eum corrige. Sic enim et gratam Deo rem facies, et hominem illum capistro veluti astringes, atque ad Deum cognoscendum compelles. Etsi enim paulisper dolebit, teque oderit, deinde tamen æternus tibi amicus erit. Veritatem ama et sectator. Deus quippe veritas est. Mentiendi nescius sis; parens enim mendacii diabolus. In sacris concionibus silentium servato, dum Dei sermones audis : quin adeo Deum mente tua per otium revolve. Cum a quotidianis curis vacabis, ne sis iners; etenim inertia morbosum animum corpusque facit. Divinis libris operam da; pacem dilige; scandala devita. Uxoris tuæ societate gaudeas; alienæ ne oculum quidem intendas. Fastui denique vanæque gloriæ ne sis obnoxius. Patris tui monita diligenter custodi. Nemo enim sic absque invidia docet, ut pater filium. Et fieri quidem potest ut magister discipulo invideat, a quo forte superetur : parens autem magno gloria augetur, si eum filius suus superet, imo vero maximus inter homines evadat. Admonitionibus patris tui fac auscultes, neque indecoram vitam instituas. Omnino mos tuus et sermo et cogitatio honestate exornentur.

δανείζων Θεῷ, παρ' αὐτοῦ ἀπολήψῃ τὰ μείζονα· ἀγαθοποιῆσαι βουλόμενος, μὴ ὑπέρθου εἰς αὔριον· *Οὐ γὰρ οἶδας*, φησὶ, *τί τέξεται ἡ ἐπιοῦσα* (4). Ἐλεημοσύνην ἀγάπα καὶ ταύτην ἐργάζου· πᾶν γὰρ τὸ ἐπὶ γῆς σπειρόμενον, ἐπὶ γῆς καὶ φύεται· ἐλεημοσύνη δὲ μόνη ἐπὶ γῆς μὲν σπείρεται, ἐν οὐρανοῖς δὲ ἑκατονταπλασίους καρποὺς ἀποδίδωσι. Γενοῦ ἑκάστῳ ἤπιος καλῶς ἀγομένῳ, τῷ ἀδικοῦντι δὲ σοβαρός· γλυκὺς τοῖς ἀνθρώποις, ταῖς ἡδοναῖς δ' αὐστηρός. Μετὰ ὁσίων ἀνδρῶν ἀναστρέφου· στρεβλοὺς δ' ἀπαναίνου καὶ ἀποστρέφου· *Φθείρουσι* γὰρ, φησὶν, *ἤθη χρηστὰ ὁμιλίαι κακαί* (5). Ἀδίκῳ μὴ παραχώρει, ἀλλὰ τοῦτον νουθέτει· κἂν μὲν ἐπιστρέψῃ, εὖ ἂν ἔχοι· ἂν δ' ἐπιμένῃ, αὐστηροτέρως τοῦτον ἐπίστρεφε. Οὕτω γὰρ πράττων, καὶ Θεῷ μὲν εὐάρεστος ἔσῃ, κἀκεῖνον ἐν κημῷ ἄγξεις, καὶ γνωρίζειν διδάξεις Θεόν. Ἂν γὰρ καὶ πρὸς μικρὸν ὀδυνηθῇ καὶ μισήσῃ σε, ἀλλ' οὖν ἔσεται μετὰ ταῦτα ἀγαπῶν σε εἰς τὸν αἰῶνα· ἀλήθειαν ἀγάπα καὶ κτῆσαι ταύτην· ἀλήθεια γάρ ὁ Θεός· ψεῦδος δὲ μὴ γνωρίσῃς· ψεύδους γὰρ πατὴρ ὁ διάβολος. Ἐν ἐκκλησίαις ἡσυχίαν ἄγε, τῶν τοῦ Θεοῦ λόγων ἀκούων, καὶ πρὸς αὐτὸν ἐν ἀνέσει τὸν νοῦν σου ποιούμενος· ὅταν ἐκ τῶν συνεχουσῶν ἠρεμήσῃς φροντίδων, μὴ ἀργὸς μένε· ἀργία γὰρ νόσον ψυχῆς τίκτει καὶ σώματος. Ταῖς θείαις βίβλοις ἐνασχολοῦ· εἰρήνην ἀγάπα· σκάνδαλα ἀποστρέφου. Γυναικὶ μέλος ἰδίᾳ γενοῦ, ἀλλοτρίᾳ δὲ μηδ' ὀφθαλμῷ προσεγγίσῃς. Τῦφον καὶ κενοδοξίαν μὴ κτήσῃ· τοῦ πατρός σου τοὺς λόγους ἀσφαλῶς φύλαττε· οὐδεὶς γὰρ ἀφθόνως διδάσκει, ὡς ὁ πατὴρ, τέκνον· διδάσκαλος γὰρ, ὡς εἰκὸς, φθονεῖ μαθητῇ γενομένῳ ὑπὲρ αὐτόν· πατὴρ δὲ μεγάλην ἔχει δόξαν, ὁπόταν ἴδῃ τὸ ἑαυτοῦ τέκνον οὐ μόνον ὑπὲρ αὐτὸν, ἀλλὰ καὶ ὑπὲρ ἕκαστον τῶν ἀνθρώπων πάντων γενόμενον. Νουθεσίαν πατρός σου ἄκουε, καὶ ἀσέμνοις τρόποις μὴ ἐξακολούθει. Παντὶ δὲ τρόπῳ κατακοσμείσθω σου καὶ ἦθος καὶ λόγος καὶ νόημα.

NOTÆ.

(4) Prov. XXVII, 1.

(5) I Corinth. XV, 33.

IV

ΣΤΙΧΟΙ ΗΡΩΙΚΟΙ ΚΑΙ ΕΛΕΓΕΙΑΚΟΙ

ΕΙΣ ΛΕΟΝΤΑ ΦΙΛΟΣΟΦΟΝ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΑΘΗΤΟΥ ΑΥΤΟΥ

—

VERSUS HEROICI ET ELEGIACI

IN LEONEM PHILOSOPHUM

CONSTANTINI EJUS DISCIPULI.

(Ex P. Matrangæ *Anecd. Græcis*, Romæ, 1850, t. II, p. 555.)

—

A.

Μυρία μὲν δεδάηκας, ὅσα προγενέστεροι ἄνδρες
Φάντο ποθ' ὑψαγόραι τῆς θύραθεν σοφίης·
Ἀλλ' ὁ σὸς ὤλετο θυμὸς, ἐπεὶ πίες ἁλμυρὸν ὕδωρ,
Σχέτλιε, δυσσεβίης κύματα νηξάμενος.
Ὅς ῥα παναιγλήεσσαν ἀγακλέα δόξαν ἐάσας
Χριστιανῶν μετά γε φαίδιμα λουτρὰ, τάλαν,
Καὶ μετὰ φρικαλέην γε θυηπολίην, μεγάλην τε,
Καὶ βίβλων ἱερῶν θαύματ' ἐρισθενέα,
Ἑλλήνων ὀλέθρου μεγακήτεα βυθὸν ὀρούσας,
Θηρσὶν ἕλωρ ἐγένου θυμοβόροισι, Λέον.
Τίς σε βαρυστενάχων τοῦ πτώματος οὐκ ἐλεαίρει,
Ἢ σε τίς οὐ δακρύει τοῖον ἐπιστάμενος;

Οὐκ ἐπὶ πέτραν ἔρεισα; ἑοὺς πόδας ἀδρανέοντας,
Ἧ ἔνι πᾶς βεβαῶς ἔμπεδός ἐστι λίαν,
Ἀλλ' ἐσεβάσθης, μωρὲ, θεῶν ἀπερείσιον ὄχλον,
Ἔξαρνος γεγαὼς φωτοβόλου Τριάδος·
Τοὔνεκά σε Χριστός γ' ἀπὸ μὲν σθένος ἄσχετον ἔρσε,
Τιτάνῳ ἠδ' ὄξει σὸν στόμα πλησάμενος,
Οἷς ἐθέλεσκε τρόποις· ἔδει γάρ ἑ ταῦτα ὑποῖσαι,
Οἷα Θεοῦ μεγάλου πόλλ' ἐπικερτομέων.

B'.

Κλῦτε, γοναὶ μερόπων, Χριστοῦ περιώνυμον ἔθνος,
Οἳ πέλετ' ἀγνῶτες κείνου ἀποστασίης·
Ζεὺς μὲν ἔην θεὸς αὐτῷ, ἔχων ὁμοδέμνιον Ἥρην,
Ζεὺς ἀμέτρως ἐράων παρθενικῶν λεχέων·

Ζεὺς ἠδ' ἄλλος ὅμιλος ἀπείριτος οὐρανιώνων,
Οἷά τε ὠκείνου φησὶ Μελητιάδης.
Ἀλλ' ἴτε, δεῦτε, ἅπαντες ἀολλέες (1) ἐσθλοὶ ἑταῖροι,
Τοῖα προσείπωμεν αὐτὸν ὁμοφρονέως·
Ἔῤῥε, κακὴ κεφαλὴ, δνοφερὸν δόμον Ἄϊδος εἴσω,
Ἐῤῥ' αὐτῇ σοφίῃ κάμμορε κ' ἀσεβίῃ,
Ἀμφὶ Πυριφλεγέθοντ', ὀλοόν τ' ἀνὰ Τάρταρον εὐρὺν,
Ἧχι Χρυσίππους Σωκράτεάς τε ἴδοις,

A I.

Multa quidem docuisti, quanta prisci viri dixerunt unquam extera sapientia inflati.
Sed tuus periit animus, cum amaram undam bibisti, infelix, impietatis fluctibus innatans.
Qui præclaram et eximiam laudem mittens Christianorum puris e balneis, infortunate,
Et ex venerando sacrificio magnoque, et sacrorum librorum inclytis prodigiis,
Græcorum vastam mortis abyssum cum noveras, feris præda factus es præcordia vorantibus, o Leo.
Quis de te multum dolens tuum casum non defleret, aut quis te non deploraret talia contemplatus?
Non in petra fixisti tuos mortales pedes, in qua
B sola omnis qui graditur firmus est maxime;
Sed adorasti, insane, Deorum innumeram turbam, negator factus splendidæ Triadis.
Quamobrem te Christus robore immoderato nudavit, calce acerba os tuum implens,
Quo voluit modo; oportebat enim te talia sufferre, quæ in Deum magnum multa cavillatus eras.

II.

Audite, generationes hominum, Christi eximia plebs, qui vivitis ignari ejus apostasiæ;
Jupiter quidem fuit illi deus, habens conjugem Junonem, Jupiter qui immodice adamat virginales thoros;
Jupiter et alia turba innumera cœlicolum, sicut de illa loquitur Homerus.
C Sed ite, agite, omnes numerosi et probi sodales, talibus hunc alloquamur unanimi voce:
Abi, malum caput, tenebrosam in inferi domum, abi istius sapientiæ et impietatis particeps,
Circa Phlegethontem exosum, ad Tartarum latum, ubi Chrysippos Socratesque videas,

NOTÆ.

(1) A. videtur ἀωλέες·



Proclos et Platones, Aristoteles, Epicuros, Euclidesque amicos et Ptolemastronomos,

A Πρόκλους τ' ἠδὲ Πλάτωνας, Ἀριστοτέλεις, Ἐπικούρους,
Εὐκλείδας τε φίλους καὶ Πτολεμαστρονόμους,

Inter hos quoque sapientem, vereque aliorum reginam, Homeri musam, Hesiodos et Aratos.

Πὰρ δέ γε τοῖσι σοφὰν (2), ἐτεὸν βασιλεύτατον ἄλλων,
Μοῦσαν Ὁμηρείην, Ἡσιόδους τ' Ἀράτους τ'.

III.

Non mirum si te ignis æternus circumdederit una cum illustri isto cœtu;
Quibus tantum addictus oracula proferebas, et illorum arcanis fraudibus versabaris.
Hæc vero Constantinus, qui tuo Calliopes lacte bene nutritus est cecinit perite;
Ego, qui tuæ mentis mysteria scrutatus, tarde vix pravitatem latentem didici (3).

Γ'.

Οὐ νέμεσις σέο πῦρ αἰώνιον ἀμφιπολεύειν
Ἄμμιγα θαυμασίῃ τῇδε χοροστασίῃ,
Οὓς ἀπεθείαζες μέγ' ὑπερβολάδην ἀγαπάζων,
Καὶ φρονέων τ' αὐτῶν κρυπταδίαις ἀπάταις·
B Ταῦτα δὲ Κωνσταντῖνος, ὁ σῆς γάλα Καλλιοπείης
Καλὸν ἀμελξάμενος, ᾖσεν ἐπισταμένως,
Ὅς ῥα τεῆς κραδίης μυστήρια λεπτολογήσας,
Ὀψὲ μόγις κακίην κευθομένην ἐδάην.

NOTÆ.

(2) C. videtur σοφᾶν.
(3) Vide Leonis Apologiam, in qua Constantini calumnias a se dimovet. (Infra col. 659.) Edit.

LEONIS PHILOSOPHI

OPERUM PARS PRIMA.

OPERA THEOLOGICA.

HOMILIÆ ET PANEGYRICI.

ΛΟΓΟΣ Α'.

Εἰς τὴν ἐκ στειρωτικῶν λαγόνων ἀνθήσασαν σωτήριον ἀνθρώποις γονὴν, τὴν ἀειπάρθενον τοῦ Θεοῦ Μητέρα.

ORATIO I.

In humano generi salutarem prolem semper virginem, ac Dei Genitricem, ex sterilibus lumbis floris instar nascentem (1).

(Combef., *Auctar.* col. 1606.)

Αὕτη ἡ ἡμέρα Κυρίου· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Χρὴ γὰρ τοῦ βασιλείου ᾄσματος τῇ Βασιλίδι τὸν ἔπαινον προοιμιάσασθαι· οὐ διὰ τοῦτο μόνον ὅτι Βασιλὶς ἡ εὐφημουμένη, ἀλλ' ὅτι καὶ τῆς ἐκείνου προῆλθεν ὀσφύος· δι' ἕτερον δὲ, ὅτι καὶ τῆς προγονικῆς κατηφείας νῦν ἡμῖν τῆς παντελοῦς ἀπαλλαγῆς, ἐνέχυρον δίδοται, τῶν εὐδίνων κόλπων Ἰωακεὶμ καὶ Ἄννης, ὥσπερ ἔκ τινων προαχθὲν θησαυρῶν· κόλπων ἐκείνων, οἳ πρὶν μὲν τῆς ἀγονίας παρ' ὁμοφύλοις ἔφερον τὰ ὀνείδη· νῦν δ' εἰς τὴν οἰκουμένην τῆς εὐγονίας τὴν δόξαν ἐπλήθυναν· ἐξ ὧν τῆς ἐλευθερίας τὸν τόμον ὁ βασιλεὺς διατίθησιν· δι' οὗ τῆς πολυχρονίου δουλείας τὴν ἀπολύτρωσιν ἀποκηρύξει.

Νῦν προοίμια τῷ κόσμῳ ἐγνωρίσθη χαρᾶς· ἐφάνη γὰρ δι' ἧς ἀναιρεθήσεται ἡ ἀρά. Ἤδη τῶν πόνων καὶ τῶν μόχθων οἷς ἐντρυχόμενοι τῇ ἀκάνθῃ διεταλαιπωροῦμεν, προεμηνύθη ἀνάπαυσις· παρεγένετο γὰρ ἐξ ἧς ὁ πάνσοφος γεωργὸς παρέσται ἡμῖν. Νῦν τοῦ μεγάλου μυστηρίου ἐγγίζει ἡ φανέρωσις, καὶ τῆς Θεοῦ πρὸς ἀνθρώπους συγκαταβάσεως ἀρχὴν ἡ οἰκονομία λαμβάνει. Τοῦ γὰρ ἀμήτορος πρὸ αἰώνων, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἀπάτορος Υἱοῦ ἡ ἄνανδρος ἐτέχθη μήτηρ· καὶ τοῦ τρέφοντος πᾶσαν πνοὴν, ἡ τροφὸς τιθηνεῖται· καὶ ὁ νυμφὼν τοῦ ἀγαπητοῦ καὶ Μονογενοῦς ἑτοιμάζεται. Ἄρτι διὰ σπλάγχνα ἐλέους ὁ φιλάνθρωπος τῆς οἰκείας χειρὸς τὸ πλάσμα μηκέτι φέρων ὁρᾷν τυραννούμενον, τὴν μήτραν ἣν ὑπερφυῶς οἰκήσει, ἐκ στείρας προάγει μήτρας. Ἔδει γὰρ θαῦμα θαύματος προτελεῖσθαι· τοῦ μείζονος

A *Hæc dies Domini; exsultemus et lætemur in ea* [1]. Operæ enim pretium est, ut a regali cantico, Reginæ laudem inchoemus: non eo duntaxat nomine quod Regina sit ea, quæ laudatur, verum etiam quod ex ejus lumbis prodierit: ad hæc vero, quod et probri illius a majoribus invecti, plenæ nunc liberationis pignus nobis detur, ex Joachim ac Annæ placidis sinibus, velut e thesauris quibusdam, productum: sinibus, inquam, prius quidem infecunditatis probra apud gentiles suos referentibus, quique nunc in orbem universum fecunditatis adauxerunt gloriam; ex quibus rex manumissionis tomum condit, ex quo liberationis a diuturna servitute sanctionem divulgaturus est.

B Nunc mundo innotuerunt gaudii exordia, quippe cum illa apparuerit, per quam maledictio est auferenda. Laborum jam ac molestiarum, quibus spina macerati miseri agebamus, præsignata est requies; siquidem illa advenit, ex qua sapientissimus ille agricola nobis adutfurus est. Nunc prope est ut manifestetur magnum sacramentum, Deique in homines inclinationis dispensatio initium habet. Filii enim ante sæcula absque matre, diebusque novissimis sine patre geniti, viri nescia parens nata est; ejusque, qui omnem spiritum alit, nutrix lactatur; ac dilecti et Unigeniti paratur thalamus. Nunc clemens Deus propter suæ misericordiæ viscera, non ultra ferens figmentum videre tyrannica vi oppressum, vulvam, quam supra naturam sit inhabitaturus, ex sterili vulva producit. Oportebat

[1] Psal. xvii, 24.

NOTÆ.

(1) Nunc primum edo e codice eminentissimi cardinalis Mazarini, ex quo etiam sequens exscripta fuit, digna ambæ Leonis illa in Mariam pietate.

enim ut miraculum miraculo prius perageretur; majore ac naturæ totam vim superante, quod minus est; quodque licet non naturæ vim totam, at spei tamen rationem superet. Oportebat ut quæ novum sub sole partum editura esset, ipsa quoque non communi ederetur partu, ac qui totus ex carnis ac sanguinis voluntate foret; sed qui potioris aliquid virtutis haberet, quam consuetudine comparatum est.

Tarda itaque proles procedit, sine semine mater ex non genitalibus lumbis, quo parentes sterilitatis undique probris velut indagine cincti, ab iis angustiis, a carnali errore animum comprimentes, ad prolificum Patrem subveherent, ac inde fructus donum deducerent. Idcirco pungebantur sterilitatis aculeis, ut mente tota Deo accederent. Sic enim tristia comparata sunt, ut nedum Joachim ac Annam justosque similes ad divinam propinquitatem adigant, verum etiam eos qui resilire quærunt, ubi et illos comprehenderint, Deo propius adducant: ut e contra, dulcia ac diffundentia animum, nedum jam dissitos, sed et eos qui propiores erant ab eodem longius abigunt.

Enimvero Joachim et Anna sterilitatis opprobrio a conservis in terra degentibus appetiti, in cœlum ad Dominum ac naturæ Fictorem mente ascendunt; fore illum sperantes ægrorum medicum lumborum, qui solus, utpote creator, accurate sciret, cur ii tandiu infecunditatis morbo laborassent. Sive enim vulva expers esset virtutis prolificæ, ac velut emortua, inditurum eum sperabant vitalem virtutem, qui anima donasset animal e limo fictum: sive aliud quidpiam obsisteret partui, visum iri ipsum adjutorem, qui secundum, ac vicinum, simileque animal in eum condidisset finem, ut in adjutorium foret, ac velut ager quidam, generationis humanæ spicam produceret [a]. Videbat enim (2) quod erat futurum, cui etiam ea quæ non sunt, tanquam ea quæ sunt, præsentia sunt.

Cæterum cœlestis ille Pater, sacratissimæ puellæ sacros parentes in hunc modum quibus illi appetebantur opprobriis, ad se trahebat, longo temporis spatio ante excultos lumbos prolificos, jejuniis ac orationibus animum excolentes. Mihi porro dubium est, deceatne vulvam felici adeo honestatam prole sterilitatis nomine accusare, illosque dicere ineptos procreandæ proli, qui omnino adepturi essent ut partus omnes superarent. Quin illud dico, fuisse Annam aptam quæ pareret. Quomodo enim ex qua salus florere habebat, infecundis accensenda foret? Enimvero, bene quidem ac præclare ad fructus editionem comparata erat, at necdum advenerat hora, quam sapientissimus ille temporum definitor, ante omnia sæcula opportunam germinandæ proli constituerat. Cæterum habeat quisque ut libuerit; in-

A καὶ ὑπερφυοῦς, τὸ ἔλαττον· καὶ εἰ μὴ ὑπερφυὲς, ἀλλ' οὖν ὑπὲρ ἐλπίδα. Ἔδει τὴν μέλλουσαν τὴν καινὴν ὑπὸ τὸν ἥλιον λύειν ὠδῖνα, καὶ αὐτὴν μὴ κοινῶν ὠδίνων, μηδὲ τὸ σύμπαν σαρκὸς καὶ αἵματος εἶναι θελήματος· ἀλλ' ἔχειν τι κρείττονος ἢ κατὰ συνήθειαν ἐνεργείας.

Προέρχεται τοίνυν ἡ ἄσπορος μήτηρ ἐξ ἀκάρπων λαγόνων ὀψίγονος, ἵνα τοῖς ὀνείδεσι τῆς ἀτεκνίας οἱ γεννήτορες περιστοιχιζόμενοι, τῇ ἐκεῖθεν στενοχωρίᾳ τῆς σαρκίνης περιπλανήσεως τὸν νοῦν συστείλαντες, πρὸς τὸν καρποδότην ἀναβιβάσωσιν· ἐκεῖθέν τε τοῦ καρποῦ τὸ δῶρον καταγάγωσιν. Διὰ τοῦτο ταῖς ἀκίσι τῆς ἀπαιδίας ἐνύττοντο, ἵνα ὅλῃ γνώμῃ Θεῷ πλη- B σιάσωσιν· ὅτι πέφυκε τὰ λυπηρὰ οὐ μόνον τοὺς περὶ Ἰωακεὶμ καὶ Ἄνναν πρὸς θείαν φέρειν ἐγγύτητα, ἀλλὰ καὶ τοὺς ἀποπηδᾷν ἐθέλοντας, καὶ τούτους ἐπειδὰν περιλάβῃ, καὶ τούτους πλησίον ἄγειν Θεοῦ· ὥσπερ τὰ ἡδέα καὶ διαχέοντα ὡς ἐπιπλεῖστον οὐ μόνον διεστῶτας, ἀλλὰ καὶ ἤδη ἐγγὺς ὄντας, πόῤῥω ἐλαύνειν αὐτοῦ.

Ἀλλὰ γὰρ Ἰωακεὶμ καὶ Ἄννα τῆς ἀτεκνίας ὀνείδει ὑπὸ τῶν κάτω ὁμοδούλων βαλλόμενοι, ἄνω πρὸς τὸν Δεσπότην καὶ Πλάστην τῆς φύσεως ἀναβαίνουσιν· ἐκεῖνον ἰατρὸν τῶν νοσούντων κόλπων γενέσθαι ἐλπίσαντες, ὃς μόνος, οἷα δημιουργὸς, τὸ αἴτιον τῆς ἐπὶ τοσούτου καιροῦ ἀκαρπίας αὐτῶν σὺν ἀκριβείᾳ ἠπίστατο. Εἴτε γὰρ ἄμοιρος ἐνεργείας τεκνώσεως, C καὶ οἷον ἄψυχος ἡ μήτρα, αὐτὸν ἤλπιζον ἐνθήσειν ζωτικὴν δύναμιν, τὸν ἐκ πηλοῦ ψυχώσαντα ζῶον· εἴτε τι ἄλλο τὰς ὠδῖνας ἐπέχει, ἐκεῖνον ὀφθῆναι βοηθὸν, τὸν ἐπὶ τοῦτο τὸ δεύτερον καὶ παραπλήσιον ζῶον ὑποστησάμενον, ἐφ' ᾧ εἶναι μὲν βοηθὸν, φύειν δ' ὥσπερ τινὰ χώραν καὶ τῆς ἀνθρωπίνης τὸν στάχυν γενέσεως. Ἑώρα γὰρ τὸ ἐσόμενον, ᾧ καὶ τὰ μὴ ὄντα ὡς ὄντα παρέστηκεν.

Ἀλλὰ τοὺς μὲν τῆς ἱερωτάτης παιδὸς ἱεροὺς γονέας, οὕτως ἐφ' οἷς τὴν στείρωσιν ὠνειδίζοντο, πρὸς ἑαυτὸν ὁ οὐράνιος μεθεῖλκε Πατὴρ, ἐπὶ πλεῖστον χρόνον πρὸ τῆς γεωργίας τῶν τεκνοποιῶν κόλπων νηστείαις καὶ δεήσεσι τὴν ψυχὴν γεωργοῦντας. Ἐμοὶ δ' ἄπορον παρίσταται στειρώσεως οὕτως εὔτεκνον D αἰτιᾶσθαι μήτραν, καὶ φάσκειν ἐκείνους οὐκ ἔχειν ἐπιτηδείως πρὸς γονὰς, οἳ πάντων ἔμελλον κρατεῖν τὸ γεννῶν. Ἀλλ' ἐκεῖνό φημι, ὅτιπερ ἐπιτήδειος ἦν Ἄννα πρὸς τόκον. Πῶς γὰρ ἧς ἔμελλεν ἡ σωτηρία ἀνθεῖν, ἀκάρποις συνηριθμεῖτο; Ἀλλ' εἶχε μὲν εὖ καὶ καλῶς εἰς καρπογονίαν, οὔπω δ' ἄρα ἡ ὥρα παρίστατο, ἣν ὁ πάνσοφος ὁροθέτης πρὸ πάντων αἰώνων εἰς τὸ τὴν βλάστην ἐνέγκαι διέταξεν. Πλὴν ὡς βούλεταί τις ἐχέτω· τέως δ' ἀμείνοσιν ἐλπίσιν ἀνέχοντες, ἱστῶσιν ἐκείνην τὴν οὐρανομήκη κλίμακα, νηστείας

[a] Gen. II, 18.

NOTÆ.

(2) *Videbat enim*. Tangit communem Græcorum opinionem inductarum nuptiarum occasione peccati, ut alioqui humanum genus non foret propagandum crasso illo ac velut brutali modo, quo modo propagatur.

καὶ προσευχῆς καὶ συντριμμοῦ καρδίας πεποιημένην, A καὶ πρὸς τὸν Πατέρα τῶν οἰκτιρμῶν ἀνίασιν· καὶ τούτῳ μετὰ κραυγῆς ἰσχυρᾶς, καὶ πρὶν βοῆσαι εἰδότι, τῶν τε ὀνειδισμῶν τὰς βολὰς, καὶ τὸ ἄλγος καὶ τὴν ὀδύνην αὐτῶν ἐμφανίζουσι· καὶ λύειν μὲν τὴν ἐξ ἀνθρώπων χαλεπὴν νέμεσιν, λύειν δὲ καὶ τὴν, εἰ μηδεὶς ἄλλος ἐπέπληττεν, ἐπιφυομένην οἴκοθεν στενοχωρίαν ᾐτοῦντο.

terim illi meliori spei animum adhibentes, scalam illam in cœlum usque protensam erigunt, jejunio et oratione, ac contrito constantem corde, eaque ad misericordiarum Patrem ascendunt : atque ei clamore valido, qui ante etiam clamorem noscet, opprobria quibus appeterentur, ipsorumque animi angustiam atque dolorem, declarant : ac tum quidem hominum gravem illam indignationem, tum vero ipsum, tametsi nemo alius increparet, ab ipsismet nascentem angorem ac mœstitiam solvere flagitant.

Ἀκούει δ' ὁ τῶν θαυμασίων Θεὸς τῆς τῶν θεραπόντων δεήσεως, καὶ νεύει, καὶ δίδωσιν, ἀντὶ τῆς προσενέξεως τῶν ὀδυρμῶν καὶ ἐν εὐχῇ προσεδρίας, δῶρον ἐλπίδος κρεῖττον· δῶρον, οἷον οὐδεὶς ἐξ αἰῶνος ὤφθη λαβών. Δίδωσι γὰρ καρπὸν, ὃς οὐ μόνον τὴν φέρουσαν, ἀλλὰ καὶ τὴν ἀρχαίαν τοῦ γένους ἀπαλ- B λάττει προμήτορα τῶν ὀνειδισμῶν. Καὶ φέρει χερσὶν ἡ Ἄννα παιδίον, ὃ τὸν δωρησάμενον τὸν ταύτης τόκον τῆς γεννησαμένης, οἷα δὴ τόκον οἰκεῖον ἐν χερσὶ βαστάσει. Παιδίον, ὃ *τὸν ἐπὶ πάντων Θεὸν* παιδοποιήσει. Φέρει βλαστὸν ἡ ἄκαρπος δόξασα τέως μήτρα τῆς Ἄννης, ἧς τοῦ ἄνθους ἡ εὐωδία μυρίσει τὰ πέρατα. Προέρχεται πυλῶν κεκλεισμένων ἀτεκνίᾳ, ἡ ἐσφραγισμένη πύλη τῇ παρθενίᾳ, καὶ μόνῳ τῷ βασιλεῖ πρὸς δίοδον τηρουμένη· ἧς προελθὼν ἀῤῥήτως καὶ ὑπερφυῶς, πρὸς ἑαυτὸν ἐπιστρέφει τοὺς κακῶς ἀπονεύσαντας.

Exaudit vero mirabilium Deus orationem servorum suorum, annuitque ac tribuit, pro oblatis gemitibus, ac ea, quam in oratione exhibuissent assiduitate, munus spem omnem vincens : munus quale nemo a sæculo visus est accepisse. Dat namque fructum, qui nedum ipsam quæ profert, verum etiam veterem illam generis primam parentem, ab opprobrio liberet : portatque manibus puellam Anna, quæ ipsum, qui parentibus donavit ut eam parerent, in manibus ipsa, utpote propriam prolem, portatura esset. Puellam, inquam, ipsum, *qui est super omnia, Deum* [a] genituram. Germen profert hactenus sterilis existimata Annæ vulva, cujus floris suave fragrans odor orbis terræ fines perflaturus est. Procedit clausis sterilitate portis obsignata illa virginitate porta, solique regi servata, ut per eam transeat [b]; ex qua ineffabili planeque mirabili ratione procedens, eos qui male aberraverant ac declinaverant, ad se convertet.

Πάλαι μὲν, Ἰωακεὶμ, ἐσκυθρώπαζες· οὐ μόνον οἴκοθεν τοῦτο ὑπομένων, οἷς τε τὴν Ἄνναν ἑώρας, C γονῆς ἀποροῦσαν, καὶ διὰ τοῦτο στυγνὸν ὄμμα καὶ κατηφὲς φέρουσαν· οἷς τε οὐδ' αὐτὸς εἶχες ἐν χερσὶ φέρειν τῶν πόνων γεώργιον. Τί δ' ἂν οὕτω γλυκὺ θέαμα τοῖς κοινωνήσασι γάμων, ὡς ἡ ἐκ σπλάγχνων φυὴ γένοιτο; Ἀλλὰ καὶ ταῖς ἔξωθεν ἐπιπλήξεσι πλέον τῆς κατηφείας ἡ ὀμίχλη συνεῖχεν· δι' ὧν τὸ ἄσπερμον καὶ ἄτεκνον οἱ συμφυλέται ὠνείδιζον· ἀλλ' ὁρᾷς ἄρτι φαιδρῶς, φαιδρὰν τῶν σῶν σπερμάτων τὴν γεωργίαν, δι' ἧς ἡ κατήφεια πάντων ἠλάθη τῶν ὀφθαλμῶν. Ὁρᾷς ἄρτι τὴν Ἄνναν σεμνὴν, σεμνῶς ἐπὶ τῷ καρπῷ τῆς κοιλίας καλλωπιζομένην. Ἠσχύνου πάλαι ἀνάστομα τῶν ὁμογενῶν θρυλλουμένης τῆς ἀτεκνίας· ἀλλὰ νῦν ἁπάσαις γλώσσαις τερπνὸν ὑπάρχεις ἄκουσμα καὶ διήγημα, περιλαλουμένης τῆς ἀτεκνίας. Καὶ πάλαι μὲν, ὡς εἰκὸς, καὶ D αὐτὴν ὑπεστέλλου τὴν ἐξ οἰκίας πρόοδον, καὶ μόνον ὀφθῆναι διευλαβούμενος· νῦν δὲ σύμπας ὁ τῶν ἁγίων χορὸς, καὶ τῶν ἀγγέλων οἱ δῆμοι, ὡς πατρὶ Μητρὸς Θεοῦ συνευφραινόμενοί σοι περιχορεύουσιν. Ἐγένου τέκνου πατὴρ, ἣ τὸ χρέος ἀποδώσει τῷ προπάτορι, ὅπερ ἐκ πλευρᾶς εἰς διάπλασιν ἔχρησε τῇ προμήτορι. Πληρώσει τοῦτο ἄνευ σπορᾶς τῶν αὐτῆς αἱμάτων σάρκα δανείζουσα τῷ νέῳ Ἀδὰμ, καὶ τοῦ παλαιοῦ πλαστουργῷ. Ἐβράδυνας κληθῆναι πατήρ· ἀλλ' ἔχεις ἐν πατράσι τὰ πρεσβεῖα· ἀλλ' ἔτεκες μητέρα τοῦ πάντων Πατρός. Τίκτει καὶ Ἀβραὰμ

Olim quidem mœsto, Joachim, vultu eras : non id tantum a te ipso perpetiens, ac tum quia Annam prole destitutam, ideoque tetricoso ac depresso tristitia vultu videres; tum quia nec ipse posses laborum fructus in manibus ferre. Quid namque connubiali societate junctis ad spectaculum dulcius, quam ut enatum ex se videant germen? verum etiam ab extraneis increpantibus gravior mœstitiæ animi caligo occupabat, quod gentiles tui tanquam sterilem ac orbum prole probris appeterent : nunc enimvero lætis gaudiis, lætum tui seminis aspectas fructum, quo tristitia mœrorque ab omnium depulsus est oculis. Vides modo venerabilem Annam, sui fructu uteri præclare honestatam. Pudebat olim sterilitatis gentilium tuorum communi ore jactatæ; at nunc omnium ore dulcis exsistis auditio ac narratio, ipsa sterilitate ubique celebrata. Ac olim quidem, ut veri quis specie existimet, etiam domo procedere verebaris, metuens vel etiam videri; nunc autem universus sanctorum chorus, ac angelorum populi, tanquam Dei Matris parenti congratulantes, lætis circumcingunt choreis. Factus es filiæ pater, quæ primo parenti debitum redditura est; quod nimirum primæ commodavit parenti, ut illa ex ejus latere formaretur. Porro rem præstabit nullo semine ex suis sanguinibus novo Adæ fenerans carnem, ac quo antiquus ille conditus est. Tarde pater appellatus es; at primas honoris partes

[a] Rom. IX, 5. [b] Ezech. XLIV, 1.

habes inter patres : at universorum Patris genuisti matrem. Abraham quoque provecta jam ætate [a], contra spem hæredem gignit promissionum, ex quo velut stellæ, ac sicut arena maris augetur populus, magnaque parte terræ imperium protrahit; verum, quid hoc ad tuum partum? Eam enim peperisti, ex qua non solum populi immortalitatis partu augentur, aut terram possidendam accipiunt; sed qua cœli adeunt hæreditatem, effecti filii Altissimi.

Agedum vero, tu mihi Annam voca, priorumque, lamenta canticorum, quæ illa Deo solitaria canebat, velut lyram quamdam harmonia concinnam in fausti ominis laudationem convertentes, personanti mihi vestrum inclytum partum, auxilio adeste. Vestrum namque est, ut et condigni sermonis copiam faciatis, e quibus editum est sanctissimum germen. Agedum uteri fructum ostende, quæ abjeceris ignominiam veterem, quibus nunc in gloria gestis. Uteri infecunda tellus in fertilem agrum transiit. Tristitia tibi in gaudium cessit, quali a sæculo nullus exsultavit. Ex his probris indissolubilis gloriæ corona plexa fuit. Tardum fuit genitale germen, at naturæ totius germen gloria obscuravit. Defuit arvo flos, at universum orbem messe implevit. Lugebas orbitatis ergo lacessita opprobriis; at quæ unquam sic proba amplaque prole delectata fuit? Puellam nutris, cujus opera universus mundus lætitiæ divitias habebit. Matres universas supergressa es.

Parit quoque alia quædam Anna [b], cum et ipsa orationis munus filium accepisset; verum servum, verum ministrum, quanquam is prophetica unctione excelluit; tu vero cœli ac terræ Reginam paris : eam, inquam, quam canticis celebrat omnis natura particeps rationis : sola paris Dei Matrem; sola Dei avia exsistis. O beatum partum! O lumbos, quorum habitaculum elegit Deus, cum in nobis habitare voluisset! O conceptionem, partumque, ac infantem, quibus exitiosus peccati partus elanguit, salutisque multa proles innotuit. O infantem, per quam natura, quæ malitiæ ac vitiositatis turpitudine consenuerat, novum induta decorem præclare exornatur! O infantem, per quam vitæ pauperis pannos exuentes, primam illam stolam induimus divinæ dignitatis, per quam Deus nobis reconciliatus, in incomparabilem paterni amoris necessitudinem dissolvit inimicitias, quas ei facti hostes, constitueramus. Te namque Deus ac Pater Unigenito Sponsam elegit, proque futurarum arrhabone nuptiarum, ut cognato humano generi reconcilietur, concedit; neque solum inimicitias perimit, aut debiti tribuit remissionem : vel etiam, quod adversum nos ipsi scripsimus chirographum, disrumpit; verum etiam Unigeniti cohæredes facit; eumque ipsum bello nobis suppetias mittit, ut pro nobis pariter labores desudet, ac hostem ulciscatur.

Enimvero, pœnam nunc lue, o malitiæ sapiens artifex, dolo plenarum earum molitionum, quibus su-

A ὀψὲ τῆς ἡλικίας παρ' ἐλπίδα τὸν κληρονόμον τῶν ἐπαγγελιῶν· ἐξ οὗ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς ἡ ἄμμος τῆς θαλάσσης πληθύνεται λαὸς, καὶ γῆς πολλοστοῦ κυριεύει μέρους· ἀλλὰ τί τοῦτο πρὸς τόκον τὸν σόν; Ἔτεκες γὰρ, ἐξ ἧς οὐ μόνον λαοὶ ὠδῖσιν ἀφθαρσίας πληθύνονται, οὐδὲ γῆς ἁπάσης κατάσχεσιν, ἀλλ' οὐρανοῦ κληρονομίαν λαμβάνουσιν, υἱοὶ Ὑψίστου γινόμενοι.

Ἄγε δή μοι κάλει τὴν Ἄνναν, καὶ τῶν πάλαι θρήνων τὰ ᾄσματα, ἃ κατὰ μόνας ἐπῇδεν Θεῷ, ὥσπερ τινὰ λύραν εὐάρμοστον ἀνακινοῦσαν εἰς εὐφημίαν μεταβαλόντες, περιηχοῦντί μοι τὴν ἀοίδιμον ὑμῶν λοχείαν, συνεφάπτεσθε. Ὑμέτερον γάρ ἐστιν εὐπορεῖν παρασκευάσαι καὶ λόγον ἄξιον, ὧν ἐμαιεύθη

B τὸ πανάγιον γέννημα. Φέρε τῆς κοιλίας τὸν καρπὸν ἐπιδείκνυε, οἷς νῦν ἐπ' εὐδοξίᾳ κομᾷς, τὴν παλαιὰν ἀδοξίαν ἀποθεμένη. Μετέβαλεν εἰς εὐφορίαν τῆς νηδύος ἡ ἄφορος χώρα. Ἐστράφη σοι εἰς χαρὰν ἡ λύπη, οἵαν οὐδεὶς ἐξ αἰῶνος ἠγαλλιάσατο. Ἐπλάκη τῶν ὀνειδισμῶν ἐκείνων ἀδιάλυτος εὐφημία. Ὀψίγονος ἡ γονὴ, ἀλλ' ὑπερῆρεν πάσας φύσεως τὰς γονάς. Ὑστέρησεν εἰς ἄνθησιν ἡ ἄρουρα, ἀλλ' ἐπλήρωσε τῆς ἅλω τὴν οἰκουμένην. Ὀδύρους ἄπαις ὀνειδιζομένη· καὶ τίς οὕτω ἥσθη εὔπαις γεγενημένη; Τρέφεις παιδίον, δι' ἧς ὁ κόσμος πλουτήσει τὴν εὐφροσύνην. Παρῆλθες πάσας μητέρας.

C Τίκτει καὶ ἄλλη τις Ἄννα, δῶρον εὐχῆς λαβοῦσα τὸν τόκον καὶ αὐτὴ, ἀλλὰ δοῦλον, ἀλλὰ λειτουργόν· εἰ καὶ προφητικῷ διέπρεπεν χρίσματι· σὺ δὲ τίκτεις τὴν οὐρανοῦ καὶ γῆς Βασιλίδα· τὴν παρὰ πάσης λογικῆς φύσεως ὑμνουμένην· μόνη τίκτεις Θεοῦ Μητέρα· μόνη χρηματίζεις προμήτωρ Θεοῦ. Ὢ μακαρίων ὠδίνων! Ὢ λαγόνων, ὧν κατοικητήριον ἐν ἡμῖν σκηνῶσαι βουληθεὶς ὁ Θεὸς ἐξελέξατο! Ὢ σύλληψις καὶ τόκος καὶ βρέφος, δι' ὧν ὁ τῆς ἁμαρτίας ὀλέθριος ὠδὶς ἀπήμβλω, καὶ τῆς σωτηρίας ἡ πολυγονία ἐγνωρίσθη! Ὢ βρέφος, δι' ἧς ἡ καταγηράσασα τῷ αἴσχει τῆς κακίας φύσις, καινὸν ἀλλαξαμένη κάλλος ἐξωραΐσατο. Ὢ βρέφος δι' ἧς τῆς πενιχρᾶς ζωῆς τὰ ῥάκκη ἀποδυσάμενοι, τὴν πρώτην στολὴν ἐκείνην τοῦ θείου ἀξιώματος ἐνεδυσάμεθα· δι' ἧς ἡμῖν κατ-

D ηλλάγη Θεὸς, εἰς ἀνείκαστον διαλυθείσης στοργὴν, τῆς ἣν ἡμεῖς ἐκπολεμωθέντες αὐτῷ ἔχθραν συνεστησάμεθα. Ἐξελέξατο γάρ σε εἰς Νύμφην τῷ Μονογενεῖ ὁ Θεὸς καὶ Πατὴρ, καὶ δίδωσιν ἀντὶ μνήστρων τὴν πρὸς τὸ συγγενὲς καταλλαγήν· καὶ οὐκ ἀναιρεῖ μόνον τὴν ἔχθραν, οὐδὲ τὴν ἄφεσιν δίδωσι τοῦ ὀφλήματος, οὐδ' ἣν καθ' αὐτῶν ἐχειρογραφήσαμεν διασχίζει γραφήν· ἀλλὰ καὶ συγκληρονόμους τοῦ ἀγαπητοῦ ποιεῖται· καὶ τοῦτον εἰς τὸν καθ' ἡμῶν ἀποστέλλει πόλεμον, συνδιενεγκεῖν ἀνθ' ἡμῶν τοὺς πόνους, καὶ τὸν δυσμενῆ τιμωρήσασθαι.

Ἀλλὰ καθίστασο νῦν, σοφιστὰ τῆς κακίας, εἰς ποινὴν τῶν δολερῶν ἐκείνων σχεμμάτων, οἷς τῇ ψιθύρῳ

[a] Gen. XVIII, 11 seqq. [b] I Reg. I, 20.

γλώσσῃ τοὺς ἐμοὺς ἐξειργάσω προπάτορας· μᾶλλον A δὲ, δι' ὧν καθ' ὅλης τῆς φύσεως ἐτεχνάσω τὸν ὄλεθρον. Οὐ γὰρ ἔτι ἀλύπως ἔχων ἀπίοις, οὐδὲ ἐπὶ τῇ χλεύῃ σεμνυνόμενος. Ἤδη γάρ, ἤδη σοι ἐπὶ τὴν κακομήχανον κεφαλὴν, τὸ καθ' ἡμῶν ἐνσκήπτει κακοῦργον. Ἐγεννήθη τῇ Εὔᾳ παιδίον, δι' οὗ ἐκείνης ἀνακαλεῖται μὲν ἡ ἧττα, καὶ τὸ σκυθρωπὸν εἰς φαιδρότητα μεταχωρεῖ· σὲ δ' ἀπαράκλητος ἧττα περιστοιχιεῖ, καὶ βαθεῖα στυγνότης. Ἐγεωργήθη παράδεισος, ἐξ ἧς ἀναβλαστήσει φυτὸν ἀθάνατον, τὰς κῆρας τοῦ φυτοῦ διαλῦον, οὗ τὴν γεῦσιν προεξένησας· καὶ τὸν ἐξ ἀπάτης παραδοθέντα θανάτῳ, πρὸς ἀθανασίαν ἀνακτώμενον. Κλοπῇ καὶ ψεύδει τὴν μητέρα κακοῖς περιέβαλες· ἐκδέχου μικρὸν ὅσον οὔπω τῆς σῆς κακομηχανίας τὰ ἐπίχειρα, ἃ σοι παραγενήσεται τοῦ τέκνου πρὸς τὸν πανάμωμον τόκον ἥκοντος. B Ἄρτι θεούμενον ὄψῃ τῷ ὄντι, ὃν πάλαι πλάνῳ θεώσεως ὑποσχέσει, θείας συνουσίας κατέστησας ὑπερόριον· καὶ τὸν ἐξ ἀρχῆς ἐνταχέντα σοι φθόνον, τοῦ καθ' οὗ τοῦτον ὤδινας, τῆς σῆς ἐπιβαίνοντος κεφαλῆς, ἕξεις ἐπιπλέον σε διεσθίοντα.

surrone lingua meos progenitores male habuisti: imo quibus adversus naturam universam interitum machinatus es. Nec enim adhuc a tristitia liber abibis, neque ut subsannando glorieris. Jam enim, jam tibi in maleficum caput, quod adversum nos excogitasti maleficium vertitur. Nata est Evæ puella, per quam ejus quidem instauratur ruina, mœstitiaque in lætitiam transit: te vero inconsolabilis circumstabit casus, ac profundus mœror. Cultus est paradisus, ex quo immortalis germinabit arbor: quaque arboris dispereant mortes, cujus gustandæ auctor fuisti; qua, inquam, is, qui errore deceptus morti traditus fuerat, ad immortalitatem reparetur. Furtivo mendacique susurro matrem malis implicasti; modicum aliquantulum maligni tui consilii mercedem exspecta, quam consequeris, cum Filius immaculatissimo partu in lucem exibit. Videbis modo revera deitate donatum eum quem olim impostura deitatis promissione deludens, a divina extorrem consuetudine effecisti: eumque livorem, quo a principio contabuisti, ipso, adversus quem parturisti, tuum calcante caput, ampliori te æstu comedentem habebis.

Ὑπέθου θέωσιν τῷ γυναίῳ, καὶ τῆς ἀλύπου ζωῆς ἀνασπάσας, λύπης ἀνάμεστον ζωὴν προξενεῖς· οὐ μόνον οἷς ἄλλαι μυρίαι κῆρες τὸν βίον περιστοιχίζουσιν· ἀλλὰ καὶ ἐξ ὧν ἐχρῆν ὑπόθεσιν εὐφροσύνης εἶναι ἀνθρώπου πρὸς φῶς ἐξιόντος τῶν σκοτεινῶν τῶν ἐγκάτων χωρίων, καὶ τοῦτο λύπης αἴτιον τεχνησάμενος. Ἐν γὰρ λύπαις τίκτειν τῇ βαρείᾳ καθ' C ἡμῶν ἀποφάσει προσέκειτο. Ἀλλὰ νῦν τόκος ἐμαιεύθη τῆς λυπηρᾶς κρατῶν ἀποφάσεως, καὶ τὴν χαρμονὴν τοῖς πέρασι μνώμενος. Διέσφηλας τὸν γενάρχην σκελίσας γυναίῳ, καὶ τὸν φθοροποιὸν τῆς σῆς συμβουλῆς λόγον ἐπὶ κακῷ τῷ σφῶν ἔπεισας δέξασθαι· ἐτέχθη παιδίον ἡμῖν τῆς αὐτῆς μὲν τῇ Εὔᾳ πλάσεως, τοῦ σφάλματος δ' αὐτῆς ἡ ἀνόρθωσις, καὶ τῆς σῆς ἡ ἀφορμὴ πτερνίσεως, οἷς τὸν ζωοποιὸν τοῦ Θεοῦ Λόγον ἀῤῥήτως καὶ ὑπὲρ νοῦν ὑποδέξεται.

Deitatem mulierculæ suggessisti [7], atque a vita a tristitiis libera abstrahens, vitam importasti tristitiis plenam; nedum qua innumera alia mala humanam circumstant vitam, verum etiam quod illud ipsum quod in lætitiæ argumentum cedere oportebat, exeunte homine in lucis auras a tenebricosis viscerum sinibus, tristitiæ effeceris causam. Gravi namque illi adversum nos sententiæ partus in tristitiis adjunctus erat [8]. Nunc enimvero partu editur ac suscipitur proles, tristitiarum sententiam vincens, gaudiique pignora orbis terrarum finibus præbens. Fefellisti generis parentem, ac per feminam supplantasti, tuique consilii exitiosum sermonem in suam ipsorum perniciem suscipere persuasisti: at nobis nata est puella ex eodem quidem atque Eva figmento; quæ tamen Evæ emendatio fit ac causa ut ipse supplanteris, qua vivificum Dei Sermonem ineffabili ac majori cogitatu ratione susceptura est.

Ἄκουε, γηραιὲ προπάτορ, καὶ πρὸς ἀμείνονας ἐλπίδας μετάθου· οὐ γὰρ ἔτι ἀβοήθητος ἐν θλίψει καὶ στενοχωρίᾳ διαγενήσῃ· ἐπέστη γὰρ δι' ἧς ὁ κραταιὸς ἐν ἰσχύει βοηθὸν ἐξαπλώσει χεῖρα, καὶ τῆς ταλαιπωρίας ἐξαγάγοι. Οὐκέτι ἡ διὰ βρώσεως ἐπινεμομένη φθορὰ τὸ κατ' εἰκόνα τοῦ πλάστου πλάσμα λωβήσεται· ὁ γὰρ Δημιουργὸς οἰκείοις σπλάγχνοις ἑαυτὸν παρακαλέσας, τὸ ἅγιον αὐτοῦ ὑπεστήσατο σκήνωμα· καὶ μετὰ τῶν κατοικούντων ἐν φθορᾷ γνώμην τίθεται συναναστραφῆναι, ἵνα διαμείψῃ πρὸς ἀφθαρσίαν. Ἀλαλάξωμεν τῷ Θεῷ, ὅτι τῆς πολυχρονίου τυραννίδος ἡ βαρύτης ἀρχὴν λαμβάνει τοῦ ἐλαφρύνεσθαι· μᾶλλον δ' ὁ ἀποστάτης εἰς φυγὴν τὴν δίωξιν ἐναλλάξας, ἀναχωρεῖ τύραννος, ὀφθέντος τοῦ βασιλικοῦ σκήπτρου. Οὐκέτι χώραν ἐφόδου καθ' ἡμῶν

Audi, senex progenitor, inque spem meliorem transferaris: nec enim jam auxilio destitutus in D afflictione ac angustia ages: quippe venit per quam fortis ille in virtute auxiliatricem explicans manum, a miseria educat ac liberet. Non ultra per escam depascens corruptio, quod ad fictoris imaginem figmentum conditum est, lædet. Conditor enim suis ipse visceribus provocatus, consilium init, decernitque cum corruptione versari, quo in incorruptionem commutet. Jubilemus Deo, quod diuturnæ tyrannidis grave onus leve fieri incipiat. Imo apostata tyrannus, pro eo ut persequatur, fugam iniens recedit, ubi regale conspexit sceptrum. Non amplius adversum nos invadendi locum inveniet; erigitur enim nobis cornu potentiæ de domo David [9]; cornu, in-

[7] Gen. III 5. [8] ibid. 16. [9] Luc. I, 69.

quam, in quo eorum cornu, qui hactenus in malitia dominati sunt, conterendum est.

Enimvero, mihi David opportunus venis: cane vero puellæ ex tuis lumbis genitæ: cane dulcisona tuæ sapientiæ cantica, *sanctificationis arcam* [10] suaviter modulans; gloriosam illam *in fimbris aureis* [11]; *montem in quo beneplacitum est inhabitare in eo* [12], portanti manu universos fines terræ. Age autem, nunc quoque salta coram divina arca, saltus utique ab omni liberos reprehensione. Brevi quidem post, ingredientem in Sancta, pompa deduces, jucundam illam juvencularum congregans choream; hactenus autem, tuo ipsius saltu, honora visam illam. Nemo enim est, qui hoc nomine reprehendere præsumat: nemo instar filiæ Saulis sinistra voluntate immittet linguam [13]: quin universos res delectabit, tum quod mysticam Dei arcam honorari videant, tum quod tibi, ob ejus tecum necessitudinem, pari exsultatione congaudeant. En tibi et finis eorum advenit, quæ jurejurando promissa sunt: qui namque de fructu ventris in sæculum super regni solium sessurus est, e virginali jam solio assurgit [14].

At tu, Virgo ac Mater, quæ hæc plurimum distantia, unita in te ostendisti [15]; tu, inquam, contra quidem spem nata, quæque altiori supra rationem partu prolem edideris, ne Filium ac Deum placare desieris, pro hæreditate quam ei Pater dedit; cui etiam nos pastores præfecit, ut ab omnibus rapacium bestiarum insidiis illæsos custodiat, tum quotquot obscurum, tum quotquot apertum, ac quod oculis ipsis videatur, periculum afferunt: nutriatque ac educet, nunc quidem in pietatis vivificis mansionibus: ubi autem hinc migrare oportuerit, accumbere faciat in salutis atriis atque stabulis, ubi nullus timor, nulla est turbatio, nulla insidiarum sollicitudo: sed omnis remissio, tranquillitasque, atque exsultatio; eo quod ipsius simus populus, solique ei gloriam ac adorationem tribuamus, nunc et in sæcula sæculorum. Amen.

A εὑρήσει· ἐγείρεται γὰρ ἡμῖν ἐξ οἴκου Δαβὶδ κέρας δυνάμεως· κέρας ἐν ᾧ συντριβήσεται τῶν μέχρι νῦν ἐπὶ κακίᾳ δυναστευσάντων τὸ κέρας.

Ἀλλά μοι Δαβὶδ εἰς καιρὸν ἥκεις· καὶ ᾆδε τῇ ἐξ ὀσφύος ἀποκυηθείσῃ θυγατρί· ᾆδε τῆς σῆς σοφίας τὰ ἡδύφθογγα ᾄσματα, *τὴν κιβωτὸν* ἀναμέλπων *τοῦ ἁγιάσματος*· τὴν δεδοξασμένην *τοῖς χρυσοῖς κροσσωτοῖς*· *τὸ ὄρος ὃ εὐδόκησε κατοικεῖν ἐν αὐτῷ*, ὁ φέρων τῇ χειρὶ τὰ τῆς γῆς πέρατα. Ἄγε δὴ καὶ νῦν σκίρτησον ἔμπροσθεν τῆς θείας κιβωτοῦ, σκίρτημα μώμων ἐλεύθερον. Μικρὸν μὲν οὖν ὕστερον εἰς τὰ Ἅγια εἰσιούσης προπομπεύσεις, τὴν τερπνὴν ἐκείνην τῶν νεανίδων συνιστῶν χορείαν· τέως δὲ νῦν τῷ καθ' αὐτὸν ἅλματι, τίμησον ὀφθεῖσαν αὐτήν. Οὐ γάρ ἐστιν ὁ ἐπὶ τοῦτο θρασυνθείη μωμήσασθαι· B οὐδεὶς κατὰ τὸ Σαοὺλ θυγάτριον γλῶσσαν ἐπαφήσει γνώμῃ οὐκ ὀρθῇ κινουμένην· ἀλλ' ἡσθήσονται· τοῦτο μὲν τὴν μυστικὴν τοῦ Θεοῦ κιβωτὸν τιμωμένην ὁρῶντες· τοῦτο δὲ καὶ σοὶ διὰ τὴν πρὸς αὐτὴν οἰκειότητα συναγαλλόμενοι. Ἴδε σοι καὶ τὸ πέρας τῶν ὀμωμοσμένων παρέστηκεν· ἐκ καρποῦ γὰρ τῆς κοιλίας ὁ μέλλων εἰς τὸν αἰῶνα καθίσειν ἐπὶ τὸν θρόνον τῆς βασιλείας, ἤδη τοῦ παρθενικοῦ θρόνου ἀνίσταται.

Ἀλλ', ὦ Παρθένε καὶ Μήτηρ, ἡ τὰ πολὺ διεστῶτα ταῦτα, ἡνωμένα ἐπὶ σοὶ δείξασα· ἡ παρ' ἐλπίδας μὲν τεχθεῖσα, ὑπὲρ λόγον δὲ τεκοῦσα, τὸν Υἱὸν καὶ Θεὸν ἱλεουμένη μὴ διαλίπῃς, ὑπὲρ ἧς δέδωκεν ὁ Πατὴρ αὐτῷ κληρονομίας· ἧς καὶ ἡμῖν τὴν ποιμαντικὴν C ἐπιστασίαν ἐπέτρεψεν· φυλάττεσθαι μὲν κρείττους ἐπιβουλῆς τῶν ἁρπάγων θηρίων, ὅσοι τε ἀφανῆ, καὶ ὅσοι ὁρώμενον φέρουσι κίνδυνον· ἄγειν δὲ καὶ ἐκτρέφειν νῦν μὲν ἐπὶ τὰς ζωηφόρους τῆς εὐσεβείας μονάς· ἐπειδὰν δ' ἐκεῖθεν μεταφοιτῆσαι δέοι, εἰς τὰς σωτηρίους ἐπαύλεις διαναπαῦσαι· οὐ φόβος οὐδεὶς, οὐδὲ τάραχος, οὐδ' ἐπιβουλῆς μέριμνα· πᾶσα δ' ἄνεσις καὶ ἀταραξία καὶ ἀγαλλίασις· ὅτι αὐτοῦ ἐσμεν λαὸς, καὶ αὐτῷ μόνῳ τὴν δόξαν καὶ τὴν προσκύνησιν φέρομεν· νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO II.

In sanctam prolem Dei Matrem semper virginem ex sterilibus lumbis in Sancta adductam atque oblatam.

D ΛΟΓΟΣ Β'.

Εἰς τὴν ἐκ στειρωτικῶν λαγόνων προσαγομένην εἰς τὰ Ἅγια ἁγίαν γονὴν, τὴν ἀειπάρθενον τοῦ Θεοῦ Μητέρα.

(COMBEFIS. l. c. p. 1619.)

Quænam ista quæ exoritur velut lilium [16] inter medias humanæ confusionis in vitiositate spinas? Quæ novæ istæ ac insolitæ primitiæ? Non enim consuetæ, sed quæ præclaræ admodum, summeque novæ videantur, atque in novum maxime finem templo consecrentur. Quænam ista in Regis palatium cum gloria intrans? Quænam vera juvencularum chorea, quarum honeste admodum circumstrepente choro, tanquam decoro amictu sponsa, læta

Τίς αὕτη ἡ ἀνατέλλουσα ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν τῆς ἀνθρωπίνης ἐν κακίᾳ συγχύσεως; Τίς αὕτη ἡ ξενίζουσα ἀπαρχή; Οὐ γὰρ συνήθης, ἀλλὰ καλλίστων ἐοικυῖα καὶ καινοτάτων, ἐπὶ καινοτάτοις τῷ ἱερῷ ἀφορίζεται. Τίς ἡ μετὰ δόξης πρὸς τὸ τοῦ Βασιλέως ἀνάκτορον εἰσελαύνουσα; Τίς δ' ἡ τῶν νεανίδων χορεία, αἷς μάλα σεμνῶς περιηχουμένη, οἷα νύμφη εὐπρεπῶς ἐστολισμένη πρὸς τὸν νυμφῶνα ἐν φαιδρότητι παραγίνεται; Τίς αὕτη ἧς ἐν ταπεινώσει

[10] Psal. CXXXI, 8. [11] Psal. XLIV, 14. [12] Psal. LXXVII, 17. [13] II Reg. VI, 16. [14] Psal. CXXXI, 11. [15] Psal. II, 8. [16] Cant II, 2.

A τῆς ἡμετέρας ἐσχατιᾶς ὠσφράνθη τὸ ἱμάτιον τῆς εὐωδίας τῶν ἀρετῶν τῆς στολῆς, ὁ ἀπείρῳ ὕψει ὑπεραναβεβηκώς; Τίς αὕτη ἡ ἀληθῶς τῶν τιμιωτάτων ἀπαρχή; Ἄρτι γὰρ ἡ διὰ κατάραν ἀκανθοφόρος, πρὸς τὸ εὔφορον μεταβαλοῦσα, καὶ καρπὸν ἐνεγκοῦσα, οὐ κατὰ τὴν συνήθη πικρίαν, ἀλλὰ γλυκασμὸν εὐλογίας ἐμφαίνοντα, ὡς ἔντιμον ἀπαρχὴν εὐχαριστοῦσα τῷ καρποδότῃ φέρει. Αὕτη ἀληθῶς ἡ νυμφικὴν καταπλουτοῦσα εὐπρέπειαν καὶ πρὸς Νύμφην τοῦ Μονογενοῦς ἐξειλεγμένη. Διὰ τοῦτο καὶ πρὸς τὸν θεῖον νυμφῶνα μετὰ Θειότητος ἐνδημεῖ· ἡ δὲ καλὴ τῶν νεανίδων χορεία· τοῦτο μὲν, προπομπεύει τιμῶσα· τοῦτο δὲ οἷα παρθένοι τῇ Παρθένῳ συνήδονται.

B Τί δὲ ἡμεῖς; Ἆρ' οὖν μόναις παρήσομεν ταῖς καλαῖς νεάνισι τῆς οὕτω θείας κατατρυφᾷν ἡδονῆς; οὐδὲ ἐξὸν ἡμῖν συμμετασχεῖν τῆς χορείας, οὐδὲ ἀπολαύειν τῆς εὐφροσύνης; Ἢ συνεπιληψόμεθα καὶ συνδιαπλέξομεν τὴν εὐφημίαν, καὶ τῆς ἱερᾶς πορείας συμμετασχήσομεν, ἐκείνην τε οἷς λειτουργοῦμεν τιμῶντες, καὶ ἡμῖν αὐτοῖς χαριούμενοι; Μάλιστα μὲν γὰρ ὅσιον τῇ Παρθένῳ τὰ εἰς τιμὴν συντελεῖν· εἰ δ' ἄρα τι καὶ ἡμῖν μετέσται δόξης οἷς ἐκείνη δοξάζεται, καὶ τοῦτο δὲ σκοποῦντας· συναπαρτίζειν τὴν χορείαν καὶ τὸν ἔπαινον, εὔλογον. Πάντως δὲ οὐκ ἀκερδὴς ἡμῖν ἔσται ἡ ἐπιχείρησις· ἀλλ' οἷς ταύτῃ δόξης εὐπορήσει, καὶ πρὸς ἡμᾶς τὰ ἐκεῖθεν σεμνὰ διακομισθήσεται. Οἷς αὕτη ὡς πολύτιμον δῶρον ἐκλέγεται, τῆς ἐπ' αὐτῇ κερδανοῦμεν φιλοτιμίας. C Ἀλλὰ ποῦ μοι ὧν τὸ πολύτιμον εὑρέθη δῶρον; Ποῦ δὲ, ὧν ἡ μεγάλη αὕτη εὐκληρία; Καλῶς γὰρ ἔχει πρώτους ἐκείνοις περιτυχόντας, οὕτω τῇ θυγατρὶ συνευφραίνεσθαι. Ἅμα δὲ καὶ παρ' αὐτῶν εἰκὸς ἐκμαθεῖν τῆς χαρμονῆς τὴν ὑπόθεσιν.

Φέρε δὴ, οἱ τὴν καλὴν ὠδῖνα ταύτην λυσάμενοι, οἵ τινές ποτέ ἐστε, κοινωνοὺς ἡμᾶς τῆς εὐφροσύνης καὶ τῆς ἐπὶ τῷ θυγατρίῳ χοροστασίας ἄγοιτε. Τί δέ; Τῶν ὠδίνων εὐχαριστήσοντες ἄπιτε· ταῦτα δὴ τὰ συνήθη, καὶ τὴν θυγατέρα ταῖς ἱεραῖς τελεταῖς οἷα δὴ σφραγῖσιν ἐπισημαινούμενοι· ἧς τὴν βλάστην εὐχαῖς ἐγεωργήσατε, ταύτης τὴν αὔξησιν καὶ τελείωσιν ἐκείναις καταπιστεύοντες· D ἢ δι' ὧν αὐτοὶ τὸ εἶναι πατέρες ἐκτήσασθε, τὸν δεδωκότα ὡς δυνατὸν ἀμυνόμενοι, τῷ ἐκείνου οἴκῳ τῶν παρ' ὑμῖν τιμίων εἰς κτῆσιν[a] προσάγετε· ἢ μεγαλοψύχως τὸν εὐγενῆ τόκον ἀφιεροῦτε, ὅλον ὑμῶν τῷ καρποδότῃ χαριζόμενοι τὸ γεώργιον. Τοῦτο δὲ ἄρα δίδωσι κατανοεῖν ἡ τῶν παθόντων προαίρεσις. Ἔοικε δὲ οὖν μεγάλα τινὰ ἡ προσένεξις πραγματεύεσθαι· καὶ τὴν περιεσομένην ἐκ ταύτης φαιδρότητα τὰ νῦν μηνύει γινόμενα. Ἀλλὰ γὰρ Ἰωακεὶμ καὶ Ἄννα, ποῦ τὴν θαυμαστὴν εὐκληρίαν μέχρι τοῦ νῦν κατεκρύπτετε; Ποῦ τὴν θείαν ὠδῖνα ἐπισχόντες ἐλανθάνετε; Πῶς δ' οὕτως σκυθρωπῶν ἐκ κόλπων ἡ ἀμύθητος φαιδρότης ἐξ-

A in thalamum venit? Quænam ista, cujus in humilitate infimæ nostræ abjectionis, suave fragrantis virtutum stolæ indumentum odoratus est, qui immensa celsitate universis eminet? Quænam hæc vere pretiosissimarum rerum primitiæ? Jam enim quæ propter diras spinarum ferax erat, in frugum feracem conversa, fructum editum, non qui pro more acerbum aliquid, sed qui benedictionis dulcorem exhibeat, ut pretiosa primitiarum munera, gratiarum actionis monumento, frugum datori præsentat. Hæc vere Sponsa decore uberi prædita, inque Unigeniti Sponsam electa. Idcirco etiam in divino thalamo cum Deitate moratur: præclara autem juvencularum chorea, qua pompa deducens honorat; qua tanquam virgines, Virgini congaudent.

B Quid nos vero? Solasne ergo præclaras juvenculas divina adeo deliciari voluptate sinemus? ac cum liceat choreæ participes esse, ne curabimus quidem lætitia perfrui? An conjunctis studiis laudationem pariter contexemus, ac sacri itineris accedemus socii, tum illam quibus obsequimur, honorantes, tum ipsi nobis indulgentes? Sane quidem perquam justum sanctumque, ut quæ sunt ad honorem, Virgini persolvamus: quin si quid etiam nobis, quibus illa laudatur, gloriæ accedat, id quoque spectantes pariter choream explere ac laudem, id vero rationi consentaneum est. Haud plane conatus cedet inutilis: imo, qua commode eam laudabit, ad nos inde præmia referet. Quibus C illa ut maximi pretii donum eligitur, ambitiosi in eam cultus nostri lucra consequemur. Enimvero ubinam quorum donum hoc pretiosissimum inventum est? Ubinam vero quorum magna hæc excellentia? Præclare namque habuerit, ut primum eos allocuti, sic filiæ collætemur. Quin et ab eis operæ pretium gaudii causam ediscamus.

Agite ergo, quicunque tandem hujusce præclaræ prolis parentes estis, ejus nos lætitiæ ac choreæ, quæ in filia agitur, socios adhibere. Quid vero? Pro felici partu gratias habituri pergitis; quæ nimirum mos habet præstituri, sacrisque initiationibus tanquam signaculis filiam obsignaturi; ut cujus germen precibus excoluistis, eam precibus augendam ac consummandam credatis: D aut quibus comparastis ut parentes essetis, iis pro virili beneficium datori, pensantes, ejus domui pretiosa vestra, quibus exsolvatur debitum, offertis: vel magnifico pectore ingenuam consecratis prolem, totum quod vestro agro succrevit frugum, frugum datori præbentes. Hoc enimvero intelligendum suggerit, eorum voluntas qui sic affecti fuerunt. Porro visa est magna quædam negotiari ac præstare oblatio; futuramque ex illa lætitiam, quæ nunc geruntur, significant. Verum vos Joachim et Anna, ubi hactenus mirabilem felicitatem abscondistis? Ubi divinum continentes partum delituistis? Qua autem

VARIÆ LECTIONES.

[a] Leg. ἔκτισιν.

ratione ex tristi adeo sinu cogitatu major lætitia eluxit? Quomodo sic et vester sterilis ager, frugumque divitias omnes, dando fructum superavit? Enimvero quid hæc curiosius inquiro, cum pariter gaudere atque lætari oporteat?

Enimvero cujus gratia filiam supplicatione deducitis (3), hoc tantum honorantes oblationem? An non liquido, quia, licet a vobis offerri videatur, velut tamen communis pro universis oblata propitiatio, communi etiam supplicatione offertur? Quanquam profertur de vestro penu, ad Numen tamen omnibus placandum tribuitur. O doni vim! O donum, quo Deus donari volens, iramque exstinguere, quam in nos ipsi accenderamus, de vestro sinu, velut thalamo quodam auro prædivite, produxit; donum, quod fictor accipiens, figmenti donabit instaurationem; donum, per quod consolationem, qua se nos consolatum sua ipse misericordia provocavit, in opus efferet. Sane quidem Deus, quem condidisset hominem, dæmoniaca malignitate male affici videns, quanquam consequens erat ut in malitia contereretur: quid enim aliud lucri reportare debebat, qui spreto præcepto Dominico, dæmonis consilio adhæsisset? haud tamen in malis videre sustinuit, quem creat hominem ut fruatur bonis: quin init consilium summe bonus ille, ipsum ulciscendi. Cæterum cum illud Domini tum sapientiæ, tum bonitatis esset, ut nedum gratis suo nos dignaretur auxilio, verum etiam ut quibus misericordiam præstaret, occasionem præberet, ut ne mera gratia auxilium collatum videretur; sed posset humanum genus ipsum a se etiam aliquid conferre; cumque nihilominus deesset positis in terra, quo celsitate omni majorem acciperent: hoc ipsum tribuit ipse, ut non solum accensa in nos ira solveretur, cujus merito rei tenebamur, qua nullo egentem donare videremur, verum etiam ipse sese impensioris amoris exsuperantia donaret: simile quid præstans, qui eximio quodam amore in humanum genus habet, siquidem sic loqui liceat, ea comparanti, quæ majora sunt comparatione; atque ii, qui et ipsi excellentia amoris, ut amicis deesse contingat quibus laute excipiant, a se ipsi in postcessum opportuna dependunt (4); ut et ipsi

A ἔλαμψεν; Πῶς οὕτω καὶ ἄκαρπος ἡ ὑμετέρα χώρα, καὶ τῷ δοῦναι καρπὸν, πάντα πλοῦτον καρποῦ ὑπερήλασεν; Ἀλλὰ τί ταῦτα, δέον συγχαίρειν καὶ συμφαιδρύνεσθαι, πολυπραγμονῶ;

Πλὴν τί λιτανεύετε τὸ θυγάτριον, τοῦτο μόνον τιμῶντες τὴν προσένεξιν; Ἢ δῆλον ἐκεῖνο· ὅτιπερ εἰ καὶ παρ' ὑμῶν δοκεῖ προσηνέχθαι, ἀλλ' οὖν κοινὸν ὑπὲρ πάντων ἐξίλασμα προσφερόμενον, κοινῇ καὶ τῇ λιτανείᾳ προσφέρεται. Εἰ καὶ ταμιείων ὑμετέρων προέρχεται, ἀλλ' οὖν ὑπὲρ τῆς πάντων εὐμενείας χαρίζεται. Ὢ δώρου ἰσχύος! Ὢ δώρου, ᾧ δωροδοκηθῆναι Θεὸς βουληθεὶς, σβέσαι τε τὸν παροργισμὸν ὃν ἐξεκαύσαμεν καθ' ἡμῶν, οἱόν τινων πολυχρύσων θαλάμων τῶν ὑμετέρων κόλπων προήγαγεν· δῶρον ὃ B λαβὼν ὁ πλάστης, δωρήσεται τὴν ἀνάπλασιν· δῶρον δι' οὗ τὴν παράκλησιν ἣν ὑπὸ τῆς οἰκείας εὐσπλαγχνίας ἑαυτὸν παρεκάλεσεν, εἰς ἔργον ἐξοίσει. Πάλαι μὲν οὖν Θεὸς, ὃν ἐδημιούργησεν ἄνθρωπον ὁρῶν δαιμονίων σκαιότητι κακούμενον, εἰ καὶ ἀκόλουθον ἦν ἐν κακίᾳ κατατρίβεσθαι· τί γὰρ ἐχρῆν ἄλλο κερδάναι τὸν ἀλογίσαντα μὲν Δεσποτικῆς ἐντολῆς, δαιμονίων δὲ προσθέμενον συμβουλῇ; ὅμως ὁρᾷν οὐκ ἔφερεν ἐν κακοῖς, ὃν ἐφ' ᾧ ἀγαθῶν ἀπολαύοι δημιουργεῖ· ἀλλὰ βουλὴν ἐπαμύνειν ποιεῖται ὁ ὑπεράγαθος. Ἐπεὶ δὲ καὶ τοῦτο τῆς Δεσποτικῆς ἦν καὶ σοφίας καὶ ἀγαθότητος, μὴ μόνον προῖκα τῆς παρ' αὐτοῦ βοηθείας ἐθέλειν ἀξιοῦν· ἀλλὰ καὶ τοῖς οἰκτειρομένοις ἀφορμὴν παρασχεῖν, τοῦ μὴ δοκεῖν ἐν χαρίτων εἶναι μοίρᾳ τὴν C βοήθειαν, ἀλλ' ἔχειν τι καὶ παρ' αὐτῶν εἰς τοῦτο συντελεῖν· ἠπόρουν δὲ ἄρα οἴκοθεν, ᾧ τὸν ὑπεράνω παντὸς ὑψώματος δεξιώσονται, δίδωσι καὶ τοῦτο αὐτός· ἵνα μὴ μόνον ἡ πρὸς ἡμᾶς ὀργὴ ᾗ δικαίως ἦμεν ὑπεύθυνοι λύοιτο ἐν τῷ ἀπροσδεῆ δωροδοκεῖσθαι δοκεῖν, ἀλλὰ καὶ αὐτὸς ἑαυτὸν δι' ὑπερβολὴν φίλτρου δωροδοκοίη· ὅμοιόν τι ποιῶν ὁ διαφερόντως τοῦ ἀνθρωπίνου γένους ἐραστὴς, εἰ δεῖ τοῦτο εἰπεῖν εἰκάζοντας τὰ ἀνόμοια, τοῖς δι' ὑπερβολὴν ἔρωτος ὁπόταν ἀπορεῖν ᾖ τοῖς φιλουμένοις πρὸς δεξίωσιν, οἴκοθεν τὰ ἐπιτήδεια προσκαταβάλλουσιν[b]· ἵνα αὐτοί τε δεξιοῦσθαι δοκῶσαν, καὶ τοῖς ἐρωμένοις ὡς παρ' αὐτῶν τι διδοῦσι σεμνύνεσθαι περιῇ. Τοιοῦτό τι ὁ φιλάνθρωπος πραγματεύεται, καὶ δίδωσι τὸ μὲν φαινόμενον Ἰωακεὶμ καὶ Ἄννῃ τὴν παῖδα, λαμβάνει δὲ ἡ τῶν ἀν-

VARIÆ LECTIONES.

[b] Ισ. προκαταβαλ.

NOTÆ.

(3) *Supplicatione deducitis*... λιτανεύετε. In sequentibus accipit eam vocem pro deprecatione quæ ipsi Mariæ fieret, aptans proposito illud psal. XLIV: *Vultum tuum deprecabuntur omnes divites plebis*. Hic autem nihil aliud innuit quam virginum illam, deducentium Virginem accensis facibus, sacram pompam, qua una honestarunt Mariæ parentes filiæ oblationem. Sic enim Jacobi liber, cui Græci omnes laudatores Mariæ in istis nituntur: Καὶ εἶπεν Ἰωακείμ· Καλέσατε τὰς θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους, καὶ λαβέτωσαν ἀνὰ λαμπάδα, καὶ ἔστωσαν καιόμεναι, ἵνα μὴ στραφῇ ἡ παῖς εἰς τὰ ὀπίσω, καὶ αἰχμαλωτισθῇ ἡ καρδία αὐτῆς ἐκ ναοῦ Κυρίου. Καὶ ἐποίησαν οὕτως, ἕως ἂν ἀνέβη ἐν τῷ ναῷ Κυρίου. *Dixit autem Joachim: Convocate* D *filias Hebræorum, quæ sint incontaminatæ, sumantque singulas accensas faces, ac maneant accensæ, ut ne puella retro convertatur, ejusque animus a Domini templo captivus abducatur: sicque fecerunt, donec ascendisset in templum Domini*. Sic ergo velut commune anathema oblata est, non ut parentum singulariter munus; quod auctor urget ac colligit.

(4) *In postcessum dependunt*. Προσκαταβάλλουσι. Publicani ac communium vectigalium redemptores duo tempora habebant constituta, quibus solverent: unum statim factis redempturis, quod προκαταβολὴ dicebatur; alterum, cum pensionis mercedumque reliqua pars jam in debitum pendebatur, quod dicebatur προσκαταβολή. Velit ergo Leo sic

θρώπων φύσις, ἵν' ἔχοιμεν Θεῷ βουληθέντι λαβεῖν ἐξ ἡμῶν, μὴ ἀπόρως πρὸς δωρεάν.

A laute excipi videantur, habeantque, quos amore prosequuntur, quo glorientur, tanquam aliquid ex propriis dederint. Ejusmodi aliquid molitur benignus ille ac clemens, videturque puellam dare Joachim ac Annæ; at accipit genus ipsum humanum, ut non desit, quod Deo volenti a nobis accipere, demus munus.

Ἀλλ' ὢ τὴν πλουσίαν ταύτην δωρεὰν διαπορθμεύσαντες πρὸς ἡμᾶς, οἱ τῷ πρώτως καὶ λαβεῖν καὶ δοῦναι πάντων εὐπορώτεροι γεγενημένοι! Ὢ ταμιείων ὀλβίων ἐξ ὧν προελήλυθεν! Ὢ μακαρίων ὠδίνων! Ὢ λοχείας ὀψιτόκου, πᾶσαν ἀποκρυψαμένης εὐπαιδίαν! Ὢ παιδὸς, ἣ τὴν μητέρα τῆς πολυχρονίου ὀφειλῆς ἀπολύσει, καὶ τοῦ γονέως τὴν γύμνωσιν περιστελεῖ, ἐν τῷ δανείζειν τῆς σαρκὸς τὸν χιτῶνα τῷ πλαστουργῷ· ἧς ἐν τῷ λαμβάνειν πῆξιν τῷ νέῳ Ἀδὰμ ὁ παλαιὸς, τὸ ἐκ τῆς πλευρᾶς ἀπολάβοι χρέος! Ὢ κόρης, ἧς ὁ ὑπεράνω τῶν οὐρανῶν ὀφθήσεται ἐραστής! Ὢ δι' ἧς ὁμιλήσει Θεὸς φύσει τῇ χοϊκῇ! Ὢ δι' ἧς ἡμῖν περιποιηθήσεται τὸ ἀξίωμα, ὅπερ οὐκ ἐν καιρῷ λαμβάνειν βουληθέντες, τῶν προσόντων ἐζημιώθημεν! Ἀλλ' ἐπίωμεν τῷ παλαιῷ καὶ ἀψύχῳ ναῷ, τὸν νέον καὶ ἔμψυχον καθιερώσοντες τῷ ἱερῷ· κατοικίζοντες χωρίῳ τὸ χωρίον, ἐν ᾧ κατοικήσει πᾶν τὸ πλήρωμα τῆς θεότητος· τῷ ἁγίῳ σκηνώματι τὸ σκήνωμα τῆς δόξης συνάπτοντες· τὸν θρόνον τοῦ βασιλέως τοῖς ἀνακτόροις ἀποτιθέντες. Συναπίωμεν ταῖς παρθένοις, τὴν ἀειπάρθενον πρὸς τὴν παστάδα πεμπούσαις. Τῇ κοινῇ τοῦ γένους τιμῇ, κοινὴ συστήσωμεν τὴν τιμήν· τῇ κοινῇ τοῦ γένους ἀγαλλιάσει κοινῇ τὴν χορείαν κροτῶμεν· κοινῇ τῆς ἡμῶν σωτηρίας προσκιρτῶμεν τῆς κιβωτοῦ.

At, o vos, qui munus hoc locupletissimum ad nos devexistis, qui et ea gratia, quam primi accepistis dedistisque, universis locupletiores facti estis! O beatum ærarium, ex quo illud prodiit! O beatum partum! O tardam fetus editionem, universam amplæ probæque sobolis gloriam obscurantem! O puellam, quæ matrem veteri illo debito absolvet, parentisque obteget nuditatem; qua fictori carnis tunicam commodatura est; ex qua B dum novus Adam compactum accipiet corpus, antiquus ille costæ debitum recipiet. O puellam, cujus is, qui est supra cœlos, se amatorem ostendet! O per quam Deus, cum natura pulvere constante, consuetudinem habiturus est! O per quam nobis accessura est dignitas, quam cum importune captassemus, eorum quæ suppetebant, jacturam fecimus! Eamus vero, veteri ac inanimi templo, templum novum ac animatum dedicaturi; sacro loco, locum inducturi, in quo sit inhabitatura plenitudo tota divinitatis; sacro tabernaculo gloriæ tabernaculum adjuncturi: Regis solium in palatium illaturi. Una sociabus virginibus, perpetuam in thalamum deducentibus Virginem, abeamus. Communi generis honori, communi studio C honorem adhibeamus; communi generis exsultationi, communi plausu choream celebremus; communi lætitia nostræ salutis arcæ præsultemus.

Ἄγε δή μοι, Δαβὶδ, τῶν σῶν σκιρτημάτων χρῆσον. Σὺ γὰρ ἂν ἄριστος εἴης χοραστάτης· μάλιστα μὲν τῷ ἐξ αἵματος εἶναι τὴν τιμωμένην· πάλαι δ' οὖν κἂν τῷ τύπῳ τὰ σκιρτήματα μελετήσας, καὶ προᾴσας τὸ ᾆσμα, ὃ εἰς τὰ παρόντα συνετίθετο. Νῦν γὰρ ἣν ὀξυωπεῖ διανοίας ὄμματι θυγατέρα προέβλεπες, ᾗ καὶ πατρικὴν ἐδίδους εἰσήγησιν, οἴκου πατρῴου λήθην λαβεῖν, ἐκ τῆς σῆς ὀσφύος ἐφανερώθη ἡμῖν. Νῦν δὴ τὸν κροσσωτὸν χιτῶνα στολισαμένη, εἰς ἐπιθυμίαν τοῦ κάλλους τὸν βασιλέα καὶ Χριστὸν εἵλκυσεν. Διὰ τοῦτο οἷα Βασιλίδι νεάνιδες, πρὸ προσώπου αὐτῆς θεραπευτικῶς λιτανεύσουσιν. Δεῦρο δὴ ὅποι ποτ' ἂν ᾖς, πρὸς τὰ νῦν παραγενοῦ τελούμενα. Τῆς σῆς γὰρ εὐτάκτου χορείας ἡμῖν δεῖ, καὶ τοῦ σκιρτήματος· καὶ ἃ προλαβὼν ἐπῇδες, ταῦτα καὶ νῦν ᾄδων τὰ εἰκότα λειτούργησον. Ὁρᾷς γὰρ τὴν σὴν θυγατέρα λιτανευομένην ἐν πράγμασιν, ᾗ μόνος ἐν θεωρίᾳ ἐλιτάνευες. Ὁρᾷς τὴν ἐξ ὀσφύος σου κιβωτὸν τοῦ ἁγιάσματος, εἰς κοινὴν ἀνισταμένην τῶν πεπονηκότων ἀνάπαυσιν. Ὁρᾷς τὸ ἱερώτατον καθιερούμενον ἱλαστήριον. Λέγω μέν· μᾶλλον δὲ, λέγε αὐτός· παραχωροῦμεν, οὐχ

Age vero nunc mihi, David, tuis utere saltibus. Ipse namque optimus choreæ præses eris, quod maxime quam honore prosequimur, ex tuo sata sit genere: ac cum olim jam vel in figura meditatus sis saltationem, ac canticum præcinueris, quod argumentum præsens respiciebat. Nunc enim quam acuto mentis oculo filiam prævidebas [17], ac quam paterne docebas, ut paternam oblivisceretur domum, ex tuis orta lumbis declarata est. Nunc stola aurea decore amicta, in sui cupiditatem decoris Regem ac Christum pertraxit. Idcirco adolescentulæ tanquam Reginam, D ante ejus vultum devoto obsequio deprecabuntur. Veni itaque quocunque tandem exsistas loco, atque sacris, quæ peraguntur, præsentem te exhibe. Tua namque egemus composita chorea et saltatione: ac quæ occupato cecinisti, ea nunc accinens, congruum ministerium imple. Vides enim tuam filiam, ut reipsa eam deprecentur, quam solus mystico intellectu ac contemplatione deprecatus es. Vides ex tuis ortam lumbis arcam sanctificationis, in communem eorum

[17] Psal. XLIV, 11.

NOTÆ.

amicos divites, pauperibus amicis refundere, ut qua illi insumpsissent, iis tractandis. Verum melius quadrat, τὸ προκαταβολή. Non enim nos in Deum priores aliquid contulimus, sed ipse contulit quæ ipsi nos postea offeramus; nec amicus dives factas amici pauperis expensas exspectare debeat, sed occupare: eoque inclino ut sit προκαταβάλλουσι.

qui labore premuntur, exsurgentem requiem. Vides sacratissimum dicari propitiatorium. Equidem dico; potius autem dicas ipse. Cedimus, non exsortes simus: sed tanquam patri puellæ.

Audi, filia, et inclina aurem tuam. Sola ab æterno electa es in sponsam Altissimi: sola ejus, qui universa implet, locus capax exsistis. *Audi, filia.* Paternam obliviscere domum et populum: fuisti namque in matrem ab eo assumpta, qui sedet super Cherubim. Vade in templum sanctum, quæ Dei templum exsistas. *Audi, filia, et obliviscere populum tuum;* innumerabilis enim multitudo eorum, qui in cœlo, ac qui sunt in terra, Dominam te obtinebunt. *Multæ filiæ fecerunt virtutem* [18]; multæ filiæ gloriam adeptæ sunt, multæ comparaverunt honestatem; *verum emines universis, verum supergressa es* gloria ac majestate, verum honestate cunctis præcellis. Hasce, David, filiæ tuæ pangens laudes, mecum pariter canticum ede: ac festa luce simul fruere: quin præcipuæ tuæ sunt partes. Nam olim quidem, cum Deo templum erigere desiderasses [19], non fuit concessum ut animi votum in finem perduceres: nunc autem cœlis potius tibi templum excitatum est, quod nec victimas, nec nidorem necessaria habeat. Jam enim eorum imminet finis, cœlesti Pontifice, quod ex te assumpsit, templum sanctificante. Verum hæc suo recurrent loco; nunc vero iis ministremus, quæ peraguntur, ac quæ deprecatio continua habet serie, connectamus.

Non *afferentur virgines* [20], quæ accinant: hoc enim olim contuitus psalmo edito præcinuisti: sed ecce virgines circum choreas in exsultatione agentes, velut reginæ præeunt in Regis abeunti templum. Ecce te ut immaculatam victimam, ad divinum adducunt thalamum. Ecce te divinæ plantationis radicem, ex qua germinaturus sit ramus, sub cujus umbra requiescent fines terræ, in gloriæ prato conserunt. Ecce te generis gaudium choreis undequaque cingentes, in locum inducunt exsultationis. Et quidem hactenus tui sunt exordia gaudii: brevi post, absolutius gaudium tuus tibi perferet pronubus, quando tibi gratia plenæ gaudium veniet annuntiaturus; quando læto faustoque nuntio tecum eum esse dicet, qui ubique adest: ille inquam, pronubus, qui abstruso illi ministrans mysterio, germen tibi absque semine nuntiabit; qui Filii sine patre, universorumque parentis, partum occupato præconio significabit: Filii, inquam, qui nunc velut aromatum suaveolentiam concilians, postea tuis ex lumbis prodiens, unguenti fragrantiam in orbem universum diffundet: qui nunc sacrum florem in sua recipiens domo, posthac ab intacto tuo utero efflorebit.

At, Virgo, nostræ gloriatio salutis, quæ et sacram sis sortita generationem, sacratiusque enutrita fueris ac instituta; in qua spei nostræ fixas anchoras habemus, tum ego, tum quem pascendum con-

A ὡς βασιλεῖ· τούτου γὰρ μέτεστι καὶ ἡμῖν· ἀλλ' ὡς πατρὶ τῆς παιδός.

tanquam regi; quippe cujus nec ipsi excellentiæ

Ἄκουσον, θύγατερ, καὶ κλῖνον τὸ οὖς σου. Μόνη ἐξ αἰῶνος εἰς νύμφην ἐξελέχθης Ὑψίστου· μόνη τοῦ πληροῦντος τὰ πάντα χρηματίζεις χωρίον. *Ἄκουσον, θύγατερ·* οἴκου πατρῴου καὶ λαοῦ ἐπιλάθου· εἰς οἶκον γὰρ τῷ ἐπὶ τῶν Χερουβὶμ προσελήφθης καθημένῳ. Ἄπιθι εἰς ναὸν ἅγιον, ναὸς Θεοῦ χρηματίζουσα. *Ἄκουσον, θύγατερ, καὶ ἐπιλάθου τοῦ λαοῦ σου·* πλήθους γὰρ ἀναριθμήτου τῶν ἐν οὐρανῷ καὶ γῇ, τὴν Δεσποτείαν ὀφθήσῃ λαχοῦσα. *Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν·* πολλαὶ δό-
B ξαν ἐκληρώσαντο· πολλαὶ σεμνότητα περιεποιήσαντο, *ἀλλ' ὑπέρκεισαι πασῶν, ἀλλ' ὑπεραίρεις* δόξῃ καὶ μεγαλειότητι, ἀλλὰ πασῶν ὑπερήχεις σεμνότητι. Ταῦτά μοι, Δαβὶδ, τὴν σὴν ἐπαινῶν παῖδα, συνεργάζου τὸν ὕμνον, καὶ τῆς ἑορτῆς συναπόλαυε· μᾶλλον δὲ, σοὶ τοῦ πλείονος μέτεστι. Πάλαι μὲν γὰρ ἐπιθυμήσαντί σοι ναὸν ἐγείρειν Θεῷ, οὐκ ἐγένετο πρὸς πέρας ἐξήκειν τὸ ἐπιθύμιον· νῦν δέ σοι τῶν οὐρανῶν ἀμείνων ἠγέρθη ναός· ναὸς οὐ θυμάτων, οὐδὲ κνίσης δεόμενος. Ἤδη γὰρ τούτων προκόπτει τὸ τέλος, τοῦ οὐρανίου Ἀρχιερέως τὸν ἐκ σοῦ ναὸν ἁγιάζοντος. Ἀλλὰ ταῦτα μὲν εἰς ἴδιον καιρὸν ἀπαντήσεται· νῦν δὲ τοῖς τελουμένοις λειτουργῶμεν, καὶ τὰ συνεχῆ τῇ λιτανείᾳ προσάπτωμεν.

C Οὐκ *ἀπενεχθήσονται παρθένοι* προσᾴδοντες· τοῦτο γὰρ πάλαι προέψαλλες θεωρῶν· ἀλλ' ἰδού σε παρθένοι ἐν ἀγαλλιάσει περιχορεύουσαι οἷα βασιλίδος εἰς ναὸν Βασιλέως ἀπιούσης προάγουσιν. Ἰδού σε ὡς ἄσπιλον ἱερὸν, εἰς τὸν θεῖον προσφέρουσι θάλαμον. Ἰδού σε τὴν θεόφυτον ῥίζαν ἧς ἀναβλαστήσει κλάδος, οὗ ὑπὸ τὴν σκιὰν τὰ πέρατα ἀναπαύσεται, ἐν τῷ τῆς δόξης λειμῶνι καταφυτεύουσιν. Ἰδού σε τὴν χαρὰν τοῦ γένους περιχορεύουσαι, εἰς τὸν τῆς ἀγαλλιάσεως τόπον οἰκίζουσιν. Ταῦτα μὲν ἐπὶ τοῦ παρόντος τῆς σῆς προοίμια χαρᾶς· μικρὸν δὲ ὕστερον, τελεώτερά σοι τὰ χαρμόσυνα κομιεῖ, ὁ σὸς ἐξ οὐρανοῦ νυμφοστόλος· ἐπειδάν σοι τῇ κεχαριτωμένῃ τὴν χαρὰν ἥξει μηνύων· ἐπειδάν σοι μετὰ σοῦ εἶναι τὸν
D πανταχοῦ παρόντα εὐαγγελίσεται· νυμφοστόλος ἐκεῖνος, ὃς τῷ ἀποκρύφῳ διακονῶν μυστηρίῳ, τὴν ἄσπορόν σοι βλάστην ἀπαγγελεῖ· ὃς τοῦ ἀπάτορος Παιδὸς, καὶ γονέως τῶν ὅλων, τὸν τόκον προαναχηρύξει· ὃς νῦν ὥσπερ ἀρωμάτων εὐοδμίαν οἰκειωσάμενος, μετέπειτα τῶν σῶν προϊὼν λαγόνων, εἰς τὴν οἰκουμένην τὴν μυρωδίαν διαχεεῖ· ὃς νῦν τὸ ἱερὸν ἄνθος εἰς τὸν ἑαυτοῦ ἀποδεχόμενος οἶκον, μετὰ ταῦτα τῆς σῆς ἀνεπάφου ἀνθήσει κοιλίας.

Ἀλλὰ, Παρθένε, τῆς ἡμῶν σωτηρίας τὸ καύχημα· ἡ λαχοῦσα μὲν τὴν γένεσιν ἱεράν· ἱερωτέρας δὲ ἀναθρέψεως καὶ ἀγωγῆς· ἐφ' ᾗ τῶν ἡμετέρων ἐλπίδων τὰς ἀγκύρας ἀνέχομεν, ἐγώ τε καὶ ὁ ποιμαίνειν

[18] Prov. XXIX, 29, sec. LXX. [19] II Reg. VII, 2. [20] Psal. XLIV, 16.

ἔδωκας ποίμνιον, δίδου μὲν ἡμᾶς τῆς ἁμαρτίας τοῦ κλύδωνος περιεῖναι· δοίης δὲ καὶ τῆς τῶν ἐχθρῶν τρικυμίας, ὅση τε ἀλλοφύλων, καὶ ὅση τῶν ὁμογενῶν ἐπανίσταται· καὶ τὴν σὴν προστασίαν οἷα πηδάλιον ἡμῖν ἐπιδοῦσα, ἅπαντας καὶ κυβερνωμένους, καὶ τὸν ᾧ τὴν κυβέρνησιν ἐνεχείρισας, εἰς τὸν ἀκύμονα λιμένα τοῦ Υἱοῦ σου καθόρμισον· ἔνθα πᾶσα φαιδρότης, καὶ χαρμοσύνη, καὶ ἄνεσις· ἔνθα πάντων ἑορταζόντων ὁ ἦχος, καὶ πάντων εὐφραινομένων κατοικία· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ σὺν τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A credidisti gregem, præsta nobis, ut peccati tumentes superemus fluctus; præsta vero, ut et hostium procellas eludamus, si quæ tum extraneis hostibus, tum domesticis excitantur; tuam protectionem gubernaculi instar prætendens, universos tum qui gubernantur, tum ipsum cui commisisti gubernandi partes, in tranquillum Filii tui portum subducas, ubi lætitia omnis, gaudiumque, ac remissio; ubi omnium epulantium sonus, omniumque lætantium habitatio: in Christo Jesu Domino nostro, cui cum Patre, unaque Spiritu sancto, gloria, potestas, honor, nunc et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ Γ'.

Εἰς τὸν Εὐαγγελισμὸν, ὅτε χαρὰν εὐαγγελίσθη Παρθένος, καὶ ἡ ἀρὰ κατελύθη.

ORATIO III.

In Annuntiationem, quando Virgo faustum gaudii nuntium accepit, ac maledictio dissoluta est (5).

(Combefis. I. c. p. 1652.)

Ὁ τῶν παρθενικῶν λαγόνων ἀνατείλας Ἥλιος Χριστὸς ὁ Θεὸς, καὶ σήμερον τὸ ἡμέτερον τῆς καρδίας διαλάμψας χωρίον, οἷά τινα ἄνθη τοὺς λόγους δίδωσι φέρειν ὑμῖν *. Καί μοι, καθάπερ παλάμας, τὰς καρδίας, ἂν ἄρα τι χρήσιμον ὁρῴητε ἀπανθιζόμενοι διαπλώσατε· Θεῷ τὴν χάριν ἀντιφέροντες, παρ' οὗ τὰ κάλλιστα κοινῇ τρυγῶμεν· τοῦτο μὲν ἐλομένοις τιμᾷν τὴν πανήγυριν· τοῦτο δ' ἀφοσιουμένοις τὸν πρὸς ὑμᾶς ἐγκάρδιον τῆς πνευματικῆς ἀγάπης ἔρωτα. Ἀλλὰ δεῦρό μοι, δημαγωγὲ τῶν ἄνω δήμων, τὰς οὐρανίους ἀψῖδας καταλιπὼν, τῇ Παρθένῳ λειτούργησον. Ἔξεστί σοι γὰρ καὶ νῦν οὐχ εἰς Ναζαρὲτ ἐπιστάντι Ἰουδαϊκῷ χωρίῳ, ἀλλ' ὡς ἀληθῶς ἐν τῇ πόλει τοῦ Βασιλέως Κυρίου, τὸ θεῖον αὐτοῦ τῆς δόξης ἀνάκτορον καταστέφειν ταῖς εὐφημίαις. Πάρεστί σοι καὶ νῦν τῇ παστάδι τοῦ Μονογενοῦς προσφωνεῖν τὴν χαρὰν, ἣν, πάλαι αὐτῇ εὐαγγελιζόμενος, μᾶλλον δὲ, δι' ἐκείνης ἁπάσῃ τῇ οἰκουμένῃ, ἐβόησας. Νῦν μάλιστα διαπρυσίων τῇ *κεχαριτωμένῃ* τὸ *Χαῖρε*, εἰπὲ, δι' ἧς ὁ Θεὸς καὶ Πατὴρ, ἃ πρὸ τῶν αἰώνων βεβούλευται, τὴν τῶν ἀνθρώπων καταλλαγὴν, ἐπιδημίᾳ τοῦ ἀγαπητοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι ἐξεπλήρωσε. Πάλαι γὰρ μὲν δι' ὑποψίας ὄντων τῇ Παρθένῳ τῶν εὐαγγελίων (παράδοξα γὰρ παρὰ πάντα λόγον εἶχει τῆς φύσεως;) εἰκός σε μεθ' ὑποστολῆς τὸ *Χαῖρε* βοᾷν· νῦν δὲ, τὴν παῤῥησίαν οὐδὲν ὑποτέμνεται. Οὐκοῦν οὐ προσταράξεις, οὐδὲ θαμβήσεις τῇ λαλιᾷ τὴν Παρθένον, ἐπὶ τῶν πραγμάτων τὰ σὰ εὐαγγέλια καθορῶσαν. Πρόσελθε καὶ φθέγξαι, οὐχὶ τὰ παλαιὰ ἐκεῖνα· *Συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν*· ἐξέβη γάρ· ἀλλὰ τί; Συνέλαβες ἐν γαστρὶ τὸν ἐπειλημμένον ἁπάντων· ἐχώρησας, ὃν χύτος οὐρανῶν οὐ χωρεῖ· ἐβάστασας, οὗ πάντα βαστάζεται τῷ νεύματι. Ἔτεκες ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὃν πρὸ αἰώνων ἐγέννησεν ὁ Πατήρ.

B Qui ex virgineis Sol visceribus oriens, Christus Deus, hodieque nostri cordis regionem illustravit, quasi flores quosdam, orationem proferre tribuit; velimque ut vos pectora instar manuum ad decerpendum explicetis, si quid conducibile aspectui occurrat; Deo vicissim gratias agentes, a quo pulcherrima quæque communi usura decerpimus: tribuit, inquam, qua ut solemnitatem honore prosequamur, qua ut spiritalis dilectionis, nostri in vos, cordi hærentis amoris, debitum persolvamus. Verum adesto, supernorum populorum ductor ac princeps; relictisque cœlestibus axibus, Virgini ministerium impende. Nam et modo tibi licet, ut non in Nazareth, Judaicam delatus provinciam, sed ut profecto in Regis Domini civitatem, divi- C num ejus gloriæ templum faustis acclamationibus ac laudibus corones. Promptum est, ut nunc quoque Unigeniti thalamo acclames quod ei olim nuntiasti, vel potius per eam universo terrarum orbi inclamasti. Nunc maxime clara ac penetrabili voce, ei dicito *Ave*, quæ exsistit *gratia plena* [21-22], per quam Deus ac Pater, quæ sæculis anteriori consilio statuerat, hominum videlicet reconciliationem, adventu charissimi Filii sui, in Spiritu sancto adimplevit. Olim quidem cum faustus ejusmodi nuntius Virgini suspectus esset; novus quippe, ac contra naturæ totam rationem, videbatur; decebat, ut non sine formidine *Ave* illud inclamares: nunc autem nihil est quod libertatem impediat. Haud D itaque denuo Virginem turbabis, nec in stuporem ex sermone conjicies, quippe cum cernat ea quæ nuntiasti, jam reipsa esse completa. Accede ac loquere, non illa vetera: *Concipies in utero, et paries filium* [23]: hæc enim jam evenerunt: quid ergo?

[21-22] Luc. I, 28. [23] ibid 31.

VARIÆ LECTIONES.

* Ισ. ἡμῖν.

NOTÆ.

(5) Ediderat Gretserus septimam: malui ego editarum ab ipso primam novum edere, quem ordinem rerum ipsa series videtur exigere, excepta temporum ratione; significat enim Leo recens adeptum imperium ista orasse. Paucula sunt in quibus non placuit Gretseri versio, quanquam fuit vir doctus; quæ tu, lector, collata utriusque versione melius censueris.

Concepisti in utero, ac eum complexa es, qui complectitur omnia : capere licuit, quem cœli latitudo non capit : eum portasti, cujus omnia nutu portantur. Peperisti novissimis temporibus eum, quem ante sæcula Pater genuit. Adde, si libet, encomiasticam quoque illam mulieris vocem : *Beatus venter tuus* [24]. Vere enim beatus qui eum partu ediderit qui verbo edidit universa : qui cœlestem illum panem miscuit ; cujus opera, decretum exsilii adversus inobedientiæ reos conscriptum, abolitum est ; scitumque factum, quod ad primævam patriam revertendi facultas concederetur. Neque illud proferes, quodnam ejus sis vocatura nomen ; sed dices : Ecce reipsa, de quibus olim dubitabas, fausta nuntia, toto clare celebrantur orbe. Omnes enim fines terræ gloriantur tui Filii invocatione, in quo solo invenere salutem.

A Πρόσθες, εἰ βούλει, τὴν ἐπαινέτην τοῦ γυναίου φωνήν· *Μακαρία ἡ κοιλία σου.* Ὄντως γὰρ μακαρία ἡ τεκοῦσα τὸν ἀποτεκόντα τὰ πάντα τῷ λόγῳ· ἡ τὸν οὐράνιον ἄρτον φυράσασα· δι' ἧς ἡ ὑπερόριος ἀπήλειπται γραφὴ τοῖς ἐκ παρακοῆς καταδίκοις, καὶ πάλιν τῆς ἀρχαίας ἐπιβαίνειν πατρίδος ἐγράφη ψῆφος. Οὐδὲ τοῦτο ἐρεῖς, τὸ ποῖον ὅτι καλέσεις τὸ ὄνομα αὐτοῦ· ἀλλ' εἴποις ἄν· Ἴδε σοι τὰ εὐαγγέλια οἷς πάλαι ἠμφισβήτεις, ἀνὰ πᾶσαν τὴν γῆν μεγαλύνεται. Σωτῆρα γὰρ τὸν σὸν Υἱὸν πάντα καυχᾶται ἐπικεκλημένα τὰ πέρατα, ἐν αὐτῷ μόνον τὴν σωτηρίαν εὑράμενα.

Ergone thronum David proparentis tacitus præteribis, an vel in primis ejus facies mentionem ? Cernis, Virgo, quæ tibi olim nuntiabam ? Cernis, quanta gloria Filius tuus paternum solium teneat ? Non enim tantum unam nationem ditione regit, neque unam provinciam exiguis terminis circumscriptam ; sed pariter in omnia cœlestia, terrestria, et infera dominationem habet. Quid igitur ? An adhuc, o cœlestis præco, tuam nobiscum laudationem conjunges ? an ut non ignarus eorum, quibus præconia tua longe excellentius exornes, tam grandia, communione nostræ humilitatis, nequaquam deprimi patieris ? Plane enim alia proferes, quæque haud facile in intelligentiam nostram, terrena nimirum caligine circumfusam, cadant : at tu omnibus tenebris solutus, et a primo collustratus lumine, a cujus participatione nulla te materialis concretio arcet, hæc facile contueris. Verum, principem angelorum, eo quo voluerit modo, laudationem instituere sinamus. Nos vero quid ? Num hic gradum figemus, illique soli, ob præstantiam dignitatis qua nos præcellit, committemus, ut Reginam nostra ex stirpe ortam laudibus cohonestet ? An et nos, quantum assequi licebit, ora in laudes solvemus ? Equidem ita censeo. Quamvis enim ille laudis texendæ doctior artifex est, nihil tamen Regina minus libens ab iis accipiet, quorum cognatione gaudet. Norunt quæ dico, quotquot cognationis amorem illibatum integrumque custodiunt.

B Ἆρ' οὖν ἐῴης τὸν θρόνον Δαβὶδ τοῦ προπάτορος, ἢ πάντων μάλιστα τοῦτο ἐρεῖς ; Ὁρᾷς, Παρθένε, ἃ πάλαι ἐμήνυον ; Ὁρᾷς, μεθ' ὅσης δόξης ὁ σὸς Υἱὸς τῷ πατρικῷ θρόνῳ κάθηται ; Οὐκ ἔθνους ἑνὸς, οὐδὲ γῆς εὐπεριορίστου· ἀλλ' ὁμοῦ συμπάντων οὐρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων τὴν κυρείαν ἔχων. Τί οὖν ; Ἔτι σὺν ἡμῖν εἰσοίσεις τὴν εὐφημίαν, ὁ οὐράνιος πανηγυριστὴς, ἢ ἅτε εἰδὼς, οἷς πολλῷ ἄμεινον τὴν σὴν πανήγυριν σεμνύνεις, οὐκ ἀνέχῃ τὰ σὰ τῇ ἡμετέρᾳ ταπεινοῦσθαι κοινωνίᾳ ; Εἴποις γὰρ ἂν καὶ ἄλλ' ἄττα, ἃ μὲν πρὸς τὴν ἡμετέραν διάνοιαν, οἷα δὴ τῆς γεώδους ὁμίχλης ἐπιπροσθούσης, οὐ ῥᾴδιον φαίνεσθαι· σὺ δ' ἀπηλλαγμένος γνόφου παντός· μᾶλλον δ' ἀπὸ τοῦ πρώτου φωτὸς μηδεμιᾶς τὴν μέθεξιν διατειχιζούσης ὑλώδους συστάσεως ἐκλαμπό-
C μενος, οὐ χαλεπῶς καθορᾷς. Ἀλλὰ τῷ μὲν ἀρχηγῷ τῶν ἀγγέλων, ὅπως ἂν βούλοιτο, καθ' αὐτὸν διαθέσθαι τὴν εὐφημίαν παρήσομεν. Ἡμεῖς δὲ τί ; Ἆρ' ἐνταῦθα καταλύσομεν ἐκείνῳ μόνῳ καταλιπόντες, δι' ἣν ἔχει πρὸς ἡμᾶς ὑπερβολὴν, τὴν ἐκ τοῦ γένους βασιλίδα γεραίρειν, ἢ καὶ ἡμεῖς ὅσον ἐφικτὸν οὐκ εἰς ἀφωνίαν περιστησόμεθα ; Ἔγωγε τοῦτό φημι. Εἰ γὰρ καὶ ἄμεινον αὐτὸς διασκευάζει τὴν εὐφημίαν, ἀλλ' ἥ γε Βασιλὶς τῶν συγγενῶν οὐκ ἀηδέστερον δέξαιτ' ἄν. Ἴσασιν ἃ λέγω, ὅσοι τὰ συγγενῆ φίλτρα καθαρὰ περισώζουσιν.

Ergo et nos virgineo thalamo hymenæum decantemus. Porro nihil prohibet ut ne hymenæi totius velut caput quoddam vocem angeli statuamus. Neque enim ob id nobis Gabriel litem intendet, siquidem ille a Reginæ eam acceperat Filio, qui ipse junctus nobis est cognatione : ac eo acceperat fine, ut nostris eam auribus succineret. Acclamemus igitur *Ave*, illi gratiose ; per te Dominus nobiscum. Paululum immutata voce clamemus *Ave* ; tu, inquam, quæ tanquam lilium [25] in medio confusissimi ac perturbatissimi humanæ naturæ passionum agri effloruisti ; quamobrem rex a sua celsitudine, nihil ipse detrimenti passus descendens, cum terrigenis habitavit ; cum ex tua sibi

Οὐκοῦν καὶ ἡμεῖς τῷ νυμφῶνι κατὰ τὸν ὑμέναιον ᾄδωμεν. Οὐδὲν δὲ κωλύει οἷά τινα κορυφὴν τῶν ὑμε-
D ναίων θέσθαι τὴν τοῦ ἀγγέλου φωνήν. Οὐδὲ γὰρ περὶ ταύτης ἡμῖν Γαβριὴλ ἀμφισβητήσει, ὅτι καὶ παρὰ τοῦ Παιδὸς τῆς Βασιλίδος αὐτὴν ἐδέξατο· συγγενὴς δ' αὐτὸς ἡμῖν· καὶ ὥστε πρὸς ἡμᾶς ὑπηχῆσαι, ἐδέξατο. *Χαῖρε* τοιγαροῦν τῇ κεχαριτωμένῃ βοῶμεν· διὰ σοῦ ὁ Κύριος μεθ' ἡμῶν. Βραχὺ τὴν φωνὴν ὑπαλλάξαντες, *Χαῖρε* βοῶμεν, ἡ ὥσπερ κρίνον ἐν μέσῳ τοῦ πολυσυγχύτου τῶν παθῶν χωρίου τῆς ἀνθρωπίνης φύσεως ἀναβλαστήσασα, καὶ διὰ τοῦτο τοῦ οἰκείου ὕψους ἀκενώτως ὁ βασιλεὺς κατελθὼν, μετὰ τῶν κάτω συνῴκησεν· ἐκ τῆς σῆς εὐωδίας τὸν οἶκον πηξάμενος ἑαυτῷ. *Χαῖρε*, τὸν οὐράνιον ἡμῖν ἀνα-

[24] Luc. XI, 27. [25] Cant. II, 2.

πτύξασα μαργαρίτην, δι' οὗ τῆς προγονικῆς πτωχείας A ἀπηλλάγημεν. *Χαῖρε*, δι' ἧς εἰς ἀμείνονος ἀνανέωσιν κόσμου τοῦ γένους κατακλυζομένου σπέρμα σωτηρίας διετηρήθη. *Χαῖρε*, ῥάβδος, ἧς ἐπειλημμένος ὁ δεύτερος Μωσῆς, μᾶλλον δὲ τοῦ παλαιοῦ πρεσβύτερος καὶ δεσπότης, βυθίζει μὲν τοὺς διώκοντας, σώζει δὲ τοὺς τῷ πηλῷ καὶ πλίνθῳ τῆς ἁμαρτίας τετρυχωμένους. *Χαῖρε*, παράδεισε, οὗ τῷ καρπῷ τραφέντες, τὸν προσφυέντα ἡμῖν φθοροποιὸν ἰὸν ἀνεπτύσαμεν, πρὸς ἀνθηρὰν δὲ καὶ ἀγήρω ἰδέαν μετεποιήθημεν. Βουληθείης ἂν ἡμῖν ἐπιτρέπειν, ἄμωμε Νύμφη, τῶν σῶν μνήστρων, ἃ ὁ Πατὴρ διὰ τῶν ὑποφητῶν τοῦ Πνεύματος ἐχαρίσατο, εἰς ἐργασίαν τῆς εὐφημίας λαβόντας ἀποχρήσασθαι; Καὶ ἔστιν, καὶ ἐπιτρέπει. Χαῖρε, διὰ τοῦτο βοῶμεν, ὦ βάτε, δι' ἧς τὸ ὑπερουράνιον ἐδηλοῦτο μυστήριον, ὅτιπερ τὸ ἄοτεκτον τῆς B Θεότητος πῦρ τῆς ἀνθρωπίνης ὕλης ἐπειλημμένον, τοῦ μὲν φωτὸς ἐνήσει τὴν μετοχήν· οὐ καταφλέξει δὲ, οὐδ' ἀφανιεῖ περιδεδραγμένην τὴν φύσιν τῆς Θεότητος τῇ φλογί. Χαῖρε, λυχνία, ἐξ ἧς τὸ ἀπαύγασμα τοῦ Πατρὸς λάμψαν, ἀνιερούμενον τὸν κόσμον εἰς ναὸν τῷ Γεννήτορι, φέγγει τῆς ἑαυτοῦ κατελάμπρυνε ἐπιγνώσεως. Χαῖρε, ἀκρότομε, ἐξ ἧς ὁ χειμάῤῥους τῆς ζωῆς ἀναβλύσας, τοὺς ὅσον οὔπω δίψει σωτηρίας τεθνήξεσθαι μέλλοντας, οὐ μόνον τῇ ζωηφόρῳ πόσει ἀνεβιώσατο, ἀλλὰ καὶ πάντα ῥύπον ὃν ἐκ πορείας τῶν παθῶν προσετρίψαντο, ἔδωκεν ἀπολούσασθαι. Χαῖρε, νεφέλη, ἧς ἀνατείλας ὁ τῆς δικαιοσύνης ἥλιος, τῆς ἀπιστίας τὸν ζόφον εἰς πάντα κεχυμένον τὰ πέρατα, ἐξηφάνισε, φῶς ἀνασχὼν θεογνωσίας, C οἷς εἰς ἀντίληψιν θείου φωτὸς τὸ ὄμμα οὐκ ἀτονεῖ. Ἔτι μὲν οὖν σοι τῇ ὀσφύϊ θαλαμευομένῃ ὁ σοὶ ἐβόα προπάτωρ· *Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου*. Ἤκουσας ὄντως, ἡ σοφὴ θυγάτηρ, τοῦ παρεγγέλματος, καὶ ἐπελάθου τοῦ λαοῦ σου, καὶ κλήρου, καὶ οἴκου πατρῴου· κλήρου ἐκείνου, ὃν ἡ προμήτωρ Εὔα, ὅλῳ τῷ γένει διένειμε, τὸν μυρίον τῶν παθῶν φόρτον κληροδοτήσασα. Οὐδὲν τούτων οὐ μὲν οὖν εἰς οἶκον ἠγάγου τὸν σόν. Διὰ τοῦτο ὁ Βασιλεὺς ἠγάσθη σε τῆς ψυχικῆς εὐπρεπείας, καὶ Νύμφην ἐξελέξατο.

A suaveolentia domum construxisset. *Ave*, quæ cœlestem margaritam nobis reclusisti, qua sumus ab avita egestate liberati. *Ave*, per quam, ad melioris mundi reparationem, humano generi undis obruto, semen salutis conservatum fuit. *Ave*, virga, qua assumpta, secundus Moses, seu potius veteri illo senior, Dominusque, cum persecutores submergit, tum eos salvat, quos labor luti et laterum peccati attriverat. *Ave*, paradise, cujus alti fructu, adnatam lethalem rubiginem abjecimus, et ad floridam seniique expertem formam traducti sumus. Libetne permittas, o immaculata Sponsa, ut ad pertexenda tua præconia iis abutamur, quæ Pater, velut nuptiarum tuarum arrhabonem, per Spiritus sancti interpretes ac internuntios, donavit? B Licet utique, permittitque. Salve, igitur clamemus, o rube [26], per quem cœlis altius declarabatur mysterium: ut nimirum importabilis ille Deitatis ignis, apprehensa humana materia, luminis quidem communionem esset immissurus, haud tamen combusturus, autque assumpturus naturam, quam corripuisset Deitatis flamma. Salve, candelabrum, ex quo Patris splendor elucescens, mundum Genitori in templum dedicans, eumdem suæ cognitionis lumine collustravit. Salve, durissima petra, ex qua vitæ torrens exortus [27], eos, qui jamjam siti rerum ad salutem pertinentium morituri erant, nedum vitali recreavit potu, sed et omnes sordes, quas a vitiorum via contraxissent, ablui concessit. Salve, nubes, ex qua jus- C titiæ Sol exsistens, infidelitatis caliginem in omnes terræ fines diffusam, disjecit; sublato divinæ cognitionis lumine iis, quibus oculi ad divinum lumen hauriendum non cæcutiunt. Cum enim adhuc in lumbis paternis contineréris, tuus tibi clamabat progenitor: *Audi, filia, et vide, et inclina aurem tuam; et obliviscere populum tuum, et domum patris tui* [28]. Plane audivisti, sapiens filia, commonitionem, esque oblita populi tui, ac hæreditatis, domusque paternæ: hæreditatis, inquam, illius ac sortis, quam progenitrix Eva generi universo distribuit; innumerabili passionum ac affectionum cumulo velut hæreditario jure relicto. At nihil horum tuam in domum intulisti: propterea Rex, tuam animi pulchritudinem admiratus, te sibi in Sponsam delegit.

Διὰ τοῦτό σοι νῦν οἷα Βασιλίδι λειτουργοῦμεν, καὶ D τῷ προσώπῳ σου λιτανεύομεν, τὴν σὴν δόξαν καταπλουτούμενοι. Ἰδού σε πᾶσαι γενεαὶ, κατὰ τὴν σὴν προαναφώνησιν, μακαρίζουσιν. Ἐποίησε γάρ σοι μεγαλεῖα ὁ δυνατὸς, ἐκ σοῦ ὡς ἐν παραπετάσματι τῇ σαρκὶ προελθὼν, καὶ καθελὼν δυνάστας, καὶ ἀνυψώσας τοὺς ταπεινούς. Ἐποίησέ σοι μεγαλεῖα, οὐκ ἐν γενεαῖς μόνον ἀνθρώπων, ἀλλὰ καὶ ἐν οὐρανοῖς τὴν σὴν δόξαν ἀναστηλώσας. Ἤδη γὰρ ἤδη καὶ δήμοις ἀγγέλων ἐπέραστόν ἐστι σοὶ προσάγειν τὴν αἴνεσιν· καὶ μακαρίζουσί σε ὡς Βασιλέως Μητέρα, τὸ σοὶ λειτουργεῖν ἀντὶ παντὸς τιθέμενοι, ὡς τῆς

D Ea de causa nunc tibi tanquam Reginæ ministramus, tuoque vultui supplicamus, tuæ gloriæ divitias abunde consecuti. Ecce omnes generationes, ut prædixisti [29], te beatam prædicant. Fecit enim tibi magna qui potens est, ex te carne, quasi velo tectus prodiens, deponensque potentes, atque exaltans humiles. Fecit tibi magna, nedum in generationibus hominum, sed et in cœlis gloriæ tuæ titulum erigens. Jam enim, jam angelorum ipsis populis dulce est, ut tibi offerant laudem, atque ut Regis Matrem, beatam prædicant; nihilque potius habent quam ut tibi

[26] Exod. III, 2. [27] Exod. XVII, 5. [28] Psal. XLIV, 2. [29] Luc. I, 48 seqq.

inserviant, cui impensum obsequium ad filium transire compertum habeant. Benedicunt te solam benedictam, cujus dulci partu amarus inobedientiæ partus abolitus est, nempe maledictio. Benedicunt te, utpote hominum amantissimi, qui hominem videant, fraude a beatitudinis illa sublimitate dejectum, nedum ad eamdem revocatum, sed et divino solio donatum. Ut quid vero quis tuæ conetur gloriæ magnitudinem metiri? Facilius arbitror cœli sidera, quam eam oratione complecti. At, o virgo et mater, quæ sola cœlestibus his opibus affluis; quæ dicenda suggessisti, ea et diximus. Nihil enim meum; sed et lingua, et oratio, et regnum, ac si quid aliud est, id omne tuæ curæ ac benevolentiæ munus duco. Quare tua tibi vindicans, nunc quidem largire, ut gregem tuum ad salutis pascua dirigam: ne inscitia muneris regendi (vides enim quantulus ego sim) noxia aliqua fera in gregem insiliat, neque ulli ex meis, vel tuis potius gregalibus ullum animæ periculum accidat; sed nunc quidem, tum novum me pastorem, tum gregem, universis insidiis superiores gubernaveris, exque mundo hoc migrantes ad immortalitatis illas mansiones duxeris, ut et illic tuis fruamur præsidiis, gratia ac humanitate primogeniti Filii tui Domini nostri Jesu, cui gloria in sæcula sæculorum. Amen.

A σῆς θεραπείας διαβαινούσης πρὸς τὸν Υἱόν. Εὐλογοῦσί σε τὴν μόνην εὐλογημένην, ἧς τῷ γλυκεῖ τόκῳ ὁ πικρὸς τῆς παρακοῆς ἠφανίσθη τόκος, ἡ ἀρά. Εὐλογοῦσί σε οἷα δὴ φιλάνθρωποι, τὸν ἐξ ἀπάτης καταπεσόντα ἄνθρωπον τοῦ τῆς μακαριότητος ὕψους, οὐ μόνον πρὸς αὐτὴν ἀναβάντα πάλιν, ἀλλὰ τῷ θείῳ θρόνῳ καθήμενον καθορῶντες. Καὶ τί ἄν τις τὴν σὴν δόξαν ἐπιχειροίη, ὅση τις ἀναμετρεῖν; ῥᾷον γὰρ οἶμαι οὐρανοῦ ἄστρα, ἢ ταύτην λόγῳ διαλαβεῖν. Ἀλλ', ὦ παρθένε καὶ μῆτερ, ἡ μόνη τὰ ὑπερφυῆ ταῦτα πλουτήσασα, ἃ παρέσχες ὑπηχῆσαι, καὶ δὴ εἴρηται ἡμῖν. Οὐδὲν γὰρ ἐμόν· ἀλλὰ καὶ γλῶσσα, καὶ βασιλεία, καὶ πᾶν εἴ τι ἄλλο, τῆς σῆς ἐστι δῶρον κηδεμονίας. Διὸ δὴ προσοικειουμένη τὰ σὰ, νῦν μὲν δίδου τὸ σὸν ποίμνιον ἐπὶ νομὰς εὐθύνειν τῆς σωτηρίας, B μηδ' ἀπειρίᾳ ποιμαντικῆς ἐπιστήμης· ὁρᾷς γὰρ ὅσος ἐγώ· ἐπιπηδῆσαι γένοιτό τινι λυμεῶνι θηρί· μηδέ τινι τῶν ἐμῶν, μᾶλλον δὲ, τῶν σῶν θρεμμάτων τῆς ψυχῆς ἀπαντῆσαι κίνδυνον· ἀλλὰ νῦν μὲν διεξάγοις ἐμέ τε τὸν νέον ποιμένα, καὶ τὸ ποίμνιον πάσης ἐπιβουλῆς ἀνωτέρους· ἄγοις δὲ καὶ πρὸς τὰς ἐκεῖθεν τῆς ἀπαθείας μονὰς ἐντεῦθεν ἀποχωρήσαντας, ἵνα σου κἀκεῖ τῆς προστασίας ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ πρωτοτόκου Υἱοῦ σου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO IV.

Quando intemerata invectus nube, senilibus manibus, gloriæ Sol in templum umbratile commigrans ingressus est (6).

ΛΟΓΟΣ Δ'.

C *Ὅτε νεφέλης ἀχράντου ἐποχούμενος, πρεσβυτικαῖς χερσὶν, εἰς σκιώδη ναὸν μετοικισάμενος, ὁ τῆς δόξης εἰσελήλυθεν ἥλιος.*

(COMBEFIS. *loc. cit.* p. 1630.)

Christi solemnem honoramus diem, qui universis bene honorari auctor fuit. Sacram Christi celebritatem agimus, per quem profanis celebritatibus exstinctis, exortæ sunt sacræ celebritates. Exorto lumine in spelunca, præsentemque hodie lucis radiis illustrante diem, collætemur. Rursus enim is cujus beneficio, qui in tribulationis tenebris sedebamus, exsultationis aspeximus lumen, lætæ festivitatis jucunditatem prætendit: non ita ut e spelunca effulgeat, sed ut tanquam nube, Virgine matre vehatur, ac paternam ingrediatur domum. Qui prius hominis matrem terram verbo edidisset, sibi ipse matrem condens, naturæ innovavit leges; qua nimirum ratione processit e vulva, nulla semente feta, quod abhorret a lege: nunc autem pro communis ratione legis eorum quorum ex semine carnem assumpsit, qui legem in monte Sina scripsisset, tanquam legis reus, legis constitutionem adimplet: ipse, inquam, gloria Israel, ac lumen gentium. Gentes universæ, laudate; ecce enim Deus puer factus est, ac sub lege vivit, ut tum iis qui sub

Χριστοῦ ἑορτὴν τιμῶμεν, τοῦ καλῶς ἅπασι τιμᾶσθαι διαιτήσαντος. Χριστοῦ ἱερὰν τελοῦμεν πανήγυριν, δι' οὗ ἀπεσβέσθησαν ἀνίεροι τελεταὶ, καὶ πανηγύρεις ἀνίσχον αἱ ἱεραί. Τοῦ ἐν σπηλαίῳ φωτὸς ἀνατείλαντος, καὶ νῦν τὴν παροῦσαν ἡμέραν καταπυρσεύσαντος, φαιδρυνώμεθα. Πάλιν γὰρ, ὁ δι' οὗ οἱ ἐν θλίψεως καθήμενοι σκότει, φῶς ἀγαλλιάσεως εἴδομεν, ἑορτῶν ἀνίσχει φαιδρότητα· οὐκ ἀπὸ σπηλαίου ἐκλάμπων, ἀλλ' οἷα νεφέλῃ, Παρθένῳ μητρὶ ἐποχούμενος· ἀλλὰ πρὸς οἶκον εἰσελαύνων πατρῷον. Πρότερον ὁ γῆν τὴν ἀνθρώπου μητέρα τῷ ῥήματι ἀποτετοκὼς, μητέρα ἑαυτῷ ποιησάμενος, νόμους D ἐκαινοτόμει φύσεως, μήτρας ἀνθ' ὧν ἀσπόρου, τὸ τοῦ νόμου ἀλλότριον, προελήλυθε· νῦν δὲ κατὰ νόμον κοινὸν, ὧν ἐκ τοῦ σπέρματος σάρκα προσείλαβεν, ὁ τοῦτον ἐν Σιναίῳ γράψας, ὠφείλων αὐτῷ, τὴν ἐκείνου διάταξιν ἐκπληροῖ· ἡ δόξα τοῦ Ἰσραὴλ, τὸ φῶς τῶν ἐθνῶν. Πάντα τὰ ἔθνη, αἰνέσατε· ἰδοὺ γὰρ Θεὸς παιδίον ἐγένετο, καὶ πολιτεύεται ὑπὸ νόμον, ἵνα καὶ τοῖς ἐν νόμῳ βοηθήσῃ, τὸ ἐλλεῖπον ἐκείνῳ ἀναπληρῶν, καὶ τοῖς ἀνόμως ἔθνεσι πολιτευομένοις, τὸν πλοῦτον γνωρίσῃ τῆς οἰκείας χρηστότητος.

NOTÆ.

(6) Habemus ex regia gaza luculentissimam, partim festivam, partim polemicam, ac qua Filii ac Verbi divinitatem in humilitate, qua se legi subjecit, præcipue vindicet. Opus certe elegans, ac pium dignumque ut tandem aliquando juris publici fiat.

lege, auxilietur, adimplens legis defectum, tum gentibus sine lege viventibus, bonitatis suæ divitias ostendat.

A Ἐπειδὴ γὰρ ὁ δακτύλῳ Θεοῦ γραφεὶς νόμος, οὐχ οἷός τε ἦν διασοβηθέντα τὸν λογισμὸν, ἐκ τοῦ πρώτως σκαιᾷ εἰσηγήσει παρατρέψαντος αὐτὸν, ἐπὶ τὸ σῶφρον ἀνενεγκεῖν, οὐδ' ὥσπερ ὄργανον τῆς οἰκείας ἐξεστηκὸς ἁρμονίας πρὸς τὸν ἑαυτοῦ φθόγγον ἁρμόσαι· οὐδ' εὖ τίθεσθαι τὰ οἰκεῖα διδάξαι· ἀλλὰ χειρόνων ὑποθήκαις τὰ προλαβόντα ηὐξάνετο, οὐκ ἀρκουμένων ἡμῶν τῷ τολμήματι τῆς παρακοῆς, ἀλλ' ὁμοῦ τῇ ἐντολῇ καὶ τὸν Δεσπότην διωσαμένων· καὶ καθάπερ πώλου τὸν χαλινὸν ἐκδακόντος, καὶ κατακρημνῶν ἀπωλείας ὅλου ῥυέντος τοῦ νοῦ· ἐπεὶ οὖν ὁ θείᾳ χειρὶ γραφεὶς νόμος οὕτως ὡρμηκότα οὐκ εἶχεν ἀναχαιτιεῖν, αὐτὸς ὁ ὑπερούσιος Λόγος, ἡ πάντων ὑποστάτις σοφία, ἐν τῷ πάχει τοῦ πλάσματος, τῷ πλάσματι ὁμιλεῖ· καὶ χρηματίζει νόμος αὐτὸς καὶ παραίνεσις, δι' ἑαυτοῦ τοὺς ἀτάκτους ἐπανορθούμενος· καὶ ὁρᾶται ἀλλοιωτῷ ἐν εἴδει ὁ ἀναλλοίωτος τοῦ Πατρὸς χαρακτήρ· B καὶ μεσιτεύει τῷ Πατρὶ καὶ ἡμῖν, λυθέντος ἐν τῇ σαρκὶ αὐτοῦ, τῆς ἔχθρας τοῦ ἀντιφράγματος.

Quia enim Dei digito scripta lex haud satis erat, ut perturbatam rationem ejus malo conatu, qui sinistra primum pervertisset suasione, ad sobrietatem reduceret, utve tanquam organum consonantia amissa ad proprios iterum componeret modos, ac sua probe moderari doceret: quinimo, cum pejorum accessionibus priora increscerent, nec sufficeret inobedientiæ præsumptio; sed abunde una cum mandato, Dominum ipsum repulissemus: mensque pulli instar adeso freno præceps tota in interitum proruisset: quia, inquam, divina manu scripta lex sic præcipitem factum animum minime poterat revocare, ac secus inflectere, Verbum ipsum supersubstantiale, universarum productrix sapientia, in figmenti crasso corpore, figmento consuescit; fitque lex ipsa ac admonitio, ipsum per se incompositos emendans; atque in mutabili cernitur specie, qui Patris exsistat immutabilis figura; ipsumque inter ac hominum genus sequestrum agit, solvens in carne sua adversam inimicitiarum maceriem.

Μὴ φρενοβλαβείτω Ἰουδαῖος, μηδὲ παραπλησίως τοῖς νυκτονόμοις, τὴν ἡμέραν ἀποστρεφέσθω· ἀλλ' ὀφθαλμοῖς φθόνῳ μὴ διαλελυμασμένοις, τὸ λαμπρὸν τῆς θείας ἐνανθρωπήσεως, ἐκ τῶν παρ' αὐτῷ κειμένων ὁράτω. Μηδὲν τὴν ἀλήθειαν Ἕλλην διαγελάτω, ὁ τὰ οἰκεῖα αἴσχη θεοποιῶν, καὶ δήμους θεῶν ἐκ παθῶν ἑαυτῷ συνιστῶν. Ἡμῖν γὰρ εἷς Θεός· Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα ἅγιον· οὐχ ἑνὶ προσώπῳ τῶν ὀνομάτων κειμένων· ἀλλὰ τρισὶν ἑνουμένοις ταυτότητι φύσεως. Οἰμωζέτω γὰρ ὁ τῆς παρανοίας ταύτης πατὴρ, C καὶ τὸ ἓν ἀμείβων ταῖς κλήσεσι πρόσωπον· μηδ' αὐτὸ τοῦτο συνεὶς ὁ ἐμβρόντητος, ὅτι τῇ μιᾷ ὑποστάσει φιλοτιμούμενος τὰ ὀνόματα, οὐκ εἴασε λέγεσθαι ὃ ἐκάλεσεν· οὐδ' ὃ προσαγορεύει κεῖσθαι δίδωσιν, εἴπερ ἀληθῶς κεῖται τὰ μὴ διαδοχὴν προσιέμενα. Πῶς οὖν τὸ ἓν αὐτοῦ πρόσωπον ὀνομάσει Πατέρα, τῇ Υἱοῦ προσηγορίᾳ ἐκείνης ἐξιστάμενον; ἵνα νῦν ἐάσω, πῶς ὅλως ῥηθείη Πατὴρ, ἢ πῶς Υἱὸς καλέσοιτο, εἰς τὴν τοῦ Πνεύματος μεθεστώς. Εἷς οὖν Θεὸς ἡμῶν ἐν τρισὶ προσώποις· οὔτε διὰ τὸ τρισσὸν τμήμασιν ἑτεροφυέσι μεριζομένης τῆς ἑνιαίας Θεότητος, οὔτε τῶν προσώπων διὰ τὸ ἑνιαῖον συγχεομένων τῆς φύσεως· ἀλλ' ἀεὶ τῶν τριῶν ὄντων, καὶ οὔτε τοῦ Υἱοῦ ἐξ οὐκ ὄντος, οὔτε τοῦ Πνεύματος· ἵνα μὴ ἐλλιπὲς ὂν τὸ Θεῖον, ὕστερον ὀφθῇ τὴν ἔνδειαν ἀποθέμενον· ἀλλ' D ὁμοῦ τῷ αἰτίῳ Πατρὶ, καὶ τῶν ἐξ ἐκείνου συνόντων· Πατρὸς μὲν καὶ Πνεύματος ἐν τῇ ἑαυτῶν διαμεμενηκότων ἁπλότητι. Υἱοῦ δὲ, τῇ ἐξ ἡμῶν συντεθειμένου προσλήψει.

Ne Judæus insaniat, autve haud secus ac ulula, seu ejusmodi aliud noctivagum animal, diem aversetur; quin potius nullo oculis livore oblæsis, divinæ incarnationis splendorem ex iis conspiciat, quæ sunt apud ipsum. Nihil gentilis veritatem derideat, qui sua ipse probra deitate donet deorumque populos ex passionibus vitiisque sibi constituat. Nobis enim unus Deus est; Pater, Filius, et Spiritus sanctus; non ita, ut uni personæ attributa sint nomina, sed ut tribus ejusdem conjunctis communione naturæ. Lugeat enim ejusce dementiæ pater, quique unam personam appellationibus commutat; nec hoc ipsum emotæ mentis homo intelligit, quod uni hypostasi ambitiose nomina tribuat, ne hoc quidem dici sinere, quod appellavit: nec vero quod appellat, firmum ac ratum esse concedit: quando illa vere firma rataque sunt quæ successionem haudquaquam admittunt. Qua ergo ratione suam illam unam personam Patrem appellabit, cum illam notionem Filii appellatione amittat? Ut nunc omittam, qua prorsus ratione Pater dicatur, aut qua appelletur Filius, qui in Spiritus commigraverit appellationem? Unus ergo est Deus noster in tribus personis; nec trium ratione, diversi generis sectionibus singulari deitate divisa, sed ita ut tres semper exsistant, ac nec Filius ex nihilo sit, nec Spiritus sanctus: ut ne Deitas cum prius deficiens esset postmodum videatur, defectum abjecisse: sed una cum causa, Patre scilicet, simul exsistant qui sunt ex illo, ut nihilominus tum Pater, tum Spiritus suam retinuerint simplicitatem; Filius vero, carnis nostræ assumptione factus sit compositus.

Ἔδει γὰρ Θεοῦ βουληθέντος διὰ σπλάγχνα ἐλέους ἐν ἡμετέρᾳ μορφῇ τὴν λογικὴν ἡμῶν εὐγένειαν διαρρυεῖσαν πρὸς ἑαυτὸν ἀνασῶσαι, Υἱὸν εἶναι τὸν τοῦτο πραγματευσόμενον· οὐ μόνον ὅτι ὅπερ ἦν ἀϊδίως,

Par enim erat, ut cum Deus per misericordiæ viscera rationalem nostram ingenuitatem, quæ in natura nostra diffluxisset, ad se ipse reparare statuisset, id negotii per Filium gereretur: nedum

ea ratione, quia quod æterna esset generatione, postmodum audiens, a suis ipse haudquaquam excessurus erat, verum etiam, quia rationis erat ut a nobis sua nobiscum consuetudine, irrationales affectus moresque auferret. Idcirco Conditor ipse sæculorum principium sæculo recentius sumit; partu nullis infecto sordibus, meum honorat partum; ac, quod præsentis diei solemniis agitur, carne in templo offertur, Deo me, a profana immundaque in impietate conversatione, vindicans sacransque. Id hodie agit provide, qui nostri causa factus est infans. Hoc festivitatis hodiernæ argumentum est: nempe infantis in templo oblatio, cui igneis ab oribus offertur laudatio. Quis non horreat? Quis non stupeat? Quis non in gratiarum solvatur actiones? Qui ut Deus universa perficit, mortalium formatione in imperfecta cernitur ætate. Qui considet Patri, manibus gestatur maternis. Cujus verbo vocatum lumen prodiit, in vitæ nostræ nebula procedit. Cæci gentium oculi in atra mortis nocte sedentium, illuminamini, qui lucidam vitæ diem conspiciatis. Excisæ namque sunt ignorantiæ tenebræ, quibus a Deo discreti tenebamur, ipso se inflectente summo misericordiarum Patre atque his, qui interibant in tenebris, verum inferente lumen. Soluta mœstitia est, Deitatis splendore nobis affulgente. Videant salutare, qui propter peccati obscuritatem caligant. Ecce enim puella castis manibus invectum gestans, in umbratile intrat templum, quo sacerdotum illud manibus offerat. O inclinationis summæque illius demissionis altitudinem! Qui Aaronem delegerat in ministerium, priorique Moysi fuerat collocutus; quem etiam hodiernæ diei docet mysteria, qua posteriora ostendit (Deus namque suam posteris temporibus cum hominibus futuram consuetudinem ænigmate designans, Moysi, famulo suo posteriora videre concedit [89]): tanquam sacerdotali indigens benedictione, sacerdoti offertur; nimirum, eo modo volens reparare, quod in legem offendens, crimen commisissem.

τοῦτο καὶ ὕστερον χρηματίζων, οὐκ ἔμελλε τῶν ἰδίων ἐκστήσεσθαι, ἀλλ' ὅτι καὶ Λόγου ἦν ἐξ ἡμῶν ἀπεσκευάσθαι τὴν ἀλογίαν οἰκείᾳ προσομιλήσει. Διὰ τοῦτο ὁ τοὺς αἰῶνας δημιουργήσας, ἀρχὴν μεταγενεστέραν αἰῶνος λαμβάνει· ἀῤῥυπάντῳ ἀποτέξει τὰς ἐμὰς ὠδῖνας τιμᾷ· καὶ, τὸ νῦν τελούμενον, σαρκὶ προφέρεται ἱερῷ, ἐμὲ ἱεροποιῶν, τῆς ἀνιέρου καὶ ἀκαθάρτου ἐν ἀθεΐᾳ διαγωγῆς! Τοῦτο σήμερον τῷ δι' ἡμᾶς οἰκονομεῖται νηπίῳ. Τοῦτο ἑορτάζομεν· προσένεξιν εἰς ναὸν βρέφους, ᾧ πυρίνων στομάτων προσάγεται αἴνεσις. Τίς οὐ φρίττει; Τίς οὐκ ἐκπλήττεται; Τίς οὐκ εὐχαριστεῖ; Ὁ τὰ σύμπαντα τελειῶν ὡς Θεὸς, ἐν ἀτελοῦς ἡλικίας ὁρᾶται γηγενῶν διαπλάσει. Ὁ συγκάθεδρος τῷ Πατρὶ, χερσὶ βαστάζεται μητρικαῖς. Οὗ ῥήματι καλούμενον προῆλθε τὸ φῶς, ἐν τῇ ὁμίχλῃ τοῦ ἡμετέρου βίου προέρχεται. Ὀφθαλμοὶ ἀλαμπεῖς τῶν ἐν τῇ μελαίνῃ τοῦ θανάτου νυκτὶ καθημένων ἐθνῶν, φωτίσθητε, τὴν φωτεινὴν τῆς ζωῆς ἡμέραν θεώμενοι. Ἐτμήθη γὰρ τῆς ἀγνοίας τὸ σκότος, ᾧ Θεοῦ διιστάμενοι κατειχόμεθα· δυσωπήσαντος ἑαυτὸν τοῦ μεγάλου τῶν οἰκτιρμῶν Πατρὸς, καὶ τοῖς ἐν αὐτῷ ἀπολλυμένοις, τὸ ἀληθινὸν φῶς ἐπιφάναντος. Ἐλύθη τὸ σκυθρωπὸν, τοῦ ἀπαυγάσματος ἡμῖν τῆς Θεότητος ἐπιλάμψαντος. Ἰδέτωσαν τὸ σωτήριον, οἱ διὰ τὴν ἀμαυρὰν μύοντες ἁμαρτίαν. Ἰδοὺ γὰρ κόρη παλάμαις ἁγναῖς ἐποχούμενον φέρουσα, εἰς σκιώδη ναὸν εἰσελαύνει, χερσὶν ἱερέως τοῦτο προσάγουσα. Ὢ βάθος συγκαταβάσεως! Ὁ πρὸς λειτουργίαν τὸν Ἀαρὼν ἐκλεξάμενος, καὶ πρὸ τούτου προσομιλῶν τῷ Μωσεῖ· ᾧ καὶ τὰ νῦν μυστήρια ἐν τῇ τῶν ὀπισθίων μυεῖ παραδείξει· τὴν γὰρ ἐν ὀπίσω καιροῦ ὁμιλίαν αὐτοῦ ἀνθρώποις αἰνιγματίζων Θεὸς, τῷ θεράποντι τὰ ὀπίσθια δείκνυσιν· ὡς ἱερατικῆς χρῄζων εὐλογίας προσφέρεται ἱερεῖ. Οὕτως ἐμοὶ εὐδοκήσας ἐπηνωρθωκέναι τὸ πταῖσμα, ὃ νόμῳ προσκρούσας διεπραξάμην.

Quænam tanta hæc benignitas, ineffabilisque misericordia? Ex servili ego conditione, dominorum propriis honestatus privilegiis, ac tanquam dominus, meique juris vivens, meæ custodem gloriæ legem repuli: Dominus autem, sempiternæ jure hæreditatis dominium possidens, vitæ cum servis societatem minime renuit; atque adeo legi servis latæ morem gerit. Quorsum id vero? Nimirum, ut mihi præbeat quo excusem ordinis desertionem, meæque inobedientiæ crimen diluat: ac si pater amoris visceribus plenus pœnæ obnoxium nepotem videat, tumque mali causam in filium longe solertiorem, ipsius diluendum opere, conferat. Quodnam horrendum hoc opus, universisque excellentius, si qua Deus operatus est!

Τίς ἡ φιλανθρωπία, καὶ ὁ οἶκτος ὁ ἄρατος; Ἐκ δούλων ἐγὼ δεσποτικοῖς τιμηθεὶς προνομίοις, καὶ οἷα δεσπότης διαιτώμενος, τὸν φύλακα τῆς ἐμῆς δόξης διωσάμην νόμον. Δεσπότης δὲ ἀΐδιον κλῆρον ἔχων τὴν δεσποτείαν, οὐ παραιτεῖται τὴν μετὰ δούλων συνδιαίτησιν, καὶ τῷ κειμένῳ δούλοις διὰ ταῦτα πειθαρχεῖ νόμῳ. Ἵνα τί γένηται; ἵν' ἐμοὶ τῆς ἀταξίας ἀπολογίαν παραστήσηται, καὶ τοῦ τῆς ἀνηκοΐας ἀπολύσῃ ἐγκλήματος, ὥσπερ ὑπόπλεως φιλτρόου πατὴρ ἔκγονον ἐπιτιμίοις ὁρῶν ὑποκείμενον· εἶτα τὸ αἴτιον τῆς κακώσεως τῷ παιδὶ κατὰ πολὺ δεξιωτέρῳ, αὐτοῦ διαλῦσαι τῷ ἔργῳ. Τί τὸ φρικτὸν τοῦτο ἔργον, καὶ πάντα ὑπεραῖρον ὅσα Θεὸς εἰργάσατο!

Sane quidem magnum quid extentum cœlum, terraque super nihilum fundata, nec non lumen verbo obaudiens, ut mundo toto late effulgeat;

Μέγα μὲν οὖν οὐρανὸς ἐκτεινόμενος· καὶ γῆ ἐπ' οὐδενὸς ὑποστηριζομένη· καὶ φῶς ὑπακούων τῷ ῥήματι, πρὸς ὅλου κόσμου ἀγλαΐαν· καὶ πρὸ τούτου

[89] Exod. XXXIII, 3.

ἄϋλοι δῆμοι περιιόντες εἰς λειτουργίαν· ἀλλὰ Θεὸς ἐν μήτρᾳ χωρούμενος καὶ πλαττόμενος, μεῖζον ἔργον καὶ θαυμαστότερον· τοῦτο θειότερόν τε καὶ ὑψηλότερον, Θεὸς δι' ἡμᾶς θηλάζων καὶ χερσὶ βασταζόμενος. Εἰ καὶ τοῖς λαλοῦσιν ἀδικίαν εἰς ὕψος, ἀφορμὴ τῆς τοῦ Μονογενοῦς ἀθετήσεως γίνεται· ὥσπερ δέον ἐκ τῶν ἀμεινόνων ἔργων, ἐξευτελίζειν τὸν ἐπιστήμονα· ἢ ἀφ' ὧν τινι τὸ μαρτύριον τῆς ὑπεροχῆς τῆς δυνάμεως, ἐκεῖθεν αὐτῷ πειρᾶσθαι τὸ κραταιὸν καθαιρεῖν. Τί λέγεις; ἐπειδή σοι κατορωρυγμένῳ ἐν σκότει ἐπεφάνη τὸ φῶς, ἀτιμάζεις τὸ φῶς; Καὶ ὅτι ὁ Βασιλεὺς οἶκτον λαβὼν τῆς σῆς ταλαιπωρίας πρὸς σὲ παραγίνεται, καὶ οὐχ ἑτέρῳ ἐπιτρέπει, ἀλλ' αὐτός σοι διακονεῖ τὴν χρηστότητα, ἐκ τῆς ὑπερβολῆς τῆς εὐεργεσίας, πρὸς καταφρόνησιν ἔρχῃ τῆς δόξης τοῦ εὐεργέτου; καὶ διὰ τὴν πρὸς σὲ ταπείνωσιν οἴει τὸ ἐκείνου ὕψος ταπεινοῦν; Καίτοι διὰ τοῦτο ἐχρῆν τὸ μεγαλεῖον τιμᾷν· σὺ δὲ, ἐπειδὴ βρέφος καὶ σπάργανα καὶ χεῖρας περιεπούσας, καὶ τὰ ἄλλα ὅσα διὰ τὴν σὴν οἰκονομεῖται σωτηρίαν, ἀκούεις, τὴν προαιώνιον δόξαν ἀποστερεῖς τὸν Λόγον· ὥσπερ ἂν εἰ καὶ τὸν βασιλέα, διότι αὐτός σοι παραγεγονὼς ἦρε τοὺς τῆς κακώσεως πόνους, ἠξίους ἀποστερεῖν τοῦ διαδήματος; ὅτι διὰ σὲ κτίζεται μητρὸς χρηματίζων υἱὸς, διὰ τοῦτο τῆς πατρικῆς διαιρεῖς συναφείας, καὶ μετὰ τῶν κτισμάτων συναριθμεῖς, καὶ μηδὲ τῆς κάτω γεννήσεως τοῖς πολυπραγμονοῦσιν οὔσης ληπτῆς; ἥπλωται γὰρ καὶ ταύτης ἀδιέκβατος γνόφος ἀποκρυφῆς· σὺ δὲ, κόραις, ὃ δὴ λέγεται, ἀτενέσιν ἐξ ἀναιδείας τὰ ἐπέκεινα τῶν αἰώνων καταλαμβάνεις, καὶ διατάττεις ὡς ἡ σοῦ θεωρία βούλεται τῷ Υἱῷ; Ὡς τυφλόν σου τὸ ὀξυωπὲς, καὶ ἠλίθιον τὸ σοφόν! Ἀλλὰ τῶν φρενοβλαβῶν τῆς παραπληξίας ἀφέμενοι, τῶν παρόντων ἐχώμεθα, καὶ τὰ τῆς ἡμέρας θειάζωμεν, ἱεροῖς ὀφθαλμοῖς πρὸς ναὸν εἰσιοῦσαν θεώμενοι τὴν τοῦ κόσμου παράκλησιν.

Ἤδη μὲν οὖν πρόσθεν ἐν σπηλαίῳ διαιτωμένῳ τῷ Βασιλεῖ, ἡ ἐκ τῶν ἄνω βασιλείων ἐφοίτα δορυφορία· οὐράνιοι δῆμοι προσᾴδοντες· ἀστὴρ ὁδηγῶν βασιλεῖς, καὶ ἀνακειμένῳ ἐν φάτνῃ τῷ Δεσπότῃ προσκυνοῦντας προσάγων· καὶ τὴν εὐτέλειαν ἡ δεσποτεία ἐδορυφόρει, μηνύοντος τοῦ θείου πλούτου τὴν ἑκούσιον τοῦ ἀστέγου [καὶ] ἀοίκου πτωχείαν. Πῶς δὲ τὰ παρόντα; Μήτηρ ἡ λοχευσαμένη οὐ κατὰ μητέρας, γονὴν πρωτότοκον ἑαυτῆς ἄπεισι Θεῷ παραστήσουσα· βρέφος ἐν εὐτελέσι σπαργάνοις τῶν νομίμων τυχεῖν προσφέρει τῷ ἱερεῖ· ὑποδέχεται ὁ ἱερεύς. Τί τὸ ἐντεῦθεν; Ἀγκαλίζεται βρέφος, καὶ Δεσπότην ὑμνεῖ. Ὡς ἄρτι πρὸς γένεσιν παριοῦσαν τῆς φύσεως βλάστην λαμβάνει, καὶ ζωῆς ἀπολελύσθαι ὡς πλάστην αἰτεῖ. Τί φθέγγῃ; Τί γέγονεν, ἱερεῦ; Οὐ συμβαίνοντα τοῖς ὁρωμένοις λαλεῖς. Ποῦ τῆς δεσποτείας ὁ ὄγκος; Ποῦ τοῦ ἀξιώματος τὰ γνωρίσματα; Οἱ δορυφόροι δὲ ποῦ; οἱ συντρέχοντες; οἱ προπομπεύοντες; οἱ ἑφεπόμενοι; ὁρᾷς τὴν εὐτέ-

A eoque prius secreti a materia populi, præsto exsistentes ad ministerium : longe enimvero majus opus, ac majorem habens admirationem, ut Deus in vulva capiatur atque formetur : divinius hoc ac sublimius, ut Deus nostri causa lactens exsistat, ac manibus portetur, quanquam iis qui loquuntur iniquitatem [31] in excelso occasio, ut Unigeniti gloriæ detrahant : tanquam peritus artifex spernendus sit ob præclariora opera ; aut inde conandum sit ut cujuspiam potentiam convellamus unde illi excellentis potentiæ testimonium accedit. Quid ais? quod tibi in tenebris obruto lumen affulserit, lumen infamas? Ac quia Rex tuæ misertus miseriæ ac calamitatis ad te ipse venit, nec negotium alii committit, sed tibi ipse bonitatem ministrat, ex B beneficii summa præstantia, in ejus contemptum gloriæ procedis, qui te eo impertit? putasque, ob eam humilitatem, qua se tibi inclinavit, illius deprimi celsitudinem? Atque ea ratione majestas honore efferenda erat : tu vero, propterea quia infantem, fasciasque, ac manus foventes audias, sæculis antiquiorem gloriam Verbo adimis; haud secus ac si regem, quod ipse ad te, laboribus levaturus quibus affligereris advenisset, diademate spoliare velles? Quia tui ergo creatus, matris filius audit, idcirco ejus cum Patre conjunctionem divellis, connumerasque creatis; cum tamen ne ipsa quidem ejus in terris nativitas, curiosis comprehensa sit? Nam huic quoque impermeabilis C caligo, quæ sit latibulo, superfusa est : tu vero, intentis pupillis, ut dici solet, præ impudentia, ea quoque quæ sæcula antecedunt, comprehendis atque Filio, quem velit intellectus tuus, ordinem præscribis? Quam cæca tua illa visus acuties ac sapientia stulta! Enimvero stultorum nos omissa amentia, argumento insistamus, diemque celebremus mysteria sacris oculis ingredientem in templum spectantes, mundi consolationem.

Jam vero prius agenti Regi in spelunca, a cœli regalibus sedibus satellitium venerat, nimirum accinentes supernorum civium populi; stella regum ductrix, jacentique in præsepio Regi, eosque adoratores admovens : ac dominatus, vilitatem obsequio fovebat, indicantibus deitatis divitiis, ejus D spontaneam paupertatem, qui sine tecto ac domo erat. Qua vero ratione habeat præsentia? Mater utique, alia ac matrum ratione, suscepta editaque prole, primogenitam illam Deo oblatum abit : infantem sacerdoti offert vilibus obtectum pannis, ut legitimorum ac legalis benedictionis compos fiat. Suscipit sacerdos. Quid vero inde? In ulnas susceptum stringit infantem, ac laudat Dominum. Tanquam recens procreatum accipit naturæ germen, utque mundi fictorem, vitæ missionem rogat. Quid loqueris? Quid ita, sacerdos, factum est? Non congruunt iis quæ cernuntur, quæ ipse ais. Ubinam dominationis fastus? Ubinam dignitatis indicia?

[31] Psal. LXXII, 8.

Ubinam satellites? Ubinam qui simul gradiantur; qui præeant; qui sequantur? Vides quanta sit abjectio, Dominumque dicis? Tenes infantem nudius-tertius in vitam progressum, affarisque tanquam vitæ habentem imperium? Quomodo in propensa adeo paupertate, magna mirandaque conseris, vocasque Israelis gloriam, ac gentium appellas lumen, pauperculæ matris puellum? Cæterum adde quod reliquum laudatio habet, ac perge celebrare lumen nostra occultatum carne, tanquam velo. Quidnam aget? Quid molietur? Plane duas rerum faciet sortes, aliorum resurrectio, aliorum ruina exsistens; quem senex intueris duplicem, ac quidem dejectos exsuscitabit atque eriget; elatos autem dejiciet atque deprimet; suaque ipse afflictione ac cruciatu mortalium res statu meliori componet, quando etiam matris Virginis animam, tristitiæ gladius feriet.

A λειαν ὅση, καὶ Δεσπότην καλεῖς; νήπιον ἄρτι παρελθὸν εἰς βίον κρατεῖς· καὶ ζωῆς ὡς κρατοῦντι ῥήματα φθέγγῃ; Πῶς ἐν οὕτω πενιχροῖς μεγάλα προσαρμόζεις καὶ θαυμαστά; καὶ δόξαν Ἰσραὴλ καλεῖς, καὶ φῶς ἐθνῶν προσαγορεύεις, νήπιον μητρὸς εὐτελοῦς; ἀλλὰ προστίθει καὶ τὰ λοιπὰ τῆς εὐφημίας τῷ ὡς ἐν παραπετάσματι τῷ ἡμετέρῳ σαρκίῳ κρυπτομένῳ φωτί. Τί τελέσει; τί πραγματεύσεται; Ἡ διπλᾶ τελέσει τὰ πράγματα, τῶν μὲν ἀνάστασις ὤν· τῶν δὲ, πτῶσις· ὁ διπλοῦς σοι ὁρώμενος, γηραιὲ· καὶ τοὺς μὲν ἐξεγερεῖ καταβεβλημένους· τοὺς δὲ καταβαλεῖ ἐπηρμένους· καὶ διαθήσει εὖ τὰ βροτῶν ἰδίᾳ κακώσει, ὅτε καὶ Μήτηρ ἡ παρθενεύουσα, λύπης ῥομφαίᾳ πεπλήξεται τὴν ψυχήν.

Noverat enim Dei occisorum facinus, utque cædem stillantes manus armandæ in eum forent, qui manibus gestaretur: ut modo quidem in pannis ac cunabulis, furens Herodes sit persecuturus, Ægyptusque susceptura hospitio eum, qui violati juris hospitii pœnam reposcens, olim Ægyptum cecidisset: ut denique gladii infantum tingantur cæde, qua infantis cædem molientur. Par namque erat, ut Deo nato in terra virginalibus ex sanguinibus, coætanei in cœlis fuso sanguine nascerentur: priorque illa ætas adventus Dominici fructum perciperet, quæ prior infantibus accensum vidisset; tumque universis commodum accederet, necato ipso omnium causa regenerationis: quando magnus ille Patris Nuntius, peracto opere cujus missus est consummator, cœli sinum omnibus pariter aperturus est.

Ne iterum propter missionem, Unigeniti gloriam submittas, neque dominationem in servitutem detrahas, alienum eum pronuntians a necessitudine qua generantem contingit; sed cum audis missionem, ejus disce qui misit cum eo qui fuit missus in operibus sociam dispensationem atque illius, in iis quæ Verbum negotiatur parem assistentiam. Nam tu quoque cum verbum misisse ais, non dividis illud a mente generante, nec servili ipsum habitu induis: sed tanquam mente una præsente, ac ea quæ Verbum disponit, pariter disponente, missum fuisse tuum verbum ais. Hæc adversus eos dicta sunto, qui beneficii vicem, ingratos atque improbos mores ostendunt, quique idcirco, quia Verbi humilitate honorati sint ac exaltati, ipsum a quo honore affecti sunt dehonestant, exaltationisque mercedem, vicissim abjectionem inducunt. Enimvero, ad senem illum sapientem redeamus. Ubi itaque in abjectionis profundo majestatis sublimitatem aspexit, atque in assumpto ex nobis testaceo vasculo divinitatis margaritam invenit, ejus pulchritudine animo delectatus, sacra doctam verba, ac propheticam linguam propensius agitat: cumque ab eo susceptionis in ulnas vicem, mi-

B Ἤδει γὰρ τῶν θεοκτόνων τὸ τόλμημα, καὶ ὡς χεῖρες ἀποστάζουσαι φόνου, κατὰ τοῦ χερσὶν ὀχουμένου ὁπλισθήσονται· νῦν μὲν ἐν σπαργάνοις αὐτὸν μεμηνὼς Ἡρώδης διώξεται, καὶ ξενίσει Αἴγυπτος, τὸν πάλαι ταύτην διὰ κακοξενίαν μαστίξαντα· καὶ βαφήσεται ξίφη κατὰ σφαγῆς νηπίων, διὰ τὴν σφαγὴν τοῦ νηπίου. Ἔδει γὰρ Θεοῦ ἐκ παρθενικῶν αἱμάτων ἐπὶ γῆς τεχθέντος, συνηλικιώτας αὐτῷ δι' αἵματος οὐρανοῖς ἀποτεχθῆναι· καὶ προτέραν ἐκείνην τὴν ἡλικίαν ἀπόνασθαι τῆς Δεσποτικῆς παρουσίας, ἣ τοῦτον εἶχε πρώτη ἐν τοῖς νηπίοις ὁρώμενον· ὕστερον δὲ πᾶσιν ἡ ὠφέλεια ἥξει, ἐκείνου τῆς πάντων [d] ἀναγεννήσεως τὴν σφαγὴν ὑφισταμένου· ὅτε ὁ μέγας τοῦ Πατρὸς Ἀπόστολος, οὗ ἀπέσταλται ἔργου
C τελειωτὴς περαθέντος, ὁμοῦ πᾶσι τοὺς οὐρανίους κόλπους ἀναπετάσει.

Μὴ πάλιν διὰ τὴν ἀποστολὴν, τὴν δόξαν τοῦ Μονογενοῦς ὑποπτώσῃς· μηδὲ τὴν κυριότητα εἰς δουλείαν καταβιβάσῃς, ἀλλοτριῶν τῆς πρὸς τὸν γεγεννηκότα οἰκειότητος· ἀλλ' ἀκούων ἀποστολὴν, τὴν ἐν τοῖς ἔργοις τοῦ ἀποσταλέντος συνδιοικονόμησιν ἐκδιδάσκου τοῦ ἀπεσταλκότος, καὶ τὴν ἐφ' οἷς ὁ Λόγος πραγματεύεται συμπαρουσίαν ἐκείνου· ἐπεὶ καὶ σὺ ὅταν φῇς λόγον ἀπεσταλκέναι, οὐ διαιρεῖς αὐτὸν τοῦ γεννήτορος νοῦ· οὐδὲ δουλικὸν αὐτῷ περιτίθης σχῆμα· ἀλλ' ὡς τοῦ νοῦ συμπαρόντος, καὶ ἃ διατίθησιν ὁ Λόγος συνδιατιθεμένου, τὴν ἀποστολὴν γεγενῆσθαι τῷ σῷ λόγῳ ἐρεῖς. Ταῦτα πρὸς τοὺς διὰ τὸ εὖ πε-
D πονθέναι κακογνώμονας, καὶ τοὺς διὰ τὸ τετιμῆσθαι καὶ ὑψῶσθαι τῇ τοῦ Λόγου ταπεινώσει, ἀτιμάζοντας τὸν τετιμηκότα, καὶ ἀμοιβὴν τοῦ ὕψους, τὴν ταπείνωσιν ἀντεισάγοντας. Ἀλλὰ πρὸς τὸν σοφὸν πρεσβύτην ἀπίωμεν· ὃς ἐν τῷ βάθει τῆς ταπεινώσεως, τὸ ὕψος εἶδε τῆς μεγαλωσύνης· καὶ ἐν τῷ ἐξ ἡμῶν ὀστρακίνῳ πτυχίῳ, τὸν μαργαρίτην εὗρε τῆς θεότητος. Οὗ τῷ κάλλει τὴν ψυχὴν διαγανωθεὶς, τὴν ἱερολόγον γλῶσσαν κινεῖ προθυμότερον· παρ' οὗ καὶ ἀμοιβὴν τῆς ἐν ἀγκάλαις ὑποδοχῆς τὴν ἐκ τοῦ βίου πορείαν λαβὼν, ἄπεισι τοῖς ἐν ᾅδου πενομένοις, ὃν εἶδε πλοῦτον ἀναγγελεῖν· ᾧ προσεγγίσας, καὶ τὴν

VARIÆ LECTIONES.

A ρίζοντι · συγχαίροντες δὲ τῷ διὰ σπλάγχνα ἐλέους καμάτοις οἰκείοις τὴν λύπην ἐξαφανίσαντι, καὶ τῷ κόσμῳ φυτουργήσαντι τὴν χαράν · καὶ τιμῶντες ἐκπλήξει καὶ θαύματι τὰ οἰκονομούμενα · ἡδὺ δὲ ἄκουσμα τὸ ὑμέτερον ᾆσμα ποιούμενοι, ὧν τότε οὐδὲν ἡ πονηρὰ συνίει συναγωγή · ἀλλ' ὁρῶντες ᾅδην τρομάξαντα, καὶ τῶν καλούντων ῥημάτων ἔτι λαλουμένων ἀναπέμψαντα τὸν νεκρὸν, ἐφιλονείκουν εἶναι τούτου θρασύτεροι · καὶ ὁ μὲν ἀνεπήδα μετὰ τῶν ἐνταφίων σπαργάνων τοῦ μνήματος · οἱ δὲ τῷ λυτρωτῇ ἐν τῇ ἀλύτῳ ὄντως τῆς πονηρίας γνώμῃ ἔπλεκον τὰ δεσμὰ, καὶ ῥήμασι γάλα σταζόντων χειλέων τὰς ἐν κακίᾳ σαπρὰς διεπρίοντο καρδίας. Δεῦρο μετὰ τῆς ὡραιότητος ὡραΐζου τῆς ἐκκλησίας, τῆς καὶ ποθούσης, καὶ στεργομένης ἀμώμου νύμφης · ἣν ὁ B Πατὴρ τῷ ἀγαπητῷ ἡρμόσατο Υἱῷ; διαζεύξας τοῦ πράου νυμφίου τὴν ἀγριαίνουσαν καὶ ἀχάριστον Συναγωγήν · ἀνθ' ὧν εἰς τὴν τοσαύτην ἐνυβρίσασα μνηστείαν, τὸν νυμφευσάμενον ἐξουδένωσε, μισήσασα τὸν ἠγαπηκότα · φαυλίσασα τὸν τετιμηκότα · τὸν δι' ὃν πᾶσιν εὐθήνει καλοῖς, πᾶσιν ἐναντίοις ἀμειψαμένη. Διὰ τοῦτο νῦν ὑμῖν ἀπωσμένη, καὶ ἔρημος, καὶ ἀνέορτος, καὶ πλουτοῦσα τὰς συμφορὰς ἀντὶ τῆς μακαριότητος · καὶ ἀνθοῦσα τὴν ἀσχημοσύνην ἀντὶ τῆς τότε καλλονῆς ἐπανθούσης αὐτῇ · καὶ πίνουσα τὴν τρυγίαν, ὧν κακῶς ἐγεώργησεν. Ἡ δὲ νέα νύμφη καὶ ἔντιμος, ἐπὶ τῇ ὑπερτίμῳ χαίρουσα μνηστείᾳ, καὶ τῷ καλῷ μνηστῆρι πανάγνῳ ἔρωτι περιφυομένη, ἀπολαύει μὲν τῆς ἐκείνου τερπνότητος · ἀπολαύει δὲ καὶ τῶν τῆς παρούσης ἡμέρας τερπνῶν · C ἐν ᾗ, εἰ καὶ κάτω τῆς παλαιᾶς ἐκείνης τιμῆς τὰ σύμβολα σώζουσα μετὰ βαΐων αὐτῷ προσάγει τὸν ἔπαινον, ἀλλ' ἄνω θεωροῖς αὐτὸν ὀφθαλμοῖς ὁρῶσα μετ' ἀγγέλων δοξολογεῖ, ὡς τῶν ἄνω κυριεύοντα, καὶ τῶν κάτω. Ἔδωκε γὰρ αὐτῷ ἀντὶ τῆς μέχρι παθῶν καὶ θανάτου ὑπακοῆς ὁ Πατὴρ, τὴν πάντων ἐξουσίαν, ὅσα ἐν οὐρανῷ, καὶ ὅσα ἐν γῇ. Ἔδωκε τὴν ἐξουσίαν ὑπὸ τοὺς πόδας καταθεὶς, καὶ ἄκοντας τοὺς ἐχθροὺς, ὅσοι τὴν ἐκείνου παρῃτοῦντο βασιλείαν. Ἐδόξασε γὰρ τὸν Μονογενῆ τῇ δόξῃ, ᾗ εἶχε πρὶν τὸν κόσμον γενέσθαι, καὶ πρὶν ὑπὸ χρόνου ὀφθῆναι τὸν ποιητὴν τῶν χρόνων · χαίρων ἐπὶ τῷ μεγάλῳ ἔργῳ αὐτοῦ, τῇ ἀνθρώπων ἐλευθερίᾳ καὶ προσενέξει · ὅτι καταπαλαίσας τὸν ἀήττητον εἶναι νομίσαντα καὶ καταλήψειν ὡς νεοσσιὰν τὰ πέρατα, D τῆς τυράννου χειρὸς ἐξαρπάσας, προσήγαγε τῷ Θεῷ καὶ Πατρὶ, διὰ τῆς ἐκείνῳ πρεπούσης οἰκονομίας. Ἔπρεπε γὰρ Θεοῦ δι' ἄφατον ἀγαθότητα λύειν τὸν ἄνθρωπον εὐδοκήσαντος ὧν ἔνοχος ἦν, καὶ εἰς κληρονομίαν παραλαμβάνοντος, Υἱὸν εἶναι τὸν τοῦτο πραγματευόμενον. Οὔτε γὰρ Πατρὶ τὸ τῆς πρὸς ἡμᾶς ὁμιλίας ἥρμοζεν ἔργον, ἵνα μὴ τοῦ Πατὴρ εἶναι μετάστασιν πάθοι, καὶ πρὸς τὴν τοῦ Υἱοῦ τάξιν, καὶ χρονικὴν αἰτίαν, καὶ αἰτίας ἐπέκεινα καταδέξηται. Ἀλλὰ γὰρ οὐδὲ Πνεύματι. Οὔτε γὰρ ἐκείνῳ πρὸς τὴν Υἱοῦ προσηγορίαν διὰ τοῦ τόκου προσῆκον ἦν μετατετάχθαι · καὶ τὸ αὐτὸ νῦν μὲν Πνεῦμα, νῦν δὲ Υἱὸν εἶναι · καὶ φύρσιν

[88] Joan. XVII, 20.

A ἐν τῇ συνεκτικῇ πάσης εὐταξίας Τριάδι γεγονέναι. Ἦν οὖν εἰκὸς Υἱὸν διῳκηκέναι τὸ τῆς εὐεργεσίας μυστήριον, ὃς οὐκ εἶχεν ἀνάγκην καινοτομήσειν τὴν προσηγορίαν, ἧς ἐκληρονόμει, οὐδὲ τοῦ ἰδίου μεταστῆναι· ἔμελλε δὲ, ὥσπερ ἀπαθῶς ἐκ Πατρὸς γεννηθεὶς ἦν Υἱὸς, οὕτως ἀπαθῶς ἐκ μητρὸς κυοφορηθεὶς ὑπάρξειν υἱὸς καὶ ἀδελφὸς ἡμῶν, τῶν ἐπὶ κλῆρον καλουμένων, γεγονὼς, τὰ ἀδελφοῖς ἐπιπρέποντα τῶν πατρῴων συγκληρονόμους παραλαβεῖν. Οὐ μὴν οὐδ' εἶχε λόγον, τὸν Νοῦν, ἢ τὸ Πνεῦμα τῇ ἡμετέρᾳ περιγραφῆναι παχύτητι· ἀλλ' ἦν οἰκεῖον τὸν Λόγον, ὥσπερ διὰ τόμου τῆς σαρκίνης παχύτητος, τοῖς εἰς τὸν κλῆρον εἰσαγομένοις προσομιλῆσαι. Ἧκεν οὖν μὴ διεστηκὼς, ὅθεν ὥρμητο. Οὐδὲ γὰρ διάστασις ὁρίζει τὸν πάντα πληροῦντα οὐδὲ, τοῦ γεγεννηκότος Νοῦ ἀποτέτμηται ὁ Λόγος. B Οὐκοῦν οὐδ' ἐζημίωσε τοὺς γεννήτορας κόλπους, οὐδ' αὐτὸς ὑπέστη ζημίαν τῇ κενώσει, ἧς εἶχε δόξης, διὰ τὸ τοῦ προσληφθέντος ἄδοξον. Ἀλλ' εἰ χρὴ φάναι, τῷ πλήρει προσθήκην τινὰ γεγονέναι, προσθήκην ἐκ τῆς περὶ ἡμᾶς οἰκονομίας δόξης λαβών· ἀνθ' ὧν οἷς οὐκ ἦν ἄλλως εὖ γεγονέναι, ὥσπερ ἐν τόμῳ, τῇ ἐκείνων παχύτητι ὁραθεὶς, *ἐξαγγελεύς τε ἅμα τῆς μεγάλης βουλῆς* γέγονε καὶ ποιητὴς, καὶ τὸ πάσης ἐκπλήξεως ἐπέκεινα ἔργον πληροῖ, τὸν ἄνθρωπον θεοποιῶν, καὶ καθίζων ἐν θρόνῳ τῷ πατρικῷ.

A verit, ea dispensatione, quam ut gereret ipse congruum fuit. Decebat enim ut, cum ineffabili Deus bonitate ab iis hominem absolvere statuisset, quorum tenebatur reus, ac in hæreditatem asciscere, id alius præter Filium non perageret. Minime namque congruum erat ut Pater inter nos versaretur, ac fieret homo, ne Patris ipse rationem amitteret, ac in Filii ordinem temporalisque ortus principium redigeretur, qui omni principio ac causa superior est. Sed neque Spiritum sanctum res decebat. Nam neque eum par erat in Filii proprietatem ac appellationem vi generationis transire; utque idem modo Spiritus esset, modo Filius: sicque in sancta Trinitate, quæ omnem complectitur ordinem, confusio ac commistio oriretur. B Conveniens igitur erat ut Filius beneficentiæ hujus mysterium perageret; quem nihil necesse esset eam innovare appellationem, quam natura obtinet, aut ve a sua proprietate excedere. Qua enim ratione ex Patre nulla passione natus Filius erat, sic et sine passione ex matris utero susceptus partuque editus, Filius erat futurus, nosterque effectus frater, qui ad hæreditatem vocamur, paternorum nos bonorum cohæredes assumpturus, quod inter fratres solet fieri, ac fratres decet. At neque decebat ut Mens (25), aut Spiritus, nostri corporis mole circumscriberentur: sed plane erat congruum ut Verbum, velut per tomum ac libri corpus, per nostræ carnis molem, iis consuesceret qui ad hæreditatem introducendi essent. Venit itaque non derelicto loco, ex quo profectus erat. Neque enim eum, qui omnia implet, ulla distantia segregat: neque Verbum ab intellectu generante recessit. Igitur neque Paterno gremio ullum damnum attulit, neque ipsum detrimenti aliquid subiit qua se exinanivit ejus quam habuit gloriæ, propter humanæ naturæ ingloriam assumptam conditionem. Quinimo, si ita fas dicere, accessionem aliquam ei quod est plenum factam esse, accessione facta gloriæ ex humani generis dispensata salute; quod res aliter congrue habere non posset, in nostra mole, tanquam in tomo, perspicuum se ac oculis subjectum reddens, tum *magni consilii angelus* [87], tum executor effeetus est, opusque illud, quod omnem admirationem superat, implet; ut nimirum hominem deitate donet, ac in paterno solio collocet.

C Ἀλλ' ὦ Λόγε, διὰ τὴν ἄχρονον ἐκ Πατρὸς γέννησιν, καὶ ἄνθρωπε, διὰ τὴν ἐν χρόνῳ ἐκ μητρὸς ἀπότεξιν! Ὦ σοφία καὶ ἀπαύγασμα καὶ ζωὴ, ὑφ' ἧς καταπέποται θάνατος! Ὦ δι' οὗ Πατὴρ ἐφανερώθη, καὶ Πνεύματος ποταμοὶ ἐν ἀνθρώποις ἐῤῥύησαν! Ὦ Τριὰς ἁγία ἑνώσει διαιρουμένη, καὶ διαιρέσει συναπτομένη, ἐν τρισὶ προσώποις εἷς Θεὸς ὁμοούσιος! Εἴργασταί σοι τῶν ἡμετέρων λόγων τοῦτο ἀνάθημα, προθυμηθέντι μὲν εἰς σὴν τιμὴν τὸ ἔργον διενεγκεῖν, οὐ συγχωρουμένῳ δὲ εἰς ὅσον καθῆκεν ἀκριβῆ τὴν ἐργασίαν ποιεῖν ὑπὸ τῆς προνοίας, ᾗ κρίμασι τοῖς σοῖς ἐνδεδέμεθα. Ἤδη γὰρ καὶ νῦν ὥσπερ ἑαυτοὺς ἡρπακότες τῆς τῶν πραγμάτων ἀσχολίας, κατὰ τὴν

C Sed o Verbum, ob illam ex Patre æternam nativitatem, ac homo ob temporalem ortum ex matre! O sapientia, splendorque et vita, cujus viribus mors fuit absorpta! O per quem Pater manifestatus est, ac Spiritus flumina inter homines decurrerunt! O sancta Trinitas, unitate divisa, ac divisione unita, in tribus personis unus Deus consubstantialis! Hocce tibi nostræ orationis elaboratum est munus; cum ipse quidem, ut in tuum opus honorem cederet, percuperem; verum sim prohibitus, quominus ea, qua par erat diligentia ac studio absolverem: atque id curis, quibus, te ita volente, distinemur. Nam et nunc quoque quasi

[87] Isa. IX, 6.

NOTÆ.

(25) *Ut Mens, aut Spiritus*. Νοῦς ἢ Πνεῦμα. Pater scilicet qui Mens intelligitur, velut deitatis fons, ex quo Verbum, et Amor; Filius scilicet, ac Spiritus sanctus. Ex Mentis ergo et Spiritus ratione recte colligit non fuisse conveniens vel Patrem incarnari, vel Spiritnm sanctum: bene autem Verbum, cujus sit in Tomo, seu Libro sensile fieri, ac circumscribi. Grets. nulla Mentis, aut Tomi mentione, nihil subtilem auctoris sensum exprimit; apud quem etiam perperam δι' ἀτόμου scriptum est, pro, διὰ Τόμου· ui paulo post repetit auctor: Ὥσπερ ἐν Τόμῳ, τῇ ἐκείνων παχύτητι ὁρασθεὶς, ubi etiam Gretsero displicet Tomi nomen, seu Libri; quod rex theologus ex propheta evangelista accepit: Λάβε σεαυτῷ Τόμον νέου μεγάλου· *Sume tibi Tomum novi magni*, Isa. VIII; eoque charum toties repetit.

nos ex occupationibus suffurati, pro facultate nobis a te concessa, in gloriam et honorem unius Dei qui in Trinitate adoratur, hanc orationem tribus diebus composuimus; quia te decet honor et gloria in sæculs, Amen.

A ὑπὸ σοῦ χορηγηθεῖσαν μυστικὴν κρόκην τῆς γνώσεως· τῷ ἑνὶ τιμωμένῳ ἐν Τριάδι Θεῷ ἐν ἡμερῶν Τριάδι εἰς δόξαν, καὶ ἔπαινον τὸ δῶρον ἐξειργασάμεθα· ὅτι σοὶ πρέπει τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ORATIO VIII.

In extractionem venerabilium ac sacrosanctorum clavorum, qui infixi fuerunt in corpore Domini nostri Jesu Christi; et in divini corporis sepulturam. Dicta est sancta ac magna die Parasceves (26).

ΛΟΓΟΣ Η'.

Εἰς τὴν ἀποκαθήλωσιν τῶν τιμίων καὶ ἁγίων ἥλων, τῶν ἐμπαρέντων ἐν τῷ Δεσποτικῷ σώματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ εἰς τὴν θεόσωμον αὐτοῦ ταφήν. Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ.

(COMBEFIS. *Auctar.* pag. 1675.)

O tremendum mysterium universæ creaturæ, tum cœlesti, tum mundanæ! O mysterium, mirifica omnia, quæ a mundo condito evenerunt, sua admirabilitate longe exsuperans! Plane dignum stupore, materno Deum capi utero, et cum hominibus conversari, ac si qua alia humanæ salutis causa gesta fuerunt ac dispensata: voluisse autem mortem oppetere, id quantum ad inclinationem humilius, tantum ad stuporem sublimius. Quid ei retribuemus qui nos adeo dilexit? Non satis fuit bonitati ejus, ut nos, cum non essemus, propria manu conderet, injuriososque ac eos qui in adversarii partes concessissemus, mille modis ad se traduceret, atque ut tantæ bonitatis in nos collatæ præmio, sic male in iram provocatus haberet: quin et usque ad cruciatus ac mortem dignatur descendere: utque ii quos par erat non uno mortis genere, sed innumerabilibus pro reatu punire, a morte liberentur, Dominus congreditur cum morte: congreditur, at non vincitur, vel tenetur. Licet enim in arenam cum morte, quæ genus humanum persequebatur, descendat, id tamen eo consilio facit, ut insolubilibus constrictam vinculis, ab ulteriori eam impressione ac persecutione, nihil inde læsa divina virtute, cohibeat. Hoc quoque olim Deo afflata prophetarum ora prolocuta sunt: Propter peccata populi mei, ad mortem ductus sum; Creator, pro creatura; justus, pro injustis; pro servis, Dominus; Rex, pro reis. Neque hoc solum, sed quibus salutem procurat, ab his vulneratur. Ut enim homo immortalis fiat, Deus mortem gustat; nec homines a tanto absterrentur facinore. Venit ad captivos Redemptor, ingratique solventem ipsum ligant. Venit medicus ad ægros; iique gratiarum actionis loco eidem infligunt vulnera. Venit Salvator ad eos qui per lignum periissent, atque ab iis in ligno extenditur. Ac neque hactenus iisque cruciamentis ac morte iram definitam volunt; quin etiam

B Ὦ φρικτοῦ μυστηρίου πάσῃ τῇ κτίσει, ὅσῃ ὑπερουράνιος, καὶ ὅσῃ ἐγκόσμιος! Ὦ μυστηρίου πᾶν, εἴ τι παράδοξον ἐξ αἰῶνος ἐπράχθη, ἀποκρύπτοντος τῷ παραδόξῳ! Ἔκπληξις μὲν γὰρ Θεὸν ἐν μήτρᾳ γυναικὸς χωρηθῆναι, καὶ ἀνθρώποις συναναστραφῆναι, καὶ τὰ ἄλλα, ὅσα εἰς ἡμῶν σωτηρίαν ᾠκονομήθη· ἀλλὰ τὸ εὐδοκῆσαι θανάτῳ ὁμιλῆσαι ὅσον εἰς συγκατάβασιν ταπεινὸν, τοσοῦτον εἰς ἔκπληξιν ὑψηλόν. Τί ἀνταποδῶμεν τῷ οὕτως ἡμᾶς ἀγαπήσαντι; Οὐκ ἤρκει τῇ αὐτοῦ ἀγαθότητι πλαστουργῆσαι μὴ ὄντας παλάμῃ οἰκείᾳ· οὐδὲ ὑβρίσαντας, καὶ μετὰ τοῦ ἀντιπάλου γενομένους μυρίαις ἐπιβολαῖς μεθέλκειν πρὸς ἑαυτὸν, μηδὲ ἐκ τοῦ τοσαύτης ἀπολαύσαντας χρηστότητος, οὕτως κακῶς διακεῖσθαι παροργισθέντα· ἀλλὰ καὶ μέχρι παθῶν κατιέναι δι' ἡμᾶς εὐδοκεῖ· καὶ οὗς οὐχ ἑνὶ θανάτῳ, ἀλλὰ μυρίοις ἔδει δοθῆναι, ἵν' οὗτοι θανάτου λυτρωθῶσιν, ὁ Δεσπότης
C θανάτῳ συμπλέκεται. Συμπλέκεται, ἀλλ' οὐ κρατεῖται. Εἰ γὰρ καὶ πρὸς συμπλοκὴν τῷ θανάτῳ διώκοντι τὸ γένος καθίησιν ἑαυτὸν, ἀλλ' ἵν' ἐπίσχῃ δεσμοῖς ἀλύτοις αὐτὸν τῆς ἐπὶ τὸ πρόσθεν ὁρμῆς καὶ διώξεως, μηδὲν τῆς θείας δυνάμεως ἐκ τούτου καμούσης. Τοῦτο ἄρα καὶ θεοφορούμενα χείλη πάλαι προὔλεγεν· Ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἤχθην εἰς θάνατον. Ὑπὲρ τοῦ πλάσματος, ὁ Πλάστης· ὑπὲρ ἀδίκων, ὁ δίκαιος· ὑπὲρ τῶν δούλων ὁ Δεσπότης· ὑπὲρ τῶν κατακρίτων, ὁ Βασιλεύς. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὑπὲρ ὧν τὴν σωτηρίαν πραγματεύεται, ὑπὸ τούτων τραυματίζεται. Ἵνα γὰρ ἄνθρωπος ἀπ-
D αθανατισθῇ, γεύεται θανάτου Θεός· καὶ τολμῶσιν ἄνθρωποι τὸ ἐγχείρημα. Ὁ λυτρωτὴς παρεγένετο τοῖς αἰχμαλώτοις· καὶ οἱ ἀχάριστοι δεσμοῦσι τὸν λύοντα. Ἐπέστη τοῖς ἀσθενοῦσιν ὁ ἰατρός· καὶ ἀντὶ τοῦ χάριν εἰδέναι τῆς θεραπείας, τραυματίαν δεικνύουσιν. Ἦλθε τοῖς ἀπολωλόσι διὰ ξύλου Σωτήρ· καὶ αὐτὸν ἐπὶ ξύλου τανύουσι. Καὶ οὐδὲ μέχρι τούτου τὴν ἄδικον ὀργὴν καταλύουσιν· ἀλλ' ἐπὀργίζονται καὶ θανόντι· καί τοι καὶ πρὸς ἐχθροὺς εὐμένειαν φέρει

NOTÆ.

(26) Primam hanc e novem e Bavarica bibliotheca ediderat Gretserus: quo argumento exstant luculentissimæ Græcorum orationes. Ad magni potius Sabbati diem spectare videtur, quam Parasceves: ut non omnino probem quod titulo præfertur, τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ· cum auctor præcipue celebret diem septimam, ejusque requiem, nova operum cessatione, ac operum recreationis, consecratam: uti primo consecrata fuerat cessatione operum creationis. Forte dicta sit die ipsa Parasceves; sed vergente ad vesperam, quando jam velut inchoante Sabbato, Dominicæ sepulturæ memoria recoli incipiebat.

θάνατος. Νῦν δὲ τὸν εὐεργέτην θανατώσαντες οὐ πραΰνουσι τοὺς θυμούς.

Πάλαι μὲν οὖν ὁ δημαγωγὸς Ἰσραὴλ Μωϋσῆς, ὁ τὸν ἡμέτερον, μᾶλλον δὲ, κἀκείνου Δεσπότην εἰκονίζων, οἷς ῥάβδῳ τὴν θάλασσαν λαῷ ταλαιπωρουμένῳ ἐδείκνυ βατὴν, καὶ τοὺς διώκοντας ἔκρυπτεν ἐν αὐτῇ· εἰς τὰ νῦν τελούμενα βλέμμασι θεωρίας ἀποσκοπῶν, ἄλλοις τε πολλοῖς, τῆς ἐπὶ θεομαχίαν ὁρμῆς ἀναστέλλειν αὐτοὺς ἐπειρᾶτο· οὐχ ἧττον δὲ κἀντεῦθεν λέγων, ὡς ἴδοιεν ἐπὶ ξύλου κρεμαμένην αὐτῶν τὴν ζωὴν, οἷον εἰκόνι γράφων ἐν ὄφει χαλκῷ τοῦ πράγματος τὴν ἀλήθειαν. Ἀλλ' ἦν ἄρα τοῦ Ἰουδαϊκοῦ καλύμματος, μὴ μόνον τὴν εἰκόνα, ἀλλὰ μηδ' αὐτὴν ὁρᾷν τοῦ πράγματος τὴν ἐνέργειαν. Πᾶσα γὰρ κτίσις τῷ Δεσποτικῷ θαμβουμένη πάθει, καὶ μόνον οὐχὶ φωνὴν ἀφιεῖσα, καὶ τῶν μιαιφόνων στηλιτεύουσα τὴν τόλμαν· γῆς θεμέλια τρέμοντα· πέτραι ῥηγνύμεναι· φωστῆρες εἰς ζόφον τὴν λάμψιν ἀμείβοντες· οὐδ' οὕτως εἰς συναίσθησιν εἷλκε τῇ μέθῃ τῆς μανίας κεκαρωμένους αὐτούς· ἀλλὰ μανίαν ἄλλην ἐπὶ μανίᾳ μαίνονται. Ἐπεὶ γὰρ ὑπὸ Ἰωσὴφ τῷ χωρίῳ τῆς ἀφθαρσίας τὸ θεῖον ἐτέθη σῶμα, τί φασι τὰ χείλη τὰ μάταια; *Ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος* [εἶπεν], *ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.* Ὦ πώρωσις καρδίας τῶν ἀψύχων ἀναισθητοτέρας. Οὐρανὸς καὶ γῆ συνῄσθοντο τὴν δεσποτικὴν ὕβριν, καὶ ἔφριξαν· καὶ λαὸς Ἑβραίων ἐπὶ πλεῖον τῇ ἀπονοίᾳ βακχεύεται. Οὐκ εἶπεν, Ἰουδαῖε, πρὶν γενέσθαι, ὅτι μαστιγώσεις, καὶ ῥαπιεῖς, καὶ ἐπὶ ξύλου κρεμάσεις; πῶς τὴν ἔκβασιν τῶν προειρημένων ἐκεῖ οὐκ ἐνεθυμήθης, ἀλλ' ἔδρασας ἅπαντα μηδὲν τὴν πρόῤῥησιν ὑπολογισάμενος; Τί οὖν ἐνταῦθά σε ὁ τῆς ἀναστάσεως θορυβεῖ λόγος; Οὐκ ἔθου φροντίδα τῶν ἐκβάντων μέχρι τοῦ σταυροῦ· μηδὲ τοῦτό σοι πράγματα παρεχέτω. Ἀλλ' ἐν οἷς μὲν ἐφλέγου διψῶν τοῦ Δεσποτικοῦ αἵματος, οὐδὲ ἐπὶ διάνοιαν ἐβάλου, ὧν προεῖπε μὲν ἐκεῖνος, ἐπλήρους δὲ σύ. Οὐδὲ γὰρ συνεχώρει τῆς μιαιφονίας ἡ λύσσα λογίζεσθαι τὸν λογισμόν. Ἐπειδ' ὥσπερ τὸ δίψος τοῦ Δεσποτικοῦ φόνου μικρὸν ὑπανῆκεν, εἰς μνήμην, ὧν τε προεῖπε, καὶ ὧν ἔδρασας ἐλθὼν, οἷον προκύπτουσαν ὁρῶν τὴν ἀλήθειαν, ὅσον οὔπω δέδοικας ὅλην αὐτῆς τὴν φανέρωσιν· καὶ τοῖς περὶ τῆς ἀναστάσεως λόγοις τοὺς λογισμοὺς κατασείεις [1]. *Ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν.* Τί λέγεις; Πῶς δι' ὧν ἐμνήσθης, ὅτι προεῖπεν ἀναστήσεσθαι, πλάνον καλῶν, οὐκ ἀναμιμνήσκῃ, ἅπερ ἐτέλεσας εἰς αὐτὸν, ὅτι καὶ ταῦτα εἶπεν, καὶ τὸ μιαρὸν ἐμφράττῃ [j] στόμα; Ἀλλὰ πλάνος. Καὶ τί τοσοῦτον φροντίζεις αὐτοῦ; Τὸ σπουδαζόμενον ἤνυσας. Ἔλυσας τῷ θανάτῳ τὴν ἀφορμὴν τῆς πλάνης. Οὐκ ἀκούει χειλέων ἐκείνου λαὸς, ὃν ὡς εὔκολον εἰς ἀπάτην ὑπὸ κατάραν ἐτίθεις. Οὐχ ὁρῶσι τὰ παράδοξα τῶν τεραστίων.

A mortuo irascuntur, tametsi mors in ipsos quoque hostes leniores efficiat. At isti ne benefactore quidem interfecto animos leniunt ac iras.

Jam olim populi Israelitici ductor Moyses, nostrum, quin et suum illius Dominum adumbrans, quibus per virgam populo afflicto mare pervium fecit, ac persequentes in eo submersit; in ea quæ nunc peraguntur spiritalis intelligentiæ oculo intentus, aliisque plurimis, ab eo impetu quo Deo resistebant, abducere conabatur: tunc maxime cum ait fore ut viderent vitam suam pendentem in ligno [88], expressa tanquam in imagine rei veritate in æneo serpente [89]. Cæterum hoc Judæorum cæcitati conveniens erat, ut non modo imaginem non agnoscerent, sed ne ad ipsam rem, cum perageretur, B animum adverterent. Quamvis enim creata universa Domini passione cohorruerint, tantumque non ediderint vocem, ac sacrilegorum parricidarum audaciam coarguerint: nam fundamenta terræ contremuerunt, petræ scissæ sunt, cœli lumina lucem in caliginem verterunt: attamen ne sic quidem Judæi furore et vesania ebrii sepultique, sui sceleris immanitatem persenserunt, sed furorem furori accumulant. Postquam enim Joseph in immortalitatis loco illo divinum corpus condiderat, quid vanissimi hominum deblaterant? *Recordati sumus, quoniam seductor ille dixit adhuc vivens. Post tres dies resurgam* [90]. O cordis stoliditatem ac stuporem, qualem in rebus inanimis non reperias! C Cœlum et terra injuriam Domino irrogatam senserunt, horrueruntque; ac Hebræorum populus eo magis desperata vesania furit. An non, o Judæe, prædixit fore ut a te flagellaretur, alapis cæderetur, et in ligno suspenderetur? Quomodo eventum prædictionum in memoriam tunc non revocasti, sed perpetrasti omnia, nulla prædictionis habita ratione? Cur igitur jam mentio de resurrectione te perturbat? Cum eventus usque ad crucem floccipenderis, ne istud quoque negotium tibi facere debuerit. Verum sitis, qua Dominicum sanguinem ardentissime sitiebas, non sinebat, ut mente revolveres id quod ipse prædixerat; tu vero opere complesti. Neque enim rabies, qua ad innocentis perpetrandam cædem ferebaris, sanam ullam cogi-D tationem admittebat. At postquam sitis illa Dominici sanguinis nonnihil remisit, animum subeunt, tam quæ ipse prædixit, quam quæ tu perpetrasti; ac veritatem quasi prospectantem videns, magnopere totam ejus manifestationem metuis, verbisque de resurrectione animo commoveris. *Recordati sumus, quia seductor ille, dixit adhuc vivens.* Quid ais? Quomodo seductorem vocans, quod prædictam ab eo resurrectionem recorderis, non simul in mentem revocas ea quæ in ipsum admisisti, cum et is illa prædixerit, ac sceleratum os tuum obstruxe-

[88] Deut. xxviii, 66. [89] Num. xxi, 9. [90] Matth. xxvii, 63.

VARIÆ LECTIONES.

[1] κατασείῃ. [j] ἐμφράττει.

rit? At seductor est. Cur vero tanta tibi de illo cura est? Confecisti quod studio moliebaris. Occasionem seductionis morte præcidisti. Non audit populus ejus labiorum verba [61], quem ut facilem decipi maledicto subjiciebas. Non cernunt admiranda illa prodigia.

Undenam vero occasionem acceptura est deceptio? *Ne forte discipuli veniant, et furentur eum, ac dicant populo, Surrexit a mortuis.* Discipuli furentur, qui ne minimum quidem cum ille traheretur, secuti sunt? Tantum illi pro mortuo curæ suscepturi sunt, qui eo vivente, ne impressionem quidem vestram ferre valuerunt : vel eo duntaxat, ut a longe spectarent, quali nece Magister traderetur? Imo, illo jam sepulto, vestrum impetum floccifacient, furtumque cadaveris tentabunt? Non beneficii loco deputent, ita animi timiditate reputantes, ut vel nihil novantes, latere possint; sed ad necem inferendam, atque ad ipsos ad supplicium pervestigandos, cupidissimos homines magis provocent? Deinde, quo fine corpus furarentur? Non ut alicubi id reponerent eoque tanquam amoris solatio fruerentur, sed ut resurrexisse passim prædicarent? Rem inauditam, ac qualem sol nunquam vidit : nempe mortuum propria redivivum virtute : quasi videlicet rem tritam, ac quæ quotidie accidat, aggressuri essent. Atqui contrarium prorsus illos facere par erat, quantum humana mens ratione assequi potest; potius enim optare debebant ut sibi terra dehisceret, præ metu ubique latibula quærere, nihil non moliri ne vestro unquam animo occurrerent : quin et implacabili odio in seductorem amor pristinus commutandus erat. Nam rogo, quanam etiam ex causa tantam magistri curam agerent? An quia cum ipso agentes, in deliciis vivebant? At qui quas etiam exiguas facultates habebant, verbis illius obsecuti abjecerant; fameque et siti, et aliis incommodis contabescebant. Quid vero? An quia resurrectionem confingentes, lætam statim ac jucundam vitam victuri erant? Verum magis eos animi mœror cruciaturus erat, cum iis, quæ confinxissent, haudquaquam certius niti possent. Cujusnam ergo gratia in tantum se periculum conjecissent? Nihil plane ejusmodi est quale tu, vere seductor, ais; quin vel invitus resurrectionis splendorem visurus es, terrarum universum orbem collustrantem, tametsi gravius adhuc velamen cordi impositum geras. Interim, quodnam hoc præsidium, quod sepulcro moliris? Signacula imponis, ac circum custodias adhibes. Quid agis, Judæe? Non animadvertis viam te tibi excusandæ insipientiæ magis ac magis præcludere? Si enim, ut arbitraris, qui de resurrectione jactatur sermo, mendax ac commentitius est, quid vano studio circa sepulcrum occuparis? Sin autem ut verum, sicuti est, metuis, quid iis armis quibus illum oppugnas teipsum oppugnas? Forte enim si non tantum studii muniendo ac custodiendo sepulcro adhibuisses, impudentia ad calumniandam resurrectionem promovens, minori fuisset dedecori.

A Πόθεν ἕξει τὴν ἀφορμὴν ἡ πλάνη; *Ναὶ μήποτε ἐλθόντες οἱ μαθηταὶ κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ ὅτι ἠγέρθη ἐκ τῶν νεκρῶν.* Οἱ μαθηταὶ κλέψωσιν, οἱ μηδὲ τὸ βραχύτατον ἀκολουθήσαντες ἑλκομένῳ; ἐκεῖνοι τοσαύτην σπουδὴν περὶ τὸν νεκρὸν σχήσουσιν, οἱ ζῶντος μηδ' αὐτὴν ὑμῶν τὴν ὁρμὴν ὑπομείναντες, μηδ' ὥστε πόῤῥωθεν ἰδεῖν ποίῳ θανάτῳ ὁ Διδάσκαλος παραδίδοται; Οὗτοι τάφῳ κρυβέντος καταφρονοῦσιν ὑμῶν, καὶ χωρήσουσιν ἐπὶ σώματος νεκροῦ κλοπήν; οὐκ ἀγαπητὸν, ἀπὸ δειλίας ἡγουμένους, εἰ μηδὲν νεωτερίζουσιν, αὐτοῖς περιέσται λαθεῖν· ἀλλ' εἰς ἔρευναν καὶ τιμωρίαν φονῶντας ἀνθρώπους ἀνακινήσουσιν; Εἶτα ἵνα καὶ τί ποιήσωσι κλέψαντες; Οὐχ ἵνα ὅπου δὴ μεταθέντες ἔχωσι παραμύθιον τοῦ φίλτρου, καὶ B τιμῶσι τὸ σῶμα, ἀλλ' ἵνα φημίσωσιν τὴν ἀνάστασιν; πρᾶγμα οἷον οὔπω τεθέατο ἥλιος, νεκρὸν οἰκείῳ κράτει ἀναβιοῦντα· ὥσπερ τι τῶν καθ' ἑκάστην γινομένων κατασκευάζοντες; Καὶ μὴν τοὐναντίον ἅπαν εἰκὸς αὐτοὺς ποιεῖν, ὅσα γε λογισμὸς ἀνθρώπινος ἐπιτρέπει· εὔχεσθαι ῥαγῆναι τούτοις τὴν γῆν, τῷ δέει πανταχοῦ καταδύεσθαι· πάντα μηχανᾶσθαι, μηδ' ἐπὶ μνήμην ὑμῶν αὐτοὺς ἥκειν. Καὶ μὴν καὶ μῖσος ἀναλαβεῖν ἀντὶ τοῦ πρότερον φίλτρου κατὰ τοῦ ἀπατήσαντος. Ἐπὶ τίνι γὰρ καὶ ἔμελλον οὕτω κήδεσθαι τοῦ Διδασκάλου; Ὅτι ἐφ' οἷς αὐτῷ συνῆσαν ἐν ἀπολαύσει διέζων; ἀλλὰ καὶ ἣν εἶχον πενιχρὰν ὕπαρξιν, τοῖς ἐκείνου πειθόμενοι λόγοις ῥίψαντες, λιμῷ καὶ δίψει, καὶ τοῖς ἄλλοις ἐτήκοντο. Τί δέ; C Ὅτι πλασάμενοι τὴν ἀνάστασιν, εὐθέως ἔμελλον βιώσεσθαι; Ἀλλ' οὕτω γε πλέον ἡ ἀθυμία ἐκέντει, οἷς ἐπλάσαντο θαῤῥεῖν οὐκ ἔχοντες. Ἀντὶ τίνος οὖν εἰς τοσοῦτον κινδύνου καθίεσαν αὐτούς; ἀλλ' οὐκ ἔστιν, ὡς σὺ λέγεις, ὦ πλάνε ἀληθῶς· ἀλλ' ὄψει καὶ ἄκων τῆς ἀναστάσεως τὸ φέγγος πᾶσαν περιλάμπον τὴν οἰκουμένην· κἂν ἔτι βαρύτερον εἴης ἐπὶ τῆς καρδίας φέρων τὸ κάλυμμα. Τέως δὲ νῦν τίς ἡ ἀσφάλεια, ἣν τῷ τάφῳ περινοεῖς; σφραγῖδας ἐπιτίθης, καὶ κουστωδίας περικαθίζεις. Τί ποιεῖς, Ἰουδαῖε; Λανθάνεις σεαυτῷ τὸν ἔλεγχον τῆς ἀνοίας ἀφυκτότερον κατασκευάζων; Εἰ μὲν γὰρ ὥσπερ οἴει πλάνος ὁ τῆς ἀναστάσεως λόγος, τίς ἡ περὶ τὸν τάφον διάκενος σπουδή; Εἰ δ' ὡς ἀληθῆ, ὅπερ ἐστὶ, δέδοικας, τί δι' ὧν ἐκείνη μάχῃ, σαυτὸν ἀνατρέπεις; μὴ γὰρ D οὕτω περικροτοῦντί σοι τὴν φυλακὴν, ἴσως ἂν ἡ ἀναίδεια ἐπὶ τὸ συκοφαντεῖν τὴν ἀνάστασιν ὡρμημένῳ, οὐκ ἂν μετὰ τοσαύτης αἰσχύνης προύχώρει.

Sed valeant Hebræi cum suis nugis : Christi vero immaculata Ecclesia cum Moyse sacram requietionis diem veneretur, de qua dicebat : *Et*

Ἀλλ' ἐῤῥίφθωσαν ταῖς αὐτῶν λέσχαις Ἑβραῖοι· ἡ δὲ τοῦ Χριστοῦ ἄμωμος Ἐκκλησία μετὰ Μωϋσέως τῆς καταπαύσεως τὴν ἱερὰν ἡμέραν τιμάτω· περὶ

[61] Joan. VII, 49.

ἧς ἔλεγε· *Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην*, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ. Εἰ γὰρ καὶ τῶν ἔργων ἐξ ὧν ὁ κόσμος ὑπέστη δηλοῖ κατάπαυσιν· ἀλλ' οὖν αὕτη τῷ ὄντι τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐξ ἔργων τοῦ ἡμετέρου προσλήμματος, ἑκὼν ὁμιλήσας θανάτῳ, κατέπαυσεν· ἐν ᾗ τοῦ θανάτου ἡ αἰώνιος τυραννὶς κατελύθη, καὶ οἱ ὑπ' ἐκείνῳ ταλαιπωρούμενοι, ἀνάπαυσιν εὕροντο· ἐν ᾗ τῶν σπιλάδων τῆς ἁμαρτίας ὑπεξελθοῦσα ἡ φύσις, δι' ὧν πρὸς φθορὰν ἐναυάγει, καθωρμίσατο πρὸς ἀφθαρσίαν· καθ' ἣν ὁ κραταιὸς, ὡς ἐξ ὕπνου τῶν ὑπὲρ ἡμῶν ὑπνώσας τραυμάτων, τὸν ὑπερήφανον ἐχθρὸν τραυματίαν εἰργάσατο, καὶ τοὺς αἰχμαλώτους ἀπέλυσε τῆς πολυχρονίου φρουρᾶς. Τίς ὁ πλοῦτος τῆς περὶ ἐμὲ συμπαθείας; Τί τὸ ἄπειρον τῆς συγκαταβάσεως; Ἐγευσάμην ἐγὼ βρώσεως γλυκείας, ἥ με κατέστησεν ὑπόδικον τῷ θανάτῳ· καὶ γεύεται θανάτου Θεὸς, ἵν' ἁρπάσῃ θανάτου. Ἡ κόνις, ἀγαθότητος ὕψει, πρὸς θείαν ἀνήχθη δόξαν, καὶ οὐχ ὕπερξα τὴν τιμήν· καταβαίνει Θεὸς πρὸς ἐμὴν ἐσχατιὰν, ἵνα μὴ μόνον ἐγείρῃ πεσόντα, ἀλλ' ἵνα τῆς ἐμῆς ἀνασχόμενος φθορᾶς, καταπλουτίσῃ τὸ ἄφθαρτον. Καὶ τὴν μετὰ νεκρῶν κατάθεσιν ἡ ζωὴ ὑπομένει, ἵνα πρὸς ζωὴν τὸ ἐμὸν θνητὸν μεταταγῇ· καὶ νεκροστόλοις ὀθόναις ἑλίσσεται, ἵν' ἐγὼ σωτηρίας ἱμάτιον περιβάλωμαι· καὶ χερσὶ πηλίναις ἐνταφιάζεται, ἵν' ἐγὼ ἐπ' ὤμων καθίσω Χερουβικῶν. Χερσὶν Ἰωσὴφ τοῦ σεμνοῦ. Οὗτος γὰρ ἁπάντων καταλιπόντων γνωστῶν, τὸν διὰ σπλάγχνα ἐλέους ἐπιγνόντα ἡμᾶς, λαμβάνει πρὸς τὴν ταφήν. Ποῦ μοι νῦν ἡ Πέτρου παῤῥησία; Ποῦ δὲ τὸ πρόθυμον τοῦ Θωμᾶ; ποῦ δὲ τῶν ἄλλων μαθητῶν τὸ φίλτρον; Νῦν ἐλέγετε: *Ἄγωμεν καὶ ἡμεῖς, ἵν' ἀποθάνωμεν μετ' αὐτοῦ*: καὶ νῦν οὐκ ἀκολουθεῖ τις ἀπιόντι τῷ διδασκάλῳ πρὸς τὴν σφαγήν. Καὶ γύναια μὲν τέως, εἰ καὶ μακρόθεν ἕστηκε, καὶ θρηνεῖ· οἱ δὲ μαθηταὶ οὐδὲ γυναικῶν λαμβάνουσι τόλμαν. Τί οὕτω πᾶσαν ἐκείνην τῆς στοργῆς ὑμῶν τὴν φλόγα ἔσβεσε τὸ δειλόν; οὐδὲ ἐγείρει τὴν ψυχὴν, ὧν τε εἶπεν ὧν τε ἐτέλεσεν ὁ διδάσκαλος; ἀλλ' οὕτω διέθηκεν ὁ φόβος, ὡς μηδενὸς ἔχειν λόγον ὑμᾶς; μὴ τῆς τοσαύτης ἀγάπης· μὴ τῶν ὑπερφυῶν θαυμάτων, ἃ ἐξ αὐτοῦ ἐπλουτήσατε· μὴ τῆς τῶν δαιμονίων ὑποταγῆς, ἃ ὑπὸ πόδας ὑμῶν ἔθηκεν; ἀλλ' οὕτω ῥίψαντας ἅπαντα μόνης εἶναι τῆς σκυθρωπότητος; οὐδὲ τῆς Μητρός ἐστι λόγος ὑμῖν· ἣ εἰκὸς ἐπὶ μονογενεῖ Παιδὶ οὕτω κρεμαμένῳ ἀπαραμυθήτῳ ἄλγει διεσπαράχθαι τὰ σπλάγχνα; ἢ καὶ ἄλλος τις τῶν οὐκ εἰδότων συνήλγησε τὴν ψυχὴν, καὶ ἀγαπητῶς ἂν τῇ ἐκ λόγων ἰατρείᾳ τὴν ὀδύνην ἐπειράθη διαπραΰναι. Ἡλίκαις γὰρ τότε ἡ ἄμωμος ἐμερίζετο πάθεσιν; Οἵοις ἐκυμαίνετο λογισμοῖς, νῦν μὲν τὸν ὑπερφυῆ τόκον ἐνθυμουμένη, νῦν δὲ τῶν ἄλλων

A *benedixit Deus diei septimo* [62], in quo requievit ab omnibus operibus suis. Licet enim significet requiem ab operibus, quibus conditus est mundus: hæc tamen revera dies est requietionis, qua unigenitus Dei Filius a designatis in humana carne assumpta operibus requievit, sponte in mortem concedens: qua die æterna illa mortis tyrannis dissoluta est, ac qui sub ea atterebantur, requiem invenerunt: qua e peccati scopulis ac petris expedita (27) natura, quibus in corruptionem naufragio impegerat, ad incorruptionis portum appulsa est: qua potens ille, quasi somno ex vulneribus pro nobis susceptis soporatus, superbum hostem vulneribus consauciavit, captivosque ex diuturno carcere liberavit. Quæ istæ divitiæ divinæ in me commi-
B serationis? Quænam immensa hæc in meum usum modumque inclinatio? Gustaveram ego dulcem escam, qua reus mortis factus sum, gustatque Deus mortem, ut a morte eruat. Pulvis exsuperantia bonitatis ad divinam gloriam subductus est; nec ego honorem amplexus sum, ac libens habui: descenditque Deus ad infimam meam vilitatem, ut non solum prolapsum erigat, verum etiam ut meam sustinens corruptionem, incorruptionis mihi divitias præbeat: patiturque vita ut cum mortuis deponatur, ut ad vitam mortalitatem meam transferat: funebribus linteis involvitur, ut ego indumento salutis vestiar; luteisque manibus sepulcro conditur, ut ego Cherubinorum
C humeris insideam. Manibus, inquam, honestissimi Joseph. Hic enim, cum noti omnes reliquissent, eum sepeliendum suscipit, qui per misericordiæ viscera notos nos habuisset. Ubi nunc mihi Petri libertas? Ubi Thomæ alacritas? Ubi aliorum discipulorum amor? Modo dicebatis: *Eamus et nos, et moriamur cum illo* [63]; nec quisquam modo reperitur, qui magistrum euntem ad mortem comitetur. Ac mulieres quidem hactenus, quanquam a longe, stant, ac lamentantur: discipuli vero ne parem quidem mulieribus ostentant audaciam. Cur adeo timor vestram illam amoris flammam penitus exstinxit? nec magister, iis quæ dixit patravitque, vestros animos quidquam erigit? sed ita vos consternavit pavor ut nullius rei rationem habeatis;
D non tanti illius amoris, non divinorum ac naturæ vim totam exsuperantium miraculorum, quorum patrandorum potestate ab ipso donati estis; non subjectionis dæmonum, quos pedibus vestris subjecit: sed omnibus in hunc modum abjectis ac posthabitis, tetrica mœstitia absorpti estis? Nec Matris vos cura tangit, quam credibile est, ob unigenitum Filium ita in ligno suspensum, inconsolabili dolore intimis visceribus excruciari? in quam vel ignotus quispiam misericordia motus

[62] Gen. II, 2. [63] Joan. XI, 16.

NOTÆ.

(27) *Scopulis, ac petris expedita*. Τῶν σπιλάδων τῆς ἁμαρτίας ὑπεξελθοῦσα. Clara, aptaque metaphora: non quam exprimit Gretserus, dum pro petris, quibus sub aquis latentibus solet naufragium effici, *peccati maculas* reddit.



esset, plenoque humanitatis affectu, orationis medicina dolorem lenire tentasset. Quantis enim intacta Virgo tunc cruciatibus conficiebatur? Quantis cogitationum procellis agitabatur, cum jam divinum illum partum animo versaret, jam alia omni admiratione referta opera perpenderet : ac modo quidem Davidis thronum, quem Gabriel, quasi arrham spopondisset, consideraret, modo crucem ac in ea pendentem Filium vestibus nudatum, idque medium latronum aspiceret? Quocirca neque novissima effatur verba, nec talia, qualia super filio morienti mater consuevit, sed stetit præ stupore velut solo affixa, lacrymis ubertim manantibus. Doloris vehementia velut consilii inopia absorptam omnino vocem ademerat. Ergone tanto in luctu versantem matrem virginem penitus deseretis? Posthaene vero ad eam accedere in animum inducetis? Quibus autem oculis aspecturi estis, qui sic solum, cum ad mortem duceretur, Filium reliqueritis? ipsum, inquam, qui ut amore in humanum genus, nihil paternum sinum deserens, in terram descendit, ita et vos materno amori præposuit, dicens : *Hi sunt Mater mea, et fratres mei* [64]. Ut quid adeo consilium mutastis? An non, cum vobiscum degeret, hæc ipsa vobis prædicebat? oportere videlicet Filium hominis tradi impiis, et elevari in ligno, atque in terræ corde versari? Quid ergo? An hic finem habuit prædictio? Nonne etiam aliud exsultationis cumulo adjunctum fuit? An non dixit : *Et tertia die resurget* [65]? Quomodo formidinem ex ejus passione conceptam spe resurrectionis non profligatis? Esto, non secuti sitis, cum ad mortem raperetur; cur jam quoque mulieribus ad sepulcrum euntibus palmam conceditis? Nam ipsæ primo diluculo accurrunt : vos autem non modo nihil simile tentatis, sed et acceptum de resurrectione nuntium, pro deliramentis reputatis. Ac Judæi quidem de vobis dicunt, furaturos vos mortuum, et quasi resurrexisisset, divulgaturos : vos autem factam jam resurrectionem audientes, non creditis, tristique vultu desidetis. Audi, Judæe, quomodo discipuli mortuum furati, resurrexisse in vulgus sparserunt, qui etiam facta resurrectione, increduli sedebant.

A ἔργων τὰ παράδοξα· καὶ νῦν μὲν τὸν θρόνον Δαβὶδ ὃν Γαβριὴλ ἀῤῥαβωνίζεται· νῦν δὲ βλέπουσα τὸν σταυρὸν, καὶ γυμνὸν τὸν Υἱὸν κρεμάμενον· καὶ τότε μετὰ λῃστῶν; Διὰ τοῦτο οὐδὲ τελευταῖα προσφθέγγεται ῥήματα· οὐδ' οἷα μήτηρ ἐπὶ παιδὶ θανατουμένῳ βοᾷ· ἀλλ' ἕστηκεν ἀπὸ ἐκπλήξεως οἷον παγεῖσα τῇ γῇ, μόνον πλυνομένη τοῖς δάκρυσι. Τὸ σφοδρὸν τοῦ πάθους ὅλην ὑπὸ ἀμηχανίας καταποθεῖσαν αὐτὴν ἀφείλετο τὴν φωνήν. Ἆρ' οὖν ἐν τούτῳ οὖσαν τὴν παρθένον μητέρα ἐῴητε παντελῶς, ἢ προσελθεῖν αὐτῇ μετὰ ταῦτα βουλήσεσθε; Καὶ πῶς ἂν ὁρῴητε λιπόντες οὕτω μόνον πρὸς θάνατον ἑλκόμενον τὸν Υἱόν; ὃς ὥσπερ πόθῳ τῷ πρὸς ἀνθρώπους τῶν πατρῴων, οὐκ ἐκστὰς κατέβη κόλπων, οὕτω καὶ μητρικῆς στοργῆς ὑμᾶς προὐτίθει, λέγων· B *Οὗτοί εἰσιν ἡ Μήτηρ μου καὶ οἱ ἀδελφοί μου.* Τί τοσοῦτον ἠλλοιώσθε; Οὐχὶ συνὼν ταῦτα ὡμίλει, ὡς δεῖ παραδοθῆναι ἀνόμοις, καὶ ἐπὶ ξύλου ὑψωθῆναι, καὶ ἐν καρδίᾳ γενέσθαι τῆς γῆς; Τί οὖν; Μέχρι τούτων ἕστηκεν ἡ προαγόρευσις· ἢ ἔχει καὶ ἑτέραν ἀγαλλιάσεως προσθήκην; Οὐκ εἶπεν· *Καὶ τριήμερος ἀναστήσεται;* πῶς τὴν ἐκ τοῦ πάθους δειλίαν, τῇ ἐλπίδι τῆς ἀναστάσεως οὐ καταλύετε; Ἔστω, σφαγιαζομένῳ οὐκ ἠκολουθήσατε· τί καὶ πρὸς τάφον νικῶσι πάλιν ἀπιοῦσαι γυναῖκες; Εἶτα καὶ αὗται μὲν ὀρθρίζουσιν· ὑμῖν δ' οὐ μόνον οὐ διαπράττεταί τι τοσοῦτον, ἀλλὰ καὶ ἀκούοντες χαρᾶς εὐαγγέλια, λῆρον ποιεῖσθε τὰ εὐαγγέλια. Καὶ Ἰου- C δαῖοι μὲν λέγουσι περὶ ὑμῶν, ὡς κλέψαντες τὸν νεκρὸν φημιεῖτε τὴν ἀνάστασιν· ὑμεῖς δὲ τελεσθεῖσαν ἤδη ἀκούοντες, διαπιστοῦντες κάθησθε σκυθρωποί. Ἀκούεις, Ἰουδαῖε, ὅπως οἱ μαθηταὶ κλέψαντες τὸν νεκρὸν διεφήμησαν τὴν ἀνάστασιν, οἵ γε καὶ γενομένης διαπιστοῦντες ἐκάθηντο;

Atenim Joseph Dominum sepelit; Solem sepulcro condit. O sepulcrum quod cœlum referat! Nam qui in cœlo, tanquam in throno sedet, is in te, tanquam in thalamo requievit. O sepulcrum, quo sepulcra omnia a sordibus suis expurgantur! per quod, qui in eis computruerant, vegetius, ac magis vigente natura, quam ex materno utero, prodeunt! O sepulcrum, quo pelliceas tunicas exui, veteremque decorem indui! O sepulcrum, vitæ thesaurum opulentissimum in te complectens, licet Joseph tanquam vitalis spiritus expertem, in te ipsum abscondat! Cæterum ille quidem timore pariter et amore, ea qua licuit veneratione Dominicum corpus tumulo componit; Judæique obsignant : haud tamen signacula retinent, quem mortis portæ tenere non valent. Porro mulieres velut circa mortuum officiosæ, cum unguentis ad vitæ Dominum ac dispensatorem eunt : mulieres gravitate morum

Ἀλλὰ γὰρ ἐνταφιάζει τὸν Δεσπότην ὁ Ἰωσήφ· κρύπτει τάφῳ τὸν ἥλιον. Ὦ τάφος μιμούμενος οὐρανόν! Ὁ γὰρ ἐν αὐτῷ ὡς ἐν θρόνῳ καθήμενος, ἐν σοὶ ὡς ἐν παστάδι ἀνεπαύσατο. Ὦ τάφος δι' οὗ τὴν D φθορὰν ἀποκαθαίρονται τάφοι· καὶ πολλῷ νεαρώτερον ἢ μήτρας οἱ ἐν αὐτοῖς διαλυθέντες προέρχονται! Ὦ τάφος, δι' οὗ τοὺς δερματίνους χιτῶνας ἀπεδυσάμην, καὶ τὴν ἀρχαίαν ἐστολισάμην εὐπρέπειαν! Ὦ τάφος τὸν τῆς ζωῆς πλουτῶν θησαυρὸν, εἰ καὶ Ἰωσὴφ ὡς ἄπνουν ἐν σοὶ καταχρύπτει αὐτόν! Ἀλλ' ὁ μὲν φόβῳ καὶ πόθῳ τῇ ἐνούσῃ τιμῇ περιστέλλει τὸ σῶμα τὸ Δεσποτικόν· καὶ Ἰουδαῖοι σφραγίζουσιν· οὐ κρατοῦσι δὲ σφραγῖδες, ὃν θανάτου πύλαι κρατῆσαι οὐ δύνανται. Γύναια δὲ μετὰ μύρων ὡς ἐπὶ νεκρῷ τῷ τῆς ζωῆς ταμίᾳ πορεύεται· γυναῖκες σεμναί· ἐπαινετὴ ἡ προαίρεσις· καλὴ ἡ σπουδὴ καλὸν ἐπὶ τὸν τάφον σπεύδετε· ἀλλὰ τί μετὰ μύρων; παραπλησίως τοῖς μαθηταῖς τῶν τῆς ἀναστάσεως

[64] Matth. xii, 50. [65] Matth. xvii, 22.

ἐπιλέλησθε λόγων; Τοῖς μὲν εἰκὸς ἐγγίνεσθαι λήθην, A προσδοκίᾳ τῆς τῶν μιαιφόνων ἐπιθέσεως συγχυθέντων τῶν λογισμῶν· ὑμῖν δὲ, πόθεν ἡ λήθη; Οὐ γὰρ δὴ καὶ ὑμᾶς Ἰουδαῖοι κακῶς ποιεῖν μελετῶσι. Τί οὖν ἐπιλαθόμεναι, ὡς ἐπὶ νεκρῷ τῷ τοὺς νεκροὺς ἀναβιοῦντι μύρα κομίζετε; Ἀλλ' εἰ καὶ μὴ προσδοκία τοῦ παθεῖν κακῶς, ἀλλ' ἔοικεν ἡ λύπη εἰς τὸ λαθεῖν ὑμᾶς τὴν ἀνάστασιν διαθεῖναι. Διὰ τοῦτο καὶ τὰ δάκρυα πλύνει τὰς παρειάς. Ἀλλὰ μὴ κλαίετε. Οὐ δέχεται δακρύων σταγόνας τῆς χάριτος ἡ πηγή· οὐδὲ καλὸν ἐπιχεῖν ἐντάφια μύρα, τῷ τὴν ἀφθαρσίαν εὐωδιάζοντι χωρίῳ. Ὁρᾶτε τοὺς λευχειμονοῦντας δορυφόρους. Οὗτοι τοὺς φυλάσσοντας στρατιώτας ἐνέκρωσαν, καὶ τὴν ἀνάστασιν τοῦ ζητουμένου μηνύουσιν. Αὐτῶν κεκραγότων ἀκούετε· *Οὐκ ἔστιν ὧδε· ἠγέρθη ἀπὸ νεκρῶν*, καὶ στήτω τὰ δάκρυα. B Δεῦρό μοι, πονηρὰ Ἰουδαίων Συναγωγή! Δεῦρό μοι, λαὸς κενὰ φρυαξάμενος! Κατάμαθε τὰς σφραγῖδας, ἃς ἔθηκας· ἐπερώτα τὴν κουστωδίαν, ἣν φυλάσσειν διέταξας. Ποῦ ἐστιν ὁ θησαυρὸς, ὃν ἠσφαλίσω; Ἐρεύνησον, ἣν ἐπλάσω κλοπήν. Ἔχεις παρὰ σοὶ τοὺς εἰς κλοπὴν διαβαλλομένους· οἵ γε τοσοῦτον ἦσαν ὀξεῖς αὐτουργήσαντες κλοπὴν τὴν ἀνάστασιν διαφημιεῖν, ὥσθ' ἑτέρων ἀπαγγελλόντων αὐτὴν ἔτι ἐσκυθρώπαζον, οὐκ ἐπαΐοντες ὑπὸ πολλῆς δειλίας τῶν ῥημάτων τῆς ἀγαλλιάσεως. Τοῖς στρατιώταις ὕπνον περιβαλεῖς, ἐντεῦθεν ἐλπίζων συκοφαντεῖν τὴν ἀνάστασιν; Καθεύδεις αὐτὸς τῷ ὄντι τὸν ὀλέθριον ὕπνον, μὴ βουλόμενος τὰς τῆς σωτηρίας ἀκτῖνας ἰδεῖν.

conspicuæ: laudabilis voluntas, præclarum studium ac diligentia. Bene habet, quod ad sepulcrum properatis. Quid vero cum unguentis? Num ut discipuli, sermonum resurrectionis oblitæ estis? Illis quidem nihil mirum ut obrepat oblivio, eorum perturbatis animis exspectatione parricidarum Judæorum, quos suspicentur impetum facturos: at unde vobis oblivio? Nec enim Judæi vobis quoque malum inferre meditantur. Cur igitur oblitæ muneris, velut ad ungendum mortuum, ei unguenta affertis, qui mortuis vitam suppeditat? Verum, si minus exspectatio futuri mali, mœror certe, ut videtur, memoriam vobis resurrectionis abstulit. Quocirca lacrymæ etiam vultum rigant. Enimvero, nolite flere. Lacrymarum guttas fons gratiæ renuit: nec par est, ut unguenta funebria affundatis loco, qui immortalitatis suaveolentiam habet. Videte candida veste fulgidos satellites. Isti, milites custodes propemodum exanimarunt, ac ejus, quem quæritis, resurrectionem annuntiant. Ipsos clamantes audite: *Non est hic: surrexit a mortuis* [66]; proinde sistant ac cohibeantur lacrymæ. Adesto improba Judæorum Synagoga. Adesto populus, incassum fremens! Recognosce signacula, quæ apposuisti. Interroga custodiam, quam custodiendi causa designasti. Ubi est thesaurus, quem obsignasti? Indaga furtum, quod confinxisti. Tecum habitant, quos furti insimulas: qui nimirum prompti adeo ad furtum committendum, ac resurrectionem divulgandam fuerunt, ut cum etiam alii nuntiarent, ipsi nihilominus mœrore conficerentur, admissis præ multa formidine sermonibus omni exsultatione refertis. Milites dormivisse causaris, sperans, vel hac ratione resurrectionem calumnia aspersum iri? At revera dormis ipse perniciosum somnum, qui salutis radios nolis intueri.

Ἀλλὰ γὰρ Ἰουδαίους ἐῶμεν τῷ ἑαυτῶν σκότῳ C προσκόπτειν· διεφημίσθη γὰρ οὕτω παρ' αὐτοῖς μέχρι τῆς σήμερον. Τιμήσωμεν δὲ καὶ ἡμεῖς τὴν θείαν ταφήν· τιμήσομεν δὲ, οὐκ ὀθόναις αὐτὸν περιστέλλοντες, οὐδὲ τάφῳ κατατιθέντες· ἅπαξ γὰρ τοῦτο ὑπὲρ τοῦ σκυλευθῆναι τὸν ᾅδην ἔδει γενέσθαι, καὶ γέγονεν· ἀλλ' ἡμᾶς αὐτοὺς περιβάλλοντες ἀρεταῖς. Σῶμα γὰρ ἡμᾶς ὁ Δεσπότης διὰ τοῦ ταφέντος καὶ ἀναστάντος ἐποίησε σώματος· εἰς μέλη κατέταξεν ἑαυτοῦ· ναὸν κατεσκεύασεν ἑαυτῷ. Κοσμήσωμεν τοιγαροῦν τὸν ναὸν τοῦ Θεοῦ, οἵ τινές ἐσμεν ἡμεῖς. Ὅσοι τῷ καιρῷ τῆς νηστείας τῆς παντίμου χρόκης τῶν ἀρετῶν στολὴν ἐποίησαν ἑαυτοῖς, καὶ ταύτην ἐγρηγορότι λογισμῷ καθαρὰν κηλῖδος ἐτήρησαν, μακάριοι τῆς περιβολῆς· οὐ μόνον διὰ τὴν ἐκεῖθεν δόξαν, ἀλλὰ D καὶ δι' ὧν ἐντεῦθεν ὡς φῶς ἐν κόσμῳ φαίνουσιν. Ὅσοι δ' ἀμόλυντον αὐτὴν οὐκ ἔχομεν διαφυλάξαι τῶν βιωτικῶν σπίλων, ἀλλ' ἡμεῖς γε καὶ σήμερον ἐκπλυνώμεθα. Ἕτοιμος βουλομένοις ἡ κάθαρσις· παρ' ἡμῖν τὰ ῥεῖθρα· οὐ δεήσῃ παρ' ἄλλου ταῦτα ζητεῖν. *Περίβαλε τὸν γυμνὸν*, οἷς διὰ σὲ ὤφθη γυμνὸς, *ὁ φῶς ὡς ἱμάτιον περιβαλλόμενος*· δὸς πεινῶντι τροφὴν, ὁ λιμῷ κινδυνεύων, *καὶ τῷ ἐξ οὐρανοῦ καταβάντι ἄρτῳ τραφείς*· λῦσον τὴν κατὰ

Verum Judæos suis ipsos tenebris offendere sinamus [67]. Sic enim divulgatum est apud eos usque ad hodiernum diem. Honoremus vero nos quoque divinam sepulturam. Honorabimus autem, non si linteis mortuum involvamus, aut sepulcro condamus; hoc enim semel fieri oportebat ut infernus spoliaretur, ac factum est; sed si nos ipsos virtutibus exornemus. Nos enim Dominus noster per corpus, quod sepultum est et resurrexit, suum efficiens corpus, propriis membris ascripsit, ac sibi in templum exstruxit [68]. Perornemus itaque templum Dei, quod sumus nos. Quicunque jejunii tempore stolam sibi ex varia virtutum textura concinnarunt, eamque vigilanti studio puram labis custodierunt, ii vere ejus gratia amictus beati; nedum propter gloriam, quæ in cœlo speratur, verum etiam quod hic velut lumen fulgeant in mundo. Quicunque vero intactam ac incontaminatam a mundi hujus inquinamentis non conservavimus, vel saltem hodie nosmet expurgemus. In promptu est cupientibus emundatio. In nostra lavacrum situm est potestate, nec opus aliunde petere. *Operi nudum* [69], idcirco quia tui causa nudus apparuerit ille, qui *amictus est lumine sicut vestimen-*

[66] Matth. XXVIII, 5. [67] Matth. XXVIII, 15. [68] I Cor. III, 17. [69] Isa. LVIII, 7.

to [70]. Da cibum esurienti, qui fame periclitatur (28), *paneque* illo *qui de cœlo descendit* [71], nutritur. Dissolve inimicitias adversus proximum, Dominum cogitans, cujus nos immorigeri servi sumus ac refractarii, medium parietem inimicitiarum suis ipsum perrupisse vulneribus. Enimvero quicunque laceris peccati pannis assueti, stolam virtutis neglectui habuerunt [utinam vero nemo talis existat! tua, Domine, gratia, qui pro nobis peccatoribus immolatus es], ne ii quidem animum despondeant, qui tempus opportunum rei faciendæ adventasse videant. Licebit enim, si velint, vel una hac hodierna die, stolam resurrectione non indignam conficere. Tantummodo exsurgamus; tantummodo virtutis cogitationem suscipiamus; tantummodo præclaro huic operi manum admoveamus. Adjutor erit ille ipse, qui pro nobis passus est; exiguaque opera, ac nullo labore, beatum nobis indumentum C conficiet. Prorsus autem omnes, licet eadem copia non omnibus suppetat, stolam assumamus, ut dignum Domini nostri Jesu Christi corpus effecti, gloriæ ipsius participes reddamur, nunc et semper et in sæcula sæculorum. Amen.

A τοῦ πλησίον ἔχθραν, ἐνθυμηθεὶς, ὅτι ὁ Δεσπότης ἡμῶν τῶν ἀτάκτων δούλων, τὸ μεσότοιχον τῆς ἔχθρας οἰκείοις διέκοψε τραύμασιν. Ὅσοι δ' ὥσπερ ἐθισθέντες τῷ ῥάκει τῆς ἁμαρτίας ἠλόγησαν τῶν ἀρετῶν τῆς στολῆς· ἀλλὰ μηδεὶς εἴη τοιοῦτος, ὦ ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν σφαγιασθεὶς· μηδ' οὗτοι ἀπογινωσκέτωσαν, τὸν καιρὸν ὁρῶντες τῆς ἐργασίας παρήκοντα. Ἔστι γὰρ βουληθεῖσι καὶ διὰ μιᾶς τῆς νῦν ἡμέρας, μὴ ἀναξίαν τῆς ἀναστάσεως περιποιεῖσθαι στολήν. Μόνον διαναστῶμεν· μόνον ἐπὶ λογισμὸν ἀρετῆς ἀναβῶμεν· μόνον τῆς καλῆς ἐργασίας ἀψώμεθα, αὐτὸς ἡμῖν συνεπικουρήσει ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σύντομον καὶ ἀταλαίπωρον ἀπαρτίσει τὸ μακάριον περιβόλαιον. Πάντως δ' ἅπαντες, εἰ καὶ μὴ ὁμοία πᾶσιν εὐπορία, στολισθῶμεν, ἵνα ἄξιον τοῦ B Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δεικνύμενοι σῶμα, τῆς αὐτοῦ δόξης μετέχωμεν· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO IX.

In salutiferæ crucis exaltationem, per quam a casu primi parentis restituti sumus.

ΛΟΓΟΣ Θ'.

Εἰς τὴν δι' οὗ τοῦ προγονικοῦ ἀνυψώθημεν πτώματος σωτηρίου σταυροῦ ὕψωσιν.

(Gretser. ed. *Ratisbon.* t. II, p. 102.)

Prius cum homines in perpetua et sancta quadam exsultatione et voluptate vitam agerent, lignum doloris et mœroris causam præbuit. Jam vero sacrosancta festivitas ligno consecrata, velut lucifer, mundo exoriens, procul pellit et fugat omnem tristitiæ mœrorem. Et olim quidem divina dignitate spoliatus est homo per lignum; nunc autem per lignum divinam dignitatem recipit, et ad patriam revertitur. Prius ligni fructus causa mortis exstitit: ex quo enim crux enituit, mors et corruptio conculcatæ sunt; incorruptio regnat. Et improbus quidem dæmon pro esca abutitur ligno, et figmentum, quod usu et experientia rerum nondum valebat, fraude spoliat, et ex paradiso miserabiliter extrahit. At clementissimus Dominus lignum nobis, ut sit salutis armatura, donat, efficitque, ut illius opera facile a nobis capi et domari queat adversarius, datque non solum paradisum, sed et ipsum cœlum incolendum.

Πρότερον ἐν ἱερᾷ διαγόντων ἀνθρώπων ἀγαλλιάσει, λύπης καὶ κατηφείας ὑπόθεσιν ἐχορήγησε ξύλον· νῦν δὲ διὰ ξύλου πανήγυρις ἱερὰ, ὥσπερ τις ἑωσφόρος ἀνατέλλουσα κόσμῳ, τὸ στυγνὸν ἀποδιώκει τῆς C κατηφείας· καὶ πάλαι μὲν ἐγυμνοῦτο θείου ἀξιώματος ἄνθρωπος, διὰ ξύλου, [νῦν δὲ] καὶ τὸ θεῖον ἀπολαμβάνει ἀξίωμα, καὶ πρὸς τὴν πατρίδα ἀνακομίζεται. Πρώην ὁ τοῦ ξύλου καρπὸς προὐξένει τὸν θάνατον. Ἀφ' οὗ γὰρ σταυρὸς, θάνατος καὶ φθορὰ κατεπάθησαν, ἀφθαρσία δὲ πολιτεύεται. Καὶ ἀλάστωρ μὲν δαίμων εἰς δέλεαρ ἀποχρῆται ξύλῳ, καὶ τὸ ἀπειρόκαλον ἔτι πλάσμα ἐξ ἀπάτης σκυλεύει, καὶ τοῦ παραδείσου ἐλεεινῶς ὑφέλκει. Φιλάνθρωπος δὲ Δεσπότης ξύλον ἡμῖν εἰς σωτηρίας ὅπλον δωρεῖται, καὶ τίθησι δι' ἐκείνου εὐχείρωτον τὸν πολέμιον, καὶ δίδωσιν οὐ μόνον παράδεισον, ἀλλ' αὐτὸν τὸν οὐρανὸν οἰκητήριον.

Nunc crucis amaritudo, quæ paulo ante nos turbabat, in dulcedinem conversa est, dæmoni autem, qui nos circumvenerat, vere in amaritiem abiit. Nunc delectatio, qua gloriabatur quasi nos, ut sibi persuadebat, immedicabili damno affecisset, in fel ipsi commutata recessit. Gaudebat enim cum me videret ex paradiso expulsum, terramque culturæ

D Νῦν ἡ τοῦ ξύλου πικρία, ἣ ἐπὶ μικρὸν τῷ ἀηδεῖ ἡμᾶς συνετάραττεν, εἰς γλυκύτητα μετεποιήθη, τῷ δ' ἐξαπατήσαντι δαίμονι ἀληθῶς εἰς πικρίαν κατέστη. Νῦν ἡ τέρψις ἐφ' ᾗ ἐγεγάννυτο ἀθεραπεύτως ἡμᾶς, ὡς ᾤετο, διαθεὶς, εἰς χολὴν αὐτῷ μετέβαλεν. Ἐτέρπετο γὰρ παραδείσου μὲν ὁρῶν ἐλαυνόμενον, πικρὸν δέ μοι γεώργιον τὴν γῆν ἀνεῖσαν τὴν ἄκαν-

[70] Psal. CIII, 2. [71] Joan. VI, 33.

NOTÆ.

(28) *Qui fame periclitatur.* Pulchra ratio inducens ad eleemosynam; ut cui sacræ mensæ communio tribuitur, huic nec communis negetur, quantum saltem necessarius usus postulat. Male Gretserus ad ipsum refert, a quo sit præstanda eleemosyna, non cui sit præstanda: quasi vero provocare debeamus ut eleemosynam tribuat pereuntem fame; non divites, ac quibus expedita sit ejus facultas, ut in egenos ejusmodi eleemosynam conferant.

θαν, ἀλλὰ νῦν οὐκέτι μοι τριβόλους καὶ ἀκάνθας ἡ γῆ ἀνατελεῖ, οὐδ' ἐπικατάρατος ἐν τοῖς ἔργοις ἔσται. Ἡ γὰρ τοῦ ξύλου φύσις, δι' οὗ ταῦτα ἐχορηγεῖτο, τὴν εὐφορίαν μοι τῶν καλῶν ἐχορήγησεν. Ἀντεστράφη πάντα· ἡ λύπη εἰς χαρμὸν, ἡ κατάρα εἰς εὐλογίαν, ἡ ἄκανθα εἰς καρπὸν ἥδιστον. Τοῦτο μόνον ἀμετάβλητον ἔμεινεν, ἡ τοῦ ἐχθροῦ ἐφ' οἷς ἐμὲ κακῶς διέθηκε τιμωρία· ἔτι ἐπὶ κοιλίαν ὁ σκολιὸς ὄφις ἕρπει. Τοῦ γὰρ θείου ὕψους ἑκὼν ἐν ἀποπτώσει γενόμενος οὐκ ἂν οὐδέποτε τῆς χαμαὶ συρομένης κακίας ἀνανεύσει. Ἔτι τὸν χοῦν ἐσθίει τὴν βαρεῖαν καὶ συμπιέζουσαν αὐτὸν ὀδύνην, ἀνθ' ὧν ἐπειράθη τὸν διὰ σπλάγχνα ἐλέους ἐκ χοὸς εἰς θείαν ἀνηγμένον μακαριότητα, πάλιν εἰς χοῦν καταγαγεῖν. Ταῦτα δὴ ταῦτα, ἡ τοῦ ἐχθροῦ ἡ δριμεῖα ὀδύνη ἄλυτος διαμένει, ἡ ἐκείνου ἀπαραμύθητος στενοχωρία, ἃ δ' ἡμῖν στενοχωρίαν ἐποίει, εἰς εὐρεῖαν μετῆλθεν ἄνεσιν. Ἀλλ' ἦν ἄρα καὶ τοῦτο θείας κηδεμονίας, μὴ μόνον οἰκτεῖραι τὸν παθόντα κακῶς, μηδὲ δοῦναι τὴν ἐλευθερίαν τῶν περιστοιχιζόντων ἀνιαρῶν, ἀλλὰ κἀκεῖνο δι' οὗ τῆς λύπης ἡ ἀφορμὴ, εἰς αἴτιον μεταποιῆσαι φαιδρότητος, καὶ οὗ δι' ὁ ἐχθρὸς ἔσχε τρῶσαι, δι' ἐκείνου καιρίαν ἀντιδοῦναι αὐτῷ, ὃς νῦν ἀλύει στένων καὶ ὀδυρόμενος διὰ ξύλου, ᾧ πρώην ἐμὲ φυγάδα κατέστησεν. Ἔφυγον γὰρ ἐκ προσώπου Θεοῦ, τὴν γύμνωσιν συναισθόμενος, νῦν αὐτὸν φυγαδευόμενον ἀπὸ πάσης κτίσεως καθορῶν, καὶ ἀνθ' ὧν ἐγὼ τότε φύλλων εἰς βοήθειαν ἐδεήθην, γυμνὸς οὗτος καὶ ἔρημος πάσης βοηθείας πορεύεται. Ἀλλὰ νῦν ἐγὼ ὁμοῦ τὰ φύλλα, καὶ τοὺς δερματίνους ἀπεθέμην χιτῶνας· οὐδὲ γὰρ ἔτι τούτων δεῖ τῆς ἀρχαίας στολῆς μοι περιπεποιημένης, ἣν ξύλῳ λελυμασμένην διὰ ξύλου περιεποιήσαντο αἱ τὴν ὕπαρξιν ἐκ γῆς δωρησάμεναι χεῖρες, ἐν τούτῳ διεκταθεῖσαι, χεῖρες ἐκεῖναι, ὧν τὴν ἔκτασιν καὶ τὴν ἐνέργειαν οἰκείων χειρῶν ἐκτάσει Μωϋσῆς προδιετύπου, Μωϋσῆς, ὃς ἵστη τρόπαιον ἔθνος πολέμιον διώκων τὸν Ἀμαλὴκ, προφκειωμένου λαοῦ τῷ Θεῷ.

loco, quasi pro mercede, spinas mihi submittentem : at jam terra non amplius tribulos et spinas proferet, neque maledicta in operibus erit. Nam natura ligni, quo talia subministrabantur, fecunditatem præclarorum fructuum mihi suppeditavit. Conversa sunt omnia : tristitia in gaudium, maledictio in benedictionem, spina in dulcissimum fructum. Sola immutabilis remansit pœna, qua multatus est hostis, ob ea, quæ male in me patrarat. Jam supra ventrem lubricus serpens serpit. Cum enim ex divina illa celsitudine sponte exciderit, non amplius abdicabit sese malitia, quæ humi repit. Terram adhuc comedit gravem illam, quæ ei dolores conciliat, eo quod conatus sit, eum, qui per viscera misericordiæ ex limo terræ ad cœlestem beatitudinem evectus erat, rursus ad limum terræ detrudere ; et hæc quidem ita se habent. Interim incessabilis ille dolor et inconsolabilis afflictio et ærumna perpetim durat ; quæ vero nobis angorem creabant, illa in requiem et pacatissimam relaxationem desierunt. Verum enim vero hoc divinam Providentiam decebat, ut non solum male affectum miseraretur, et a circumsistentibus incommodis liberaret, sed ut id quoque, quod occasio doloris fuit, in materiam hilaritatis commutaret, et per id quo inimicus læserat, ipse vicissim lethale vulnus acciperet, qui nunc oberrat gemens et ejulans beneficio ligni, quo me antea profugum fecerat. Fugi enim a facie Dei nuditatem meam reveritus. Nunc ipsum ab omni creatura expulsum conspicor. Et loco ejus, quod tunc foliis subsidii causa indigui, ipse nunc omni ope destitutus circuit. Sed ego jam simul et folia et vestes pelliceas deposui ; non enim amplius his opus habeo, antiqua stola denuo recepta, quam ligno contaminatam per lignum restituerunt manus, quæ me ex terra formarunt, in hoc expansæ manus, inquam, illæ, quarum extensionem et vim Moyses olim suarum manuum extensione præfigurabat, Moyses, qui tropæum statuit, hostilem gentem Amalecitarum persequens [72], reconciliato prius populo cum Deo.

Ἀλλὰ ταῦτα μὲν Μωϋσῇ τῷ πρεσβυτέρῳ τετέλεστο· ἡμεῖς δὲ τρυφῶμεν τῶν τύπων ταῖς ἐκβάσεσιν, ὁμοῦ τῷ Ἀμαλὴκ καὶ τοῦ σκότους τοῦ ἄρχοντος πίπτοντος σὺν ἁπάσῃ τε ἀοράτῳ αὐτοῦ στρατιᾷ, οὗ καὶ πρὶν εἰς καθαίρεσιν ὡπλοποιήθη σταυρὸς καὶ νῦν ὑψούμενος ταῖς ἑαυτοῦ μαρμαρυγαῖς, οἷα ζόφον αὐτὸν ἐκ τῶν περάτων ἀποδιώκει. Ὑψοῦται ξύλον μακαριστὸν, ἐν ᾧ πάλαι Θεὸς χερσὶ μιαιφόνοις ὑψωθεὶς ἐχλευάζετο, ὁ χλεύης ἐλθὼν ἀπαλλάξαι τοὺς ὑβριστὰς καὶ ἀγνώμονας. Ὑψοῦται ξύλον, ὃ πάλαι μὲν συναγωγὴ πονηρὰ χερσὶν ἐτεκτήνατο παλαμναίαις, θανάτῳ διανοηθεῖσα τὴν ζωὴν προδοῦναι, σφᾶς δ' αὐτοὺς ἀποστερήσαντες τῆς ζωῆς οἱ πονηροὶ γεωργοὶ, οἱ τῷ κληρονόμῳ τόλμαν ἀράμενοι πονηρὰς χεῖρας ἐπιβαλεῖν, οἵγε κληρονόμον ὁμολογοῦντες φθόνῳ καὶ μανίᾳ μεθύοντες τὴν αὐτοῦ δόξαν οὐ συνῄεσαν, ᾗ φησι τὸ λόγιον, *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν*

πες; ἀλλὰ ῥήγνυται τὸ καταπέτασμα οἴκου τοῦ πατρικοῦ, δεικνύντος τοῦ Πατρὸς, ὅπως ἐπὶ τῷ Μονογενεῖ ὀργίζεται πάσχοντι· καὶ ὡς ἀνθ' ὧν ἐπήρθησαν λύσειν αὐτῷ τοῦ σώματος τὸν ναὸν, διαῤῥήξει μὲν αὐτοὺς οἴκου τοῦ ἑαυτοῦ, διαῤῥήξει δὲ καὶ τῆς περιφρουρούσης ἐποπτικῆς καὶ θείας προνοίας. Κεντεῖται πλευρὰν, ἀλλ' ὅρα τῆς ἀθανασίας τοὺς κρουνοὺς, τὸ αἷμα καὶ τὸ ὕδωρ, ἐκεῖθεν ἐκβλύζοντας. Ἐνταφίοις ἑλίσσεται, καὶ γῇ κρύπτεται, καὶ μετὰ νεκρῶν αὐλίζεται· ἀλλ' ἑκὼν παραχωρεῖ πειρωμένῳ τῷ ᾅδῃ, ἵν' ἐν τῇ οἰκείᾳ πρὸς βραχὺ κατοχῇ τοὺς αἰωνίους ἐξαγάγοι κατόχους. Ἀλλὰ γὰρ ἔλαθεν ᾅδης, προσθήκην ἐλπίσας, καὶ οὓς προκατεῖχε ζημιωθείς· ἔλαθε, κατασχήσειν οἰηθεὶς παρ' ἑαυτῷ τὴν ζωὴν, τοὺς νεκροὺς τῶν ἐγκάτων ἀποκενώσας. Ἐπεφάνη γὰρ τοῖς ἐν σκοτεινοῖς[d] καὶ σκιᾷ θανάτου καθημένοις ἡ ἄδυτος Ἀνατολὴ, καὶ πρὸς τὸ φῶς ἐξέδραμον τῆς ζωῆς. Οὐχ ἔστερξαν οἱ πυλωροὶ τὸν εἰς ἐκδίκησιν τῶν κακουμένων παραγενόμενον. Εἶδον παναλκεῖ δεξιᾷ, τὰ ἀθάνατα[e] σκυλευόμενα ταμιεῖα, καὶ ἔφριξαν ἀνθοῦσαν τὴν ἀφθαρσίαν, καὶ τὴν φθορὰν μαραινομένην, καὶ ταύτῃ συναπεμαράνθησαν. Εἶδον μνημεῖα ἀνοιγόμενα[f], καὶ νεκροὺς τῶν ἀφύκτων πυλῶν ἀκμαίῳ ποδὶ ἐξιόντας, καὶ τὴν ἐλευθερίαν χορεύοντας, καὶ πρὸς ἑαυτοὺς συνεφύροντο. Εἶδεν ᾅδης τὸ πικρὸν κέντρον, ὃ τῷ γένει καθήλωσεν ἡ παράβασις ἐξαιρούμενον, καὶ πρὸς τὸ οἰκεῖον ἀνακομιζομένην τὴν φύσιν, τῆς ἐπινεμομένης αὐτὴν ἀναῤῥωσθεῖσαν νόσου, καὶ ὡς οὐκέτι συναγάγοι ῥέοντα τὸν ταύτης καρπὸν ἐννοῶν, ὀδύνης τὴν ἄπληστον ἐνεφόρει γαστέρα. Τάφος ξενίζει τὸν ὑπεράνω τῶν οὐρανῶν· ἀλλὰ τὴν σαπρίαν τῶν τάφων ἀποδυόμενοι, νεαρὰν στολὴν τῆς ζωῆς οἱ ἐκεῖ κατασαπέντες ἐνδύονται· ἀλλ' ἵνα καὶ γυναῖκες ἐκ τάφου χαρᾶς εὐαγγέλια δέξωνται, ὧν ἔργον ἡ λύπη, καὶ ἡ πρὸς[g] τάφον κατοίκησις. Ἦν γὰρ δὴ καὶ τοῦτο τοῦ παντὸς ἔργου τῆς σωτηρίας ἀκόλουθον, ἐκεῖθεν ἀκοῦσαι· *Μὴ κλαίετε*· οὗ διὰ τὴν ἀπόφασιν τὰ δάκρυα ἀνεπήγαζε· καὶ ζωῆς ἐκεῖθεν λαμβάνειν μηνύματα, οὗ νέκρωσις ἐπεχωρίαζεν.

A noli male in dubietatem abripi. Clamat, *Deus meus, utquid me dereliquisti?* at rumpitur velum paternæ domus, quo ostendat Pater, quantam Unigenito patiente iram conceperit, utque futurum sit, ut quia ejus corporis templum solvere præsumpsissent, ex sua ille domo eos abrumpat atque exterminet, quin et a divina sua providentia per inspectionem protegente, velut abruptos, procul abjiciat. Latus lancea perforatur, sed vide immortalitatis fontes, sanguinem et aquam, inde manantes. Linteis funebribus involvitur, ac terra conditur, versaturque cum mortuis : sed sponte cedit periculum facienti inferno, ut sua ipse ad breve tempus detentione eos, qui perpetuo ibi detinebantur, educeret. Enimvero nesciens infernus, dum additamentum sperat, B etiam eos amisit quos prius possederat. Nesciens, dum vitam apud se detinere putat, mortuos visceribus quibus coercebat, effudit. Apparuit enim iis qui in tenebris ac umbra mortis sedebant, Oriens, qui occasum nescit, iique ad vitæ lumen accurrerunt. Janitores impetum ejus ac præsentiam, qui ad afflictos ulciscendos venerat, minime sustinuerunt. Immortalia illa receptacula omnipotenti dextera spoliari videntes, cohorruerunt efflorentem incorruptionem ac corruptionem tabescentem, pariterque ipsi abunde contabuerunt. Viderunt aperiri monumenta, mortuosque vegeto pede ac alacri, ineluctabili e custodia progredientes, partimque libertatis gaudio choreas ducentes, ac apud se confundebantur. Vidit infernus amarum illud ac le- C thale spiculum, quo genus humanum ob transgressionem transfixum fuerat, jam extractum, naturamque in pristinum restitutam statum, recreatamque ex eo quo conflictabatur morbo; foreque intelligens, ut ne amplius diffluentem ejus fructum collecturus esset, inexplebilem ventrem suum ingenti cruciatu complevit. Sepulcrum eum hospitio excipit, qui cœlis sublimior est; at mortui qui isthic computruerant, deposita sepulcrorum putredine, novam vitæ stolam induunt. Quin et mulieres plenum lætitia nuntium e sepulcro accipiunt; quorum antea munus, mœror, ac commoratio in sepulcro. Nam et hoc communi salutis nostræ negotiationi consentaneum erat, ut inde audirent illud : *Nolite flere*[29]; ubi propter latam sententiam (35), lacrymæ copia diffluebant : et ut eo loco vitæ indicia sortirentur, quem mors prius obsederat.

Ἀλλ' ὦ μακάριαι γυναῖκες, καὶ τῆς ἐπὶ τὸν τάφον ὀρθρίσεως, καὶ τοῦ καλοῦ ἐκείνου καὶ φθέγματος καὶ θεάματος! αἱ πρῶται μὲν τὸ χωρίον τῆς ἀφθαρσίας ὡραίῳ ποδὶ κατελάβετε, πρῶται δὲ τὸ μέγα τρό-

D Sed, o beatæ mulieres, tum ob adventum primo diluculo ad monumentum, tum ob pulcherrimum illud et alloquium et spectaculum, quæ nimirum primæ immortalitatis illum locum specioso pede

[29] Luc. XXIII, 28

VARIÆ LECTIONES.

[d] ed. σκότει. [e] ed. ἀθέατα. [f] ed. διανοιγ. [g] ed. περί.

NOTÆ.

(35) *Propter latam sententiam.* Διὰ τὴν ἀπόφασιν. Palam auctor alludit ad locum horti, quo prius lata fuit mortis sententia, auctrice femina prævaricationis, in cujus pœnam illa lata est : cujus ideo munus sit mœror ac habitatio in sepulcro; parientis in mœrore, ἐν λύπαις· *in tristitiis*, quam et auctor retinet vocem, nec nisi mortales ac sepulcri habitatores, mortalis ipsa ac sepulcri incola. Perperam ergo interpres, aptam vocem, non apta commutans, ἀπόβασιν, ἀντὶ ἀπόφασιν· quod secundum constanter habent codices, sua non bona, ac acumine vacua, bonis ac subtilibus auctoris substituit.

pressseritis; primæque magnum illud tropæum audieritis, nempe spoliatum infernum, mortem peremptam, corruptionem profundo mersam. Non amplius propter lapsum vocandus in crimen sexus femineus, per quem resurrectio fausto annuntietur. Non amplius propter primam generis parentem mulieres pudore obteguntur; quippe quæ læta, tum facie, tum lingua, primæ gaudii nuntia perferunt. O felices aures, quæ ante alias rei tantæ auditum acceperunt! O felices oculos, qui vitam jamjam ex sepulcro, velut ab Oriente solem rutilare viderunt! O felices manus, quæ pedes, quibus mors fuit conculcata contigerunt! Verum ite, nec solæ rei tantæ voluptatem percipite! Abite, tristitiaque confecto præclaro illi choro inchoandæ exsultationis signum date! Non sunt forte verbis vestris habituri fidem, veterem reveriti deceptionem; at propriis oculis credent. Forte indignas vos censebunt, quibus narrantibus assensum præbeant; at reverebuntur, non eo duntaxat titulo quod vobis illi in magistri cultu ac honore inferiores exstiterint, verum etiam quod fausto adeo nuntio primas teneatis. Ite, utque ad Pastorem recurrant, quo percusso dispersæ sunt oves, cum ille jam requirendis incumbat (36), commonete. Dispersit eas percutientium atrox facinus; congregaverit ejus potentia, qui qua ratione fuit percussus, hostes disperdidit. Absconderunt se, ut Regem vulneratum vidissent, brevique tempore ob molestias inde enatas somno captum; nunc procedant. Surrexit enim, vulneribusque confectis adversariis, præclaro triumpho victor præit. Adesto, Virgo parens, eumque exime gladium, qui videntis e cruce pendentem Filium cor transfodit; nunc, quæ et quanta evenerint, intuere, gloriæque et exsultationis particeps efficere. Claustra ac portæ ineluctabiles confractæ sunt: in vincula conjectus est ille, qui vinculis liberatorem alligare tentavit. Compediti educti sunt e domo carceris. Impassibilis ex sepulcro prodiit, qui virginitatis pudorem illæsum et intactum, cum nasceretur, custodivit: ut quemadmodum auspicans, ita et consummans, nostræ salutis causa susceptum ineffabile opus, naturæ transiliat leges: quanquam illic quoque formationis tempus servet, ne inani tantum specie carnem assumere videatur; hicque triduanæ sepulturæ hospitium, moramque, diviniori utique consilio dispensatam, admittat. Puto enim, cum humanæ vitæ triplex sit status ex eo tempore quo ex patria ejecti sumus, ac alii quidem lege priores, alii sub lege, alii post legem ac eam quæ est in gratia vitam consecuti sint: ipsum, qui salutis universorum causa mortem obire elegisset, triduanam mundo initiasse resurrectionem: quo cuique generis portioni, pari numero dierum, quibus in in-

A παιον ἀκηκόατε· ᾅδην σκυλευθέντα, καὶ νεκρωθέντα τὸν θάνατον, καὶ φθορὰν καταδυεῖσαν. Οὐκέτι ἐν αἰτίᾳ διὰ τὸ πτῶμα τὸ θῆλυ γένος· δι' αὐτῶν γὰρ εὐαγγελίζεται ἡ ἀνάστασις. Οὐκέτι διὰ τὴν προμήτορα ἐγκαλύπτονται· αὗται γὰρ φαιδρῷ καὶ προσώπῳ καὶ γλώσσῃ, πρῶται, τὴν χαρὰν ἀπαγγέλλουσιν. Ὢ ἀκοῆς, ἣ πρὸ τῶν ἄλλων ἐνηχήθη τοσαύτην ἀκοήν! Ὢ ὀφθαλμῶν, οἳ τὴν ζωὴν ἄρτι τοῦ τάφου ὥσπερ ἀνατολῆς ἀστράψασαν ἐθεάσαντο! Ὢ χειρῶν, ποδῶν ἀψαμένων καταπατησάντων φθοράν! Ἀλλ' ἄπιτε, καὶ μὴ μόναι τρυφᾶτε! Ἄπιτε, καὶ τῷ καλῷ σκυθρωπάζοντι χορῷ τῆς ἀγαλλιάσεως τὸ ἐνδόσιμον εἴπατε. Ἀπιστήσουσιν ἴσως τοῖς ῥήμασι, τὴν παλαιὰν ὑποπτεύοντες ἀπάτην· ἀλλ' ὀφθαλμοῖς οἰκείοις πιστεύσουσιν. Οὐκ ἀξιόπιστον τὸ ὑμέτερον νομιοῦσι B κήρυγμα· ἀλλ' αἰδεσθήσονται, οὐχ ὅτι μόνον εἰς τὴν τοῦ διδασκάλου τιμὴν ὑμῶν ἀπελίποντο, ἀλλὰ καὶ ὡς πρῶτα φερούσας τῷ ἀξιώματι τοῦ κηρύγματος. Ἀπέλθετε· καὶ οὗ παταχθέντος ποιμένος ἐσκορπίσθη τὰ πρόβατα, νῦν εἰς ἀναζήτησιν αὐτῶν διαναστάντος μηνύσατε προσδραμεῖν. Ἐσκόρπισε τῶν παταξάντων ἡ μιαιφονία, συναγάγοι ἡ ἐκείνου δυναστεία, τοῦ ἐν τῷ πεπατάχθαι τοὺς ἐχθροὺς ἀπολέσαντος. Ἐκρύβησαν, ὡς εἶδον τραυματισθέντα τὸν Βασιλέα, καὶ πρὸς βραχὺ τῶν ἐκεῖθεν πόνων ὑπνώσαντα· προΐτωσαν. Ἀνέστη γάρ, καὶ τραυματίας τοὺς ὑπεναντίους δείξας, τροπαιοφόρος προάγει. Δεῦρό μοι, Παρθένε μῆτερ, ἐξελοῦσα τὴν ῥομφαίαν ἣ τὴν καρδίαν διέτεμνε κρεμάμενον τὸν Υἱὸν ὁρώσης, C νῦν οἷα ἐπραγματεύθη καθόρα, καὶ τῆς εὐφροσύνης καὶ τῆς δόξης ἀπόλαυε. Τὰ κλεῖθρα καὶ πύλαι αἱ ἄφυκται συνετρίβησαν· ὁ πειραθεὶς τὸν ῥύστην τοῖς ἑαυτοῦ συντάττειν δεσμοῖς, ἐδέθη· ἐξ οἴκου φυλακῆς οἱ πεπεδημένοι ἐξήχθησαν· προῆλθεν ἐκ ταφῆς ἀπαθής, ὁ τὴν μήτραν ἀπαθῆ ἐν τῷ ἐλθεῖν φυλάξας· ὥσπερ ἀρχόμενος, οὕτω καὶ τελειῶν, τὸ ὑπὲρ ἡμῶν πανάφραστον ἔργον, τοὺς τῆς φύσεως νόμους ὑπερπηδῶν· εἰ καὶ τηρεῖ κἀκεῖ τὸν χρόνον τῆς διαπλάσεως, ἵνα μὴ φαντάσει δόξῃ τὴν πρόσληψιν· κἀνταῦθα τὴν ἐν τάφῳ τριήμερον καταδέχεται ξενίαν, θειοτέρῳ μυστηρίῳ διοικονομουμένην. Δοκεῖ γάρ μοι, τριπλῆς οὔσης τάξεως τῆς ἀνθρωπίνης ζωῆς, ἀφ' οὗ τῆς πατρίδος ἠλάθημεν· καὶ τῶν μὲν πρὸ νόμου, τῶν δὲ ὑπὸ νόμον, τῶν δὲ D μετ' ἐκεῖνον, καὶ τὴν ἐν χάριτι ζωὴν ἀπολαχόντων, τὸν ὑπὲρ τῆς πάντων σωτηρίας θανεῖν ἑλόμενον, τριήμερον ἐγκαινίσαι τῷ κόσμῳ τὴν ἀνάστασιν, ἑκάστῃ μοίρᾳ τοῦ γένους τὴν ἐλευθερίαν ἐπισφραγίζοντα, τῆς φθορᾶς ὁμολόγῳ μέρει τῆς πρὸς τὸν ᾅδην αὐτοῦ καταβάσεως. Εἰ δέ τῳ φίλον, καὶ τὴν οἷον τοῦ γένους ἀναστοιχείωσιν εἰς αἰτίαν ἄγειν τῆς Δεσποτικῆς ἀναστάσεως, καὶ διὰ τὸ ταύτην ἐνεργουμένην ὑπὸ τῆς τελεσιουργοῦ τῶν ὅλων Τριάδος, τρισὶ καταλελῦσθαι τὸν θάνατον ὑπὸ τοῦ Δεσπότου τῶν ὅλων ἡμέραις, οὐδὲ τὰ παρ' ἡμῶν εἴς τι συμ-

NOTÆ.

(36) *Cum ille jam requirendis incumbat.* Καταστάντος εἰς ἀναζήτησιν. Perspicua ac auctoribus probata phrasis, hicque sensu nixa: male proinde interpres mutat in ἀναστάντος. In sequentibus, ac ad finem multa desiderantur, eaque illustria, quæ nova repræsento ex cod. Regio.

φωνεῖν ἀντιχείσεται. Πῶς οὖν ὁ φίλος ἐγείρεται τεταρταῖος, εἴπερ τῆς κοσμικῆς ἀναστοιχειώσεως καὶ παλιγγενεσίας τύπος ἦν Ἰησοῦς τῇ κατ' αὐτὸν ἀναβιώσει; Διατρανοῖ, ὅτι πάλιν ἀνιστῶν αὐτὸν ὁ δημιουργήσας καὶ φιλήσας, εἰς τὴν ἐπίκηρον ἐπανάγει τάξιν, ἣν στοιχειώδεσιν ἰσαρίθμοις ἀρχαῖς αὐτὸς διετάξατο. Προῆλθε τῶν ἀφεγγῶν χωρίων τὸ πρὸ ἡλίου φῶς ἐξανατεῖλαν τριήμερον, καὶ λύσιν αἰώνιον καὶ δῶρον[b] κατηφείας παρέσχετο. Τοῖς μὲν γὰρ ἔδωκεν ἀΐδιον πτῶσιν καὶ κατήφειαν, ταῖς ἀποστατικαῖς δυνάμεσι, καὶ τοῖς ὅσοι πρὸς αὐτοὺς ἀπονεύοντες, τὸν ἐλθόντα σῶσαι Δεσπότην ἐπιγνῶναι οὐκ ἠβουλήθησαν· τοὺς δὲ ὅσοι τὸν εὐεργέτην συνῆκαν, ἑαυτῷ συνήγειρέ τε καὶ κατελάμπρυνε. Τὸν Ἀδὰμ ἀνεσώσατο· τῇ Εὔᾳ τὴν λύπην ἤμειψεν εἰς χαράν· πᾶσαν τὴν κτίσιν ἐκαινοποίησεν· οὐδὲν ἐπὶ τοῦ αὐτοῦ μένειν ἀφείθη, πλὴν ἃ τὴν Ἰουδαίων στηλιτεύει μανίαν σφραγίδων. Διὰ τοῦτο πᾶσα ἡ κτίσις τὸ σωτήριον[i] ἑορτάζουσα, *Ποῦ σου, ᾅδη, τὸ κέντρον; ἀναβοᾷ, ποῦ δὲ τὸ νῖκός σου, θάνατε;* Κατήργηται; καταλέλυται, μετ' ἤχου ἀπώλετο, τῇ θεϊκῇ ἐξουσίᾳ τοῦ σαρκὶ παθόντος καὶ ταφέντος καὶ ἀναστάντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A ferno morte resolutus mansisset, libertatem sanciret. Sin autem cui placeat, ut eam generis velut ex elementis, ac primam reformationem in Dominicæ causam resurrectionis referat, atque ideo velit, triumi dierum spatio ab universorum Domino labefactatam mortem, quod eam, universorum consummatrix Trinitas peragit, ne ea quidem, quæ a nobis dicta sunt, adversari comperiet. Quorsum ergo amicus quatriduanus ad vitam revocatur, siquidem Jesus sua resurrectione, mundi totius reformationis ac regenerationis figura fuit? Nimirum declarat, cum eum rursus Creator ac amicus ex mortuis suscitat, ad mortalem vitam reducere, quam ipse totidem constituit elementaribus principiis. Processit e locis obscuris, quod ante solem B lumen exortum est, sempiternamque cum solutionem, tum mœroris vinculum contulit. Nam aliis quidem sempiternam ruinam ac tristitiam intulit, nempe desertricibus virtutibus, ac si qui iis accedentes, Salvatorem agnoscere noluerunt; illos vero qui beneficium receperunt, una secum resuscitavit, ac magnifice gloria exornavit. Adamum salvum fecit; Evæ luctum in gaudium commutavit, creaturas omnes instauravit; nihil in veteri ac obsoleto statu reliquit, exceptis iis, quæ Judæorum furorem et vesaniam perpetua ignominia notant. Quapropter omnis creatura collatam celebrans salutem: *Ubi, inferne, stimulus tuus?* exclamat: *ubi, mors, victoria tua*[97]? Abolita est, dissipata est, cum sonitu periit, divina ejus virtute, qui carne pro nobis passus est, sepultusque, ac a mortuis suscitatus, Christus Deus noster, cui gloria in sæcula. Amen.

C

ΛΟΓΟΣ ΙΑ'.

Τῇ πέμπτῃ τῆς ἕκτης ἑβδομάδος, λόγος εἰς τὴν ἁγίαν Ἀνάληψιν· ὅτε φέρων τὴν τοῦ πλάσματος καταλλαγὴν ὁ Υἱὸς τῷ Πατρὶ, μετὰ τοῦ ἐξ ἡμῶν προσλήμματος τοῖς πατρικοῖς ἐνεθρονίσθη κόλποις.

ORATIO XI

Oratio feria quinta sextæ hebdomadæ in sanctam Assumptionem: quando Filius reconciliato Patri homine, cum carne ex nobis assumpta, in paterno sinu collocatus est.

(Combefis. *Auctar.* p. 1711).

Τῇ μὲν ἀναστάσει τὸ θνητὸν κατεπόθη· καὶ τῆς ἀφθαρσίας ὠδῖσιν ἀνεγεννήθημεν· καὶ τὸ κατ' εἰκόνα ἀπολαβόντες, τοὺς δερματίνους χιτῶνας ἀπεδυσάμεθα· νυνὶ δ' ἐπὶ θείοις, θειότερα Ἰησοῦς ὁ ἐμὸς χαρίζεται. Μέγα μὲν οὖν, καὶ θείων ἀληθῶς οἰκτιρμῶν ἀναστῆσαι τοὺς πεσόντας, καὶ διαφθαρέντας ἀναπλάσαι, καὶ τὴν πρώτην ἀποδοῦναι μορφὴν, οὐδὲν παρ' ἡμῶν λαβόντα· οὐδὲ γὰρ εἰσηνέγκαμέν τι, ἀλλ' ἔδωκε τὰ οὕτω μεγάλα οὐ μόνον προῖκα, ἀλλὰ καὶ πόνους αὐτὸς, ἵνα δῷ, ὑπομείνας. Ἔπρεπε γὰρ τῷ δι' οἶκτον ὑποστήσαντι ἡμᾶς, οὐ μόνον δημιουργῆσαι παλάμαις οἰκείαις, ἀλλὰ καὶ παθόντι κακῶς τῷ δημιουργήματι, οἰκείοις ἀμῦναι ἀγῶσι. Τίνι γὰρ ἂν τοσαύτη πάρεστι κηδεμονία, ὅση ὑπὲρ τοῦ ἰδίου πλάσματος τῷ Δημιουργῷ; τὸ δ' οὐ μόνον ἐγεῖραι πεσόντα, ἀλλὰ καὶ σύνθρονον ἑαυτῷ ποιῆσαι, ποίων σπλάγχνων, ἢ ποίας κηδεμονίας; Ὁ δὴ σήμερον ὁ μονογενὴς Υἱὸς ἐκπληρῶν, λείπει μὲν τὴν

Domini resurrectione absorptum est quod mortale erat, ac immortalitatis partu renati sumus: divinaque, ad quam fueramus conditi, imagine recepta, pelliceas tunicas exuimus: at nunc abunde divinis diviniora largitur meus Jesus. Magnum quidem, ac divinam decens misericordiam, lapsos erexisse, corruptosque reformasse, ac priorem reddidisse formam, cum nihil ipse a nobis accepisset, neque enim quidquam contuleramus: sed D donavit adeo immensa, non modo gratis, verum etiam cum multos ipse labores, daturus, exantlasset. Par enim erat ut qui misericordia motus condidisset, non modo propriis manibus nos crearet, sed et figmentum male affectum suis ipse certaminibus liberaret. Quisnam enim tantam curam agat, quantam figmenti agit Conditor? Lapsum autem non modo erigere, sed et in eodem secum throno collocare, quorum quis viscerum ac sollicitudinis di-

[97] I Cor. xv, 55.

VARIÆ LECTIONES.

[b] Leg. δεσμόν. [i] Ισ. πάσχα.

cat? Id hodie unigenitus Dei Filius implens, terrestrem quidem, pro humana ratione, conversationem relinquit; ascendit vero ad Patrem, qui misisset, eique primitias, ac quo reconcilietur, quam ex nobis carnem induerat, offert. Hodie namque pulvis noster supra Cherubinorum suscipitur humeros, intraque intima receptus adyta, regali solio collocatur. Hodie supernæ Virtutes, formam videntes materiæ concretam, quasi dorso spiritalium ac expertium corpore invectam, Domini auctoritate in cœlestes ascendentem axes, ancipites animi, quidnam hoc esset, hæsitarunt. Hodie Salvator, postquam discipulis in monte Olivarum verba suprema humano more fecisset, divina potestate ab eis in cœlum evolavit. Enimvero, assumens Salvator discipulos, una cum eis ascendit in montem Olivarum : quod nimirum mons ille sacer, locus esse consuevisset, ubi Jesus opera quæque abstrusiora designaret. At videtur mihi hoc præterea suo facto voluisse, sublimioris cujusdam vivendi rationis disciplinam, mortalium animis inscribere. Nulla enim est Christi Salvatoris actio, in qua non spiritalior intelligentia ac sensus lateat. Quid igitur doctrinæ hic nobis præscribitur? Videlicet eos qui regna cœlestia scandere desiderant, debere caduca hæc et humilia transcendere, et in altum virtutis sine intermissione eniti et subvolare : sin minus, at certe eos qui a terrestri isto emigraturi sunt tabernaculo; siquidem curæ nobis sit, cum hinc emigrandum erit, bene nobis esse.

Vultis ut et numerum dierum expendamus? Puto enim non ingratam spiritalem eorum considerationem iis fore, qui penitius talia introspicere consueverunt. Neque enim ita temere, ac nulla ratione habita, eum numerum arbitror Dominum complevisse, nec nisi arcano ac secretiori consilio, statim transacto illo dierum numero, cœlos petiisse. Quid ergo dicimus? Nimirum, videmus legem futurorum habere imaginem, ac quæ statu suo, statum illi succedaneum iis repræsentet atque demonstret, qui mentem plane excæcatam non habent. Cum ergo lex illis, qui ex corruptione nati fuerant, per hunc numerum tanquam per sacrum quemdam introductorem ac æditunm, aditum ad sancta concederet ac patefaceret : hinc etiam hoc numero dierum absoluto, Christus primogenitus ex mortuis factus, ac figmento immortalitatem initians, in supercœleste suum templum ingressurus, assumitur. Verum ita spiritalis ejusmodi intelligentia habeat; quam fortassis contemplationi deditior animus haud gravate assequi queat. Nos autem ad sacratissimum illum montem abeamus, ubi Salvator manus extendens benedictionem discipulis impertit. Sacro pariter choro aggregemur, ac ea, quæ in monte peraguntur, secretius condiscamus. Sub illas nos manus ingeramus, quæ expansæ discipulis, ac per eos universo mundo, benedictionem velut sorte distribuunt. Extendit enim meus Jesus manus, non jam transfixas neque ut maledictum ipse vo-

A μετὰ τῶν κάτω ὡς ἄνθρωπος συναναστροφήν· πρὸς δὲ τὸν ἀποστείλαντα ἀναβαίνει Πατέρα, ἀπαρχὴν αὐτῷ καὶ διαλλακτήριον, ἣν ἐξ ἡμῶν ἐξεφόρεσε σάρκα, φέρων. Σήμερον γὰρ ὁ ἡμέτερος χοῦς ἐπ' ὤμων ἀναλαμβάνεται Χερουβὶμ, καὶ τῶν ἐνδοτάτω παραπετασμάτων γενόμενος τῷ βασιλικῷ ἐνιδρύνεται θρόνῳ. Σήμερον αἱ ἄνω Δυνάμεις ὁρῶσαι μορφὴν ἔνυλον ἐπὶ νώτων ἐποχουμένην ἀΰλων, καὶ δεσποτικῶς πρὸς τὰς ὑπερκοσμίους ἀνιοῦσαν ἁψῖδας, εἰς ἄπορον περιΐσταντο. Σήμερον ὁ Σωτὴρ τοῖς μαθηταῖς ἐν ὄρει τῶν Ἐλαιῶν, τὰ ὕστατα ὡς ἄνθρωπος ὁμιλῶν, ἀνέπτη [i] ἀπ' αὐτῶν, ὡς Θεὸς, εἰς οὐρανόν. Ἀλλὰ γὰρ παραλαμβάνει τοὺς μαθητὰς ὁ Σωτὴρ, καὶ ἄνεισιν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· τοῦτο μὲν, ὅτι ἐκεῖνο τὸ ἱερὸν ὄρος τῶν μυστικωτέρων ἔρ- B γων Ἰησοῦ χωρίον εἴθιστο γίνεσθαι· ἐμοὶ δὲ δοκεῖ, ὑψηλῆς πολιτείας καὶ διὰ τούτου δόγματα ταῖς τῶν ἀνθρώπων ἐγγράφων ψυχαῖς. Οὐδεμία γὰρ σωτήριος πρᾶξις, ἐν ᾗ οὐχὶ θεωρία μυστικωτέρα ἐγκέκρυπται. Τί οὖν ἐντεῦθεν παιδεύει; Χρῆναι τοὺς ὅσοι τῶν οὐρανίων ἁψίδων ἐπιβαίνειν ἔρωτα ἔχουσι, τῶν περιγείων καὶ χαμαιζήλων ὑπεράνω γενέσθαι, καὶ ὕψη βεβηκέναι τῆς ἀρετῆς· μάλιστα μὲν διὰ παντὸς, εἰ δὲ μή γε, ἀλλ' οὖν γε τοὺς ἀπὸ τοῦ γεώδους οἰκητηρίου ἀποδημίαν ποιουμένους, εἴπερ μέλλει ἡμῖν ἀποδημοῦσιν καλῶς ἔχειν.

Βούλεσθε καὶ περὶ τοῦ τῶν ἡμερῶν ἀριθμοῦ θεωρήσωμεν; Οἶμαι γὰρ οὐκ ἄχαρι τοῖς θεωρητικωτέροις C δόξαι τὰ τεθεωρημένα. Ἐγὼ γὰρ οὐχ ἁπλῶς οὕτω μετὰ τὴν ἔγερσιν συμπεράνασθαι τοῦτόν φημι τὸν ἀριθμὸν τὸν Δεσπότην, οὐδὲ χωρὶς λόγου τινὸς μυστικωτέρου, αὐτίκα μετὰ τὴν συμπλήρωσιν τῶν ἡμερῶν εἰς οὐρανοὺς ἀναπτῆναι τὸν Λόγον. Ἀλλὰ τί φημι; Ὁρῶμεν τὸν νόμον, τύπον τῶν μελλόντων ἐπέχοντα, καὶ τὴν ἐκεῖθεν κατάστασιν, τοῖς μὴ παντελῶς τὸν νοῦν ἀναπήροις, τῇ καθ' ἑαυτὸν ὑποφαίνοντα καταστάσει. Ἐπεὶ οὖν οὗτος τοῖς ἐκ φθορᾶς ἀποτικτομένοις διὰ τοῦ ἀριθμοῦ τούτου, ὥσπερ τινὸς ἱεροῦ εἰσαγωγέως, τὴν πρὸς τὸ ἅγιον ἐχαρίζετο εἴσοδον, διὰ τοῦτο καὶ νῦν πρωτότοκος ἐκ νεκρῶν Χριστὸς γεγονὼς, καὶ τὴν ἀφθαρσίαν ἐγκαινίσας τῷ πλάσματι, πρὸς τὸ ὑπερουράνιον αὐτοῦ εἰσελάσων ἀναλαμβάνεται. Τὰ μὲν οὖν τῆς θεωρίας ἴσως D οὐκ ἂν τῇ φιλοθεώρῳ διανοίᾳ δυσέντευκτα ἐσόμενα τοσοῦτον ἐχέτω. Ἡμεῖς δὲ πρὸς ἐκεῖνο τὸ ἱερὸν ὄρος ἀπίωμεν, οὗ ἁπλῶν τὰς χεῖρας τὸν τῆς εὐλογίας κλῆρον διανέμει τοῖς μαθηταῖς ὁ Σωτήρ. Συναριθμηθῶμεν τῷ θείῳ χορῷ, καὶ τὰ ἐν τῷ ὄρει συμμυσταγωγηθῶμεν τελούμενα. Ὑποδῶμεν χεῖρας ἐκείνας, αἳ διαπλούμεναι τὴν εὐλογίαν τοῖς φίλοις, καὶ δι' αὐτῶν παντὶ τῷ κόσμῳ κληροδοτοῦσιν. Ἁπλοῖ γὰρ χεῖρας ὁ Ἰησοῦς ὁ ἐμὸς, οὐκ ἔτι διαπειρομένας· οὐδ' ἵνα τοῦτο κατάρα κληθείη, τῆς κατάρας ἐκλύων ἐμέ· ἀλλ' ἵνα τὴν εὐλογίαν διὰ τῶν μαθητῶν ἡ οἰκουμένη πλουτίσῃ· ἵνα τὴν ἁπαν-

VARIÆ LECTIONES.

[i] cd. ἀνέστη.

ταχοῦ γῆς ἐξαπλωθεῖσαν χεῖρα τοῦ διαβόλου A ἀνενέργητον δείξῃ· ἁπλοῖ χεῖρας, τελευταίας παραινέσεις ταῖς καρδίαις αὐτῶν ἐπισφραγίζων, καὶ παρακροτῶν εὐλογίᾳ πρὸς τὸ μέγα τοῦ Εὐαγγελίου ἔργον· ὡς εἴ τις πατὴρ ἐπὶ παισὶ φλέγοιτο μὲν τὴν ψυχὴν τῷ φίλτρῳ, ὅμως ἐφ' ἕτερα πράγματα ἀμείνω μεταχωρῶν, καταλίποι τούτοις, ἃ τέως διῴκεῖτο. Ἀλλ' οὐδὲν οἷον αὐτῶν ἀκοῦσαι τῶν ἱερῶν λογίων. Τί οὖν ἐκεῖνά φησι;

cetur, qui me a maledicto exsolvat [88], sed ut per discipulos universus locupletetur orbis : utque diaboli manus, toto terrarum orbe exporrecta, irrita reddatur ac inefficax. Explicat manus, ut suprema monita in cordibus eorum consignet, ac benedictione ad eximium Evangelii prædicandi ministerium incitet, more patris filios suos tenerrime ac ardentissime amantis : qui potioribus aliis evocantibus vix invitus recedens, iis illa committat quæ ipse hactenus administrare soleret. Verum nihil satius quam ut divina ipsa oracula audiamus. Quid igitur illa?

Ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Ὢ θεάματος ἡδίστου μὲν διὰ τὴν τοῦ Παρακλήτου ἐπαγγελίαν, φέροντος δέ τι καὶ στυγνὸν, ὡς ἐγὼ οἶμαι, τοῖς μαθηταῖς, διὰ τὴν οὐκέτι μετ' αὐτῶν B ἐσομένην σαρκὶ γλυκεῖαν τοῦ Διδασκάλου παρουσίαν καὶ ἀναστροφήν. Εἰ γὰρ καὶ πάντων ἀνθρωπίνων ἀπωτάτω διεστήκεσαν, ἀλλὰ τοῦτό γε οὐκ ἂν φαίην αὐτοὺς μὴ παθεῖν, τὸ μὴ δριμεῖαν ὀδύνην διὰ τῶν ἐγκάτων ἐλάσαι αὐτῶν, οἷς ἑώρων τὸν ἐφ' ὃν ἀνέθεσαν ὅλους ἑαυτοὺς, τοῦτον ἀπ' αὐτῶν διιστάμενον. Εἰ γὰρ, ἐπεὶ πρὸ τοῦ πάθους ὁ Σωτὴρ ἔλεγεν, ὡς εἴη καιρὸς ἐκείνους μὲν λιπεῖν, ἀπελθεῖν δὲ πρὸς ἀποστείλαντα τὸν Πατέρα, τούτων ἀκούοντες ὑπ' ἀθυμίας κεκάρωντο, καίτοι ἐπ' ὄψεσιν αὐτῶν ὁμιλοῦντα ὁρῶντες· τίνες ἂν ἐγεγόνεισαν τότε μόνους αὐτοὺς ὁρῶντες καταλιπομένους; Ἐνεννόουν μὲν γὰρ, ὡς εἰκὸς, τῷ θείῳ τῆς ἀνόδου τὴν κυριότητα πάσης κτίσεως τοῦ διδασκάλου· οὐκ ἀπέβαλον δὲ τῆς μνήμης, ὃ ἐπέσταζεν ἡδὺ ταῖς ψυχαῖς αὐτῶν, ἡ C ἐκείνου μετὰ σαρκὸς παρουσία. Ἄνεισι τοιγαροῦν ἐπὶ τῶν νεφελῶν ὁ Σωτὴρ, καὶ τοὺς ὀφθαλμοὺς, ὥσπερ σὺν ἐκείνῳ ἀφιέντες, τοῦ μακαρίου ἐκείνου θεάματος ἐξεκρέμαντο, οὐ βουλόμενοι ἐκεῖθεν καθέλκειν τὰς κόρας· ἤκουον δὲ ἄνωθεν βοώντων· *Τί οὕτως ἑστήκατε βλέποντες;* καὶ ὡς ἴδοιεν πάλιν ἥξοντα, καθὼς ὁρῶσιν ἀναλαμβανόμενον Ἰησοῦν. Τί τοῦτο; Μέγα καὶ τοῦτο εἰς παραμύθιον τοῖς μαθηταῖς. Μονονουχὶ γὰρ ἡ φωνὴ λάλει· Ἄνδρες Γαλιλαῖοι, οὐκ εἰς ἅπαξ ὑμῶν ὁ Διδάσκαλος χωρίζεται· οὐδ' ὅπερ ἦν συνὼν ὑμῖν ἀποσκευασάμενος, δέος ἐμποιήσει, τὴν πρὸς αὐτὸν ὑμῶν διακοπήναι οἰκειότητα· ἀλλ' εἴ γε ἀκριβεῖς τῶν ἐντολῶν καταστείητε φύλακες, ὄψεσθε πάλιν αὐτὸν, ὡς ὁρᾶτε, μηδέν τι τῆς νῦν διαστάσεως ἀλλοῖον διατεθείσης D αὐτόν. Μή τις οὖν ὑμᾶς κατασειέτω λογισμός. Μνημονεύετε ὧν εἶπεν ἔτι συνὼν ὑμῖν, ὡς σὺν ἐκείνῳ ἐπὶ θρόνου καθήμενοι κρινεῖτε τὸν Ἰσραήλ. Εἰ δ' ἐπελάθεσθε, ἀλλὰ νῦν οἷς ἀκούετε, ἐκείνων ἀναζωπυρεῖτε τὴν μνήμην· *Οὗτος ὁ Ἰησοῦς ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.* Ταῦτα οἱ μὲν ἐπεφώνουν.

Et factum est, dum benediceret illis, recessit ab eis, et ferebatur in cælum [89]. O spectaculum, jucundissimum quidem propter promissum Paracletum, ut tamen puto etiam tristitiæ aliquid discipulis afferret; eo quod in posterum non essent amplius fruituri dulci illa Magistri præsentia secundum carnem atque convictu. Nam etsi ab omni humano affectu quam longissime recesserant, haud tamen jure affirmarim nihil eos affectos esse, neque intimis visceribus acri dolore fuisse perculsos, cum eum in quo omnes spes suas sitas habebant, ac cui se totos addixerant, ab ipsis jam segregari viderent [90]. Si enim ante passionem suam, cum Dominus dixisset adventare tempus ut ipsos desereret, et ad eum a quo missus fuerat, reverteretur, præ languore mentis in gravem mœrorem inciderunt, quanquam ipsum coram intuerentur, ac loquentem audirent : quid illis evenisse censendum est, postquam se solos relictos conspicati sunt? Nam animo quidem secum volvebant ac cogitabant ex divino illo ascensu, pollentem Magistrum dominio in omnes creaturas : haud attamen memoria excidebat dulcedo illa quam eis quasi instillabat, illius in carne præsentia ac consuetudo. Ascendit ergo Salvator super nubes; eumque illi oculis comitati, beato illo spectaculo quasi suspensi tenebantur, neque inde palpebras avertere ferebant. Audierunt vero qui de cœlis in has voces clamarent : *Quid sic statis aspicientes* [91]? quique fore nuntiarent, ut eumdem Jesum iterum visuri essent, qua eum ratione assumi videbant. Quid hoc rei? Egregium quiddam et ad consolandos discipulos perquam accommodatum. Tantum enim non dicebat illa vox : Viri Galilæi, Magister non omnino a vobis separatur, neque est quod vereamini fore ut a vobis digressus, benevolentiam illam erga vos, quam præsens præ se ferebat, intercidat : sed si mandata ejus accurate observaveritis, videbitis rursus eum, ut jam videtis, neque sejunctio ulla ratione a vobis alienum reddet. Ne igitur cogitationes vestræ vos conturbent. Revocate in memoriam ea quæ præsens vobis dixit [92] : fore nimirum ut cum eo sedeatis super thronum judicaturi Israelem. Quod si hæc oblivioni tradidistis, at jam ex his, quæ auditis, memoriam revocate : *Hic Jesus, qui assumptus est a vobis in cælum, sic veniet, quemadmodum vidistis eum euntem in cælum* [93]. Hæc quidem isti inclamabant.

[88] Galat. v, 13. [89] Luc. xxiv, 5. [90] Joan. xvi, 6. [91] Act. i, 10. [92] Matth. xix, 28. [93] Act. i, 10.

A Alii vero, ut portæ attollerentur monebant, nuntiantes superioribus Virtutibus Regis gloriæ adventum. At illæ, novo nuntio obstupefactæ, rogabant : *Quis est iste Rex gloriæ* [94]? Nimirum, qui descensum non intellexerant, subdubitant de ascensu. Nihilominus tamen portas pandunt, ac Regi obviam procedunt; stipantque et comitantur eum qui nostro nomine obedientiam Patri offerebat: atque in gloria majestatis sedenti astitere. Hoc dispensationis circa nos peractæ complementum. Hoc ejus qui incarnatus fuerat, studium ac labor indefessus : ut nimirum hominem per invidiam dejectum, atque ad terrenam sortem delapsum, nedum ad immortalem statum reduceret, sed et regem creatum, cœlesti solio, ex quo invidus ille exciderat, dignaretur. At, o Dei Verbum, qui ad tantam B gloriam nostrum pulverem evexisti, qui divina omnia majestate reples, qui iis qui te sustinent semper te affuturum promisisti, populum quem me regere voluisti, ipse præsens nobis tua dextera guberna, ducens in viam salutis, omniaque adversa, maxime vero ea quæ animabus detrimentum afferunt, propulsans. Da ut qui nobis tui occasione nominis adversantur, tua potentia agnita una nobiscum te concinant, quod omnium salutis causa ineffabilem illam feceris dispensationem : decetque ut te omnis lingua celebret, quia tuum est regnum, et potentia, et gloria, in sæcula sæculorum. Amen C

Οἱ δὲ τῶν πυλῶν ἐκέκραγον ἔπαρσιν, ταῖς ἀνωτέραις Δυνάμεσι, τῆς δόξης ἥκειν τὸν Βασιλέα μηνύοντες. Αἱ δὲ, τῷ ξένῳ τοῦ πράγματος ἐκπληττόμεναι· *Τίς ὁ τῆς δόξης*, ἐπυνθάνοντο, *βασιλεύς*; ἅτε μὴ τὴν κατάβασιν συνειΐσαι, ἐπαποροῦσι πρὸς τὴν ἀνάβασιν. Ὅμως δ' ἐπαίρουσι πύλας, καὶ τῷ Βασιλεῖ προσυπαντῶσι, καὶ δορυφοροῦσι τὴν ἡμῶν προσάγοντι ὑποταγὴν τῷ Πατρὶ, καὶ ἐν δόξῃ τῆς μεγαλωσύνης παρεστήκασι καθημένῳ. Αὕτη τῆς περὶ ἡμᾶς οἰκονομίας συμπλήρωσις. Τοῦτο ἦν ἄρα τοῦ σαρκωθέντος ὁ πολὺς, ἵν' οὕτως εἴπω, ἀγὼν, τὸν φθονηθέντα, καὶ πρὸς τὰς γεώδεις χώρας καταπεσόντα, μὴ μόνον πρὸς τὴν ἀκήρατον ἐπαναγαγεῖν πολιτείαν, ἀλλὰ καὶ βασιλέα δεῖξαι, καὶ οὐρανοῖς ἐνθρονίσαι, ὧν ὁ φθονήσας κατέπεσεν. Ἀλλὰ, ὦ Λόγε Θεοῦ, ὁ πρὸς τοσοῦτον δόξης τὸν ἡμέτερον χοῦν ἀνυψώσας· ὁ πάντα πληρῶν ὡς Θεός· ὁ τοῖς ἀνέχουσιν εἰς σὲ συμπαρεῖναι δι' αἰῶνος ἐπαγγειλάμενος, αὐτὸς, ὃν ἔταξας λαόν σου διακυβερνᾷν, συμπαρὼν ἡμῖν τῇ σῇ διακυβερνῴης δεξιᾷ, ἄγων ἐν τρίβοις τῆς δικαιοσύνης, καὶ πάντα κίνδυνον, ὅσος μάλιστα ψυχαῖς φέρει τὴν κάκωσιν, ἐπαμύνων. Δὸς τοὺς πολεμοῦντας ἡμᾶς διὰ σὸν ὄνομα, τὸ σὸν ἐπιγνόντας κράτος, ἅμα ὑμνεῖν σε, ὅτι διὰ τὴν ἁπάντων σωτηρίαν τὴν ἄφατον ἐτέλεσας οἰκονομίαν· καὶ σοὶ πρέπει πᾶσαν γλῶσσαν φέρειν τὴν αἴνεσιν· ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO XII

In Pentecosten, cum Spiritus sancti gratia, ignearum linguarum specie, in sacratissimos discipulos venit.

Quando nunc etiam divina celebritas adest, quantum Deus ipse dederit ad ejusdem honorem conferemus : nec propterea cunctabimur quod ejus celebrandis præconiis non simus satis; quis enim ejus pro dignitate laudes deprædicaverit ? sed quod facultas nostra suppeditabit, libenter ad festi hujus solemnitatem decorandam promemus. Quod vero munus, oratione congruentius præstari possit ? non ea solum ratione quod nihil sermone ac oratione sit honorabilius, sed quia præsenti quoque tempori nihil magis competit quam orationis munus. Nam quibus hodierna die donum linguarum missum fuit, his hodie perquam apte ac consentanee orationis munus dedicandum est. Hæc propositi ac instituti nostri ratio est. Precemur vero, ut artifex illa virtus nobis auxiliatrix adsit, quæ hodie rudia piscatorum ora aperuit, atque adversus eos qui dicendi vi inexpugnabiles videbantur, armavit : simulque et illis, et ea qua loquebantur sapientia, superiores effecit. Ejus namque etiam modo muneris sit ut indoctam linguam excitet, ac sermonis copiam haud prorsus argumento imparem concedat. Veni igitur, veræ cognitionis doctrix Sa-

ΛΟΓΟΣ ΙΒ'.

Λόγος εἰς τὴν Πεντηκοστὴν, ὅτε ἐν εἴδει γλωσσῶν πυρίνων, ἡ τοῦ θείου Πνεύματος χάρις ἐπὶ τοὺς ἱεροὺς μαθητὰς κατεφοίτησεν.

Ἐπείπερ καὶ νῦν θεία ἐπέστη πανήγυρις, κατὰ τὴν θείαν χορηγίαν, τὰ εἰς τιμὴν τῇ πανηγύρει συνοίσομεν· οὐχ ὅτι μὴ ἀποχρώντως ἡμῖν ἔχει τὰ πρὸς τὴν συντέλειαν, διὰ τοῦτο πρὸς τὸ ἐγχείρημα ἀποκνοῦντες· ταύτῃ γὰρ οὐδεὶς πρὸς θείαν αὐτάρκης τιμήν· ἀλλ' ἐφόσον εὔπορον ἐν τῷ ἑλέσθαι τιμᾷν, τὰ οἰκεῖα τῇ ἑορτῇ συνεισφέροντες. Τίς δὲ ἄλλη συνεισ- D φορὰ λόγου οἰκειοτέρα; Οὐ μόνον ὅτι πάντων ἐντιμότατον λόγος, ἀλλ' ὅτι καὶ τῷ παρόντι καιρῷ ἀκριβῶς ἡ τοῦ λόγου ἁρμόσει προσένεξις. Οἷς γὰρ τῶν γλωσσῶν τὸ δῶρον σήμερον κατεπέμφθη, σήμερον ἀκριβῶς εὐλόγως ἡ τοῦ λόγου προσενεχθήσεται δωρεά. Οὗτος μὲν οὖν ὁ τῆς προαιρέσεως λόγος· ᾐτήσθω δ' ἡμῖν τὴν τεχνῖτιν συνεργάζεσθαι δύναμιν, ἡ σήμερον τὰ ἀμαθῆ τῶν ἁλιέων διανοίξασα στόματα, καὶ κατὰ τῶν ἀμαχήτων ἐν τῷ λέγειν ὁπλίσασα, ὁμοῦ τ' ἐκείνων, καὶ τῆς ἧς ἐλάλουν σοφίας, ὑπερήχοντας ἔδειξε. Ταύτης γὰρ καὶ νῦν ἔργον, ἀμαθῆ γλῶσσαν παρακροτῆσαι, καὶ δοῦναι εἰπεῖν, μὴ πολλῷ φαυλότερον τῆς ὑποθέσεως. Ἐλθὲ δὴ οὖν, ἡ τῆς ἀληθοῦς γνώσεως διδάσκαλος Σοφία, τὸ Πνεῦμα τῆς ἀληθείας, καὶ σὲ θειάζειν προελομένοις φθέγξαι περὶ σεαυτοῦ, ἐν τῷ πληρῶσαι τὸ στόμα ἡμῶν. Ἐξουσίᾳ γὰρ πα-

[94] Psal. xxiii, 7.

A ραγίνῃ Δεσποτικῇ καὶ τὴν σὴν, ὅποι βούλει, δίδως ἐπίπνοιαν· εἰ καὶ παρὰ τοῦ καθ' ἡμᾶς διὰ φιλανθρωπίαν γεγονότος Λόγου, πρὸς τὸν σύνεδρον ἀναπτάντος Πατέρα, καταπέμπῃ. Οὐ γὰρ, ὡς δοῦλον, ἀλλ' ὡς ὁμότιμον, ἀλλ' ὡς συγγενὲς Πνεῦμα, αὐτοῦ ἐξ ἡμῶν ἀναπτάντος, σὺ παραγίνῃ, πρὸς οὓς σὺν ἐκείνῳ ἐδημιούργησας. Ἧκε δὴ οὖν ἡμῖν τὴν ἐργασίαν τοῦ λόγου, καὶ χορηγῶν, καὶ διακοσμῶν. Καὶ πάρει γε πάντως, ὁ πάντα διακοσμῶν. Καὶ γοῦν ὑπὸ σοὶ κυβερνήτῃ τὸν πλοῦν ἐπιτρεπτέον τῷ λόγῳ.

pientia, Spiritus veritatis, ac te celebrare volentibus de te ipse loquere, os nostrum adimplendo. Domini enim potestate ades, tuumque ubi velis divinum afflatum præstas atque impendis : quanquam a Verbo, quod benignitate nobis simile factum, ad Patrem, cui assidet, reversum est, mittaris. Neque enim ut servus, sed ut divino honore æqualis utque cognatus Spiritus, ipso in cœlum profecto, ad illos advenis quos una cum ipso condidisti. Veni igitur, orationis nobis apparatum largiens pariter, atque exornans : adesto omni modo, qui condecoras omnia. Te enim gubernatore, orationi ad navigationem vela pandemus.

B Ἄρτι μὲν ὁ Μονογενὴς πρὸς οὓς οὐκ ἔλιπε τοῦ Πατρὸς ἀνῄει κόλπους· τὸ μέγα ἔργον, τὴν ἡμετέραν αὐτῷ προσκομίσων καταλλαγὴν, καὶ τόπον ἡμῖν ἑτοιμάσων ἐκεῖ. Ἔδει δὲ ἄρα, ἐκείνου ἐξ ἡμῶν ἀναπτάντος, ἄλλον ἴσον ἐκείνῳ καὶ δόξης καὶ τιμῆς ἔχοντα, εἰς τὴν τῆς εὐεργεσίας ἀντικαταστῆναι χώραν, ὡς μὴ λάθοιμεν, πάλιν τὴν καταλλαγὴν εἰς

Non pridem Unigenitus Patris, quos non deseruisset, sinus repetierat; ingens illud opus, nostram illi allaturus ac oblaturus redemptionem, atque locum illic nobis paraturus. Oportebat autem, illo a nobis ablato, alium illi et gloria et honore parem, ubi fuisset beneficium collatum, in vicem constitui, ne incauti ac oblivione reconciliationis

NOTÆ.

(37) Docte, et ut theologum deceat, Spiritus deitatem vindicat ac fidem Trinitatis explicat, uno duntaxat excepto, in quo forte Græcorum schismaticorum errori adhærere videri possit, ut nimirum omnino excludat a Filio causæ rationem, quam vocant, sive ut ulla ratione producat cum Patre Spiritum sanctum. Quamvis enim non ita clare loquatur, sic tamen sentire velut quodammodo indicat : cum Patrem ait Υἱοῦ καὶ Πνεύματος τὴν αἰτίαν ἀνῃρημένον· *Peculiare habere, esse causam* C *Filii ac Spiritus sancti*, ubi præmisisset distingui personas uno hoc, τῷ αἰτίῳ, καὶ τῇ γεννήσει, καὶ τῇ προόδῳ· *causæ ac principii ratione, generatione, ac processione*, cum item, Latinos procul dubio notans, ita ad finem ait, μηδ' εἰς αἰτίαν αὐτὸ διπλῆν ἀναφέροντες· *neque in duas ipsum causas referentes :* quod ait, πολυαρχίαν ἐν τῇ μοναρχικῇ Τριάδι παρεισαγόντων· *eorum qui multa principia in unius principii Trinitatem inducunt*. Quamvis enim ipsa Latinorum ac Ecclesiæ sententia habeat, uniusque et ipsi principii Trinitatem credamus, Patre ac Filio, uno ac eodem Spiritus sancti principio, qua ratione Mens et Verbum una sunt amoris causa, nec alia quam mens ipsa, quæ et Verbi et amoris causa exsistit, sed Verbi sola, amoris, cum Verbo, ac per Verbum; quem Tarasius aliique Græci orthodoxi modum loquendi subinde probarunt. Leo tamen velut insinuat ita sentire, non posse Spiritum sanctum referri in Filium, quin D duplex ejus causa ponatur : quæ Græcorum semper offensio fuit, tametsi olim sanctus Maximus probe explicaverat, ut unam Latini Spiritus causam, sive principium Patrem agnoscerent, nec ejus duas ponerent causas, licet etiam ex Filio dicerent, ut liquet ex epistola ad Marinum altero tomo edita, ac a Metochite explicata. Illa Patris notio, τὸ αἴτιον, est etiam Gregorii Nazianzeni orat. 24, ubi ait Filium habere omnia, quæ habet Pater, πλὴν τῆς αἰτίας· *excepta causæ ac principii ratione :* si tamen vera lectio est, quam præfatus Metochites falsam arguit, ex eo quod probatiores codd. habeant πλὴν τῆς ἀγεννησίας· *excepta innascibilitate :* quam etiam unam aliis locis Gregorius excipit; nusquam vero αἰτίαν, præterquam suspecto illo loco. Ut aliter Leonem explicemus, ac sanam velimus habuisse mentem, pietas erit, præsertim quæstione ejusmodi Græcos inter ac Latinos ejus tempore valde celebri, quando etiam Galli in Græcos peculiarius noscuntur inclamasse, ut liquet ex conc. Rhem. sub Eberone. Multo adjumento esset, ut ita pie exponeremus, epistola quæ exstat tom III Biblioth. PP. ad Omarum Saracenorum regem de fidei Christianæ veritate, cujus Baronius, an. 911, ea verba refert : *Ego sum Dominus Deus tuus, Creator tuus, lumen de lumine, Verbum de Patre, ex quibus Spiritus sanctus procedit :* ut illa omnino constaret; ac constaret nihil sibi interpretem in ea indulsisse, sive Latinum, sive etiam Chaldaicum, ex quo tandem Latina prodiit. Vix enim primum putem Chaldaice scriptam, siquidem vere Leonis epistola est. Facile vero Græca οὗ et ὧν permutantur; quod in oratione sancti Eulogii in Ramos Palmarum factum deprehendi, ac devoratum a Cyrilli novo interprete notavi. Haud certe facile putem Leonem dogmatica illa epistola aliam edidisse fidem, quam haberet usus suæ Ecclesiæ, ac quam exprimat ista oratione, cujus tota verba etiam orthodoxus sane proferat. Quare non probo omnino Gretseri censuram, ad relata verba, quibus Leo reprobat ut Spiritus referatur in duo principia, cum ita margini ascribit : *Error schismaticorum Græcorum de processione Spiritus sancti ex solo Patre.* Nihil sane ejusmodi erroris habent illa verba, sed indicare videntur, qua notant Latinos, ut eo ponant duo principia Spiritus sancti, quod Filium ab ejus productione non excludant : utque revera Leo in aliquos e Latinis ita rudius exponentes processionem ex Patre ac Filio, locutus sit, ut est probabile non defuisse plures qui sic intelligerent, ac duas causas sive principia Spiritus, Patrem ac Filium dicerent : non modo non protulit errorem, sed et id ipsum quod postea universali concilio utraque Ecclesia sanxit : nihilque vetat ut ne vir theologus ac insigniter eruditus, ita subtiliter intellexerit, sicque affectarit loqui ut et nihil errorem habens proferret, nihilque suos, ac Græcos contentioni studentes, ex sermone offenderet : alioqui enim addictum ipsum Romanæ sedi, a qua etiam reluctante patriarcha Constantinopolitano nuptiarum Græcorum jure prohibitarum remissionem impetraverit, ipso etiam patriarcha Latinorum ac Occidentalium sententia, ea occasione exauctorato, liquet. Qua de re Baron. et alii.

mutuus in inimicitias solveremus. Facile enim est genus mortalium ut in ejusmodi dolum fraudemque inducatur. Simul vero cum Filius ab æterno genitus hominibus innotuisset, oportebat etiam coæternum Spiritum noscere, ut ita divinum totum principatum colentes, recte Deo in personarum Trinitate honorem haberemus : atque ut ille Unigeniti gloriam proferret, ejus in orbem universum majestatem declarans, vivificæque ejus doctrinæ præclara semina adaugens. Quemadmodum enim Filius humanæ naturæ consuescens Patrem clarificavit, ita par erat ut et Spiritus substantiali ad nos adventu Filium clarificaret. Nemo idcirco angustus rixosusque adeat; nec quis Paracleti dominium in servitutem demittat deducatque. Clarificavit Deum et Patrem, qui ante Luciferum natus est Deus ; clarificat Unigenitum, qui una cum illo ab æterno ex Patre processit Deus. Non servum, non creaturam, non a Dei natura alienum eum reputes, qui creaturam deitate donet : ne male compositos ordines aut gradus excogites, neve huic quidem minorem, illi vero superiorem locum tribuas. Nihil ad immortalem incorruptamque naturam spectant cerearum ac caducarum (38) rationum inventa. Ne unde honore aucti sumus, inde contra naturam superiorem omni natura, honoreque ac gloria, contumeliam excogitemus. Missus quidem est Filius ad figmenti ac hominis salutem præstandam ; non quasi Patre minor, sed quia eum tanquam hæredem dispensatio deceret, qua nos cohæredes effecturum se statuisset. Sed et Spiritus sanctus mittitur, non quasi minus quoddam Filio habeat, sed velut etiam ipse Paracletus, nostræque pariter adoptionis auctor exsistens. Ne sectionem divisionemque illud suspiceris esse, per quod tu divinæ naturæ consortium accipis. Unus Patris Filiique ac sancti Spiritus est honor : quoniam una natura, atque regnum unum. Nullius indigens Deus Pater, æqualem sibi gignit Deum Filium, ac æqualem producit optimum Spiritum, non secta per personarum discretionem Divinitate, sed citra confusionem in enumeratione Trinitatis unita. Nihil in ea posterius, aut creatum ex nihilo, ac idcirco recentius, sed coæternæ personæ, ejusdemque ordinis ac gloriæ : hoc solum discretæ, causæ ac principii ratione, generatione et processione : ita ut Pater Filii ac Spiritus sancti sit principium, Filius vero generetur, ac Spiritus sanctus procedat. Verum de his in præsenti hactenus oratio.

ἔχθραν διαλυσάμενοι. Εὔκολον γάρ πως τὸ γένος πρὸς τὴν τοιαύτην ὑπαγωγήν. Ἅμα δὲ καὶ γνωρισθέντος ἀνθρώποις τοῦ ἀχρόνως γεννηθέντος Υἱοῦ, ἔδει καὶ τὸ συνάναρχον γνωρισθῆναι Πνεῦμα, ἵν' οὕτω καλῶς τιμῷτο Θεὸς ἐν τῇ τῶν προσώπων Τριάδι, τῆς ὅλης ἡμῖν θεαρχίας τιμωμένης· καὶ ἵνα δοξάσῃ τὸν Μονογενῆ, φανεροῦν ἀνὰ πᾶσαν τὴν γῆν τὴν ἐκείνου μεγαλειότητα, καὶ τὰ καλὰ τῆς ζωοποιοῦ διδασκαλίας αὐτοῦ πληθύων σπέρματα. Ὥσπερ γὰρ ὁ Υἱὸς σαρκὶ ὁμιλήσας, ἐδόξασε τὸν Πατέρα, οὕτως ἔπρεπε καὶ τὸ Πνεῦμα τὸν Υἱὸν δοξάσειν, οὐσιωδῶς ἡμῖν παραγεγονός. Μηδεὶς διὰ τοῦτο μικρολόγος παρίτω, μηδὲ τὴν τοῦ Παρακλήτου δεσποτείαν, εἰς δουλείαν καταβιβαζέτω. Ἐδόξασε τὸν Θεὸν καὶ Πατέρα ὁ γεννηθεὶς πρὸ Ἑωσφόρου Θεός· δοξάζει τὸν Μονογενῆ ὁ συναϊδίως ἐκείνῳ προϊὼν Θεὸς ἐκ Πατρός. Οὐ δοῦλον, οὐδὲ κτίσμα, οὐδὲ τῆς θεϊκῆς δόξης ἀλλότριον τὸ θεοποιοῦν τὴν κτίσιν· μὴ τάξεις ἀτάκτους, μηδὲ βαθμοὺς ἐπινοήσῃς· μηδὲ τούτῳ μὲν τὴν ἐλάττονα, τούτῳ δὲ τὴν ὑπερκειμένην ἀπονείμῃς χώραν. Οὐδὲν πρὸς τὴν ἀκήρατον φύσιν αἱ τῶν κηρίνων ἐπίνοιαι λογισμῶν. Μὴ ἀφ' ὧν ἐτιμήθημεν, ἐκεῖθεν κατὰ τῆς ἀνωτάτω φύσεως, πάσης καὶ τιμῆς καὶ δόξης, τὴν ὕβριν ἐπινοῶμεν. Ἀπεστάλη μὲν ὁ Υἱὸς πρὸς τὴν τοῦ πλάσματος σωτηρίαν, οὐχ ὡς ὑπερβεβηκὼς[k] τοῦ Πατρός· ἀλλ' ὅτι ἔπρεπεν, ὡς κληρονόμῳ συγκληρονόμους βουλομένῳ ποιήσειν ἡμᾶς ἡ οἰκονομία. Ἀποστέλλεται δὲ καὶ τὸ Πνεῦμα, οὐχ ὡς ἔλαττον ἔχον τοῦ Υἱοῦ· ἀλλ' ὡς Παράκλητος καὶ αὐτὸς, καὶ τὴν ἡμῶν συνεργαζόμενος τούτῳ υἱοθεσίαν. Μὴ τομὰς, μηδὲ διαίρεσιν ὑποβάλλῃς τὸ δι' οὗ σὺ θείας κοινωνίαν φύσεως λαμβάνεις. Μία Πατρὸς, καὶ Υἱοῦ, καὶ Πνεύματος ἡ τιμὴ, ὅτι μία φύσις καὶ βασιλεία. Θεὸς ἀπροσδεὴς ὁ Πατὴρ ἴσον αὐτῷ γεννᾷ Θεὸν, τὸν Υἱόν· καὶ ἴσον προάγει τὸ πανάγαθον Πνεῦμα· οὐ τεμνομένης τῆς Θεότητος τῇ διαιρέσει τῶν προσώπων, ἀλλ' ἑνουμένης ἀσυγχύτως ἐν τῇ ἀπαριθμήσει τῆς Τριάδος. Οὐδὲν ὕστερον, οὐδ' ἐξ οὐκ ὄντων γεγονὸς, καὶ διὰ τοῦτο νεώτερον· ἀλλὰ συνάναρχα, καὶ ὁμοταγῆ, καὶ ὁμότιμα· τούτῳ μόνον διαφέροντα, τῷ αἰτίῳ, καὶ τῇ γεννήσει, καὶ τῇ προόδῳ· Πατρὸς μὲν Υἱοῦ καὶ Πνεύματος τὴν αἰτίαν ἀνῃρημένου· Υἱοῦ δ' ἀπαθῶς γεννωμένου, καὶ ἐκπορευομένου τοῦ Πνεύματος. Ἀλλὰ τούτων μὲν ἀπόχρη τῶν λόγων ἐν τῷ παρόντι.

Venit vero sacer Spiritus, implente Verbo suam promissionem, quam velut arrhabonem suis reliquerat : idque præstitit, die quidem ab ascensione ejus decimo, a resurrectione autem die quinqua-

Ἔρχεται δὲ περαίνοντος τοῦ Λόγου τὴν ἐπαγγελίαν, ἣν οἷα δή τινα τοῖς οἰκείοις ἀῤῥαβῶνα κατέλιπεν· ἡμέρᾳ μὲν τῆς ἀνελεύσεως δεκάτῃ, τῆς δὲ ἀναστάσεως συμπληρουμένῃ πεντηκοστῇ. Τί τοῦτο;

VARIÆ LECTIONES.

[k] Leg. ὑποβεβηκώς.

NOTÆ.

(38) *Cerearum ac caducarum.* Κηρίνων λογισμῶν. Videtur alludere ad cereas imagines, quæ sunt quid admodum fragile : simulque etiam ad vocem κὴρ respicere, a qua est ἀκήρατος, cui opponit τὸ, κήρινον. Vel potius alludit ad ceras, quibus inscripta facile oblitterabantur : quod plane incorruptibilibus minime congruat.

Ἀρ' οὖν ἔχει καὶ τὰ παρόντα τῆς Ἰησοῦ κρυφιότητος ἐπάξιον μυστήριον, ἢ ἁπλῶς οὕτω παραδέχεσθαι χρή; Οὐ μὲν οὖν· οὐδὲν εἰκῇ, οὐδ' ἀθεώρητον ὁ Λόγος ἐπλήρου. Καὶ γοῦν, εἰ βούλεσθε, συγχωρητέον τῷ Λόγῳ, εἰς τὸ βάθος τῶν τελουμένων ἐγκύψαντι ἐκεῖθεν, εἴπως δύναιτο, πειράσασθαι ἀνελκύσαι, ἴσως οὐ φαῦλον θεωροῖς ὀφθαλμοῖς θέαμα. Εὑρίσκω δὴ οὖν τιμωμένην τὴν Πεντηκοστήν· οὐ μόνον ὅτι ὥσπερ ἱερὰ ἐξ ἱερᾶς ἔχει ῥίζης τὴν γένεσιν, ἐκείνης τῆς ἡμέρας ἐν τῷ, πρὸς αὑτὴν ἀνακυκλοῦσθαι, ταύτην γεννώσης, ἧς ἀπὸ πάντων ἀνεπαύσατο ὁ Δημιουργὸς, ὁποτέρων βούλει, τῶν τῆς ἐπιδημίας, ἢ τῶν τῆς δημιουργίας ἔργων· ἀλλ' ὅτι καὶ τύπον ἐπλήρου τῆς ἀφεσίμου καὶ ἀνεσπέρου ἡμέρας· διὰ τοῦτο καὶ παρ' οἷς τὸ παλαιὸν ἐπολιτεύετο γράμμα, ὥσπερ ἐν σκιᾷ φαινομένη ἐδίδου πάντων ἐλευθερίαν, ἐπὶ τοῦτο ἀριθμοῦ B τοῦ τῶν ἐνιαυτῶν κύκλου καθισταμένου· δηλούντων, οἶμαι, τῶν τελουμένων, ὡς μετὰ τὴν ἑβδοματικὴν ταύτην περίοδον, τῆς ἐπικαίρου καὶ δουλικῆς ἡμῶν ζωῆς, ἐπιστήσεται ἐκείνη ἡ ἡμέρα, καθ' ἣν τὴν εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν λαβεῖν δεήσει, καὶ τὴν ἄνωθεν καὶ πρώην ἐλευθερίαν

A gesimo. Hoc vero quanam ex causa? Anne hæc ipsa, occulta Jesu dispensatione, dignum quid mysterii habent, aut sic temere nulloque consilio gesta oportet accipere? Absit! Nihil temere ac frustra; nihil Verbum implebat quod non spiritalis aliquid intelligentiæ haberet. Itaque, si libet, habenas orationi laxabimus, ut in mysteriorum altitudinem intuens, inde, quoad fieri potest, extrahere quidpiam conetur, haud forte illud, spiritalium sensorum contemplatione eruditis oculis spernendum ad spectaculum. Reperio itaque honori habitam Quinquagesimam, nedum eo titulo, quod velut sacra, sacra ex radice originem habeat: ex illa nimirum die, quæ in seipsam recurrens ac aliquanto repetita hanc generat, qua nempe rerum Opifex ab omni requievit opere, quæcunque tandem libuerit opera, sive adventus ac incarnationis, sive creationis: verum etiam quod diei remissionis ac vesperam non habentis figuram gereret. Idcirco etiam apud eos quorum res ex scriptæ legis præscripto administrabantur, velut in umbra obscuraque delineatione apparens ab universis liberos præstabat, ubi annorum circulus ad eum numerum revolutus esset. Quibus, opinor, significabatur fore ut post septenariam hanc vitæ nostræ periodum, temporaneam illam ac servituti obnoxiam, ille adveniat dies quo in integrum restituendi simus, pristinamque ac antiquam libertatem recepturi.

Ἐπεὶ οὖν καὶ νῦν ἡ τοῦ Πνεύματος ἐπιδημία νέαν ἡμῖν ἦλθε βίου κατάστασιν διαθήσουσα, καὶ πρὸς ἐκείνην τὴν ἡμέραν ἀπὸ τοῦ σκότους τῆς ἐν τῷ παρόντι βίῳ νυκτὸς διεγείρουσα, διὰ τοῦτο ἐν ταύτῃ C παραγίνεται τῇ ἡμέρᾳ. Τὸ δέ γε μετὰ τὴν ἄνοδον εἶναι δεκάτην, ὅτι ὥσπερ ἡ ἑβδόμη, οὕτω καὶ ἡ τρίτη ἐφ' ἑαυτὴν ἀνακυκλουμένη, ταύτην ἡμῖν τὴν ἱερὰν ἡμέραν ἀνέστελλεν [1]. Ἦν δ' ἄρα καὶ τοῦτο ἀκόλουθον, οὐ μόνον διὰ τὴν τῆς θεαρχίας τριττὴν, ἀλλ' ὅτι καὶ τὸ μέγα ἔργον τῆς τοῦ κόσμου ἐγέρσεως, τριταῖος ὁ Λόγος διεπραγματεύσατο. Ἀλλὰ τοῦ μὲν κείσθω οὐ πάρεργον ἴσως τοῖς φιλακροάμοσιν ἄκουσμα· ἐπαναχωρητέον δ' ὅθεν ἐξεληλύθαμεν. Ἔρχεται δὴ πληρῶν τὴν ἐπαγγελίαν τοῦ Υἱοῦ, ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ ἀγαθὸν, ἐπὶ τοὺς ἱεροὺς μαθητὰς, καὶ δι' ἐκείνων ἁγιάσων τὴν κτίσιν, τὴν ὑπὸ τῶν πονηρῶν διαλελυμασμένην πνευμάτων. Οὐκ ἔτι καθ' ἕνα, καὶ κατὰ μέρος ἁγιάζει· οὐδ' ἑνὶ γένει τὰς εὐεργεσίας ἐπιδαψιλεύεται· ἀλλ' ὁμοῦ πάντα πληροῖ κόσμον ἁγιασμοῦ. Οὐδ' ἔτι μόνος ὁ ἀγνώμων Ἰουδαῖος τοῦ θείου πλούτου κατατρυφᾷ, πάντας εἰς τὸν αὐτοῦ κλῆρον εἰσαγαγόντος, τοῦ κακῶς ὑπ' ἐκείνου παθόντος, κληρονόμου· οὐδὲ μόνος εἰδείη τὴν θείαν δόξαν, πάσης μανθανούσης σαρκὸς τὸ σωτήριον τοῦ Θεοῦ. Οὐδὲ κείσεται παρ' αὐτῷ τῆς προφητείας τὸ χάρισμα, ἐπὶ πᾶσαν σάρκα χεομένου τοῦ Πνεύματος, καὶ προφητευόντων υἱῶν, καὶ θυγατέρων ὠδινηθέντων ἀχράντοις ὠδῖσι.

Quoniam igitur etiamnum divinus Spiritus eo venit, ut novam nobis vitæ rationem constituat nosque ad illam diem ab hujus sæculi noctis tenebris excitet, idcirco hoc ipso die advenit. Quod autem decima ab ejus in cœlum Ascensione fiat, ea ratio sit, quod sicut septima, sic et tertia repetita ac revoluta, sacram hanc nobis conficiat diem. Erat vero hoc rationi consentaneum, non solum propter divinam Trinitatem, sed quia etiam Verbum magnum illud excitati ac resuscitati mundi opus tridui spatio absolvisset. Verum hæc fortassis non abs re dicta apud eos fuerint qui ejusmodi sensis delectantur, sed nobis regrediendum eo unde sumus egressi. Venit ergo Filii promissionem impleturus Paracletus, bonus, inquam, ille Spiritus, in sacratos discipulos, utque per illos creaturam sanctificaret, a malis male habitam damnisque D affectam spiritibus. Haud ultra ille sigillatim ac ex parte sanctificat, nec uni tantum nationi sua dona copiose effundit, sed simul universum mundum sanctimonia plenum efficit. Nec porro amplius ingratus improbusque Judæus divinarum solus divitiarum delicias percipit, cum nimirum quem ille hæredem male morte affecit, in suam omnes introducat hæreditatem: haud item solus noverit Dei gloriam, cum omnis caro Dei salutare doceatur[98]. Nec demum prophetiæ apud eum donum depositum erit, cum Spiritus effundatur in omnem carnem, prophetentque filii atque filiæ intemerato editi partu.

[98] Matth. xxi, 39.

VARIÆ LECTIONES.

[1] Leg. ἀνέτελλεν.

B Οὔκουν οὐδ' ὅπερ ἡ νῦν νεωτεροποιΐα τῶν καινὴν εἰσαγόντων ὕπαρξιν τοῦ Πνεύματος βούλεται, τὸ ἐκ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα τὴν προβολὴν σημαίνει τὰ ῥήματα. Οὗ τὴν μίαν ἀρχὴν κακῶς εἰς πολυαρχίαν μετατάττειν ἐπιχειροῦσιν· οὐκ οἶδα πόθεν ἐπὶ ταύτην ἐλθόντες τὴν ὑπόληψιν· πότερον ἐν τῷ καθιστάναι τὸν Υἱὸν εἰς τὴν τοῦ Πνεύματος πρόοδον, συναίτιον ποιήσωσι τῷ Πατρὶ τῆς τοῦ Πνεύματος

etiamsi æquitatis, et moderationis exemplum, ut alibi, ita et hic humiliter loquendo exhibuit. Illa igitur verba nullam, ut Spiritus inferior censeatur, occasionem præbent, nisi iis forte, qui recta omnia perturbare student; sed consubstantialitatem, et gloriæ communionem, quam Filius habet cum Patre, eamdem et Spiritum habere declarant.

De meo accipit (11) : quomodo ex iis, quæ ille habet, accipit? quia quæ Filius facit, ea et Spiritus facit : sicuti Filius accipit a Patre, quia, quæ videt facientem Patrem, facit.

De meo accipit (12). Per hæc verba non significatur communicatio quædam, cujus indigens sit, sed concordia, ac consensus inseparabilis.

Neque vero, quod nunc eorum audet innovatio, (13) qui Spiritus novum esse inducunt, ex Filio scilicet processionem Spiritum accipere, ea verba docent : hoc enim modo unum ejus principium in principia plura (14) perperam student convertere. Non equidem novi, quidnam eos in hanc sententiam perduxerit : an Filium in Spiritus processionem intrudant, ut eum simul cum Patre concausam (15)

NOTÆ

(11) *De meo accipit.* Hic ex professo disputare aggreditur. Cum his verbis Spiritus processionem a Filio Scriptura doceat, ad eorum vim aliena intrepretatione eludendam ingenium acuunt adversarii. Quorum antesignanus Photius ita explicat in epistola ad episcopum Aquileiensem, ac si ἐκ τοῦ ἐμοῦ significaret *ex meo Patre :* οὐ γὰρ εἶπεν, ἐξ ἐμοῦ, ἀλλ', ἐκ τοῦ ἐμοῦ· δῆλον, ὅτι Πατρός· *non enim dixit ex me, sed ex meo, scilicet Patre.* Quam explicationem sensus, et Scripturæ contextus non admittunt, satisque jam refutata est. Aliam vero C Leonem molitum esse discimus ex hoc loco, nempe *accipere de meo*, idem esse ac *eadem præstare :* qui probe quidem ἐκ τοῦ ἐμοῦ non ad Patrem, sed ad loquentem Filium referendum fatetur; at quam inepte, quam procul ab omni loquendi usu, et a quacunque sanctorum Patrum interpretumque doctrina, explicat *accipere* pro *imitari*, seu *facere!* ita ut, cum legimus *accipit*, non, quid accipiat, exquirere debeamus, sed quid faciat. Quod si *accipere* est *imitari*, sive *exemplum accipere*, cum, qui exemplum ab alio accipit, cognitionem simul accipiat, cumque in divinis idem sint cognitio, ac essentia, jam si cognitionem a Filio Spiritus accipit, accipit et essentiam. Præterea cum dicimus, ea, quæ Filius facit, et Spiritum facere, de externis actionibus toti communibus Trinitati intelligimus : nihil ergo hoc ad Christi verba *de meo accipit* facit, quibus cum personaliter locutus sit, falsum eo sensu est, quæ Filius agit, et Spiritum agere. Falsa itidem ratio est, quam affert a similitudine depromptam, et Joannis quinti capitis versiculum decimum nonum respicientem. Cum enim dicitur Filius facere, quæ videt facientem Patrem, de operationibus intelligendum est a Trinitate profectis, minime vero a personis singulis. Quid autem hoc cum generatione Patris? An exinde Filius a Patre non generatur? Joannis locum illum sufficit inspicere, ut statim pateat, quam intempestiva Leonis illatio sit; ante ea siquidem verba dictum non fuerat, *Filium accipere a Patre*, sed *a se ipso Filium nihil facere :* ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν.

(12) *De meo accipit.* Per hæc, non videtur auctor discussa nuper interpretatione sibi magnopere satisfecisse : aliam enim subdit; nempe *accipit de meo* significare *concordes, et consentientes sumus*, quæ futilior est, quam refelli mereatur. Cæterum indigentiam in sancto Spiritu neque nos profecto agnoscimus ullam, sicut Græci in Filio non agnoscunt, quamvis a Patre esse sciant : cum hæc in divinis ordinem tantum, ac relationem important, nec prohibeant unam et eamdem trium personarum naturam esse.

(13) *Eorum innovatio.* Νεωτεροποιΐαν nobis exprobrare solent : ac si Basilius, Cyrillus, Athanasius, Gregg. Nyssenus, et Nazianzenus, Chrysostomus, Epiphanius, et quotquot in opusculis ab Arcudio, et Allatio collectis laudantur, et congeruntur, ut Augustinum, Latinosque cæteros missos faciamus, inter veteres Patres censendi non sint.

(14) *Principia plura.* Græcorum scopulus hic error est, putantium scilicet in πολυαρχίαν nos incidere. Hinc in Joannis Zonaræ canone hæc inter hæreses numeratur. Σκεπάσαις, ὦ Παρθένε, ποίμνην τὴν σὴν, καὶ δεινῆς ἀποστήσαις αἱρέσεως τῶν Ἰταλῶν, δύο μὲν ἀρχὰς ἐπὶ τῆς μιᾶς δογματιζόντων φύσεως, Πνεύματος διττὰς δὲ τοῦ παντουργοῦ λεγόντων ἐκπορεύσεις, ξένως καὶ ἀσυνήθως. *Protegas, Virgo, ovile tuum, atque a gravi Italorum hæresi avertas, qui in natura una duo statuunt principia, duasque Spiritus cunctorum opificis processiones ponunt, absurde, ac nove.* Verum perpendant schismatici, deprecor : si eos interpellem, an creatio a Patre tanD tum peracta sit, abnuent statim, et a tribus personis docebunt præstitam : at si ex hoc inferam, non unam ergo, sed plures creationis causas esse, irridebunt; cum personas tres constet in divinis causam unam efficere. Cur igitur Pater, et Filius non unum, sed duo sancti Spiritus principia constituent? et qui fieri potest, ut de exstrinsecis operationibus ita ratiocinantes, tam diverse de intrinsecis, quibus ea doctrina fortius aptatur, ratiocinentur? Cæterum ideo in causam unam tres coalescunt personæ, quia sunt unus Deus, et quia cum secunda, et tertia a prima sint, et ipsissimam cum ea creandi actionem et perfectionem habeant, nullo modo possunt aliam causam efficere : quæ rationes et in processione activa pariter militant Filio communicata.

(15) *Concausam.* Nomen *causæ* in divinis Latini refugimus, paventes, ne dependentia, ut loquimur,

faciant, vel hoc Patri eripiant? Si enim Spiritus (16) ex Filio esset, cur non et ex se ipso esset, cum omne, quod Patris et Filii est, Spiritus etiam sit? Sed ulterius id etiam consequitur, non solum non esse ex Filio, verum etiam neque ex Patre. Qui enim ex se ipso habet esse, quanam alia indiget causa? Rursus si æquipotens (17) Spiritus est, quomodo et Filius ex eo non est, sicut is est ex Filio? aut enim non ejusdem virtutis est, utpote accipiens, et non dans, aut si vere est, necesse est, ut Filius etiam aliquid habeat ex Spiritu, sicuti Spiritui aliquid ipse dat. Cur autem hoc (18) tantum Spiritui aufertis, nempe quod ex se ipso sit, non auferentes alia, quæ Filio insunt, et Patri? Nam vel alia quoque ipsi adimenda sunt, ut blasphemia magis pateat, vel neque id adimendum, quod ex se ipso sit. Quænam enim hæc de uno tantum privatio? Deinde Spiritus (19) ex Patre et Filio procedens, et a persona Patris per proprietatem suam distinctus, quomodo minor non erit Filio, cum hic esse habeat a Patre, ille vero, alia causa superaddita, etiam a Filio? Quod si quæcunque Filius habet, a Patre accipit, ab eo etiam accipiet, quod ex ipso procedat Spiritus. Cur ergo dandum est Filio, quod ex ipso procedat Spiritus, Spiritui vero neque illud dandum, ut ex se ipso procedat, neque illud, ut generationis Filii particeps sit? Rursus si major (20) est Pater, quia Filii causa est, major erit et Filius, cum causa Spiritus sit. Patet ergo, Spiritus personam imminui, Filio quidem in unam causam relato, Spiritu vero in duas. Quod si ex hoc major Spiritu statuitur Filius, major etiam in sanctum Spiritum, quam in Filium, blasphemia censenda est. Hoc enim ipsum Servator noster docuit, nempe blasphemiam in Spiritum sanctum neque in hoc sæculo remitti, neque in futuro [18].

A προβολῆς, ἢ ἵνα καὶ τὸν Πατέρα τοῦτο ἀφαιρήσωνται; Εἰ γὰρ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, πῶς οὐκ ἂν εἴη καὶ ἐξ ἑαυτοῦ, ἐπειδὴ πᾶν ὅπερ ἐστὶ Πατρὸς καὶ Υἱοῦ, τοῦτο καὶ Πνεύματος; Εἶτα τί; Συμβαίνει μὴ μόνον μὴ εἶναι ἐκ τοῦ Υἱοῦ, ἀλλὰ μηδὲ ἐκ τοῦ Πατρός. Ὧ γὰρ ἐξ ἑαυτοῦ τὸ εἶναι, τούτῳ τί δέοι ἑτέρωθεν αἰτίας; Ἔτι εἰ ὁμοδύναμον τὸ Πνεῦμα, πῶς οὐχὶ καὶ ὁ Υἱὸς ἐκ τοῦ Πνεύματος, ὥσπερ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα; Ἢ γὰρ οὐχ ὁμοδύναμον αὐτῷ, λαμβάνον, οὐ διδοῦν, ἢ εἴπερ ὁμοδύναμον, ἕξοι τι καὶ ὁ Υἱὸς τοῦ Πνεύματος, ὥσπερ τῷ Πνεύματι δίδωσιν αὐτός. Πῶς δὲ καὶ τούτου μόνου στερεῖτε τὸ Πνεῦμα τοῦ εἶναι ἐξ ἑαυτοῦ, μηδὲν τῶν ἄλλων ἀφαιρούμενοι, ἃ Πατρὶ πρόσεστι καὶ Υἱῷ; Ἢ γὰρ καὶ ἑτέρων στεροῖτ' ἄν, ἵνα ᾖ περιφανεστέρα ἡ ὕβρις, ἢ εἰ μὴ B ἄλλων, μηδὲ τοῦ εἶναι ἐξ ἑαυτοῦ. Τίς γὰρ ἐπὶ μόνου τούτου ἡ ἀποκλήρωσις; Εἶτα Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα προϊὸν, καὶ προσθήκῃ ἰδιότητος τῆς Πατρικῆς ὑποστάσεως διακρινόμενον, πῶς οὐκ ἔλαττον συμφυΐας καὶ οἰκειότητος τοῦ Υἱοῦ ἕξει πρὸς τὸν Πατέρα, εἴπερ ὁ μὲν Υἱὸς ἐκ Πατρὸς ἔχει τὸ εἶναι, τῷ δὲ καὶ τοῦ Υἱοῦ αἰτίου προστίθεται; Εἰ δὲ καὶ πάντα ὅσα ἔχει ὁ Υἱὸς, ἐκ τοῦ Πατρὸς λαμβάνει, ἐκεῖθεν ἂν εἴη καὶ τὸ ἐξ αὐτοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι. Τίς οὖν ἡ φιλοτιμία, δοῦναι μὲν Υἱῷ ἐκείνου προϊέναι τὸ Πνεῦμα, τῷ Πνεύματι δὲ μὴ δοῦναι, μήτε τὴν ἑαυτοῦ ἐκπόρευσιν, μήτε μὴν τῆς τοῦ Υἱοῦ μετέχειν γεννήσεως; Καὶ εἰ μείζων ὁ Πατὴρ τῷ εἶναι αἴτιος τοῦ Υἱοῦ, μείζων ἂν εἴη καὶ ὁ Υἱὸς τῷ εἶναι C αἴτιος τοῦ Πνεύματος. Καὶ πῶς οὐκ ἂν λάθοι ἡ τοῦ Πνεύματος σμικρυνομένη ὑπόστασις, τοῦ μὲν Υἱοῦ πρὸς ἓν αἴτιον ἀναφερομένου, τοῦ Πνεύματος δὲ πρὸς δύο τὴν ἀναφορὰν ἔχοντος; Καὶ εἰ ἐκ ταύτης τῆς ἀκολουθίας μείζων τοῦ Πνεύματος ὁ Υἱὸς, πῶς ἡ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημία μὴ μείζων τῆς εἰς τὸν Υἱὸν βλασφημίας; Τοῦτο γὰρ ἐδίδαξεν ὁ Σωτὴρ τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι ἄφυκτον εἶναι δίκης εἰπών.

[18] Matth. XII, 32.

NOTÆ.

arguatur. Græci Patres adhibent passim, personarum ordinem respicientes; nec de Patre tantum, sed et de Filio. Hinc in Florentini Concilii decreto, quem Græci αἰτίαν, Latini *principium* dicunt. Filium etiam Spiritu sancto majorem (ratione scilicet causæ, seu principii) Græci vocant. Vide *Græciam orthodoxam* tom. II, pag. 748, qua locutione minime utuntur Latini, apud quos durius sonat. Liceat propterea animadvertere, quam injuria insimulemur a Photianis, tanquam sancti Spiritus dignitati non consulentes, cum ex his pateat, de ea multo magis anxios ac sollicitos nos esse, quam Græcos. At qui *causam* recipiunt, *concausam* etiam, ut hic Leo loquitur, videntur posse recipere. Nunquam tamen Patres συναίτιον dixerunt Filium, tum quod minus congruat, ubi causa est una, tum quod Pater causa sit προκαταρκτική, *primaria*, *primigenia*, *originalis*. Quod esse accipiant a Patre Filius, et Spiritus, Catholici Græci dicunt, sed Filius γεννητῶς, Spiritus ἐκπορευτῶς.

(16) *Si enim Spiritus*. Fallaces istæ illationes in mendaci supposito nituntur, nota septima jam everso et disjecto.

(17) *Rursus si æquipotens*. Arguit: Eadem Spiritus virtute potentiaque pollet ac Filius, ergo si Spiritum Filius emittit, et Spiritus Filium emittet. At ego similiter arguam: Æquipotentes sunt Pater et Filius; ergo si Pater Filium generat, et Filius Patrem. Ridiculæ ratiocinationes: nempe generaD tio, spiratio, productio, non potentiæ sunt opera, sed personalium proprietatum.

(18) *Cur autem hoc*. Errores cumulat auctor hoc loco. Nec Spiritus enim, nec Filius sunt a se, sed a Patre.

(19) *Deinde Spiritus*. At Pater Filiusque, si eos ut sancti Spiritus principium consideres, unum sunt; unus siquidem spiritus, et una spiratio. Quæ sequuntur, jam diluta sunt. In generatione Filii nullus Spiritui sancto locus, cum exeat a personali proprietate Patris, quia Spiritus Filium supponit, cum sit Spiritus non Patris tantum, sed et Filii: Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ. Galat. IV, 6. Quid clarius?

(20) *Rursus si major*. Quoad essentiam et naturam Spiritus Filio est æqualis, ordine et origine minor: at sicut duas habere causas non consequitur, ita nec duos habere majores. Cætera satis refutata sunt.

Ἀλλ' ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα, καὶ ποῦ τὸ A τῆς μοναρχίας εὐσεβές; πῶς δὲ οὐ πολυαρχία χώραν λάβοι; τί γὰρ κωλύσοι κατὰ τοῦτον τὸν λόγον, καὶ τὸ Πνεῦμα ἑτέρου αἴτιον εἶναι, καὶ ἐκεῖνο πάλιν ἑτέρου: καὶ οὕτω πάλιν τὸ πολύαρχον ἀναχύψει. Ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεται, καὶ πῶς ὁ τὸν Πατέρα γινώσκων, καθὼς ἐκεῖνος τὸν Υἱὸν γινώσκει, *Τὸ Πνεῦμα τῆς ἀληθείας*, φησὶν, *ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται;* Ἀλλ' ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα· τὴν αὐτὴν πρόοδον, ἢ τοῦ Πατρὸς ἑτέραν; Ἀλλ' εἰ μὲν τὴν αὐτὴν, τί δεῖ τῆς ἀμφοτέρων προβολῆς, ὑπαρχούσης ταύτης; εἰ δὲ ἑτέραν μὲν Πατρὸς, ἑτέραν δὲ Υἱοῦ, ἀλλὰ τὸ ἑξῆς σιωπάσθω. Τί δέ; τίς μᾶλλον αἴτιος, ὁ Πατὴρ, ἢ ὁ Υἱός; Ἀλλ' εἰ μὲν ὁ Πατὴρ, πῶς τὸ μᾶλλον ἔχων, τοῦ ἥττονος ἐνεδέησεν; εἰ δὲ ὁ Υἱὸς, οὐ μόνον ὡς ἔοικεν τῆς B αἰτίας τοῦ Πνεύματος κοινωνεῖ τῷ Πατρὶ, ἀλλὰ καὶ μόνος αὐτὸς ἀντὶ τοῦ Πατρὸς τοῦ Πνεύματος αἴτιος. Εἶτα εἰ ἐκπορεύεται τοῦ Υἱοῦ τὸ Πνεῦμα, πῶς οὐχ ἐξ ἑαυτοῦ τοῦτο δίδωσιν ὁ Υἱός; καὶ πῶς πάντα λαμβάνει παρὰ τοῦ Πατρός; καὶ τίνα τρόπον οὐ δίδωσι

Ex Patre igitur et ex Filio Spiritus? ubinam unius principii religio? nonne pluralitas principiorum locum inveniet? quid enim hoc modo prohibet, (21) Spiritum quoque alterius causam esse, istumque iterum alterius? ex quo pluralitas principiorum rursus excitatur. Ex Patre, et ex Filio Spiritus procedit? quomodo ergo qui Patrem agnoscit, sicut ille Filium novit, *spiritum veritatis*, inquit, *qui a Patre procedit* (22) [16]? Ex Filio procedit Spiritus? peto, per eamdem ne (23) processionem, an per aliam? si per eamdem, quid indiget processione ab ambobus illa posita? si vero alia est Patris processio, et alia Filii, sileatur, quæso, quod inde consequitur. Quid enim? uter magis causa est, Pater, an Filius? si Pater, quomodo qui major est, minoris indiget? si Filius, jam sequitur, non tantum causam esse simul cum Patre, sed ipsum solum loco Patris Spiritus causam esse. Præterea (24) si a Filio Spiritus procedit, quomodo hoc non dat Filius ex se ipso? et quomodo omnia accipit a Patre? Dices, hoc ex Patre habet, et ab eo accipit tanquam

[16] Joan. x, 15; xv, 26.

NOTÆ.

(21) *Quid enim prohibet.* Hæc est Leonis argumentatio: Si præter Patrem est qui causet, seu producat, non modo producet Filius, sed et Spiritus, et producet iterum, qui a Spiritu producitur. Quid hoc autem est, nisi in principiorum pluralitatem delabi? Ita oppugnanti respondemus: ideo Filium emittere Spiritum, quia virtutem spirativam a Patre habet, Spiritum autem alium Spiritum spirare non posse, quia virtus spirativa in ipso C Spiritu sancto terminum habuit suum: sicuti Filius alium Filium non potest gignere, quia virtus generans in ipso Filio effectum et complementum obtinuit.

(22) *Qui a Patre procedit.* Misere hoc Joannis loco exsultant Photiani, ac si quod Christus hic non exprimit, negaret, et nulla alia, quibus hoc dogma explanaretur, in sacris paginis documenta haberentur. Pro negatione silentium accipiendum non esse is Matthæi locus, quem Leo noster attulit paulo ante, satis ostendit: Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός: *Nemo novit Patrem, nisi Filius.* In eo enim Spiritus sanctus non modo non memoratur, sed videri possit minus circumspectis, a Patris agnitione excludi: quod tamen ipsi Græci nequaquam inferunt; quin ex adverso hac oratione ipsa pro sancti Spiritus notione strenue auctor pugnat.

(23) *Per eamdemne.* Per eamdem procul dubio; nam ad spirationem efficiendam ambo requiruntur. D Ineptissima est instantia subsequens, uter eorum magis sit causa, ubi ex ambobus fit causa una. Mirum est, in quam frivola delabi cogantur, qui hanc hæresim student protegere.

(24) *Præterea.* Iterat jam dicta, et abunde confutata. Filius nihil ex se dat, cum nihil ex se habeat. Spiritus essentiam recipiens vim etiam causæ recipit, sed quam personæ et Trinitatis ratio patitur, nempe erga externa.

Atque hæc tandem argumenta sunt, quæ in hanc quæstionem sapiens ille, uti volunt, imperator magno ingenii conatu collegit: in qua si nominis sui rationem minus videbitur implevisse, non ipsi quidem, sed desperatæ destitutæque omni ratione atque auctoritate causæ imputemus. Subsistant hic, si erunt, qui perlegant, Græci Græciam incolentes, seseque colligentes, agnoscant aliquando, quam inanibus, quam sophisticis captiunculis, et ratiocinationibus primi illi erroris coryphæi, religionis facie ac nomine, cupiditates atque odia prætexentes, eo inclytam gentem adegerint, ut cum religione famam, imperium, aliisque olim traditas jam pene amiserit litteras.

Panagiotes meus Sinopensis, vir ingenio et doctrina præstans, Schismaticis opinionibus præventus apprime, atque intime præoccupatus Venetias appulit. Græcis tunc præerat Tipaldus episcopus, doctus profecto, et catholicorum omnium dogmatum defensor eximius. Is Panagioten inflexit et ad rectam sententiam eduxit; quin acerrimum Latinorum dogmatum propugnatorem reddidit; id vero nequaquam disputando, aut loquendo assecutus est, sed unice Græcos antiquos Patres tradendo, utque eos attente perlegerет jubens, et, quinam præcipue ex eorum libris evolvendi essent, indicans atque ostendens. Dialecticis profecto tricis ita involvi et hoc, et quædam alia dogmata possunt, ut ingenio minus perspicaci præditis vix emergere liceat: verum Scripturæ, et veterum Patrum dilucidis verbis emicat statim rei veritas, atque effulget. Doctiores etiam magnumque nomen inter recentes Græcos consecuti, Bessario, Allatius, Arcudius, Papadopulus consulantur. Vox *Filioque* immerito additio dicitur, cum mera explicatio sit: si rem novam induceret, tunc vere additio dicenda esset. At non desunt inter schismaticos, qui Latinos quarti et quinti sæculi Patres non ut posteriores de S. Spiritus processione locutos esse, contendant. Adeant hi, quæso, adeant saltem S. Augustini, quem ipsi quoque revereri non abnuunt, libros de Trinitate. Reperient in xv. *In illa summa Trinitate, quæ Deus est, intervalla temporum nulla sunt, per quæ possit ostendi, aut saltem requiri; utrum prius de Patre natus sit Filius, et postea de ambobus processerit Spiritus sanctus; quoniam Scriptura sancta Spiritum eum dicit amborum.* Deinde: *De utroque autem procedere sic docetur.* Et paulo post: *Qui potest intelligere sine tempore generationem Filii de Patre, intelligat sine tempore processionem Spiritus sancti de utroque.* Et rursus: *Intelligat, sicut habet Pater in semetipso, ut de illo procedat Spiritus sanctus, sic dedisse Filio, ut de illo procedat idem Spiritus sanctus.* Eadem videbunt in tractatu xcix de Evangelio S. Joannis.

a causa : at quomodo ipse quoque causato pariter a se Spiritui hoc non dat, ut causa sit? ut sicut ipse causandi privilegio gaudet, ita Spiritus hoc honore minime destituatur? Neque enim dicent, hoc Patrem prohibere, cum ex eorum sententia id quoque communicet Pater, quod sibi soli peculiare est.

καὶ αὐτὸς τῷ ἐξ αὐτοῦ αἰτιατῷ τῷ Πνεύματι γίνεσθαι αἰτίῳ, ἵνα ὥσπερ ἐκεῖνος τὸ τοῦ ἰδίου αἰτίου ἔχει προνόμιον, οὕτω καὶ τὸ Πνεῦμα μὴ ἄμοιρον ᾖ τῆς τοιαύτης τιμῆς; Οὐ γὰρ δή γε τὸν Πατέρα κωλύειν ἄν τις εἴπῃ. Πῶς γὰρ ὅγε τὸ μόνον ἴδιον αὐτοῦ κατὰ τὸν ὑμέτερον λόγον κοινοποιησάμενος;

At hæc quidem extra viam, ut dici solet, ad novitatem arguendam. Vos autem melioribus cogitationibus præditi, libertatem ne abjiciatis, et corruptionis servitutem nolite iterum subire, illius imperium, qui in libertatem vos asseruit detrectantes. At repugnant illi. Agant quod ipsis lubet : perversitatem quidem sententiæ suæ tunc intelligent, cum infandæ blasphemiæ rationem reddentes ineluctabilis circumsistet furor. At nos adoptione illustres, et adoptantis cultum probe callentes, tanquam filii Dei, consubstantialem ejus Spiritum veneremur; lumen verum orbem illuminans, rectum et ad rectitudinem salutis in obliquis perditionis viis errantes ducens, bonitatem largiens, beneficia effundens, et fontem sanctitatis incomprehensibilem, quem participantes spirituales intelligentiæ statim sanctificantur : quamvis ob voluntatis malitiam tenebrosus, impurusque evaserit, quia a Hierarchia Cœlesti abscissus est. Cæterum creaturæ reliquæ pulchritudinis ejus, et sanctitatis communicatione decorantur. Hinc enim est, ut omnia valde bona sint, et vocentur, a Patre quidem per Filium creata, communicatione autem sancti Spiritus ad perfectionem erecta [17]. Quæ etiam si superveniens peccatum fœdaverit, denuo a Spiritu sancto ornata, meliori quam antea conditione renovata sunt : prius enim corruptioni fuerunt obnoxia, nunc vero superiori conditione gaudent.

Ταῦτα μὲν ὁδοῦ, φασὶ, πάρεργον εἰς ἔλεγχον τῆς νεωτεροποιίας. Ὑμεῖς δὲ τῶν ἀμεινόνων γενόμενοι λογισμῶν, μὴ τὴν ἐλευθερίαν ἀποδύεσθε, μηδὲ πρὸς τὴν δουλείαν τῆς φθορᾶς ἐλεεινῶς ὑποστρέφετε, οἷς ἔξαρνοι γίνεσθε τῆς δεσποτείας τοῦ δεσποτικῶς ἐλευθεροῦντος. Ἀλλ' οὐ βούλονται· ἐχέτωσαν ὡς προτιμῶσιν· οἱ μὲν εἴσονται τῶν ἐπινοιῶν τὴν δεινότητα, ἐπειδὰν αὐτοὺς τὰ ἀναπόδραστα δεινὰ περιστῇ, λόγον ὑπέχοντας τῆς εἰς τὸ Πνεῦμα ἀσυγχωρήτου βλασφημίας· οἱ δὲ τῇ υἱοθεσίᾳ καλῶς διαπρέποντες, ἐν τῷ καλῶς τὴν τιμὴν εἰδέναι τοῦ υἱοθετήσαντος, οἷα δὴ τέκνα Θεοῦ, τὸ συμφυὲς αὐτοῦ Πνεῦμα θειάζωμεν, τὸ ἀληθινὸν φῶς, τὸ φωτίσαν τὰ πέρατα, τὸ εὐθὲς καὶ πρὸς εὐθύτητα σωτηρίας καθοδηγῆσαν τοὺς πλανωμένους ἐν τρίβοις σκολιαῖς ἀπωλείας, τὸ βρύον τὴν ἀγαθότητα, καὶ τοῖς μετασχοῦσι τὸ ἀγαθύνεσθαι χαριζόμενον, τὴν ἀκατάληπτον πηγὴν τῆς ἁγιότητος, οὗ μεταλαβοῦσαι τοῦ ἁγιασμοῦ ἁγιάζονται μὲν ἄρτι παριοῦσαι πρὸς γένεσιν αἱ νοεραὶ δυνάμεις· εἰ καὶ διὰ σκαιότητα προαιρέσεως ὁ τῆς ἁγίας καὶ φωτοειδοῦς ἀπεῤῥαγὼς τάξεως, βέβηλός τε ἅμα καὶ σκότος ἐγένετο· καλλωπίζεται δὲ τὰ μεταλήψει τῆς καλλονῆς τοῦ ἁγιασμοῦ τὰ λοιπὰ σύνδουλα κτίσματα· οὕτω γὰρ ἅπαντα λίαν καλά ἐστι τε καὶ εἴρηται, δημιουργηθέντα μὲν παρὰ Πατρὸς δι' Υἱοῦ, τελειουργηθέντα δὲ τῇ ἁγίᾳ τοῦ Πνεύματος μεταδόσει. Ἃ καὶ διὰ τὴν ἐπεισελθοῦσαν ἁμαρτίαν ἀπρεπῆ τῇ φθορᾷ γεγονότα, πάλιν ὑπὸ τοῦ ἀγαθοῦ Πνεύματος κατακοσμεῖται ἀμείνονι καταστάσει τῆς προτέρας ἀνακαινιζόμενα· εἴγε μετ' ἐκείνην μὲν συνετρίβη, μετὰ δὲ ταύτης ἀνώτερα συντριβῆς τὰ ἔργα.

Intelligis, inter servos computandum Spiritum non esse, per quem ad præstantiorem anteriori statum homo eductus est. Non enim amplius a corruptione metuendum, quam incorruptione per Spiritum sanctum inducta profligavit Verbum, et abolevit : idemque ob tantam victoriam paterno throno, a quo nunquam divulsus fuerat, insidens, consocium Paraclitum misit; per quem cum ejus gloria pateficret, tum ad suam creatura manuduceretur : pariterque ut disjectis jam a splendore Patris impietatis tenebris, a consubstantiali quoque, et illuminante Spiritu obscuri illustrarentur [18]. Venit ergo in linguis igneis corporali simul specie, et divina : hac quidem ut divinitatem ostenderet, *Deus* enim *noster ignis consumens est* [19]; illa vero, ut congenito Verbo rem congeneam ageret, corporaliter apparens, postquam ab eo corpus assumptum fuerat. In linguis venit, apto futuris rebus ænigmate; ut antea in Christi baptismate sub specie columbæ apparuit, diluvii peccatorum finem

Ὁρᾷς ὅπως οὐ δοῦλον τὸ Πνεῦμα, τὸ τὴν κτίσιν εὐπρεπεστέραν ποιῆσαν, ἧς μετειλήχει πρότερον καταστάσεως. Οὐ γὰρ ἔτι φθορὰ κατὰ ταύτης χωρεῖ, τῷ ἀναιρέτῃ Λόγῳ προσομιλήσασα καὶ καταποθεῖσα, καὶ δι' αὐτοῦ ἐν ἁγίῳ Πνεύματι ἀφθαρσίας ἐγκαινισθείσης. Ὡς ἐπὶ τροπαίῳ τοσούτῳ πρὸς τὸν οὐ μὴ διέστη θρόνον πατρῷον καθίσας, καὶ σύνθρονον Παράκλητον ἐξαπέστειλεν, ἅμα μὲν τὴν ἐκείνου δόξαν τρανῶσαν, ἅμα δὲ καὶ πρὸς τὴν οἰκείαν τὸ πλάσμα χειραγωγῆσαν, καὶ ἵνα ἐν τῷ τοῦ Πατρὸς ἀπαυγάσματι τῆς σκοτομήνης τῆς ἀσεβείας ἐκκεχωρηκυίας, ἤδη καὶ ἐν τῷ ὁμοουσίῳ αὐτοῦ φωτιστικῷ Πνεύματι καταυγασθῶσιν οἱ ἀλαμπεῖς. Φοιτᾷ δὲ ἐν γλώσσαις πυρίναις σωματικῶς ὁμοῦ καὶ θεϊκῶς, τῷ μὲν, ἵνα τὴν θειότητα γνωρίσῃ· *Πῦρ γὰρ ὁ Θεὸς ἡμῶν καταναλίσκον*· τῷ δὲ τῷ συγγενεῖ Λόγῳ πρᾶγμα τελῶν συγγενὲς, καὶ ποιούμενον τὴν παρουσίαν ἐν σώματι, ὥσπερ ἐκεῖνος ὤφθη μετὰ σώματος. Ἐν γλώσσαις δὲ ἐν οἰκείῳ τῶν ἐσομένων πραγμάτων αἰνίγματι· ὥσπερ πρότερον ἐν τῷ βαπτίσματι περι-

[17] Gen. I, 31. [18] Hebr. I, 3. [19] Hebr. XII, 29.

στερᾶς ὠπτάνετο εἴδει τὴν λῆξιν τῆς ἁμαρτίας A κατακλυσμοῦ ἀπαγγέλλοντι, εἰ καὶ ταύτῃ πρὸς τὸν θεῖον Λόγον τῶν τελουμένων ἀναφέρεται ἡ αἰτία, δεικνύντος τοῦ φανέντος εἴδους. Ὅτι τοῦ Λόγου ἔργον ἡ τοῦ Πνεύματος κάθοδος. Τάχα δὲ καὶ ἵνα τοῖς μαθηταῖς τὴν τῶν ἐπηγγελμένων ἐκπλήρωσιν ποιήσῃ, ὡς συμπαρὼν ὁ Λόγος ποιῶν ὁρῷτο. Καὶ διδοὺς αὐτοῖς ὥσπερ τὸ πρότερον συμπαρὼν ἐδίδου τὸ Πνεῦμα, ἄλλοτε μὲν ῥήματι μόνῳ, ἄλλοτε δὲ ἐμφυσῶν τὸ δώρημα, αἰνιγματιζομένης τῆς οὐχ ὁρωμένης αὐτοῖς παρουσίας τοῦ Διδασκάλου, δι' ὧν ἐν γλωσσῶν σημείῳ τῆς θείας ἐπληροῦντο δυνάμεως. Καὶ μηδεὶς ἐπιδραμείτω δυσσεβὴς καὶ ἀνόητος, καὶ ὡς θηράματι τοῖς εἰρημένοις ἀνασοβείσθω, μηδὲ ὀργανικήν τινα χρείαν πληροῦν ὁριζέτω τὸ Πνεῦμα, ἐκ τῆς ἐν ἡμῖν τοῦ B λόγου καὶ τῆς γλώσσης σφαλλόμενος διοικήσεως. Ἢ οὕτω γ' ἂν οὐ μετὰ τῶν κτισμάτων τάξῃ τὸ Πνεῦμα, ἀλλὰ καὶ μετὰ τῶν σωμάτων· καὶ προσέτι ἄνω καὶ κάτω φύρειν τὸ πᾶν τῆς εὐσεβείας ἀπονενοήσεται. Τί δ' ἡ βιαία πνοὴ, ἢ τὴν σωστικὴν ταραχὴν τῶν ἐν τῇ θαλάσσῃ τῆς ἀθεΐας πλωϊζομένων κατσμηνύει, καλῶς ταραττομένων, καὶ πρὸς τὸν σωτηριώδη τῆς θεογνωσίας λιμένα καταγομένων ὑπὸ τῶν ἐπιστημόνων κυβερνητῶν, οἷς ἐφιδρυόμενον δωρεῖται τὴν ἐπιστήμην;

nuntiantis. Ita vero in divinum Verbum harum rerum causa refertur; ea forma connotante, Verbi opus esse sancti Spiritus descensum [20]. Fortasse etiam, quæ discipulis promiserat, mens fuit perficere; ac sicut cum ipsis degens Spiritum eis impertierat, modo verbo tantum, modo etiam inspiratione, ita nunc præstat, occultata Magistri præsentia, ob quam sub linguarum figura divina virtute replentur. Nec impius aliquis occurrat, aut demens, qui conturbetur ex dictis, et errore ab usu linguæ, et loquelæ nostræ desumpto, organicum officium quoddam Spiritum perficere opinetur: nam hoc modo non inter creaturas tantum, sed et inter corpora Spiritum collocaret, atque insuper pietatem, ac religionem omnem susdeque verteret. Quid enim aliud vehemens spiritus indicat, quam salutarem illorum turbationem, qui in incredulitatis pelago navigant, et a sapientibus nautis, quibus insidens scientiam largitur, in portum cognitionis Dei perducuntur?

Τί λέγεις, ὦ τῶν θαυμασίων συκοφάντα, καὶ τῇ ἀπονοίᾳ ἐκ μέθης δημιουργῶν τὰ παράδοξα; χλεύην ποιῇ τὰ ὑπερφυῆ; καὶ τοὺς ἐμφορηθέντας τοῦ Πνεύματος ἐκ τῆς σῆς εὐθηνούσης ἀναισθησίας τὸ γλεύκος προφέρων μεθύσκεις; ὡς λίαν σὺ νηφαλίως C ἔχεις, ὃς ἐφ' οἷς ὁρᾷς τὴν πρότερον σοὶ μόνῳ παροῦσαν χάριν τοῦ Πνεύματος ἐπὶ πᾶσαν χορηγουμένην σάρκα, μὴ τρόπον περιβολῆς ταύτης περιεχόμενος, μηδὲ μετανοίᾳ τὴν προλαβοῦσαν θεομαχίαν διδοὺς, ἵνα μὴ θείων δωρεῶν πλουτούντων ἑτέρων, οἳ μέχρι νῦν πένητες καθεστήκεσαν, σὺ ὁ πάλαι ταύταις πλουτῶν, ἔρημος καταληφθείης καὶ ἄπορος. Ἤδη γάρ σοι πρὸς ἀνάῤῥουν χωρεῖ τὰ πρώην καλὰ, καὶ σοῦ πᾶσα μὲν ἐκδημεῖ δωρεὰ, πᾶν δ' ἀφαιρεῖται τίμιον, ἀντὶ δὲ τῆς πρότερον περιουσίας τῶν θείων ἐσχάτη σε περιστοιχιεῖ ἀπορία. Εἰς τοῦτο γάρ σε φέρει ὃν ἐξ ἀρχῆς οὐ λήγεις φθόνον ἐγκυμονῶν, καὶ κατὰ τῆς σῆς διεξοιδῶν σωτηρίας· ὑφ' οὗ καὶ νῦν στενοχωρούμενος, καὶ ῥῆξαι πάλιν τὴν συνήθη τῆς θεομαχίας ὠδῖνα βιαζόμενος, προάγγελον τῆς τῶν παλαμναίων D χειρῶν ἐπιχειρήσεως, τὴν τῶν δυσσεβῶν χειλέων λοιδορίαν προπέμπεις, ἀλλὰ κατὰ σεαυτοῦ παρατάξῃ. Οὐ γὰρ ἔτι τοὺς τοῦ Εὐαγγελίου φοβήσεις προμάχους, οὐδὲ τῆς σῆς ἀπονοίας ὄψει λόγον ποιουμένους, ἀλλὰ τῆς ἀρτίως κατελθούσης ἐπ' αὐτοὺς πυρίνης δυνάμεως ὑποπλησθέντες, καὶ νηπίων ἀγῶνα τὸν σὸν ἀγῶνα ποιούμενοι, καταπρήσουσι μὲν ἐπιπλέον σε πυρπολούμενον τῇ μανίᾳ, τῆς δ' εὐσεβείας τὸ φέγγος ἁπανταχῇ ἀναλάμψουσι. Γλεύκους εἰσὶ μεμεστωμένοι; Πυνθάνου τῶν ἐκ στόματος ἐκείνων τῇ διδασκαλίᾳ σωφρονιζομένων, οἳ καθάπερ ἡδίστῳ ῥέοντι νάματι τῷ ἐκεῖθεν δροσίζονται πόματι· καὶ νῦν μὲν οὓς ὁρᾷς δήμους ἀρύονται, μικρὸν δ' ὕστερον ὄψει

Quid loqueris, o calumniator miraculorum Dei, incredibilia ebrietati præ amentia tribuens? risum excitant, quæ naturam superant? et Spiritu sancto repletis mustum insensate exprobras [21], et ebrios facis? An quidem sobrie te habes, qui cum videas Spiritus gratiam tibi soli olim datam in omnem gentem diffundi, mysterium non intelligis, nec pœnitentia deicidium redimis; ne, cœlesti munere ditatis cæteris, qui usque in hoc tempus inopia premebantur, tu solus, qui olim eo fruebaris, ad egestatem damneris atque ad orbitatem? Tibi jam præpostere procedunt omnia; aufertur honor, dona evanescunt, et pro anteriori rerum divinarum affluentia extrema pauperies te circumsistit. Ad hoc te adegit, qua prægnans semper fuisti, ac etiamnum es, invidia, vel in tuam ipsam salutem insurgens. Ab ea nunc quoque excruciatus, et perpetuam deicidii synderesim novis sceleribus abrumpere cupiens, prænuntias homicidarum manuum scelestæ vocis contumelias emittis. At in te ipsum aciem instruis: non enim in posterum Evangelium propugnantes deterrebis, sed dementiam tuam floccifacientes, et ignea virtute super ipsos collapsa repleti, impetum tuum tanquam puerorum certamen despicient, fideique lumen ubique diffundentes, te rabie jam percitum et incensum, vehementius adurent. Ergone vino saturati sunt? eos percontare, qui ab eorum doctrina, tanquam a perenni rivo irrorati, jam resipuerunt. Et nunc quidem, quam cernis, turbam expiscantur; brevi vero inundabitur universus orbis, verborumque fluctibus submergetur impietas. Talia præstat ad hominum emendationem ebrietas hæc. O Deo inimicam amen-

[20] Act. II, 2. [21] ibid. 31.

tiam resipiscere nolentem, nec quiescere, ac Salvatorem nostrum agnoscere!

A τῆς βλύσεως πληρούμενα πάντα τὰ πέρατα, κατακλυζομένης τῆς δυσσεβείας τοῖς λογικοῖς χεύμασι· τοσαῦτα ἡ παροῦσα ἐπὶ σωφρονισμῷ τοῦ πλάσματος μέθη. Ὢ τῆς θεομάχου μέθης οὐ βουλομένης λῆξαι, οὐδ' ἀνανῆψαι, ὥστε ἐπιγνῶναι τὸν ἐληλυθότα σῶσαι Δεσπότην!

Verum eos, qui ob invidiam sensus amiserunt, atque ex eo prodigiorum horum intelligentia destituuntur, stupiditate sua perire sinamus. Nos vero a Spiritu sancto vivificati, sancteque immutati, cum recto sermone, tum piis gestis honorem illum, quo gaudet maxime, Deo exhibeamus. Mortuis affectuum operibus vacui simus; vivificam virtutum efficaciam operantem reddamus; fœdam peccati faciem rejiciamus, divinam pulchritudinem assumamus. Abstulit Unigenitus intermedium inimicitiarum parietem; Deus Pater pacem iniit, Paraclitus nos adoptans suos fecit; tuta nobis et firma fiat hæc affinitas. Qui autem fiet? adoptantis bonitatem æmulando. Filios esse testemur moribus; invicem agamus, ut benignus Pater nobiscum egit; humanitatem exhibeamus, qui tantam humanitatem invenimus; ne crudeliter viscera exasperes, qui non misericordia tantum, qua indigebas, dignus es factus, sed Filii fiducia a clementi Domino recepta limites omnes excessisti. Noli superbia efferri, qui summo loco sedes, præstasque cæteris, nec majori debito obstrictus, cum plus acceperis, pro beneficio, quo devinctus es, injuriam rependas. Illum sequere, qui ut abjectum te ac depressum extolleret, ab immensa altitudine se demisit. Opes illas, quæ beneficiis afficiendi cæteros debitum tibi creant, noli in eorum contumeliam convertere. Jesu misericordiam imitare, *qui non rapinam arbitratus est, esse se æqualem Deo, sed semetipsum exinanivit* [22], ut te misericordem faceret. Eorum, quæ nobis debentur, exactores ne simus inexorabiles. Ideo enim plurima remittuntur nobis, ne ab aliis nimia severitate exigamus. Dominum bonum æmulemur, non servum malum, qui domini erga se clementiam non imitatus, nec eam erga conservum adhibens, pium dominum severum fecit, et postquam quæ sibi debebantur, aspere exegerat, omnia quæ debebat, et ab ipso exacta sunt. Exemplum malum ne sequamur, ab eo periculo nobis caventes. *Dimittite*, inquit enim, qui sanguine suo nobis gratiam fecit, *et dimittemini, et estote misericordes, sicut et Pater vester cœlestis misericors est* [23]. Pauperem pasce propter eum, qui, ut te pasceret, esurivit; nudum indue; eorum te misereat, qui ab eadem manu, sed non eadem conditione, creati sunt: quo minus aliorum indiges miseratione (si tamen quisquam est, qui in hoc vitæ mari tam feliciter naviget) eo magis in alios miserationem exerce. Imaginem tibi parem ne despicias abjectam, aut negligas. Ille siquidem Dei imaginem similiter præsefert, quamvis tu magnifice in thalamis degas, ille vero sub dio; quin pulchriorem fortasse et archetypo similiorem, ut nudus Lazarus,

Ἀλλὰ γὰρ οἱ τὰς αἰσθήσεις τοῦ φθόνου τῷ πάθει νενεκρωμένοι, καὶ διὰ τοῦτο τῶν τελουμένων θαυμασίων ἀφῃρημένοι τὴν σύνεσιν, ἐῤῥέτωσαν μετὰ τῆς οἰκείας ἀναισθησίας ἀφείσθωσαν. Ἡμεῖς δὲ τῷ παναγίῳ ζωοποιηθέντες Πνεύματι, ἱερῶς ἀλλοιωθέντες, ὥσπερ λόγοις θεοπρεπέσι, οὕτω καὶ θείαις πράξεσι τὴν τιμὴν ἐκπληρῶμεν αὐτῷ, ᾗ διαφερόντως χαίρει τιμώμενος ὁ Θεός· σχολάσωμεν ἀπὸ τῶν νεκρῶν τῶν παθῶν ἔργων. Ἔμπρακτον τὴν ζωοποιὸν ἐνέργειαν τῶν ἀρετῶν σχῶμεν. Ἀμείψωμεν τὴν ἀσχήμονα τῆς B ἁμαρτίας μορφήν· μορφωθῶμεν τὴν θεοειδῆ καλλονήν. Ἔλυσε τῆς ἔχθρας τὸ μεσότοιχον ὁ Μονογενὴς μεσιτεύσας. Κατήλλακται ὁ Θεὸς καὶ Πατήρ. Προσῳκείωσεν υἱοθετῶν ὁ Παράκλητος. Γενέσθω ἡμῖν ἀσφαλὴς ἡ οἰκείωσις. Πῶς οὖν γενήσεται; Μιμησώμεθα τὴν τοῦ πεποιηκότος οἰκείους χρηστότητα. Μὴ ψευσώμεθα τὴν υἱότητα διὰ τῆς τῶν τρόπων μορφώσεως. Ἐκεῖνα πρὸς ἀλλήλους ποιῶμεν, ἃ πρὸς ἡμᾶς ὁ οἰκτίρμων Πατὴρ ἐπεδείξατο. Μεταδῶμεν φιλανθρωπίας οἱ πολλῆς τυχόντες φιλανθρωπίας· μὴ κλείσῃς ἀσυμπαθῶς τὰ σπλάγχνα ὁ μὴ μόνον συμπαθείας ἧς ἐχρῄζες ἠξιωμένος, ἀλλὰ καὶ ἐπέκεινα τετυχηκὼς συμπαθείας ἐν τῷ παῤῥησίαν Υἱοῦ πρὸς φιλάνθρωπον Δεσπότην λαβεῖν· μὴ κατεπαρθῇς ὁ τιμὴν τῶν ἄλλων ὑπερτέραν λαβών. Μηδ' C ὀφείλων οἷς παρὰ Θεοῦ πλέον εἴληφας πλέον αἰδεῖσθαι, σὺ δὲ διότι μᾶλλον εὐεργεσίας τετύχηκας, διὰ τοῦτο ἐξυβρίζεις. Μίμησαι τὸν ἐξ ἀπείρου ὕψους καταβεβηκότα, ἵνα τὴν σὴν ἀδοξίαν τιμήσῃ· μὴ τὴν ἐφ' ᾧ περιέπειν ᾖ σοι τοὺς ἀσθενεστέρους ὑπόθεσιν, ἀφορμὴν ποιήσῃ τοῦ κατ' ἐκείνων προπηλακισμοῦ· μίμησαι τὸ Ἰησοῦ συμπαθές, *Ὃς οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ, ἐκένωσεν ἑαυτὸν*, ἵνα σοι μεταδῷ συμπαθείας. Μὴ τῶν εἰς ἡμᾶς χρεῶν ἀπαραίτητοι γενώμεθα λογισταί, οἱ ἀπείρων ὅσων ἀφειμένοι, ἵνα μὴ ἀπαραιτήτως ἃ κεχρεωστήκαμεν εἰσπραχθῶμεν. Τὸν ἀγαθὸν δεσπότην, ἀλλὰ μὴ τὸν πονηρὸν δοῦλον ζηλώσωμεν· ὃς τὴν πρὸς αὐτὸν τοῦ δεσπότου γνώμην οὐ μιμησάμενος ἐν τῇ πρὸς τὸν D σύνδουλον συμπαθείᾳ, τὸν ἵλεων αὐστηρὸν ὀφθῆναι ἐποίησε· καὶ ἐπεὶ ἀπαραίτητον ἐποιεῖτο τὴν εἴσπραξιν τῶν ὀφειλομένων αὐτῷ, πᾶσαν καὶ αὐτὸς εἰσεπράχθη τὴν ὀφειλήν. Μὴ μιμήσωμεν τὸ πονηρὸν ὑπόδειγμα, ἵνα μὴ εἰς ἀνάγκην ὁμοίας καταστῶμεν εἰσπράξεως. *Ἄφετε* γάρ, φησὶν ὁ χαρισάμενος ἡμῖν ἐν τῷ αὐτοῦ αἵματι, *καὶ ἀφεθήσεται ὑμῖν· καὶ γίνεσθε οἰκτίρμονες ὥσπερ καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί*. Θρέψον πένητα διὰ τὸν ἵνα σε θρέψῃ πεινήσαντα. Περίβαλε γυμνόν· συμπάθησον ἐφ' οἷς ὁρᾷς τὸν ὁμοίως σοὶ τῇ αὐτῇ δημιουργηθέντα παλάμῃ οὐχ ὁμοίως ἀνέσεως ἀπολαύοντα. Μᾶλλον δὲ ὅσον αὐτὸς οὐ χρῄζεις ἑτέρων συμπαθείας, εἴ γέ τις οὕτως εὐπλοῆσαι τεθάῤῥηκε

[22] Phil. II 6. [23] Luc. VI, 37.

τοῦ βίου τῇ ἅλμῃ, τοσοῦτον συμπαθείας ἑτέροις A μετάδος· μὴ παρίδῃς, μηδὲ καταφρονήσῃς τῆς σοι ὁμοτίμου ἐῤῥιμμένης εἰκόνος. Εἰκὼν ἐστι καὶ οὗτός σοι παραπλησίως Θεοῦ, εἰ καὶ ὁ μὲν ἐν ὑπαίθρῳ ἔῤῥιπται, σὺ δὲ ἐν θαλάμοις πολυωρεῖ. Καὶ ἴσως γε ὁμοιότερον τὸ τοῦ ἀρχετύπου κάλλος ἔχουσα. Καὶ τοῦ λόγου μαρτύριον ὁ γυμνὸς Λάζαρος, καὶ ὁ τὴν βύσσον ἐνδεδυσκόμενος. Οὕτω διασωσώμεθα τὴν πρὸς τὸν Πατέρα οἰκειότητα. Τοιούτοις χαρακτῆρσι διαμορφώσαντες ἑαυτοὺς, μὴ ψευσώμεθα τὴν υἱότητα· Οὕτω τοὺς ἀδελφοὺς ἡμᾶς προσλαβόμενον καὶ ἀποκαταλλάξαντα Υἱὸν θεραπεύσωμεν· οὕτω τὸν κεχομικότα τῆς καταλλαγῆς τὸ ἐχέγγυον Παράκλητον τιμήσωμεν, τῇ ἑαυτῶν τιμῇ καὶ θεραπείᾳ καὶ σωτηρίᾳ, δι' ἣν ἅπαντα οἰκονομεῖται καὶ πράττεται.

et qui bysso amiciebatur, testantur. Ita nos ipsos conformantes, affinitatem cum Patre servemus, nec a filiorum dignitate deficiamus unquam. Reconciliatori Filio, et nos tanquam fratres excipienti, tunc, ut par est, famulabimur: tunc Paraclitum reconciliationis pignus deferentem colemus, non sine honore nostro, ac salute, propter quam omnia peracta sunt.

Ἀλλ', ὦ σύνθρονε τῷ Πατρὶ καὶ τῷ Λόγῳ Παράκλητε, τοσοῦτον μὲν τὴν σὴν ἐπιδημίαν τιμῶν ὁ λόγος ἐχέτω. Σὺ δ' ἡμῖν τῷ σῷ ἡγεμονικῷ τὸν ἡγεμόνα νοῦν στηρίζοις, μηδὲ τὴν ὑπὸ σοῦ ἀπεληλαμένην σκοτόμαιναν ἐφῇς αὐτοῦ καταχεῖσθαι, μηδὲ τὴν B ἐνέργειαν σφάλλειν ἐν παντὶ μὲν κατὰ τὸν βίον ἐπιχειρήματι, μάλιστα δὲ ἐν τῇ κυβερνήσει τῆς κοσμικῆς ὁλκάδος, ἣν ἡμῖν ἐνεχείρισας. Ὦ νοῦ, καὶ σοφία, καὶ Πνεῦμα πανάγιον, ἡ μία φύσις, ἡ ἄτμητος βασιλεία, ἧς τὸ κράτος αἰώνιον, δίδου πρὸς τὸν ὄγκον τῶν ἐγχειρισθέντων καὶ τῶν ἐπινοιῶν τὴν ἀντίληψιν, ἄγων σὺν ἡμῖν καὶ διέπων ὧν τὴν ἐπιστασίαν ἐπέτρεψας, ἵνα δεξιῶς ὑφ' ἡμῶν ὁ σὸς περιούσιος λαὸς ἐπιτροπευόμενος, καὶ τῶν ἐνταῦθα συμπιπτόντων σκαιῶν μὴ πειρῶν τῶν πραγμάτων, καὶ τῆς ἐκεῖθεν μετάσχοι τῶν δεξιῶν ἀπολαύσεως, ἧς ἀπολαύσαιμεν ἅπαντες τῇ σῇ χάριτι καὶ χρηστότητι, κἀκεῖ τὴν σὴν δοξάζοντες θεαρχίαν εἰς τοὺς αἰῶνας.

Atque hæc, o consubstantialis Patri et Filio Paraclite, in adventus tui honorem dicta sint. Tu autem intellectum nostrum ductu tuo rege, et confirma; tenebris a te olim disjectis illum circumfundi nunquam permittas, nec in iis, quæ in dies agit, aberrare; præcipue vero in mundanæ navis, quam nobis commisisti, regimine. O mens, o sapientia, o sancte Spiritus, natura una, regnum indivisibile, cujus potentia indeficiens est, mentis vim largire pro rerum mole, eosque, quorum nobis curam tradidisti, nobiscum rege; ut populus tuus per nos directus cum adversa, quæ hic eveniunt, declinet, tum ad cœlestem felicitatem perveniat, quam utinam consequamur omnes gratia et benignitate tua, ut illic supremam divinitatem tuam laudibus perenniter cumulemus.

C

ΛΟΓΟΣ ΙΔ'.

Ὁμιλία εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· ὅτε ἀπὸ τῶν ἐπιγείων καὶ ἐπικήρων, ἐν ταῖς φαεινοτάταις καὶ ἀκηράτοις λήξεσι τῶν οὐρανῶν μετέστη. Μηνὸς Αὐγούστου ιε'.

ORATIO XIV.

Homilia in sacrosanctæ Deiparæ, semperque virginis Mariæ obdormitionem: quando e terrenis caducisque, in illustrissimas et immortales cœlorum sedes translata est. Augusti mensis 15.

(COMBEF. *Auctar.* col. 1734.)

Μητρὸς Θεοῦ ἑορτὴν τιμῶμεν. Ποία γλῶσσα τὴν τιμὴν ἐξισώσει, πρὸς τὴν ἀξίαν οὐκ ἐνδέουσα τῆς εὐφημουμένης; Δεσποτικὴ καὶ νῦν ἐκτελεῖται πανήγυρις· ἡ γὰρ πάντων δεσπόζουσα χορηγεῖ τὴν ὑπόθεσιν. Τίς λόγος τῷ μεγέθει ταύτης συνεκταθήσεται; Εἰ γὰρ καὶ ἐπ' ἄλλων, δι' ἀρετὴν εὐδοκίμων, ὧν ἡ ἀξία, τοσοῦτον ἔχει τὸ ἔλαττον, ὅσον εἰκὸς Δεσπότου ἠλαττῶσθαι δοῦλον, ὅμως ἡ τοῦ λόγου εὐφημία κατόπιν ἔρχεται, τί χρὴ τοῦτον παθεῖν, τῇ τῶν ἀρετῶν D ἀκρότητι προσιόντα; Πλὴν εἰ καὶ μὴ ἐλπὶς, ὅσον ἄξιον, ὑπηχῆσαι, ἀλλ' ἡμεῖς γε παρέχομεν ἑαυτοὺς εἰς τιμὴν, τῆς δι' ἣν ἑορτάζειν ἠξιώμεθα λελυτρωμένοι τῆς ἀνεόρτου κατηφείας καὶ σκυθρωπότητος· παρέξει δὲ τὸν λόγον, ὁποῖον καὶ ἡλίκον ἂν βούληται, ὁ χρηματίσαι ταύτης Υἱὸς εὐδοκήσας Λόγος. Ἀλλὰ τί τὸ τελούμενον; Τί δὲ πανηγυρίζομεν;

Dei Matris festum diem honoramus. At quæ qualisve lingua, illius quæ celebratur honorem, pro ipsius dignitate ac meritis exæquabit? Et vero jam quoque Dominica dies, ac solemnitas agitur. Quæ etenim omnium Domina est, in præsenti argumentum suppeditat. Quænam oratio sua magnitudine ac granditate illius par erit magnitudini ac granditati? Etenim si in aliis ob virtutem illustribus, probatisque personis, quorum dignitas et præstantia tanto est minor, quanto servus Domino est inferior; quid ei necessum est evenire, qui ad omnium virtutum culmen accedit? Cæterum licet dignitatis tantæ dicendo adæquandæ, nulla spes suppetat, nihilominus ejus nos honori decantando impendamus, cujus beneficio hunc festum diem obimus, liberati a non festa, nihilque jucunditatis habente, tristitia. Præbebit vero, suggeretque orationem, qualem quantamque voluerit, Verbum, cui placuit, ac visum est ut ejus Filius esset. At, quæ est festi hujus celebritas? Quid conventu hoc publice celebramus?

Ἡ πρώην ἐκδημοῦσα τῶν ὅρων τῆς φύσεως ἐν τῷ κρεῖττον ἢ κατὰ βούλημα κύειν τῆς φύσεως, νῦν καθὼς ὁ ἐκείνης βούλεται νόμος, τῆς ἐνύλου ζωῆς, ἐκδημεῖ πρὸς τὴν ἄϋλον. Τῆς μόνης κεχαριτωμένης,

Quæ pridem naturæ terminos meliori quam pro naturæ ratione conceptu excessisset, nunc quemadmodum naturæ ejusdem lex exigit, a materiali ac mortali in corpore vita ad immaterialem ac statu

immortali proficiscitur. Ilius ad perpetuum gaudium transitum celebramus, quæ sola gratia plena exsistit. Carne itaque, quoad fieri potest, excedentes, ac spiritu immutati, cum gloria excessum prædicemus, digneque iis quæ peraguntur compositos animos ostendamus. Universi fines terræ in gaudio jubilent, ut exsultatio jubilationis sit propria. Cœlum gaudii sit particeps, splendidiori collustratam flore ; portasque ad cœli honoratioris susceptionem pandens. Cœlestes omnes ordines laudibus prosequantur. Gabriel, laudationis auspex accedat ; quippe qui præ angelis aliis, immaculatis illibatisque, connubiis subservire soleat. Auspicatur vero, gaudii ultro verba inclamans, quod Matrem Domini introduci videant in Filii regiam. Etenim Dei illud capax tabernaculum, ab iis tabernaculis emigrans, quæ dissolvuntur ac intereunt, ad ea quæ manent, atque consistunt transfertur ; fluxamque ac labilem vitam, nihil fluxa ac labili commutat. E terris ad cœlos transvehitur, quæ mortalibus facta est scala, qua ad cœlos ascendant. O miraculum ! cùm tristi morte commercium habet, qui tremendi cum ea commercii liberationem humano contulit generi : ac sepulcri sinus tabificos subit, ex cujus virginali utero integritas ac incorruptio exsistit : obscurisque cavitatibus, ac ventre terræ hospitatur, quæ illos, qui in tenebrosis misere degebant angustiis, in lucidissimis mansionibus requie donavit. Quidnam hoc rei est ? An vult hæc rerum œconomia ac dispositio, ut ipsa quoque, quæ instaurationis humanæ communis causa esset, communi hominum hinc e vivis excedentium consuetudine, emigret, ne rerum omnium innovatio, naturam necessitudine ac affinitate sua privet ? Quamobrem Filii, cui castis manibus vehiculo fuerat, divinis manibus, sincerissimum ac purissimum spiritum tradens, atque a temporali discedens vita, æterna cœlorum regna obtinet, et ad omnis expertes umbræ sedes commigrat. Dei illa splendoribus celebrata domus, quam passis portis cœlum suscipit, ac susceptione, decentioris ac honestioris status accessione clarescit. Cum enim jam, tot spiritalium ac immortalium populis, tamque multis ex mortalium genere in illam ascriptis civitatem, ut cum Matre regina perpetuum ævum agitent ; ejus Regi ac Filio communiter laudes decantantibus, mirabili concentu circumsonet ; necesse est ut longe priori amœnior ac delectabilior ejus constitutio facta sit. Hinc angelorum ordo, duce Gabriele, faustis prosequitur ominibus atque laudibus. Inde beatorum prophetarum agmen, cujus olim laudem, in ejus eminus intendens gloriam, meditabatur ; eamdem nunc reverenter adiens, lætæ modulantiæ ei meditata carmina pangit. Alia demum ex parte cum discipulorum cœtu infiniti martyrum exercitus, reverentia, ac timore jubilant. O quam beata quæ illic peraguntur ! O quantus qualisque honos, perpetuæ virgini Matri in cœlis defertur ! ubi nimirum, Filium videns in divum medio, quos ille deitate donavit,

A πρὸς τὴν ἄληκτον χαράν, τὴν μετάβασιν ἑορτάζομεν. Ἔκδημοι τοίνυν, ὡς οἷόν τε, τῆς σαρκὸς, καὶ τῷ πνεύματι ἀλλοιωθέντες, δοξάσωμεν τὴν ἐκδημίαν, καὶ πρέπουσαν τοῖς τελουμένοις τὴν κατάστασιν ἐνδειξώμεθα. Πάντα τὰ πέρατα τῆς γῆς ἐν χαρμονῇ ἀλαλαξάτω, ἵν' οἰκεῖος ὁ ἀλαλαγμὸς τῆς ἀγαλλιάσεως ᾖ. Οὐρανὸς κοινωνείτω τῆς χαρμοσύνης, φαιδροτέρῳ ἄνθει περιλαμπόμενος, καὶ πρὸς ὑποδοχὴν οὐρανοῦ τοῦ ἐντιμοτέρου ἐξανοιγόμενος. Πᾶς ὁ ἐν αὐτῷ παρευφημείτω διάκοσμος. Γαβριὴλ ἐξαρχέτω τῆς εὐφημίας, ἅτε δὴ, πρὸ τῶν ἄλλων συνήθης ὢν ἐν τῷ λελειτουργηκέναι τοῖς ἀχράντοις νυμφεύμασι· μᾶλλον δὲ ἐξάρχει ἐπιφθεγγόμενος τὰ ῥήματα τῆς χαρᾶς, οἷς ὁρᾷ τοῦ Δεσπότου Μητέρα εἰς τὰ τοῦ Υἱοῦ ἐγκατοικιζομένην βασίλεια. Ἡ γὰρ θεοχώρητος σκηνὴ B τῶν λυομένων ἀπαίρουσα σκηνωμάτων, πρὸς τὰ μένοντα μετοικίζεται, καὶ τοῦ ῥέοντος βίου, ἀμείβει τὸν ἄρευστον. Γῆθεν πρὸς οὐρανοὺς διαπορθμευομένη, ἡ διαβατήριον τοῖς ἐν γῇ γενομένη πρὸς τὰ οὐράνια· ὢ τοῦ θαύματος! τῷ ἀμειδεῖ θανάτῳ προσομιλεῖ, ἡ τῆς φρικτῆς ἐκείνου ὁμιλίας τὴν ἀπαλλαγὴν τῷ γένει παρασχομένη· καὶ λαγόνες κρύπτουσι φθοροποιοὶ, ἧς ἐξεφάνη λαγόνων ἡ ἀφθαρσία, καὶ ἀφεγγέσι ξενίζεται κενεῶσιν, ἡ τοὺς ἐν ἀλαμπεῖ ταλαιπωρουμένους στενοχωρίᾳ, φαεινοτάταις ἐν λήξεσιν ἀναπαύσασα. Τί τοῦτο; Ἢ βούλεται ἡ τοῦ πράγματος οἰκονομία, τὴν κοινὴν τῆς τοῦ πλάσματος ἀναπλάσεως αἰτίαν, τῇ κοινῇ τῶν ἀνθρώπων τῆς ἐντεῦθεν ἀναχωρήσεως συνηθείᾳ, καὶ αὐτὴν ἀπαίρειν, C ἵνα μὴ τὸ πάντα καινοτομεῖν, τὴν φύσιν τῆς συγγενείας χωρίζηται; Ταύτῃ ἄρα τοῦ παλάμαις ἁγναῖς ἐποχησαμένου Υἱοῦ, χερσὶ θεϊκαῖς τὴν παναχήρατον ἐποχεῖσθαι δοῦσα ψυχὴν, τῶν προσκαίρων ἐπανισταμένη, τὰς αἰωνίους καταλαμβάνει διατριβὰς, καὶ πρὸς τὴν ἄσκιον μεταποιεῖται λῆξιν, ἡ τοῦ Θεοῦ ταῖς λαμπρότησι δεδοξασμένος οἶκος, ἣν ὑποδέχεται πύλας οὐρανὸς ἀναπετάσας· προσθήκην δεχόμενος εὐπρεπεστέρας καταστάσεως τῇ ταύτης ὑποδοχῇ. Ἄρτι τῶν ἐκεῖ ἑορταζόντων, ὅσοι τε δῆμοι ἄϋλοι καὶ ἀθάνατοι, καὶ ὅσοι τοῦ θνητοῦ γένους ἐκείνοις συνεπολιτογραφήθησαν ἐπὶ τῇ συνδιαιτήσει τῆς βασιλίδος μητρὸς, τῷ βασιλεῖ καὶ Υἱῷ κοινῶς ᾀδόντων τὴν εὐφημίαν, τῇ θαυμαστῇ περιηχούμενος συμφωνίᾳ, τερπνοτέραν ἢ πρόσθεν, καὶ οὗτος ἔοικε δέχεσθαι κατάστασιν. D Ἐκεῖθεν ἡ τῶν ἀγγέλων τάξις ὑπευφημεῖ, ὑπὸ ταξιάρχῃ ταττομένη τῷ Γαβριήλ. Ἐντεῦθεν ὁ τῶν μακαρίων προφητῶν σύλλογος. Ἧς πόῤῥωθεν τῇ δόξῃ ἐνατενίζων, προεμελέτα τὸν ἔπαινον, ταύτῃ προσιὼν εὐλαβῶς, τὰ τερπνὰ ὑπηχεῖ μελετήματα. Ἑτέρωθεν μετὰ τοῦ θιάσου τῶν μαθητῶν, τὰ μυρία τῶν μαρτύρων στρατεύματα αἰδοῖ ἀλαλάζει καὶ φόβῳ. Ὢ τῶν ἐκεῖ τελουμένων! Ὢ τῆς ἐν οὐρανοῖς τῇ ἀειπαρθένῳ Μητρὶ κροτουμένης τιμῆς! Ἔνθα, τὸν Υἱὸν ὁρῶσα ἐν μέσῳ θεῶν οὓς ἐθέωσε, δεδοξασμένον, καὶ τὸ μεγαλεῖον ἑαυτῆς ὅσον καταμανθάνουσα, οἷς τοσούτου Υἱοῦ ἐχρημάτισε μήτηρ, τῶν παναχράντων ὠδίνων ἑαυτὴν μακαρίζουσα, χαίρει· καὶ τὸν ἄπειρον ἐν μεγαλωσύνῃ τόκον, ὃν πρότερον σαρκικῶς πτωχεύσαντα θαυμάζουσα ἐμεγάλυνεν, ἐν

τῷ πλούτῳ τῆς οἰκείας θεότητος διαπρέποντα μεγαλύνει. Ταῦτα μὲν ὁ ἄνω κόσμος ἔχει πραγματευόμενα.

A gloria magnificatum, suamque amplitudinem ac majestatem intelligens, quod tanti Filii exstiterit mater, beatam se ab immaculatissimo gratulans partu, impensiori gaudio fruitur : prolemque infinita majestate clarum, quam prius carne pauperem effectam suspiciens magnificabat ; in suæ deitatis opulentia spectatissimam magnificat ac deprædicat. Atque hæc quidem superior ille mundus agitat.

Φέρε δὴ ἡμεῖς ὁ κάτω κόσμος, ὧν ἀπάρασα οὐ συναπῆρε τὴν εὐεργεσίαν, ἀφ' ὕψους δὲ περιέπει τῆς προστασίας τῇ πτέρυγι, τὰ ἡμῖν ἐπιβάλλοντα συντελῶμεν, καὶ τὴν μετάθεσιν τῆς Παρθένου τιμῶμεν· καὶ πρὸς τὰ ὑπερκόσμια χωρούσης αὐτῆς προπομπεύωμεν, ὡς οἷόν ἐστιν ὑπερκοσμίως· καὶ τῆς βαρυνούσης, καὶ κατασπώσης ὕλης, ἐφ' ὅσον αἴρει τὸ πνεῦμα, μετατιθέμενοι, καὶ τοῖς ἀΰλοις συνεπαιρόμενοι. Τίσιν οὖν πομπικαῖς εὐφημίαις χρησώμεθα; Καὶ πῶς κατὰ τρόπον προσενεχθήσεται ἡ τιμή; Ἢ καλῶμεν ἐκ τῶν ὑψίστων κορυφαίους, καὶ μάλιστα τὸν τῆς τιμωμένης βασιλέα προπάτορα· καὶ παρ' αὐτῶν πυθόμενοι, οἷς οὗτοι καταρτίζουσι τὴν ἱερολογίαν, κατὰ τρόπον ἐκείνων ἀποδῶμεν τὸν ἔπαινον; Οἶμαι δὴ αὐτούς, οἷς πρόσθεν ἀνύμνουν, τούτοις καὶ ἐπὶ τοῦ παρόντος ὑμνοῦντας προσάγειν τὴν εὐφημίαν· ἐπεὶ μηδ' ἦν ἐκ τῶν ἡμετέρων τὰ τότε ἠχούμενα, κἂν ἐν τοῖς ἡμετέροις ἐκρούετο· ἀλλ' οὐρανόθεν ὑπήχουν οἱ ᾄδοντες. Εἰκὸς οὖν καὶ σήμερον αὐτοὺς ἐκείναις ταῖς προλαβούσαις φθογγαῖς, ἅτε δὴ οὐρανίαις τὴν Θεομήτορα τιμᾷν παραγενομένην ἐν οὐρανοῖς, ἃς καὶ ἡμῖν παραληπτέον. Ἔξεστι γάρ, καὶ οὐδεὶς κίνδυνος εἰς τὴν αὐτὴν χρείαν ταύτας παραλαμβάνειν. Ἀλλὰ μικρὸν ὁ λόγος παῤῥησιαζέσθω, καὶ μὴ μόνον τοῦτο, τὴν εὐφημίαν, καθάπερ οὐδὲν ἄλλο θαῤῥεῖν, ἑπόμενος πληρούτω, ἀλλὰ καὶ αὐτῇ προσιὼν τῇ εὐφημουμένῃ προσομιλείτω.

Age et nos mundus inferior, a quibus, quamvis discesserit, haud tamen beneficentiam abstulit ; quin ab alto, sui patrocinii alis fovet; quod nostri muneris est, præstemus, ac Virginis translationem honore prosequamur : cœlorumque sublimia transcendentem, pro virili nostra, quantoque ornatu possumus, deducamus, atque a gravi ac detrahente materia, quantum attollit spiritus, translati, cum spiritibus cœlitibus in altum subvehamur. Quibus B autem acclamationibus triumphum prosequemur, quave ratione honorem debitum offeremus? An ex altissima cœlorum regione coryphæos advocabimus, ac maxime illius, quæ in laudis argumentum proponitur, avum Regem ? atque ubi ab eis audierimus, quibus ipsi modis elogia concinnent aptentque, illorum nos more laudum præconia reddemus ? Arbitror equidem ipsos, quibus prius celebrabant, iisdem encomiorum generibus, etiamnum uti : nam neque nostratia erant, quæ tunc personabant, tametsi inter nostrates psallerentur : sed ii, cœlitus instincti ac impulsi canebant. Fas itaque est, ac rationi consentaneum, ut iidem hodierna luce, pristinis illis laudum concentibus, ceu cœlestibus, Dei Matris C in cœlos adventum honorent : quos et nobis usurpari oportet. Licet enim, nec ullum est periculum ut ejusmodi usurpemus laudes. Verum oratio paululum sit liberior ; nec solum faustam illam acclamationem, ac si nullum aliud præconiorum exemplum sequi ausit, usurpet ; verum etiam ipsam adiens, quæ præconio celebratur, cum illa cominus agat.

Τί σοι ὁ τὰ μεγαλεῖα ποιήσας μέγας Υἱός, ὑπερευλογημένη σήμερον ποιεῖ; Τί γίνεται; Τί τὸ ὁρώμενον; Ἢ τὴν κιβωτόν σε τοῦ ἁγιάσματος· τὸν εὐπρεπῆ νυμφῶνα· τὸν θειότατον θρόνον εἰς τὸ θεῖον ἑαυτοῦ ἀνάκτορον μετατίθησι· τὴν ἐξ ἧς λαβὼν τὴν σαρκίνην στολὴν μετ' ἀνθρώπων ἐπολιτεύσατο, ἐν ὑψίστοις φέρει συνδιατρίβειν τῶν σαρκίνων ἀναλαμβάνων· καί σοι πάρεισι λειτουργοῦντες, πᾶσα ἡ ἐκείνῳ λειτουργοῦσα τάξις· ἀγγέλων δῆμοι· προφητῶν χορεῖαι· οἱ ὡραῖοι τοῦ σοῦ ὡραίου Παιδὸς μαθηταί· τὰ τῶν καλλινίκων μαρτύρων συστήματα· ἅπασα παρθένος ψυχή, καὶ πρὸς τὴν νυμφικὴν ἀπόλεκτος παστάδα σοῦ τοῦ τῆς παρθενίας ἀγάλματος προΐασιν ἐν εὐφροσύνῃ. Ἐπειδὴ γὰρ ἐχρῆν ἀνασχοῦσαν θνητῆς γεωργίας ἀκολούθως σε τῇ βλάστῃ πρὸς τὰ θεῖα συγκομισθῆναι ταμεῖα, λειτουργεῖς νόμῳ θνητῶν, καὶ ὁμιλεῖς, ὦ τοῦ ἡλίου φαεινοτέρα, τῷ σκυθρωπῷ προσιόντι θανάτῳ· πλὴν τῆς ἀῤῥήτου φαιδρότητος ἡ παρουσία, οὐδὲν συγχωρεῖ τῇ σκυθρωπότητι ἐνοχλεῖν· χειρῶν μὲν ἐκείνων, αἷς πάντα συνέχεται, τὴν πανάμωμον δεχομένων ψυχήν· τοῦ δὲ καθαροῦ, καὶ ἀσπίλου σώματος ἐν καθαρωτάτοις

Quid vero is, qui magna tibi magnus Filius fecit [24-1], o ter benedicta, tibi hodie facit ? Quidnam rerum evenit ? Quid istud quod cernimus ? Sane arcam te sanctificationis, honestissimum thalamum, divinissimum thronum in divinum suum transfert templum : eam, ex qua carne sumpta inter homines versatus est, ad sublimia cœli transfert, ex hoc mortali statu eductam ; tibique omnis ordo illi ministrantium satellitio adest : angelorum turmæ, prophetarum chori, speciosum discipulorum agmen D speciosi Filii tui, insignium victorum martyrum exercitus, omnes animæ virgines, Sponsique thalamo destinata cohors, tibi, quæ virginitatis imago, vivumque simulacrum exsistas, in exsultatione obsequio præit. Quoniam enim te mortalitatis messe succisam, consequenter una cum germine in divina horrea ferri oportebat, mortalium legi obsequeris, ac cum tristi ac atra morte, tu sole illustrior, congrederis, quanquam ineffabilis claritatis præsentia, nihil mortis illam severitudinem, molestam esse sinit : cum illæ quidem manus, quibus omnia continentur, intemeratissimam susciperent animam;

[24-1] Luc. I, 49.

mundum autem ac immacu.atum corpus, in purissima loca transferretur. Quod Deum carne indutum gestasses, Dei ipsa manibus gestaris, ubi exuisses carnem. Maternum obsequium tuo, sine Patre, Filio detuleras, cum ille mundum ingrederetur: nunc mundum ipsa egrediens, ejus vicissim obsequio foveris, omni cœlitum choro, ac tripudio præeunte, moreque supplicantium honorem habente: quemadmodum et prius, haud ita pridem ex Annæ utero in lucem suscepta, virgineo agmine, supplicantium ritu, in unum coacto honorabaris. Verum tunc, aliud quiddam erat, quod fiebat, aliaque ratione corpore præsentem, virgines corporibus amictæ stipabant, ac deducebant; apte nimirum et consentanee corpori. Nunc vero, cum excesseris corpore, virginum animæ corporeis vinculis exsolutæ, longe honorificentius deducunt.

A μεθισταμένου χωρίοις. Ὅτι ἐβάστασας Θεὸν σάρκα ἠμφιεσμένον, βαστάζῃ Θεοῦ παλάμαις ἀπαμφιασαμένη τὴν σάρκα. Προσενήνοχας δορυφορίαν μητρικὴν πρὸς κόσμον εἰσιόντι τῷ ἀπάτορί σου Υἱῷ· ἀντιδορυφορῇ κόσμου ἐξιοῦσα, πάσης τῆς περὶ αὐτὸν χοροστασίας προπορευομένης, καὶ τῇ λιτανείᾳ τιμώσης, ὥσπερ καὶ πρόσθεν ἐθίμῳ λιτανευομένη ἄρτι τῶν τῆς Ἄννης λαγόνων εἰς βίον προκύπτουσα. Ἀλλὰ τότε μὲν ἄλλο τὸ γινόμενον, καὶ ἄλλως ἐλιτάνευον παροῦσαν ἐν σώματι, μετὰ σώματος τιμῶσαι παρθένοι, καὶ τῷ καιρῷ συμβαίνοντα προπομπεύουσαι· νῦν δ' ἐκδημούσης, ἔκδημοι τῆς σαρκίνης πέδης, αἱ παρθένων ψυχαὶ, ἐντιμοτέραν ποιοῦσι τὴν προπομπήν.

Verum quid ais, o sacratissime deductionis hujus coryphæe, qui et tunc velut cognatus, quanquam longe morabaris a sæculi via, in filiæ tamen honorem pariter occurristi, ac spirituum more, cum iis qui materia constant, diem festum lætus agitabas: nunc autem maxime, illi congruentissime statui, in quo versaris, ea cernens quæ peraguntur, filiæ honorem celebras, ac gratularis, gloriamque omnium oculis expositam perspicue laudibus extollis. Haud vero jam intra carnis velum contemplans deprædicas, quod tunc in laudes effusus præstabas, propiusque contextam in fimbriis aureis [a] stolam considerans; summa tamen voluptate ob filiæ decorem perfunderis, universoque sacratissimo choro signum laudationis inchoandæ edis. An dignaberis ut et nostro choro adveniens, laudis nobis ac prædicationis modum ordinemque præscribas, adjuvesque alacritatem eorum qui filiæ tuæ, quasi munus festo competens, orationem offerre cogitant? An abnues neque adduceris, ut qui jam immortales sedes incolis, ad nos descendas, quibus istæ mortalitatis sedes obtigerunt, et quos fata his locis debita exercent? Haud enimvero recusat; adest, ac opus aggreditur, operamque suam nobiscum jungit, nihil moleste ferens, ut ejus nos vocibus ac oraculis abutamur oratione conficienda: quibus tanquam oppositissimis, capitis loco addemus verbum gaudii plenissimum, quod integerrimus ille pronubus usurpavit, sicque communi studio Virgini præconia contexemus. Dicamus igitur ei, vel potius totius chori ductor ac auspex dicat: Ave, arca, per quam Deus, reparando per te a lapsu manuum suarum figmento [a] (ob cujus ruinam intimis visceribus angebatur), ac cum ea ratione erexisset, requiescens, in suam surrexit requiem. Ave, mons pinguis [b], cujus pinguedinem videns naturæ cultor et sator, ex te omnium bonorum abundantiam nobis produxit. Ave, per quam ex mortalibus lumbis supra æternum thronum [c], æternum regnaturus Rex collocatur. Ave, quam compluens vitæ pluvia [d], universos fines terræ, cum ex lethali siccitate in

B Ἀλλὰ τί φής, ὦ τῆς ἱερωτάτης προπομπῆς κορυφαῖε, ὃς καὶ τότε οἷα δὴ συγγενὴς, εἰ καὶ ὁδοῦ τῆς ἐν βίῳ πόῤῥω διέτριβες, ὅμως εἰς τιμὴν συνέτρεχες τῆς θυγατρὸς, καὶ ἀΰλως συνεπανηγύριζες τοῖς ἐνύλοις. Καὶ νῦν μάλιστα οἰκείως τῆς ἐχούσης σε καταστάσεως ὁρῶν τὰ γινόμενα, συγκροτεῖς τῇ θυγατρὶ τὴν τιμὴν, καὶ τὴν δόξαν ὁρωμένην προφανῶς ἐπαινεῖς. Ἀλλ' οὐχ ἔσωθεν αὐτὴν τοῦ παραπετάσματος σαρκὸς οὖσαν θεωρῶν ἀνυμνεῖς, ὥσπερ τότε ἐποίεις ὑμνῶν, καὶ τὴν ἐν τοῖς χρυσοῖς τῶν ἀρετῶν κροσσωτοῖς ἐξυφασμένην στολὴν ἐγγύθεν κατανοῶν, ὑπερηδύνῃ μὲν τῇ εὐπρεπείᾳ τῆς θυγατρὸς, προαναφωνεῖς δὲ τῇ ἱερωτάτῃ χορείᾳ τὸ ἐνδόσιμον. Ἆρ' ἔστιν, ὅπως καὶ ἡμῖν ἀξιώσεις παρελθὼν διατάξαι τὴν εὐφημίαν, καὶ συνεπιλήψῃ τῆς προθυμίας, βουC λομένοις τῇ θυγατρὶ ὥσπερ τι δῶρον ἑόρτιον προσενηνοχέναι τὸν λόγον; Ἢ παραιτήσῃ, καὶ οὐκ ἐθέλεις αὐτὸς ταῖς ἀκηράτοις ἐνδιατρίβων λήξεσι πρὸς ἡμᾶς κατιέναι, οὓς αἱ κάτω περιφέρουσι χῆρες; Ἀλλ' οὐμενουν παραιτεῖται· πάρεστι δὲ, καὶ συμμετέχει τοῦ πράγματος, καὶ συγκατασκευάζει τὸ ἔργον, οὐδέν τι νεμεσῶν, τοῖς ἐκείνου φθέγμασιν ἀποχρωμένοις ἡμῖν, εἰς τὴν τοῦ λόγου κατασκευήν· οἷς οὖσι προσφορωτάτοις κεφαλὴν ἐπιθέντες τὴν τοῦ καλοῦ νυμφευτοῦ φωνὴν τῆς χαρᾶς, κοινῇ τῇ παρθένῳ ποιῶμεν τὸν ἔπαινον. Εἴπωμεν τοίνυν αὐτῇ· μᾶλλον δ' ὁ ταῦτα προανυμνήσας λεγέτω· Χαῖρε, ἡ κιβωτὸς, δι' ἧς ὁ Θεὸς ἐν τῷ διὰ σοῦ ἀναστῆσαι τὸ πλάσμα τοῦ πτώματος, ἐφ' ᾧ κειμένῳ τὰ τῆς στοργῆς D ἐτρύχετο σπλάγχνα, κἀντεῦθεν ἀνεστηκότος ἀναπαυσάμενος, εἰς τὴν ἑαυτοῦ ἀνέστη ἀνάπαυσιν. Χαῖρε, τὸ πῖον ὄρος, οὗ τὴν πιότητα κατιδὼν ὁ τῆς φύσεως γεωργὸς, ἐκ σοῦ ἡμῖν ἐγεώργησε τὴν ἀφθονίαν τῶν ἀγαθῶν. Χαῖρε, δι' ἧς ὀσφύος θνητῆς ἐπὶ τὸν αἰώνιον θρόνον αἰωνίως καθίσων, ἐνίδρυται Βασιλεύς. Χαῖρε, ἐν ᾗ ὕσας ὁ τῆς ζωῆς ὑετὸς, αὐχμῷ κινδυνεύοντα θανάτου τὰ πέρατα διεσώσατο. Χαῖρε, ὁ δεξιώτατος τόμος τῆς τοῦ Θεοῦ Λόγου γραφῆς (ἐπισυνήφθω γὰρ τοῖς προπατορικοῖς ἱερολογήμασι, καὶ ἃ, τῷ αὐτῷ πνεύματι χειλέων ἑτέρων ἱερολογήθη, τῇ αὐτῇ προσαναρμόζοντα χορείᾳ), δι' οὗ τετρυχωμένοις ἡμῖν τῷ

[a] Psal. XLIV, 14 [a] Psal. CXXXI, 8. [b] Psal. LXVII, 16. [c] Psal. CXXXI, 11. [d] Psal. LXXI 6.

βαρεῖ τῆς δουλείας ζυγῷ, ἀνεφαίρετος ἐγράφη ἐλευθερία. Χαῖρε, Ῥάβδος, ἐξ ἧς τοῦ ζωηροῦ ἄνθους τῆς εὐλογίας ἐξανθηκότος, ἡ φθοροποιὸς ἀπεφθάρη κατάρα. Χαῖρε, ἡ τὸν ἄστεκτον ἄνθρακα περισχοῦσα λαβὶς, δι' οὗ τῆς ῥυπαρᾶς ἁμαρτίας, ἐν τῇ χειλέων προσψαύσει ἐκκαθαιρόμεθα. Χαῖρε, ἡ τὸν καινῶς καὶ ὑπερφυῶς γεωργηθέντα ἄρτον φέρουσα τράπεζα· οὗ τραφέντες οἱ τῇ γεωργίᾳ τῆς ἀκάνθης λιμῷ ἀπολλύμενοι, τοῦ κινδύνου διασεσώσμεθα. Χαῖρε, πύλη, ἡ μόνῳ τῷ Βασιλεῖ, εἰς τὴν εἴσοδον τῆς καθ' ἡμᾶς ἀφωρισμένη ζωοπλαστίας, τῶν κλείθρων σοι τῆς σεπτῆς παρθενίας ἀκινήτων μεμενηκότων. Χαῖρε, παλάτιον, ἐξ οὗ ἐν ταπεινῷ σχήματι προεληλυθὼς ὁ Βασιλεὺς, καὶ τὸν ἀνηρημένον τὸ καθ' ἡμῶν κράτος θάνατον ἀνελὼν, τὸ τῆς ἐκείνου τυραννίδος ὀδυνηρὸν, καὶ ἐπίπονον, εἰς ἀνάπαυσιν ἠμείψεν· ᾗ καὶ αὐτὴ σήμερον προσομιλοῦσα, πρὸς τὴν διὰ σοῦ κεχορηγημένην διαβαίνεις ἀθανασίαν.

A periculum venissent, incolumes servavit. Ave, elegantissimus Dei Verbi scripturæ tomus [7] (addamus enim avitis, ac Davidicis elogiis alia, eodem spiritu a prophetis aliis fusa ac decantata, nec a præsenti choro aliena) per quem, cum gravi servitutis jugo tereremur, inviolabilis nobis libertas scripta est. Ave, Virga, ex qua, cum tanquam vitalis flos, benedictio effloruisset [8], mox maledictio, interitus effectrix, interiit [9]. Ave, forceps, carbonem illum importabilem complexa, quo a peccati sordibus, labiorum contactu emundamur. Ave, mensa, quæ panem illum novo ac naturæ inaudito modo confectum gestas; quo sustentati, qui spinarum messe proventuque, fame enecabamur, ex tanto discrimine evasimus. Ave, porta, quæ soli Regi B ingressuro ad nobis similem induendum naturam destinata es [10], claustris venerandæ tuæ virginitatis immotis. Ave, palatium, ex quo humili habitu progressus Rex, erectam contra nos mortis potentiam sustulit: durissimamque ipsius ac molestissimam tyrannidem, in requiem commutavit: ad quam tu quoque hodierna die recepta, ad immortalitatem per te mundo concessam, proveheris.

Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν (προσκείσθω καὶ τοῦτο τοῖς ἐγκωμίοις τὸ μέρος, ἐπείπερ οὐδαμῇ ἑτέρωθι συμβαίνει τῶν ῥημάτων τὸ ἀληθὲς), *πολλαὶ ἐκτήσαντο πλοῦτον*· κρατεῖ δ' ἁπάντων, ἡ παρὰ πάντας ὑπερδεδοξασμένη. Οὔκουν ἐν τῷ κάλλει αὐτῆς ψευδομένη ἀρέσκεια. Διὰ τοῦτο καταστὰς εἰς ἀρέσκειαν αὐτῆς ὁ Θεὸς, ἐκ πασῶν γενεῶν μητέρα ἐκλέγεται· καὶ τῶν ἐκείνης αἱμάτων μορφοποιούμενος, εἰς τὸ ἀρχαῖον τὴν διαῤῥυεῖσαν τοῦ πλάσματος ἀνακαινίζει μορφήν. Τῷ ὄντι μόνη ἐν γυναιξὶν εὐλογημένη, ἡ μόνη τῇ προμήτορι, καὶ τοῖς ἐξ αὐτῆς βοηθήσασα· τῇ μὲν, οἷς διπλῆν οὖσαν τὴν κατήφειαν, ἑαυτῇ, καὶ τοῖς τέκνοις λυμηναμένη, διελύσατο· τοῖς δὲ δι' ὧν τούς τε κατόχους ὄντας τῷ κακῷ, ἀπελυτρώσατο· καὶ τοὺς μετὰ ταῦτα οὐκ εἴασε κατασχεθῆναι τῇ συμφορᾷ· οὐκ ἔτι κεχωρηκυίας ἐπὶ τὸ πρόσθεν τῆς πρώην τὸ πλάσμα κατανεμομένης ἀρᾶς· ἀλλ' εἰς ἀνάῤῥουν στραφέντος τοῦ κακοῦ ῥεύματος, ἐπιστάσης τῆς εὐλογημένης· οὐδ' ἔτι κρατουμένων ἀνθρώπων ἐν τοῖς ἀφύκτοις τοῦ θανάτου λίνοις, ἀλλὰ χρωμένων αὐτῷ διαβατηρίῳ πρὸς τὴν ζωὴν, τοῦτο δὴ τὸ ἐπὶ τῇ εὐλογημένῃ ἀρτίως πανηγυριζόμενον· ἣν διὰ θανάτου πρὸς ἑαυτὸν διαβιβάζων ὁ Βασιλεὺς, καὶ Υἱὸς, τῆς ἰδίας δόξης τῇ μετοχῇ, παρὰ πᾶσαν κτίσιν ἐνδοξοτέραν δεικνύει· ἀντισηκῶν οὕτω τὴν ἐξ αὐτῆς μετοχὴν, ᾗ παραπλησίως ἡμῖν ἐμορφώθη, ὁ τοῦ Πατρὸς ἀναλλοίωτος χαρακτήρ· σαρκὸς καὶ αἵματος ἡμῖν παραπλησίως μετεσχηκώς· καὶ μητρικῆς θεραπείας, τῇ πρὸς αὐτὸν παῤῥησίᾳ, καὶ τῇ ἐγγύτητι ἀντιθεραπεύων· δι' ἣν, ὡς μὴ ῥαγεῖσα κόσμου, μηδ' ἀφ' ἡμῶν μακρυνθεῖσα, οὐκ ἐζημίωσε τὸν κόσμον τῆς ἰδίας ὁμιλίας· ἀλλ' ὧν ἐπ' ὠφελείᾳ κοινῇ τῆς εἰς βίον εἰσόδου μετέλαχε, τούτων, καὶ παροδεύσασα, κοινὴν ἐργάζεται διηνεκῶς τὴν ὠφέλειαν. Συνδιατρίβει καὶ ἔτι περινοστοῦσα, τοῖς κάτω· μᾶλλον δὲ νῦν πανταχοῦ φθάνει ὁ ἔμψυ-

Multæ filiæ fecerunt virtutem (addatur et hoc reliquis encomiis, quandoquidem nusquam alibi ejus veritas constat) *multæ acquisierunt divitias* [11]: at major omnibus est, quæ apud omnes celebratur. Haudquaquam fallax ejus pulchritudinis gratia: quamobrem Deus, ejus specie ac pulchritudine captus, ex omnibus unam hanc sibi matrem delegit; exque ejus sanguinibus humanam assumens formam, figmenti formam quæ difluxerat, in pristinum statum instaurat. Vere sola in mulieribus benedicta, quæ sola primæ parenti, ejusque posteC ris opem tulit: illi quidem, qua duplicem calamitatem, cujus illa sibi ac filiis auctrix fuerat, exsolvit: hos vero, qua a malis, quibus obnoxii tenebantur, redemit; nec est passa ut posteri, in eadem mala denuo incurrerent, ut nimirum maledictio, secundum eum cursum, quo humanum depascebatur genus, haud ultra procedat: sed retro actus sit, ac conversus mali impetus, ejus præsentia, quæ benedicta exsistit, ut nec amplius homines inevitabilibus mortis casibus teneantur, sed utantur ea tanquam transitu ad vitam; hoc plane, quod in benedictæ hisce solemniis, festive recolimus: quam Rex Filiusque, mortis interventu ad se traducens, qua propriæ gloriæ facit participem, maD jori supra creata omnia, gloria auget: ea ratione vicem rependens ejus ex ipsa participationis, qua Patris immutabilis character, similem nobis formam accepit: more nostro, effectus particeps carnis et sanguinis, proque materna ipsa impensa cura, agendi libertate apud ipsum donatam, sibi proximam locans, quo munere, tanquam minime a mundo abscissa aut nobis subducta, nihil mundus ejus ergo consuetudinis jacturæ fecit: nam quibus ut prodesset in hunc mundum venit, iisdem jam quoque in cœlum translata, conducibilia pro-

[7] Isa. VIII, 1. [8] Num. XVII, 8. [9] Isa. VI, 6. [10] Ezech. XLIV, 1. [11] Prov. XXX, 29.

curare nunquam desinit. Hactenus in terris commoratur, nostra circumlustrans : quin magis jam ubique adest animatum cœlum, omnesque similiter fovens, beneficentiæ stillas pluit; arentemque vitam nostram, a peccati æstuantibus flammis, irriguam facit. Nunc omnes adit; quippe via faciliori, maternoque affectu cognatos invisens, præsto est promptissime ut incommoda depellat; pro universorum stans salute, pro omnibus immaculatissimas extendens manus, quibus universorum salus vecta est.

Idcirco os omne plenum est laudis, qua ejus celebrentur magnalia, atque a cunctis ætatibus beata prædicatur [12] : quam etiam prædicationem jam olim proferri eminus intuens, magnificabat in exsultatione rerum adeo mirabilium effectorem. Sed, o beatissima, reipsa exhibita sunt verissima tua illa oracula. Ecce enim omnes nationes præconia tua celebrantes, beatam te acclamant, omni quidem id tempore; potissimum autem in præsenti, quo ad Filium translata ac inseparabili illi consortio adhærens, non cessas in terra positis opem ferre. Beatam te dicunt omnes fines terræ, quod res ineffabiles tuo ministerio sint peractæ; qua nimirum Altissimi brachium, per te suam potentiam notam fecit, cum illud altiori supra rationem modo ex te carnem sumens, sua humilitate, tum excelsum illum in superbia dejecit, tum humiles exaltavit. Beatam te dicunt, qui donec exorta esset, tua illa sine semine spica esurientes; ea exorta, omni abunde bonorum copia recreati sunt. Habebat quidem antiquus Israel, arcam tui imaginem adjutricem, si quando rebus adversis urgeretur et ut quandoque inopiam levaret : verum erant, quæ gerebantur, reipsa imaginis atque figuræ, iis longe inferiora, quæ per te præstantur. Quocirca neque semper opem ab ea impetrabant, sed tum, cum pio erant in Deum animo, neque a recta divinorum semita aberrabant, salutem consequebantur. At si quid commisissent, seque reos culpæ alicujus, divinorum præceptorum transgressione constituissent, non solum nihil auxilii depellendo periculo suppeditabatur; sed et ipsa arca una cum ipsis periclitabatur [13]. Quare aliquando accidit, ut ab alienigenis caperetur, cum populi scelera grandiora essent, quam quod ea præstaretur auxilium, tropæumque adversus gentem, in manus hostium cederet : atque adeo ipsa captiva abducitur, etsi illic quoque Deus, ejus consulens majestati, morbi plaga eos qui cepissent ulciscitur : diique, quos inani illi cultu venerabantur, id lucri ex tantis illis spoliis reportarunt ut corruerent, non valentes iis consistere basibus quibus locati erant : in terram allisi, ac comminuti, simul atque arca ad illos invecta esset. Verum tua haud ita habent; nec tali auxilio novum populum tueris ac protegis : quin et prius iis qui

A χος οὐρανός· ὁμοίως ἅπαντας περιέπουσα, καὶ τῆς εὐεργεσίας ὕουσα τὰς ῥανίδας, καὶ λύουσα τὴν αὐχμηρὰν τῆς ἡμετέρας ζωῆς κατάστασιν, ἣν ἡ φλογώδης ἁμαρτία συνίστησι. Νῦν ἐπὶ πάντας διήκει, ἑτοιμοτέρας οὔσης τῆς πορείας, καὶ συμπαθῶς ἐπισκεπτομένη τοὺς συγγενεῖς, πρὸς τὴν ἀπαλλαγὴν τῶν ὀχληρῶν, ἑτοιμοτάτη βοήθεια γίνεται, πάντων ὑπὲρ σωτηρίας ἑστῶσα· πάντων ὑπεραπλοῦσα παναχράντους παλάμας, αἷς ἡ τῶν ὅλων ἐποχήσατο σωτηρία.

Διὰ τοῦτο πλῆρες ἅπαν στόμα τῆς αἰνέσεως τῶν αὐτῆς μεγαλείων, καὶ ὑποδέχεται παρὰ πασῶν γενεῶν τὸν μακαρισμόν· ὃν καὶ πρὶν θεωμένη πόῤῥωθεν προφερόμενον, ἐμεγάλυνεν ἐν ἀγαλλιάσει τῶν θαυ- B μαστῶν μεγαλείων τὸν ποιητήν. Ἀλλὰ παρέστηκεν, ὦ μακαρία, ἐπὶ τῶν πραγμάτων, τὰ σὰ παναληθῆ ῥήματα. Ἴδε γὰρ πᾶσα φυλὴ, τὰς σὰς αἰνέσεις ποιουμένη, τὸν μακαρισμόν σοι προσάγει· μάλιστα μὲν ἐν παντὶ καιρῷ· διαφερόντως δ' ἐν τῷ παρόντι· ἐν ᾧ πρὸς τὸν Υἱὸν μετεσκηνωμένη, καὶ ἀδιάστατον λαχοῦσα τὴν πρὸς αὐτὸν ὁμιλίαν, οὐ λήγεις ἐν γῇ διαπεραίνουσα τὰς ἀντιλήψεις. Μακαρίζουσι δή σε τὰ πέρατα, διὰ σοῦ πραγμάτων ἀποῤῥήτων πεπραγμένων ἐν τῷ, διὰ σοῦ τὸν τοῦ Ὑψίστου βραχίονα, τὸ οἰκεῖον γνωρίσαι κράτος· ἐκ σοῦ ὑπὲρ λόγον σωματωθέντος, καὶ τῇ ἑαυτοῦ ταπεινώσει, τὸν μὲν ὑψηλὸν ἐν ὑπερηφανείᾳ καταβεβληκότος· τοὺς δὲ ταπεινοὺς ἀνυψώσαντος. Μεγαλύνουσί σε, οἱ μέχρι τοῦ σοῦ ἀσπόρου πεινήσαντες στάχυος· ἐκείνου δὲ C τῇ φυῇ, ἀφθόνως τοῖς ἀγαθοῖς ἐντρυφήσαντες. Ἦν μὲν οὖν Ἰσραὴλ τῷ γηραιῷ τῆς σῆς δόξης εἰκὼν, κιβωτὸς ἐπίκουρος ἐλαττουμένοις, καὶ τὸ ἐκείνων ἐνίοτε ἐνδεὲς ἀναπληροῦσα· ἀλλ' ἦν εἰκόνος, ὡς ἀληθῶς τὰ γινόμενα· καὶ πολὺ τῶν διὰ σοῦ γινομένων λειπόμενα. Διὰ τοῦτο οὐ βοηθείας ἀεὶ παρ' αὐτῆς ἠξιοῦντο· ἀλλ' ὀρθῶς μὲν τὰ πρὸς Θεὸν διακειμένοις, καὶ μὴ τῆς εὐθείας τῶν θεσπισμάτων τρίβου ἀποπλανωμένοις, ἀπήντα ἡ σωτηρία. Δίκης δ' ἐνόχοις αὐτοῖς γεγενημένης, οἷς κατωλιγώρουν τῶν προσταγμάτων· οὐ μόνον οὐ παρῆν ἡ ἐπικουρία τὸν κίνδυνον ἐπαμύνουσα, ἀλλὰ καὶ αὐτὴ τούτοις συνεκινδύνευεν. Οὕτω ποτὲ ἁλώσιμος τοῖς ἀλλοφύλοις ἐδείκνυτο, τῶν τοῦ λαοῦ πταισμάτων ἐπικρατησάντων D τῆς ὑπ' αὐτῆς χορηγουμένης ἀντιλήψεως· καὶ πρὸς τὴν χεῖρα τῶν πολεμίων τὸ κατὰ τοῦ ἔθνους χωρεῖ τρόπαιον· αὐτὴ δορυάλωτος γίνεται, εἰ καὶ Θεὸς κἀκεῖ τὸ τίμιον αὐτῇ διασώζων, νόσου πληγῇ τοὺς αἰχμαλωτεύσαντας τιμωρεῖται· καὶ οἱ φαύλως ὑπ' ἐκείνων τιμώμενοι θεοὶ, κέρδος τῆς τοσαύτης λαφυραγωγίας τὴν σφῶν λαμβάνουσι πτῶσιν, οὐ δυνηθέντες ἐπὶ τῆς ἰδίας ἵστασθαι βάσεως· ἀλλ' εἰς γῆν συντριβόμενοι, ὁμοῦ τῇ τῆς κιβωτοῦ παρ' αὐτοὺς εἰσελεύσει. Ἀλλ' οὐχὶ τὰ σὰ τοιαῦτα, οὐδὲ τοσαύτης τῷ νέῳ λαῷ παρὰ σοῦ μέτεστιν ἀντιλήψεως· ἀλλὰ καὶ πρότερον παντελῶς οὖσι καταπεπολεμωμένοις ὑπὸ τῶν κακῶν, ἐπήμυνας· καὶ νῦν οὐχὶ μόνον ἐπ'

[12] Luc. I, 47. [13] I Reg. IV, 4 seq.

εὐθείας τῶν ἐνταλμάτων ὁδοῦ βαδίζειν προαιρουμένων ἡ παρὰ σοῦ βοήθεια συνέπεται, ἀλλὰ καὶ πρὸς τὴν ἐναντίαν ἐκτρεπομένοις, καὶ ταύτῃ ἐνδίκως ἂν ὄφλουσι ποινὴν, εὑρίσκῃ ἀποχρῶσα, καὶ τῆς δίκης τοὺς ἐνόχους ἐξαιρουμένη.

Δυσωπεῖται γάρ σε Θεὸς τὴν πανιερωτάτην αὐτοῦ Κιβωτὸν, καὶ χρηστεύεται, πρὸς τοὺς οὐκ ὄντας ἀξίους χρηστότητος· καὶ τῆς δίκης ἀφίησι, παρακλίνων τὰ τῆς δίκης ζυγὰ, προσωπολήπτης διὰ τὴν σὴν ἀξίαν γενόμενος, καὶ τῶν χειρῶν τὴν ἔκτασιν εὐλαβούμενος, αἳ τούτῳ γεγόνασιν ὄχημα. Οὐ γὰρ ἀνέχεται παρορᾷν αὐτὰς αἰρομένας· πρὸς ἔλεος διακλᾶται, καὶ λύει συμπαθῶς τὰ χρέα, τῆς παρ' αὐτοῦ ἀξιῶν εὐμενείας, ἀνθ' ἧς ἦν ἄξιον ὑποσχεῖν τιμωρίας. Οὐκ οὖν ὅπῃ σὴ παρουσία, τῶν ἐναντίων ἡ ὁμιλία λαμβάνει τὴν παῤῥησίαν· οὐδ' εὑρίσκει χώραν τὰ σκυθρωπὰ τῆς σῆς ἐπιχωριαζούσης φαιδρότητος. Ἀπ' ἀρχῆς γὰρ εἰς κόσμον παριοῦσα, ἐπὶ φαιδροτέρᾳ τούτου καταστάσει, τὴν αὐτὴν ἀεὶ διασώζεις προαίρεσιν, τῆς τῶν δεξιῶν χορηγίας οὐ λήγουσα.

Ἦν αὐτοῖς καὶ λυχνία φώτων ἑβδομάδι περιαυγαζομένη, καὶ στάμνος τοῦ μάννα ταμεῖον· καὶ ῥάβδος τῆς σῆς παρθενίας ἀνθοφοροῦσα τὸ κήρυγμα· καὶ τὰ ἄλλα, οἷς μέγα εἰκότως ἐφρόνει τὸ ἔθνος, παρὰ πάντα τὰ ἔθνη. Ἀλλ' ὑπεχώρησε μετὰ τοῦ κλεινοῦ ὀνόματος αὐτῶν, καὶ τῆς σεμνότητος. Σὲ γὰρ σκιαγραφοῦντα, τῇ σῇ ἐκρύβη ἐπιφανείᾳ. Φαίνῃ δὲ ἄρα ἡ ἀείφωτος σὺ λυχνία, τοῦ σκοτεινοῦ καὶ ῥυσαμένη, καὶ ῥυομένη θανάτου τῆς ἁμαρτίας. Εὐωδιάζεις τὸν κόσμον τῇ σῇ τῶν καλῶν ἀνθοφορίᾳ. Ἡ τὸ ἄνθος ἀνασχοῦσα τῆς σωτηρίας, τρέφεις τῷ ἐκ σοῦ πεφυραμένῳ ζωηρῷ ἄρτῳ. Πηγάζεις ἀδιαλείπτως τὰς δωρεὰς, καὶ τῇ ἀεννάῳ βλύσει τῶν χρηστοτέρων, τὴν τῶν περιστάσεων φορὰν ἀνακόπτεις. Σκεδάζεται τῆς ἀθυμίας τὰ νέφη, διὰ σοῦ αἰθρίας τὸν βίον ἀγλαϊζούσης. Ἐλαύνεται πάθη, τὸ φοβερὸν τῶν κινδύνων εἰς ἄνεσιν μεταβάλλεται· οὐδὲν, ὃ μὴ παραγίνεται τῶν χρηστῶν, σοῦ βουλομένης· καὶ οὐδὲν ὃ μὴ φεύγει τῶν ἐναντίων, σοῦ ἀμυνούσης· κατανεύει γὰρ ἀεὶ ἐπὶ πᾶσι, καὶ δίδωσι πάντα διὰ σοῦ, ὁ ἐπ' εὐεργεσίᾳ τοῦ πλάσματος, τὴν σὴν εἰς τὸν βίον πάροδον δεδωκὼς, ἐξ οὗ πρὸς τὸν ἀπέραντον διαπεραιουμένη βίον, κοινῇ προστρέψω πανηγυρίζειν, οὕς τε ἐκεῖνος ἐν βαθείᾳ γαλήνῃ προσορμοῦντας ἔχει, καὶ οὓς οὗτος ἀστάτοις ἔτι περιφέρει ταῖς παλιῤῥοίαις. Ὡς γὰρ αὐτῶν τε δεσπόζουσα καὶ ἡμῶν, ὑφ' ἑκατέρας λήξεως ἀνυμνῇ.

Ἀλλ', ὦ Παρθένε, καὶ Μῆτερ, ἡ παρθενίαν καὶ τόκον, τὰ πολὺ ταῦτα διεστῶτα, ἐπὶ σοὶ δείξασα ἡνωμένα. Ὦ σκέπη, καὶ καταφύγιον, καὶ ἄγκυρα κόσμον ὅλον ἐν ἑαυτῇ κρατοῦσά τε, καὶ περισώζουσα. Αὕτη σοι παρ' ἡμῶν ἡ τοῦ λόγου προσένεξις, τὴν σὴν, ὅσον ἡμῖν ἐξῆκει, τιμῶσα μετάστασιν· πρὸς ἣν, παρ' ἐλπίδας τῶν οὐκ εὖ τὰς ἡμετέρας,

A a malis penitus fuerant debellati, opem tulisti : nuncque etiam, nedum illis facilis ades, qui viam divinorum mandatorum insistunt, sed et iis qui contraria via incedunt, ac proinde pœnis se obnoxios reddunt, potens abunde ad protectionem inveneris, eosque a meritis suppliciis eripis.

Reveretur enim Deus sacratissimam Arcam suam, benignumque se exhibet iis, qui benignitate indigni sunt; pœnaque solvit, ac justitiæ lancem declinat, alioque vertit, tui ratione velut personarum acceptator factus, ac manuum extensionem reveritus, quæ ipsi vehiculum fuerunt. Nec enim patitur ut sublatas despiciat; inflectitur ad misericordiam, ac debita clementer remittit, sua dignans placabilitate, quibus merito pœna irroganda erat. B Ergo ubi tu præsens es, nulla adversariis superat loquendi fiducia; nullum tristia locum inveniunt, ubi tui splendoris lætitia affulget. Cum enim a principio in hunc mundum veneris, ut læto magis statu componeres, eamdem semper retines voluptatem, nec unquam beneficia nobis præstare cessas.

Erat Israelitis quoque candelabrum, septenario luminum fulgore conspicuum; et urna, in qua manna servabatur; et virga, virginitatis tuæ præconium, quasi florem emittens; et id genus alia, quibus natio illa merito super omnes nationes sese efferebat. Verum recesserunt hæc omnia, cum inclyto eorum nomine ac majestate. Cum enim te C adumbrarent, adventu fulgoris tui abdita sunt. Tu vero, tanquam perpetuo lumine collustratum candelabrum luceus a peccati tenebrosa morte eruisti, pariter atque eruis. Mundum totum tuarum virtutum floribus bene olentem efficis. Ferens salutis florem, eumdem vitali ex te confecto pane alis. A te indesinenter beneficia, quasi ex fonte manant, jugique illa bonorum scaturigine, calamitatum, quas patimur, impressionem ac cursum cohibes. Dissipantur tristitiæ nubila, dum nitore tuo serenas vitam. Fugantur morbi : periculorum terror in securitatem commutatur : nihil non adest bonorum, ut ipsa velis : nullumque malum quod non propulsetur, modo opem tuleris. Annuit enim in omnibus, ac per te omnia largitur, qui, ut beneficio singulari D figmentum suum afficeret, in hanc te vitam nasci concessit; ex quo nimirum ad interminabilem illam transmittens vitam, communis festi gaudia præbuisti, tum iis quos vita illa in portum receptos, alta fruentes tranquillitate habet : tum iis, quos ista instabilibus et reciprocis quasi fluctibus, hactenus circumagitat. Ut enim illorum pariter, ac nostra Domina, ab utrisque laudaris.

At, o Virgo, et mater, quæ virginitatem et partum, res sic diversas, in te conjunctas ostendisti. O protectio, et perfugium, atque anchora, totum in te mundum tenens conservansque. Hoc ego orationis munus tibi dono, tuæ translationis pro viribus honorandæ gratia : ad cujus solemnitatem, præter spem eorum qui dies vitæ nostræ (quos ipsi

non subministrant) perperam metiuntur, vitæ nostræ curriculum durare voluisti. Tu vero vice hujus muneris et oblationis, da nobis, non vitæ longitudinem (non adeo eam amo, neque insatiabili desiderio hujus amaræ navigationis, et quam conjunctam habet, agitationis, teneor) : sed, si ita decretum, nos ex hac vita subducere, largire, ut peccatorum pondere lever. Quod si diutius in carne manendum erit, etsi hoc scio quibusdam ingratum fore, tu concede, ut et ipsis et nobis fructuose gregem pascam ; simulque mecum pasce, duc et educ ne ad aliorum operum rationem supremo illo examine, damnationis reatus propter subditos accedat : sed ut omnes sicut hic, ita et ibi indesinenter festum diem agamus, et collætemur in illa primogenitorum celebritate : in Christo Jesu primogenito tuo Filio ac Domino omnis creaturæ : quem decet gloria, potestas, honor et adoratio in sæcula sæculorum. Amen.

A οἷον οὐκ εἰσὶ χορηγοὶ, τῆς ἡμῶν βιώσεως ἐπιμετρούντων, τὸν ἡμέτερον βίον διαρκέσαι εὐδόκησας. Σὺ δ' ἡμῖν δοίης ἀντὶ τῆς προσενέξεως, οὐ μῆκος βίου (οὐχ οὕτως ἐρῶ, οὐδ' ἀκορέστως ἔχω τοῦ ἁλμυροῦ τούτου πλοῦ, καὶ τῆς ἐνταῦθα περιφορᾶς), ἀλλ' εἰ κέκριται μεταναστεύειν ἡμᾶς, τοῦ φόρτου τῶν ἁμαρτημάτων τὴν ἐλαφρότητα. Εἰ δὲ καὶ ἔτι, κἂν εἰς ἄχθος ἐνίοις τό γε, παραμένειν δεῖ τῇ σαρκὶ, ἀλλὰ σύ γε παράσχοις λυσιτελῶς αὐτοῖς τε, καὶ ἡμῖν ποιμένειν τὸ ποίμνιον, αὐτὴ καὶ συμποιμένουσα, καὶ συνδιεξάγουσα· ὡς ἂν μὴ ἐπὶ τῇ τῶν ἔργων εἰσπράξει, καὶ ἡ ὑπὲρ ἐκείνων προσέλθοι κατάκρισις· ἀξιοῦσα, πάντας ἅμα κἀκεῖθεν, ὥσπερ καὶ ἐντεῦθεν ἀλήκτως ἑορτάζειν, καὶ συνευφραίνεσθαι ἐν τῇ πανηγύρει τῶν πρωτοτόκων. B Ἐν Χριστῷ Ἰησοῦ τῷ σῷ πρωτοτόκῳ Υἱῷ, καὶ Κυρίῳ πάσης τῆς κτίσεως· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO XV.

Dominica post Pentecosten; ejusdem imp. Oratio, in universæ terræ sanctos universos, quando generis nostri adversarium, suis in certaminibus prostraverunt, et universalis Dei Ecclesia illos honorat.

ΛΟΓΟΣ ΙΕ'.

Κυριακῇ μετὰ τὴν Πεντηκοστήν. Τοῦ αὐτοῦ λόγος εἰς τοὺς ἁπανταχοῦ γῆς ἁγίους πάντας· ὅτε τὸν ἀλάστορα τοῦ γένους οἰκείοις ἄθλοις κατέβαλον, καὶ ἡ παγκόσμιος Ἐκκλησία τούτους τιμᾷ.

(GRETSER., t. XV, p. 329.)

Antea Spiritus sancti ad homines adventum celebrabamus, Verbo jam ad superas sedes profecto. Nunc festum diem nobis constituunt ministri sermonis, qui variis tormentis corpore suo excruciati sunt, ut animæ stolam intactam custodirent. Heri sacrum diem egimus Paracleto, qui ad apostolos descendit, et per ipsos velut perennibus quibusdam fluviis totum terrarum orbem irrigavit. Hodie recolimus immortales illos flosculos, martyres, inquam, quos terra quidem submisit, at cœlum jam recepit. Sed quæ lingua his decantandis satis est sonora? quæ mens satis idonea? Quod si qua angelis est lingua, eam oportebat horum laudes texere. His enim qui luctam supra naturæ vires luctati sunt, quomodo pro meritis et dignitate censeatur illa laudatio, quam natura instituit? Verum plane credendum est, eximios hos athletas celebrari ab angelis, ea, quam ipsi agunt, solemnitate; sed an ideo æquum erit, ut nos qui in terra degimus, quia dicendo tantam excellentiam æquare non licet, penitus ab horum cultu et honore desistamus, et non potius, quidquid vires ferunt, conferre tentemus? Igitur ad exordium oratione revocata, rem ipsam aggrediamur.

Itaque cum jam divina cognitio animas irrigaret, aridum prorsus et omnis humoris expers humanum genus vivebat, quin et ab idololatriæ cultusque inanium deorum flamma absumebatur, et quæ a conditore indita erant semina, non poterant naturæ consentaneos, et quales ex probo semine prodire solent, fructus proferre; sed quidquid succreverat, id peregrinum et alienum erat, et ortus sui manifestiora dabat indicia, quam soleant monstra præbere documenta morbi eorum, a quibus progene-

Πρότερον ἡ τοῦ παναγίου Πνεύματος ἐπανηγυρίζετο πρὸς ἀνθρώπους ἐπιδημία, ἤδη τοῦ Λόγου τὴν εἰς οὐρανοὺς ἄνοδον τελεσαμένου. Νῦν ἡμῖν συγκροτοῦσι τῆς ἑορτῆς τὴν ὑπόθεσιν οἱ ὑπηρέται τοῦ C λόγου ποικίλαις βασάνων ἰδέαις τὸν δερμάτινον χιτῶνα διαξανθέντες, ἵνα τὸ ἀκέραιον τῇ στολῇ τῆς ψυχῆς συντηρήσωσι· χθὲς τὸν Παράκλητον ἐθειάζομεν, ἐνδημοῦντα τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν, ὥσπερ τισὶ ποταμοῖς ἀενάοις τὴν οἰκουμένην ἀρδείας πληροῦντα. Σήμερον, τὰ ἀμάραντα ἄνθη, ἃ γῆ μὲν ἐξανέτειλεν, ὑπεδέξατο δὲ οὐρανὸς, τοὺς μάρτυρας. Ἀλλὰ τίς εὔηχος γλῶσσα; τίς διαρκὴς νοῦς πρὸς εὐφημίαν; εἴ τις ἄρα ἐστὶ γλῶσσα ἀγγέλων, ταύτην ἐχρῆν διαπλέκειν τὴν εὐφημίαν· οἷς γὰρ ὑπὲρ φύσιν, ἡ πάλη, πῶς τούτοις ἀποχρῶν πρὸς τιμὴν ὀφθείη ὁ ἐκ τῆς φύσεως ἔπαινος; ἀλλ' ἄγγελοι πάντως τῇ καθ' ἑαυτοὺς πανηγύρει, τοὺς ὑπερφυεῖς τιμῶσι γεννάδας. Μή ποτε δὲ οὐχ ὅσιον, ἡμᾶς τοὺς ἐν γῇ, ὅτι μὴ τῆς ἀξίας ἐφικνούμεθα, ἤδη παντελῶς D κατολιγωρεῖν τῆς τιμῆς, χρῆναι δὲ μᾶλλον συνεισενεγκεῖν, ὅσον ἧκεν εἰς δύναμιν; Οὐκοῦν, ὥσπερ εἰς ἀρχήν τινα καταστήσαντες τὸν λόγον, τοῦ ἔργου ἐπιληψόμεθα.

Ἤδη μὲν οὖν τῆς ἐπαρδούσης θείας γνώσεως τὰς ψυχὰς, ἄνικμον ἦν παντελῶς τὸ ἀνθρώπινον, εἰδωλομανίας δὲ ἐκέκαυτο πυρὶ, τὰ δὲ ἐντεθέντα παρὰ τοῦ δημιουργοῦ σωτηρίας σπέρματα, οὐδ' ἦν ἀνασχεῖν βλάστην γνησίαν τῆς φύσεως, οὐδ' οἷα προέλθοι ἂν σπέρματος ἀγαθοῦ, ἀλλὰ πᾶν, ὅπερ ἐπεφύκει ἀλλότριον, καὶ ξένον ἦν γνωρίσματος οἰκείου πλέον, ἢ νόσῳ [νόσου] τῶν γεννώντων τὰ τέρατα. Δαιμονίων γὰρ ἔτικτε θεραπευτὰς, καὶ οὐ τῆς δημιουργοῦ τῶν ὅλων αἰτίας, ἁπάντων καταλελοιπό-

των μικροῦ δεῖν ἀνθρώπων τὴν τοῦ Θεοῦ τιμὴν, καὶ πρὸς ἐκείνους μεταταξαμένων. Ἐπεὶ δ' ὁ ἐξ ἀρχῆς πλάσας δι' οἶκτον τὸν ἄνθρωπον, οὐκ ἔφερε βλέπειν τὴν τοσαύτην ἐπὶ τὰ χείρω ῥοπὴν, οὐδὲ τὴν οὕτω πικρὰν τοῦ πλάσματος τυραννίδα, ἀλλ' εὐδόκησεν αὐτὸς γενόμενος ἄνθρωπος, ἐν ὁμοίῳ σχήματι ἐπαμύνειν ἀνθρώποις, ἄρτι μὲν θείου ῥανίσιν αἵματος ἀπεσβέννυτο τῆς εἰδωλομανίας ἡ φλὸξ, ἐδροσίζετο δὲ ἡ τῶν ἀνθρώπων φύσις, καὶ κατὰ βραχὺ πίνουσα τῶν σταγόνων, ἀνέφερε πρὸς ἑαυτὴν, καὶ καρποὺς ἐνηνόχει, οὐκ ἀλλοτρίους, ἀλλ' ἐοικότας, οἷς ἐξ ἀρχῆς ὁ γεωργήσας, ἡμῖν ἐγκατέθετο σπέρμασι. Καὶ ἤδη μὲν κατεπεφρόνηντο δαίμονες, ἐπανῄει δὲ πρὸς τὸν Κτίστην ἡ τιμὴ καλῶς ἀπὸ τῶν κτισμάτων ἀναχωροῦσα. Τοῦτο οὖν ἐπείπερ ἐγεγόνει, ἤσχαλλεν ἀνιώμενον τὸ δαιμόνιον γένος, οὐδ' ἠνείχετο βλέπειν ἐφ' οὕτω χρηστὴν μεταβολὴν ἐπανιόντα τὸν πρὸς τὰ χείρω μετατραπέντα. Διὰ τοῦτο καὶ πρὸς ἀκήρυκτον ἀνηρέθιστο πόλεμον. Καὶ ἐπειδὴ προβάτων, καὶ βοῶν αἵματα τοὺς βωμοὺς ἐπελελοίπει, ἀνθρωπίνοις αἵμασι φύρεσθαι τὴν γῆν παρεσκεύασε. Καὶ ὅτι σφαγίων ἐνεδεῖτο πλήθους, ἐπὶ τὰς τῶν ἀνθρώπων ἐχώρει σφαγάς. Ἀλλ' ἦν δαίμοσιν ὄλεθρος, καὶ τῆς αὐτῶν ἰσχύος καθαίρεσις. Ὅσον γὰρ οἱ κρουνοὶ τῶν μαρτυρικῶν αἱμάτων ἐκενοῦντο, τοσοῦτον τῶν ἐπιβωμίων αἱμάτων αἱ ῥοαὶ ἀνεκόπτοντο, ὅσον τοῖς ἀτμοῖς τῶν μαρτυρικῶν θυσιῶν ὁ ἀὴρ ἡγιάζετο, ἐπὶ πλέον τῆς κνίσσης τὸ δυσῶδες διεσκεδάννυτο.

Ἀλλὰ γὰρ ἁπανταχοῦ τῆς εὐσεβείας ἐξαστραπτούσης τὸ φέγγος, καὶ τῆς σκοτομηνίας ἀπελαυνομένης, ἁπανταχοῦ γῆς ὁ ἄρχων τοῦ σκότους διέτρεχε, καὶ δόγμα ἐγράφετο, ἢ δαίμοσι φέρειν τὸ σέβας, ἢ καταφρονοῦντας τοῦ δόγματος, τοῦ ζῆν ἀπελαύνεσθαι. Εἵλκετο δὴ οὖν ἐπὶ τὰς σφαγὰς τὰ ἀμώμητα θύματα, παρεδίδοτο τοῖς θηρίοις τοῖς πικροῖς τυράννοις τὰ τοῦ Χριστοῦ πρόβατα· πολύτροπος δ' ἦν αὐτοῖς καὶ ποικίλη, ἡ, ὅπως μετέλθοιεν τοὺς ἁγίους, περίνοια. Τοὺς μὲν γὰρ καὶ πρὶν ὀραθῆναι, ὅτι τὴν ἀληθινὴν ὡμολόγουν ζωὴν, τῷ θανάτῳ παρεδίδουν. Ἔχαιρον δὲ, πρὸς αὐτὸν οἱ γενναῖοι ἀγόμενοι, ὥσπερ εἰς ἱερὸν ἀπιόντες, τελειουμένην αὐτοῖς ὁρῶντες τὴν ἔφεσιν. Καὶ αὐτίκα τῷ ποθουμένῳ καθαρώτερον ὁμιλήσειν προσδοκῶντες, μηδὲν ἔτι τοῦ σαρκίνου παραπετάσματος διατειχίζοντος. Τοῖς δὲ [Οἱ δὲ], ὥσπερ φλογὸς καπνὸν, τὸν θυμὸν ὑπέκρυπτον, καὶ συνδιεπλάττοντο πρὸς τὸ ἤπιον, καὶ κηδομένοις ἐῴκεσαν, καὶ φιλούντων ποιεῖσθαι παραίνεσιν· ἔνθεν μὲν προτιθέντες ἀπόλαυσιν τῶν τοῦ βίου τερπνῶν, ἐκεῖθεν δ' οἰκτίζεσθαι λέγοντες, μὴ κακῶς ἀπόλοιντο· νῦν μὲν φείδεσθαι νεότητος ἄνθους οὕτως ἀώρως ἀποκειρομένου, νῦν δὲ μὴ ἀφειδεῖν τοῦ τῆς ἀνδρείας χρήματος, ὃ τιμῶν, καὶ στεφάνων, ἀλλ' οὐ τιμωρίας, οὐδ' αἰκισμῶν ἐστιν ἄξιον. Ναὶ μὴν ἀγαπᾷν καὶ τὰ ἐκ βασιλέως ἀγαθὰ, ἃ δωρεῖται τοῖς ἐκείνου πειθαρχοῦσι τῷ δόγματι. Ἀποβλέπειν δὲ καὶ εἰς τὸ γλυκὺ τῆς παρούσης ζωῆς, καὶ μὴ καθάπερ ἀπομύσαντας,

A rata sunt. Dæmonum enim pariebat cultores, non ejus, qui universa procreavit, omnibus ferme hominibus, ad dæmonum cultum, Deo derelicto, transgressis. Postquam vero is, qui ab initio hominem, misericordia motus, formarat, non tulit, ut ad deteriora semper prolaberetur, et tam duro servitutis jugo figmentum suum opprimeretur; statuit ipsemet opis ferendæ causa, humanam naturam induere, et simili sub imagine inter mortales versari. Et jam guttis divini sanguinis exstinguebatur idololatriæ flamma, et rore cœlesti perfundebatur humana natura, paulatimque stillas combibens, ad seipsam trahebat, fructusque ferebat non peregrinos, sed sibi competentes, quorum semina a primo statim ortu, cœlestis colonus insperserat. Jamque B despicatui erant dæmones, honosque a creaturis ablatus Creatori deferebatur. Quod ubi factum, ira exarserunt dæmones, nec tolerandum putarunt, ut quæ ad pessimum statum devoluta fuerant, restituerentur in optimum. Quocirca etiam ad non denuntiatum bellum suscipiendum irritati sunt; et quia ovium et boum sanguis altaria jam reliquerat, curarunt, ut humano sanguine terra misceretur; et quia deerat jam cæsarum hostiarum copia, ad cædes hominum sese converterunt; quæ tamen dæmonibus interitum attulerunt, et potestatem, qua valebant, destruxerunt. Quanto magis enim fontes sanguinis a martyribus profusi aperiebantur, tanto magis fluenta sanguinis in aris immolati imminuebantur, et quanto magis aer sanctificabatur vapore sacrificiorum, quæ martyres offerebant, eo magis aliorum sacrificiorum nidor dissipabatur.

C Porro cum lux pietatis ubique fulgeret, noctisque caligo pelleretur, ubique locorum princeps tenebrarum circumcursitabat, edictumque exiit, ut aut dæmonibus pietatis cultus tribueretur, aut qui id renuerent, ex vita exterminarentur. Trahebantur ergo ad cædem innoxiæ hostiæ, tradebanturque immanibus belluis, truculentissimis tyrannis, oves Christi, variasque rationes adhibebant, quibus sanctos e medio tollerent. Nonnullos enim trucidabant, etiam antequam constaret, eos veram religionem sequi. Gaudebant autem generosi illi pugiles, quando ad mortem ducebantur, tanquam ad sacrum tabernaculum abeuntes, cum viderent jam desiderium suum perfici, seque e vestigio clarius et prius cum eo, quem desiderabant, versaturos D nullo jam amplius carnis velo interjecto. At erga alios iram, ut flammæ fumum, occultabant, et ad lenitatem sese componebant; et quasi eorum magnam curam gererent, simulabant, et amicas cohortationes instituebant, hinc quidem vitæ hujus jucunditatibus propositis, inde commiseratione, et formidine se angi dicebant, ne male interirent; jam se ætatis flori parcere, ne tam immature demetatur. Jam rogabant, ne adeo nihili penderent ingenitam fortitudinem et invictam dexteram, rem quæ potius digna sit honoribus et coronis, quam suppliciis et pœnis. Et ut imperatoris quoque rationem ducerent, propter munera, donanda iis, qui mandatis ejus morem gererent; utque etiam vitæ hujus

dulcedinem perpenderent, neque clausis oculis ad interitum ruerent. Hæc tyrannorum subdola et malitiosa versutia. His puerilibus commentis tyranni veræ sapientiæ amatores in fraudem impellere studebant. At ex illorum numero alius aliud responsum dabat. Hic clamabat : Nihil eorum, quæ sub aspectum cadunt, me delectat, tota cupiditate ad hoc, ut pro Christo patiar, effusa. Ille vero : Jam occasio adest, ut fortitudinem meam in certaminibus pro rege meo subeundis, demonstrem. Alius : Nunc par est ut, dum flos ævi viget, delicto me sistam, priusquam senio exarescat. Alius animo ad plura diducto, et oratione copiosior talia quædam loquebatur : Sunt quidem pulchra, quæ commemorasti. Pulchra esse, neque nos inficiamur, et a Deo concessa ; ac proinde gratias eidem merito persolvimus. At qua ratione gratias ageremus, si nimia horum cupiditate ab illo sejungeremur? Quomodo mens illa gnara pulchri vocari potest, quæ donum honorat, donantem aspernatur? Pulchra sunt ista ; sed si quis totam suam cogitationem ad ea convertit, et propter eorum amorem, ejus qui vere pulcher est, amorem exstinguit, iste et pessimus sibi ipsi efficitur, et miser ob voluptatem, quam inde capit, et longe adhuc miserior ob pœnas, quas dum rebus modice sensum titillantibus inhiat, sibi asciscit. Nequaquam igitur opportuna est animi vestri in nos benevolentia, neque enim quidquam emolumenti affert. At hæc dulcia sunt, mentemque devinciendi vim habent. Sed pulchritudo animæ est incomparabilis. Non decet, ut quis præstantiore relicto, circa deterius studium et operam ponat. Suavis est præsens vita ; sed neque umbram ejus, quæ nos exspectat, vitæ complectitur. Non finiuntur res nostræ præsentibus. Exspectat nos alia vita, cujus finis nullus. Non abit in nihilum etiam isthæc nostra ex luto ficta effigies, etiamsi perpetuo quasi radatur, multoque minus anima ; sed hanc quidem insolubilis status manet ; huic vero per dissolutionem, quæ cernitur, transitus paratur ad statum indissolubilem. Et animæ quidem, si a vera cognitione non aberret, in beatorum sedibus commoratio jam decreta est ; at si ad contrarium vergat, pœnis sese obnoxiam reddit : corpus autem necessario aut bonis aut malis, quibus ipsa, perfrueretur. Si igitur in præsenti vita pulchritudinem animæ conservemus (conservabimus autem si pietatem non prodamus), hoc ipso etiam corpori meliorem formam et conditionem conciliabimus. Quod si patiamur animam in impietatem prolabi, et huic et illi insidias tetendisse jure optimo feremur. Quid igitur illa nobis affertis, quæ neque altera parte pulchrum respiciunt? Quod si et vobis ea quæ delectant, cordi sunt, quærite viam quæ ad vere delectabilia ducit. Sin minus, nobis autem tota cogitatio nostra ad illa tendit, ne præsentia proponite : nihil nos inde abstrahere potest, sive voluptatem, sive tristitiam pariat. Quid gloriam nobis pollicemini, cujus domini non estis? Quid datis,

A χωρεῖν πρὸς τὸν θάνατον. Ταῦθ' ἡ τυραννικὴ κακεντρέχεια. Τούτοις ἡ παιδαριώδης τῶν τυράννων ἐπίνοια, τῆς ἀληθινῆς σοφίας τοὺς ἐραστὰς ἐπειρᾶτο παραλογίζεσθαι. Τῶν δὲ ἄλλος ἄλλην ἱερὰν ἠφίει φωνήν. Ὁ μὲν γὰρ ἔλεγεν· Οὐδὲν τῶν ὁρωμένων ἐμοὶ τερπνὸν, ὅλης τῆς ἐπιθυμίας, εἰς τὸ παθεῖν ὑπὲρ Χριστοῦ κεκενωμένης. Ὁ δὲ, Νῦν ἐπιτήδειον ἥκειν μοι τὸν καιρὸν, τὸ ἀνδρεῖον ἐν τοῖς ὑπὲρ τοῦ ἡμετέρου βασιλέως ἀγῶσιν ἐνδείξασθαι. Καὶ ἄλλος· Νῦν προσῆκεν ἐν ἄνθει τῆς νεότητος ὀφθῆναι τῷ ποθουμένῳ, πρὶν ἢ καταμαρανθῆναι τῷ γήρει. Ἕτερος δὲ ἐπιπλέον κινούμενος τὴν διάνοιαν, καὶ οἷον ῥέων τῷ λόγῳ, τοιαῦτά τινα ἐφθέγγετο· Εἶναι μὲν ταῦτα καλὰ, ἅπερ ἔφης, καλὰ καὶ ἡμεῖς σύνισμεν, καὶ παρὰ Θεοῦ δεδόσθαι μέντοι, ἐφ' ᾧ B χάριν εἰδέναι· πῶς δ' ἂν εἰδείημεν χάριν, εἰ τῷ πόθῳ τούτων ἐκείνου διαζευγνύμεθα; ποῦ δὲ φρενὸς εἰδυίας καλὸν, τὸ μὲν δῶρον ἐθέλειν τιμᾷν, τῆς δὲ τοῦ δεδωκότος τιμῆς καταλιγωρεῖν; καλὰ ταῦτα. Ἀλλ' εἴτις ὅλον τὸν νοῦν πρὸς αὐτὰ στρέφοι, καὶ τούτων ἔρωτι τοῦ ὄντως καλοῦ τὸν ἔρωτα ἀποσβέσοι, οὗτος κάκιστος μὲν ἑαυτῷ, ἄθλιος δὲ τῆς ἀπολαύσεως, ἀθλιώτερος δὲ τῆς ζημίας, ἣν ἐπὶ μικρὰ δελεάζουσιν, ἀντελέξατο· οὐκ οὖν ὑμῖν ἐν καιρῷ τὸ τῆς γνώμης κηδόμενον (οὐ γὰρ κτῆσιν ἀγαθῶν εἰσηγεῖται) ἔχει τι ταῦτα θελκτήριον, καὶ ὑπαγωγὸν, ἀλλὰ τὸ κάλλος ἀσύγκριτον τῆς ψυχῆς. Οὐ δεῖ, τοῦ κρείττονος ἀφεμένους, περὶ τὸ ἧττον τὴν σπουδὴν ἐπιστρέφειν. Γλυκὺς ὁ παρὼν βίος, ἀλλ' οὐδὲ C σκιὰν τῆς ἡμῖν ἀποκειμένης γλυκύτητος ἀναπληροῖ. Οὐ μέχρι τούτων ἕστηκε τὰ ἡμέτερα. Ἐκδέχεται ἡμᾶς ἄλλη ζωὴ, ἧς οὐχ ἅπτεται λύσις. Οὐκ οἴχεται πρὸς τὸ μὴ ὂν, οὐθ' οὗτος ἡμῶν ὁ πήλινος ἀνδριὰς, κἂν ξέηται διαπαντὸς, οὔτε πολλῷ πρότερον ἡ ψυχὴ, ἀλλὰ τῇ μὲν ἄλυτος ἡ διαμονὴ, τῷ δὲ, διὰ τῆς ὁρωμένης λύσεως, πρὸς τὸ ἄλυτον ἡ μετάβασις· καὶ τῇ μὲν μὴ ἀπολισθούσῃ τῆς ὄντως γνώσεως, ἐν μακαρίᾳ μεταστάσει ἡ διαγωγὴ, ὑπαχθείσῃ δὲ πρὸς τοὐναντίον, λῆξις ἀπαντᾷ τιμωρίας· τῷ δὲ ἀνάγκη συναπολαύειν, ὧν ἂν ἐκείνη δεξιῶν, ἢ φαύλων μετέχοι. Εἰ μὲν οὖν ἐν τῷ παρόντι τὸ κάλλος τηρήσομεν τῆς ψυχῆς (τηροῖτο δ' ἂν, εἰ μὴ προδοίημεν τὴν εὐσέβειαν), ἔσται ἡμῖν, ἔσται καὶ ταῦτα δὴ τὰ τοῦ σώματος ἐν ἀμείνονι διαμειβόμενα σχήματι. Εἰ D δὲ τῇ ψυχῇ παραχωρήσομεν τὰς τῆς ἀσεβείας κῆρας, λυμήνασθαι, καὶ ταύτῃ, κἀκείνῳ ἐπιβουλεύοντες ἂν ὀφθείημεν. Τί οὖν ἐκεῖνα ἡμῖν εἰσηγεῖσθε, ἃ μηδ' ἑτέρῳ μέρει πρὸς καλὸν ὁρᾷ; Εἰ μὲν καὶ ὑμῖν μέλει τῶν τερπνῶν, ζητήσατε τὴν ὁδὸν, ἣ διαβιβάζει πρὸς τὰ ὄντως τερπνά. Εἰ δὲ μὴ, ἀλλ' ἡμῖν γε ὅλον τὸ φρόνημα πρὸς ἐκεῖνα μεταθεμένοις, μὴ τὰ παρόντα προτείνετε. Οὐδὲν ἡμᾶς ἐκεῖθεν μεθέλκειν δύναται, οὐχ ὅσα φέρει τέρψιν, οὐχ ὅσα λυπεῖ. Τί δόξαν ἡμῖν ὑπισχνεῖσθε, ἧς οὐκ ἐστὲ κύριοι; τί δίδοτε, ἃ καὶ ὑμᾶς θᾶττον ἀπολείπει; τί δ', ὡς φοβερὸν, τὸν θάνατον ἀπειλεῖτε, ὃς μᾶλλον ὑμῖν ἀπαντᾷ φοβερός; ἓν ἡμῖν τερπνὸν, τὸ μετὰ Χριστοῦ εἶναι. Ἓν δὲ φοβερὸν, τὸ, ἐκείνου χωρίζεσθαι. Ταῦθ' ὁ μέν τις τῶν ἀθλητῶν, οἷον νιφάδας ἀφιεὶς εἰς ἀφωνίαν

περιέστη τὰς συνηγέρους τῆς πλάνης γλώσσας. Ἕτερος δὲ, τὰ μέλη προύτεινε πρὸς ἐκτομὴν, καὶ πρὸς τὴν σφαγὴν τὸν αὐχένα ἐδίδου, καὶ μὴ μέλλειν πρὸς τὴν πεῖραν τῶν βασάνων παρεκελεύετο.

A quæ vobis ipsis forte desunt? Quid tanquam terrificam mortem minamini, quæ vobis magis formidanda venit? Unum nobis jucundum est, esse cum Christo. Unum formidandum, separari ab ipso. Hæc unus ex athletarum numero prolocutus, silentium imposuit erroris advocatis. Alius vero membra protendebat, ut amputarentur, et cervicem, ut præcideretur, cunctantesque ad tormenta inferenda excitabat.

Ἀλλ' ἡ μὲν τῶν προμάχων τῆς ἀληθείας, οὕτως ἀκατάπληκτος παῤῥησία. Ἡ δὲ ποικίλη τῶν δικαστῶν κακόνοια. Τοῖς μὲν εὐθέως ἐπηφίει τὰ δεινὰ, καὶ διὰ τῶν παλαισμάτων ἐλάμβανε δοκιμὴν τῆς τε ἀηττήτου τῶν ἀθλητῶν ἀνδρείας, καὶ τῆς σφῶν ἥττης. Οἱ δὲ καίτοι πρὸς φόνους τεθηγμένοι, καὶ ἥδιστα τοῦ μαρτυρικοῦ ἂν αἵματος πιόντες, ἢ ὕδατος, ἔτι τὸ μειλίχιον ὑπεδείκνυον, καὶ τῶν βασάνων ἀνεῖχον τὴν πεῖραν, καὶ πρὸς λαβὰς λόγων, πράως δοκοῦντες ἔχειν, ἔτι συνεπλέκοντο. Εἰ καὶ ὑμῖν λέγοντες, οὐ βουλομένοις ὁρᾷν τὸ συμφέρον, περισπούδαστός ἐστιν ὁ οὕτω πικρὸς θάνατος, ἀλλ' ἡμᾶς γε οἶκτος εἰσέρχεται, καὶ οὐ βουλόμεθα κακῶς ὑμᾶς ὀλωλέναι. Ἐχρῆν δὲ μᾶλλον, ὥσπερ διακαθᾶραι τῷ ἐκ λόγων φωτὶ τὴν περισχοῦσαν ὑμᾶς πλάνην, ὡς ἂν οὕτω τῆς ἐπικινδύνου δόξης ἀποστάντες, θεούς τε μεθ' ἡμῶν τιμῴητε, καὶ τῶν βασιλέως ἀγαθῶν κοινωνοίητε. Ἰησοῦς μὲν γὰρ ἐκεῖνος, ὃν ἑαυτοῖς βασιλέα χειροτονεῖτε, τὸν τῶν κακούργων θάνατον ὑποστὰς, οὐκ ἴσχεν αὑτὸν βοηθεῖν. Πῶς οὖν ὑμῖν ἐπαμύνει, ὃς μηδ' αὑτῷ ἤμυνεν; ἢ πῶς τῶν εἰς τιμὴν ἡκόντων τι μεταδῷ, ὁ οὕτως ἀτίμως θανών; ἐπίγνωτε τοὺς εὐεργέτας καὶ σωτῆρας θεούς. Οὐχ ὁρᾶτε, ὅθεν τὰ κάλλιστα παραγίνεται; Ἥλιος οὑτοσὶ τὰ πάντα πληροῖ φωτὸς, πάντα πληροῖ ζωῆς. Ἀγνοεῖτε τούτου τὴν δύναμιν; Οὐ νὺξ, καὶ ἡμέρα τοῖς ἐκείνου ἀκαμάτοις δρόμοις μερίζεται; Οὐ τῶν θαυμασίων ὡρῶν, αἳ ὥσπερ σεμναί τινες κόραι ἀλλήλαις περιχορεύουσιν, οὗτός ἐστιν αἰτιώτατος; Ἆρ' ὀλίγου τινὸς ἄξια ταῦτα, καὶ οὐ θείας τιμῆς; Οὐδὲ σελήνην ἴστε, ὅσα ἀνθρώποις χαρίζεται; ὅσα συμβάλλεται τῷ παντί; Προσφέρειν οὖν δεῖ καὶ ταύτῃ τὸ σέβας· ναὶ μὴν καὶ τοῖς ἄλλοις φωστῆρσιν, ὧν ἡ ἐπιτροπὴ διοικονομεῖ τὰ ἀνθρώπινα· ἐπὶ πᾶσι δὲ, τῷ θεῶν ὑπάτῳ Διὶ, ὃς ἁπάντων εἴληχε τὴν ἀρχήν.

Sed hæc quidem veritatis propugnatorum adeo imperterrita loquendi libertas erat. At judices improbi hos sine mora tormentis subdebant, ipsisque certaminibus experimentum sumebant et de invicto athletarum robore, et de sua clade et victoriæ amissione. Alii vero quamvis cædium cupidi, magisque sanguinis martyrum, quam aquæ sitientes, blanditias adhuc adhibebant, et a cruciatibus abstinebant, et ad tendiculas verborum, quo clementes B esse viderentur, sese convertebant. Licet vobis, aiebant, nolentibus cernere id quod conducibile, amara mors expetenda videatur, at nos misericordia vestri tangit; neque vos male perire volumus. Satius autem erat, ut velut orationis lumine eam, quæ vobis circumfusa est, deceptionem expurgaretis, ut sic deserta periculosa persuasione, deos nobiscum coleretis, et bonorum, quæ imperator largitur, participes essetis. Nam Jesus ille, quem vobis regem legitis, maleficorum morte subita, sibi ipse opem ferre nequit. Quomodo igitur vobis succurret, qui sibi non fuit auxilio? Aut quomodo is, qui tam ignominiosam mortem oppetiit, gloriæ aliquid conferet? Agnoscite benefactores et servatores deos. C Nonne videtis, unde pulcherrima quæque fluant? Sol iste omnia implet lumine, omnia implet vita. Num vim ejus ignoratis? An non nox et dies indesinenti ejus cursu distinguitur? An non admirabilium horarum, quæ velut decoræ puellæ choreas sibi mutuo succedentes agitant, iste vel maxime est effector? An hæc exiguo honore, et non divino digna sunt? Nec quanta luna hominibus præstet, nostis? quanta commoda rerum universitati progignat? Oportet ergo, ut et hæc debito cultu colatur, imo et aliis luminaribus, quorum munere humana administrantur, cultus est exhibendus. Præ omnibus autem, divum supremo Jovi, cui imperium in omnes commissum.

Πρὸς ταῦτα οἱ μὲν τῶν μαρτύρων, σιωπῇ τὴν αὐτῶν πλάνην κατέστενον. Οἱ δὲ καὶ δάκρυσι κατελείβοντο, τοῦτο μὲν τοῦ Δημιουργοῦ τὴν ὕβριν οὐ φέροντες ἀδακρυτὶ, τοῦτο δὲ, καὶ τοὺς πλανωμένους τῆς ἀπονοίας οἰκτείροντες. Ἄλλος δέ τις γλῶσσαν πολύφθογγον ἀνακινήσας τῷ Πνεύματι, τῶν λόγων τὸ μάταιον, λόγοις ἀληθείας ἐῤῥάπιζε. Περὶ μὲν τῆς τοῦ ἡμετέρου βασιλέως δυνάμεως λέγων· Ὦ δικαστὰ, ὃν ἔφης τὸν τῶν κακούργων θάνατον ὑπομεῖναι; εἴγε βουλομένῳ σοι ὁ λογισμὸς πρὸς τὸ ὕψος αὐτοῦ τῆς μεγαλειότητος ἐνατενίζειν, ἔγνως ἂν οἷός τίς ἐστι τὴν δύναμιν, καὶ τὸν θάνατον, ὃν χλευάζεις, ἡλίκην ζωὴν προεξένησεν; Ἀλλ' οὐ φίλον ὑμῖν ἀπηλλάχθαι τῆς φίλης πλάνης. Οἷς δὲ περί τε ἡλίου καὶ τῶν ἄλλων συνείρεις, οὐκ ἀγνοοῦμεν τοὺς λό-

His auditis, martyrum nonnulli silentio errorem D deplorabant: aliis ubertim lacrymæ manabant, partim quia tantam in Creatorem injuriam absque lacrymis ferre non poterant; partim, quia deceptos istos ob amentiam miserabantur. Alius autem reserata diserta lingua per Spiritum, orationis vanitatem, dicendi veritate castigabat his et similibus verbis: De nostri Regis potentia, o judex, quem ais maleficorum necem subiisse, si tibi collibitum esset paulo attentius cogitare, et in magnitudinem ejus oculos defigere, intelligeres utique ejus vim simulque, qualem vitam, mors, quam rides, pepererit. At non gratum est vobis, ut ab errore grato liberemini. Quod vero de sole et aliis affers, non ignoramus, quos terminos a Creatore præfixos ha-

beant, neque id nos fugit, quanta ab his, tanquam ministris, creatura hac inferiore superioribus, bona proveniant. Sunt enim nobis oculi ad hoc perspiciendum satis perspicaces. Quocirca existimationem quam merentur de illis habemus, et pulchra hæc fatemur, rerumque pulcherrimarum causas; quidni enim, cum sint optimi opificis effecta? At apud vos, ut honor ipse, quem his defertis, contra omnem est rationem, ita et causa honorandi. Nam quas tandem de illis opiniones concepistis? Siderum enim quædam nunc optima quæque efficiunt. Et nunc quidem cum in hac parte volvuntur, necessariam vim et efficaciam ad res gignendas exserunt; at cum inde abscedunt, simul etiam vis et efficacitas abscedit. At par non est hujusmodi de Deo cogitationem suscipere. Sed mittamus hæc. Cæterum affirmare, ea, quæ animum improbum reddunt, ex eorum constitutione ad animum pervenire fatali quadam necessitate, quomodo non præter summam impietatem omnisque Dei abnegationem, omnium mortalium, qui legibus reguntur, et vestro etiam sensui penitus repugnat? Non enim arbitror eo nequitiæ quemquam processisse, ut Deum bonum esse abnuat. Qua igitur ratione a bono mala provenient? Sin minus, poteris et ignem causam caloris nominare, et lucem tenebrarum. At non fatebitur hoc, cui mens sana. Qua de causa leges fers, quæ improbis pœnas decernunt? Si enim stellarum constitutionibus hujusmodi voluntatis propositum ascribendum est, cur pœnas poscis qui ut maxime voluisset, facinus tamen illud vitare nequivisset? Vides quomodo non tantum de Deo convenienter non sentiatis, sed et vestra dogmata evertatis. At nos quemadmodum dixi, pulcherrima Dei opera esse profitemur; et pulcherrima quæque producere, idque ex commissa functione quam a primo ortu a rerum Conditore acceperunt. Vos vero haud scio, quonam consilio ducti, ei cui honor adimi nequit, honorem abrogare tentatis, et illis, quibus divini honoris nulla communio, quasi eo dignissimis, eumdem impertitis. Quo testimonio permoti, divinis honoribus afficitis? Qualem vero vim et potentiam, quæ divinam naturam testetur, in ipsis intuiti, divinam appellationem eis tribuistis? Splendidus est sol iste, vitalique actione præditus. Eximia hæc sunt, planumque faciunt, solem inter res creatas eximium locum obtinere. Sed tanta non sunt, ut ad divinitatem evehant. An non cernitis, quantis subjaceat affectionibus? Quo jure tales affectus et mutationes Deo assignabis? An non videtis, quomodo actio ejus dispertiatur? At quæ sana mens ullam partitionem in Deo statuit? Diversitas autem temporis, quam cursu suo efficit, quomodo non et ipsa servitutem, quam servit, testatur? Quid enim Deo opus est locorum diversitate, ut jam hoc, jam aliud agat? Quin et per hæc ipsa tantum non vocem edit; sed surdi eam non exaudiunt.

Quam inenarrabilis est ratio, qua sidera sunt

A γους, οὓς αὐτοῖς ἔθετο ὁ Δημιουργός· οὐδ' ὅσα χορηγεῖ δι' αὐτῶν, ὡς λειτουργοῖς ἀναβεβηκόσι τὴν ἄλλην ὑποβεβηκυῖαν διατάττων κτίσιν. Ἔνεισι μᾶλλον ἡμῖν ὀφθαλμοὶ τηλαυγέστερον διαβλέποντες.

Διὰ τοῦτο καὶ τοὺς προσήκοντας αὐτοῖς ἁρμόζομεν λόγους, καὶ καλὰ μὲν ταῦτά φαμεν, καὶ τῶν καλλίστων παραίτια. Πῶς γὰρ οὐκ ἔμελλε τοῦ ἀγαθοῦ ὄντα δημιουργήματα; ὑμῖν δὲ ὥσπερ παράλογος ἡ περὶ ταῦτα τιμὴ, οὕτω πολὺ τὸ παράλογον ἔχει καὶ ὁ τῆς αἰτίας λόγος. Οἷα γὰρ καὶ δοκεῖ ὑμῖν περὶ τούτων; νῦν οἱ μὲν αὐτῶν τὰ καλὰ φέρουσιν ὑμῖν· νῦν δὲ οἱ αὐτοὶ πάλιν τῶν χειρόνων εἰσὶ δημιουργοί. Καὶ νῦν μὲν ἐν τούτῳ μέρει ἐπιβατεύοντες, ἄμαχον ἔχουσι τόδε τι γενέσθαι ῥοπήν· νῦν δὲ ἐκεῖθεν ἀναχωροῦντες, ἀναχωροῦσαν ἔχουσιν τὴν B δύναμιν. Οὐ γὰρ ἄξιον, τοιαύτας περὶ τοῦ Θείου φέρειν τὰς ὑπολήψεις. Ἀλλὰ ἀφείσθω τοῦτο. Τὸ δ' ἐκεῖθεν φάσκειν, ἃ τὴν ψυχὴν κακύνει, ἐπ' αὐτὴν ἥκειν, ὥσπερ τινὶ ἀναγκαίῳ κλήρῳ τῷ αὐτῶν σχήματι, πῶς οὐ παντάπασι, μετὰ τοῦ νοσεῖν ἀθεότητα, καὶ ταῖς ἁπάντων ἀνθρώπων, ὅσοι νόμοις ἄγονται, δόξαις, καὶ ταῖς ὑμῶν αὐτῶν πολεμιωτάτους ἀποφαίνει; Ἀγαθὸν μὲν οὖν εἶναι τὸν Θεὸν, οὐκ ἂν ἐπὶ τοσοῦτον κακίας οἴομαί τινα ἐλάσαι, μὴ κατάθεσιν δοῦναι. Πῶς οὖν ἐκ τοῦ ἀγαθοῦ γένοιτ' ἂν τὰ κακά; Εἰ μὴ ἄρα σὺ καὶ τὸ πῦρ ψύχους αἴτιον φήσαις, καὶ τὸ φῶς σκότους. Ἀλλ' οὐχ ὁμολογεῖ τοῦτο ὑγιαίνουσα αἴσθησις. Τί δὲ καὶ γράφεις νόμον δίκας τοῖς φαύλοις ὁρίζοντα; Εἰ γὰρ τοῖς C τῶν ἀστέρων σχηματισμοῖς ἀναγκαίως ἡ τοιάδε προαίρεσις συνηνέχθη, τί δίκην οὗτος εἰσπράττεται, ὑπὲρ οὗ καὶ βουληθέντι φυγεῖν τὴν πρᾶξιν, οὐκ ἦν ἄλλως γενέσθαι; Ὁρᾷς, ὅπως μετὰ τοῦ μὴ σώζειν τὴν Θεῷ πρέπουσαν δόξαν, καὶ τὰ ὑμῖν δοκοῦντα, καταλύετε; Ἡμῖν δὲ, ὥσπερ εἴρηται, κάλλιστά τε νομίζεται Θεοῦ δημιουργήματα, καὶ τὰ κάλλιστα ποιεῖν τὴν οἰκείαν πληροῦντα λειτουργίαν, ἣν ἐξ ἀρχῆς διέταξεν ὁ Δημιουργήσας. Ὑμεῖς δὲ, οὐκ οἶδ' ὅ τι δοκοῦν, οὗ μὲν ἀναφαίρετος ἡ τιμὴ, τοῦτον πειρᾶσθε ταύτης ἀποχειροτονεῖν, οἷς δὲ οὐδ' ὁτιοῦν μέτεστι ταύτης, ὡς αὐτοῖς διαφέρουσαν ἀνατίθετε. Τί οὖν ἐχέγγυον λαβόντες, θείας αὐτὰ τιμῆς ἀξιοῦτε; Ποίαν δὲ δύναμιν, ἢ Θεῷ προσμαρτυρεῖται, κατανοήσαντες ἐν αὐτοῖς προσηγορίας μετ- D έδοτε; Λαμπρὸς οὗτος ὁ ἥλιος, καὶ ζωογόνους ἐνιεὶς ἐνεργείας. Ἐξαίρετα ταῦτα, καὶ μαρτυρεῖ κτισμάτων αὐτὸν εἶναι ἐξαίρετον. Ἀλλ' οὐκ εἰς θειότητά ποθεν ἀναβιβάζει. Οὐχ ὁρᾶτε, οἷς ὑποπίπτει πάθεσι; Ποῦ δ' ὅσιον πάθος προσνέμειν Θεῷ; Οὐχ ὁρᾶτε, μεριζομένην αὐτοῦ τὴν ἐνέργειαν; Ποῦ δὲ φρενὸς ὑγιοῦς, μεριστὸν ἐν θείᾳ φύσει νοεῖν; Τὸ δὲ διάφορον τῶν ὡρῶν, ἃς τῷ διαφόρῳ δρόμῳ ποιεῖ, πῶς οὐχὶ καὶ τοῦτο τὴν δουλείαν αὐτοῦ βεβαιοῖ; Τί γὰρ δεῖ Θεῷ τόπων διαφορᾶς, ἵνα νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο ποιήσῃ; Ἀλλὰ καὶ διὰ τούτων μονονουχὶ φωνὴν ἀφίησιν· ἐπαΐειν δὲ ἄρα οὐ δύνανται οἱ κωφοί.

Ὡς ἀπόρρητος λόγος δημιουργίας αὐτῶν, τὰς δια-

φόρους ἐπιτρέπει μεταβάσεις, εἰς ἐργασίαν τῆς τῶν A ὡρῶν εὐταξίας. Θαυμαστόν τι καὶ σελήνη χρῆμα, καὶ χορηγὸς ἀνθρώποις θαυμασίων, λευκαίνουσά τε τὸ σκυθρωπὸν τῆς νυκτὸς, καὶ ἄλλα ἄττα διακονουμένη, ἀλλ' ὁμολογεῖ καὶ αὐτὴ τὴν δουλείαν, καὶ σιωπῶσα τὴν ἔνδειαν κέκραγεν. Οἷς μὲν λαμβάνουσα μεταδίδωσι τοῦ φωτὸς, οἷς δ' οὐ λαμβάνουσα, οὐκ ἔχει, τί μεταδῷ. Συμπληροῦσί γε μὴν τῷ παντὶ χρείαν καὶ φωστῆρες ἄλλοι. Συμπληροῦσι δ' οὐχ ἣν ὁ μάταιος δίδωσι λόγος, οὐδ' ἣν ἀποκληροῖ τούτοις ἡ πλάνη δεσποτείαν, ἀλλ' ὑπηρετικήν τινα τοῦδε τοῦ παντὸς διακόσμησιν. Μὴ τὴν εὐγένειαν ἀφαιρεῖσθε ἑαυτοὺς, ἣν χειρὶ Θεοῦ πλασθεὶς τετίμηται ἄνθρωπος, καὶ οὕτω κακῶς ἀγαθοὶ δοῦλοι κτισμάτων γίνεσθε, μὴ τῆς προαιρέσεως τὸ ἐλεύθερον καταδουλοῦντε. Τίνα γὰρ ἔχει λόγον, ἄρχειν τῆς ἐν ἡμῖν αὐ- B τεξουσίου ὁρμῆς, ἃ προαιρέσεως ἀμοιρεῖ; Ἀλλ' ἦν ἄρα καὶ τοῦτο ἀκόλουθον, ἐκπεπτωκότας τῆς Θεοῦ οἰκειότητος, καὶ σφῶν αὐτῶν ἐκπεσεῖν. Ἵνα μὴ μόνον Θεοῦ, ἀλλὰ καὶ ἑαυτῶν ὄντας ἀλλοτριωτάτους, παντάπασιν ἀβοηθήτους ὄντας ἡ πλάνη ἀνδραποδίζοι, πρὸς μηδεμίαν ἔχοντας ἐπιστροφὴν ἀνενεγκεῖν. Οὐκ ἀπέχρη δ', ὡς ἔοικε, τὸ ἐν ἀγνοίᾳ εἶναι μόνον τοῦ ὄντος Θεοῦ, ἀλλ' εἰ καὶ μὴ πλήθη θεῶν ἐξεύροιτε, οὐδέν τι μέγα ᾤεσθε διανοηθῆναι. Ὡς καὶ νῦν ἐπιτάσσετε θεοὺς τιμᾷν. Δεῖ γὰρ, ὡς ἔοικε, πλήθη θεῶν ἐφιστάνειν ὑμᾶς, ἵνα μὴ τῶν ἐπιτροπευόντων ἀσθενείᾳ κάμοι τὰ πράγματα. Ἀλλὰ κακῶς μὲν τῆς ἀληθοῦς γνώσεως Θεοῦ παρηνέχθητε, πολὺ δὲ χεῖρον τὸ ἓν τῆς θεότητος, εἰς πλῆθος ἀπομερίζετε. Ἀφθο- C νίαν γὰρ θεῶν ἀνευρίσκοντες, εἰς τὸ παντελῶς ἄθεον περιίστασθε. Παντὶ μὲν οἶμαι, τῷ περὶ Θεοῦ ἀδιαστρόφου ἐννοίας σώζοντι χρῆναι ἀνομολογεῖσθαι, ἀπροσδεῆ τε εἶναι τὸν Θεὸν, καὶ ἐπὶ πάντα τὴν αὐτοῦ ἐξαρκεῖν δύναμιν, μηδενὶ πέρατι ὁριζομένην. Εἰ μὲν οὖν τοιαύτη τις ἔννοια ὑμῖν ἐνέσπαρται, τί κοινωνοὺς αὐτῷ τῆς ἐξουσίας προσνέμετε; Μᾶλλον δὲ πῶς οὐ γέλως, κοινωνίαν ἐξουσίας δωρεῖσθαι, οἷς κατ' οὐδὲν ἔσται ταύτης μετέχειν, ἁπάντων ὑπὸ τῷ πρώτῳ περιδεδραγμένων; Εἰ δ' ὅ τί ποτε πρώτην ἀρχὴν οἴεσθε, εἴθ' ὁ ὕπατος ὑμῖν Ζεὺς, εἴτε τις ἄλλος, οὐ διαρκής ἐστι καθ' αὑτὸν, καὶ διὰ τοῦτο, δεῖ κοινωνοὺς λαβεῖν αὐτὸν τῆς ἀρχῆς, πῶς ἂν εἴη Θεὸς, ὃς παραπλησίως ἀνθρώποις οὐκ ἀποκεχώρηκεν ἀσθενείας, ἀλλ' εἰς τὰ δοκοῦντα, δεῖται τοῦ ἐπικουρήσον- D τος; ἢ πῶς συνάρχειν ἑτέρους ἐγκαθιστῶντες αὐτῷ, οὐχ ἅμα τε τοῦτον τῆς ἀρχῆς ἀφαιρεῖσθε, καὶ οὓς συνάρχειν καθίστασθε; Εἰ μὲν γὰρ πάντες ὁμοίως ἄρξουσι, τί τούτου μᾶλλον, ἢ ἐκείνων ἡ ἀρχή; Εἰ δὲ μὴ πάντες ὁμοίως, πῶς ἐν ᾧ ὑποβεβήκασιν, οὐκ ἐν τῇ τῶν ἀρχομένων εἶεν μερίδι; Ὁ δὲ μὴ ἄρχει, πῶς ἂν εἴη Θεός; Οὕτως ὑμῖν τὸ ἄθεον τῷ πολυθέῳ συνέρχεται· οὐδαμῶς οὖν χρὴ εἰς πλῆθος τὸ Θεῖον ἀπομερίζειν, οὐδὲ ἐξ οὗ τοῖς ἄλλοις ἡ μετοχὴ τοῦ ἑνὸς, ἐκεῖθεν γὰρ κάτεισι τὸ ἓν ἐν τοῖς σκεδαστοῖς, τοῦτο ἀποστερεῖν, ὃ δίδωσι τοῖς ἄλλοις. Μὴ τομαῖς τὸ ἑνιαῖον τῆς κυριότητος ὑποβάλλετε. Μηδὲ, τὸ μέν τι ταύτης ὑπερκεῖσθαι, τὸ δ' ὑποβεβηκέναι νομίζοιτε; μηδὲ ἀφελόμενοι τοῦ Κτίστου τὴν προσκύνησιν, τοῖς κτί-

A procreata. Variis transitionibus et mutationibus ea instruxit, ut temporis aptissimum ordinem efficiant. Luna itidem res plane est admiranda, rerumque admirabilium suppeditatrix, quæ noctis caliginem illustrat, et id genus alia multa præstat. Sed et ipsa servitutem suam fatetur, et clara voce egestatem suam contestatur, dum lumen, quod accipit, communicat, et, si nihil aliunde sumat, nihil communicat. Alia quoque cœli sidera mundo huic ministerium suum exhibent; quod tamen non consistit in eo modo, quem vana ratio comminiscitur, neque in potestate, quam error eis ascribit, sed in facultate quadam huic rerum universitati subserviendi. Ne vosmetipsos spolietis insita nobilitate, qua Conditor hominem exornavit. Ne tam improbe B in creaturarum servitutem concedatis. Neque libertatem arbitrii in servitutem redigite. Qua enim ratione astrui potest, ea quæ libero arbitrio carent, jus et potestatem in nostrum liberum arbitrium habere? At consequens erat ut, postquam a Dei familiaritate et conjunctione exciderant, exciderent quoque a semetipsis, et non solum a Deo, sed a seipsis alienissimi efficerentur, ut omni ope destitutos error magis in captivitatem abriperet, nullo penitus, quo se reciperent, perfugio relicto. Non sufficiebat autem vobis, ut videtur, ignorantia unius et veri Dei, sed nisi ingentem deorum multitudinem excogitaretis, nihil laude dignum vos reperisse existimabatis. Quos etiam ut honoremus imperatis. C Oportet enim vos, ut apparet, magnum deorum numerum rebus præficere, ne curatorum et præsidum imbecillitate res male administrentur. Porro prave quidem a vera Dei cognitione abducti estis. Longe vero pejus unitatem Dei in plures secuistis. Nam per introductam deorum copiam in atheismum incurristis. Arbitror namque omnem illum, qui existimationem de Deo competentem custodit, confiteri debere, Deum nullius esse indigum, et potentiam ejus nullis terminis circumscriptam, ad omnia sufficere. Si igitur hujusmodi de Deo notitia mentibus vestris est insita, cur socios potestatis ei adjungitis? Vel potius quomodo ridiculum non est, communionem potestatis largiri his, qui hujus nullo modo possunt esse participes, quippe omnibus sub D primo illo rerum parente comprehensis? Quod si aliquo tandem modo primum principium, sive illud sit supremus Jupiter, sive aliud quiddam, virtute sufficiente per se non pollet, et ob id imperii sociis eget, quomodo Deus erit, qui instar hominum a potestatis et virium imbecillitate non est exemptus, sed ad ea, quæ exsequi statuit, adjutoribus opus habet? Et quomodo cum socios imperii ei constituitis, non simul et hunc imperio privatis, et illos, quos ei opitulatores adjungitis? Si enim omnes æqualiter imperent, cur hujus quam illius magis sit imperium? At si omnes non gaudeant æquali imperio, quomodo ea ratione qua sunt minores, non censebuntur in eorum qui subsunt numero? Quomodo Deus est, qui non præest? Ita tandem atheis-

unum nullumque Deum cum deorum multitudine miscetis. Quare nullo modo dividendum est divinum Numen in plura, neque id, unde aliis communio unitatis manat (inde enim ad res, quæ plures et dispersæ sunt, unitas venit) par est privare eo, quod largitur aliis. Neque partitionibus et sectionibus unitatem dominationis subjicite, neque partem ejus superiorem, partem vero inferiorem esse existimate, neque detracto a Creatore debito cultu et adoratione, eam creaturis tribuite. Respicite, o mortales, in cœlum. Discite, quis cœlum extenderit. Quis quasi siderum floribus illud variarit. Quis luminibus illis ordinem præscripserit. Quis universitatem hanc ordinarit. Quis immensitate suæ scientiæ res omnes tam concinne disposuerit : ita ut per ejus elegantissimam dispositionem, quasi per ordinatissimum chorum sapientia Creatoris decantetur, et præstantissima quæque dona homo percipiat. Discite hæc, et repudiato rerum creatarum cultu, discite magnum divinæ dispensationis circa homines mysterium. Quomodo propter salutem hominum Deus homo factus sit. Et quomodo mors, quam vos irrisui et despicatui habetis, sit vitæ causa. Infirmitatis loco duxistis, quod cruci affixus est. Atqui insuperabilis est crucis virtus. Simul atque enim crux fixa est, ab eo momento usque ad præsens tempus potestas dæmonum, qui a vobis colebantur, desiit. Illa mors amaritudinem mortis in dulcedinem vertit, quæ et nunc tanquam poculum gustatu valde jucundum, nobis est in optatis, utpote cujus interventu ad vitam transimus, et ut de nobis bene merentem exspectamus, quia ex luteo tabernaculo eductos ad æternas sedes traducit.

A σμασι ταύτην δίδοτε. Ἀναβλέψατε, ἄνθρωποι, λογισμῷ εἰς τὸν οὐρανόν· καταμάθετε, τίς ὁ τανύσας αὐτόν· τίς ὁ ποικίλας αὐτὸν τῷ ἀστρῴῳ ἄνθει, τίς ὁ διατάξας δρόμον φωστῆρσι, τίς ὁ θέμενος τάξιν τῷ παντὶ, τίς ὁ ἀπείρῳ ἐπιστήμῃ οὕτω τοῖς πᾶσιν ἁρμονίαν θέμενος, δι' ἧς ὥσπερ τεταγμένου χοροῦ ἥ τε σοφία τοῦ Ποιήσαντος ἀναφωνεῖται, καὶ τὰ κάλλιστα πλουτεῖ ἄνθρωπος. Καταμάθετε ταῦτα, καὶ τούτοις ἀνανεύσαντες τῆς τῶν κτισμάτων δουλείας, μάθετε τὸ μέγα τῆς περὶ ἀνθρώπους οἰκονομίας μυστήριον τοῦ Θεοῦ, πῶς μὲν διὰ σωτηρίαν ἀνθρώπου, Θεὸς ἄνθρωπος γίνεται, πῶς δ' ὁ θάνατος, ὃν χλεύην ποιεῖσθε, ζωῆς αἰτιώτατος γέγονεν, ἀσθένεια ὑμῖν ἔδοξε, τὸ, προσηλῶσθαι σταυρῷ, καὶ μὴν ἄμαχος τοῦ σταυροῦ ἡ δύναμις. B Ἅμα τε γὰρ σταυρὸς ἐπεπήγει, καὶ τῶν παρ' ὑμῶν σεβομένων δαιμονίων, ἐξ ἐκείνου μέχρι καὶ νῦν, ἡ δύναμις ὑπολήγει· ἐκεῖνος ὁ θάνατος, τὸ πικρὸν τοῦ θανάτου, εἰς γλυκύτητα μετενήνοχεν, ὡς καὶ νῦν ἡμῖν οἷόν τι γλυκὺ πόμα δι' ἐπιθυμίας ἐστὶ, δι' αὐτοῦ πρὸς ζωὴν μεταβαίνουσιν, ὡς εὐεργέτην προσμένομεν αὐτὸν, ὅτι τοῦ πηλίνου μετοικίζων σκήνους, εἰς τὰς οὐρανίους ἐγκατοικίζει σκηνάς.

Hæc martyrum quispiam prolocutus invicto animi robore, disertaque et docta facundia tyranni iram accendit, quibus quod responderet, nihil suppetebat. Et ubi tormenta, vociferabatur ? Ubi flagella ? Afferantur rotæ. Inflammentur fornaces. Et his tanquam aurum, aureas vero pietatis imagines, probabant. Quis eorum in perpetiendis cruciatibus constantiam et tolerantiam digne repræsentet ? Præparata erant instrumenta ad cruciatus inferendos apposita. Et læto vultu, quasi medicamen et levamen inde percepturi essent, lictorum manus intuebantur, quasi non tormenta, sed voluptatem ab ipsis exspectarent. Et hi quidem ad ossa usque eos radebant. At illi, sicut plantæ in profundo pinguefactæ, floridiorem fidem ostendebant. Membra illis amputabant; at martyres laudes Deo decantabant, et quia impietatis caligine circumfusi non erant, speciosiores et fulgidiores apparebant. Illi unguilis lacerabant. Isti vero clamabant : Extenuate carnis molem, et quasi tunicam, quam peccatum crassam effecit. Abradatur his instrumentis malitia, qua divino operi malignus nocuit. Nunc dum ossa carne nudantur, tunica illa, qua ab initio induti eramus, nobis denuo præparetur. Nunc beata illa constitutio et habitudo, quam per voluptatem amisimus, in hac, quæ vobis videtur, tormentorum acerbitate nobis restituitur. Quas regias dignitates et opes libentissime non insumat quis et profundat, ut hunc tam felicem statum recuperet ? At hac exigua corporis velut expensa, et impensa divina illa dignitas redditur. Quin potius neque expensam

Εἶπέν τις ταῦτα τῶν μακαρίων, γενναίῳ μὲν παραστήματι, εὐλάλῳ δὲ καὶ σοφῇ τῇ γλώσσῃ, καὶ τοῦ C τυράννου ἐξέκαυσε τὸν θυμὸν, οἷς ἀντειπεῖν ἠπόρει. Καὶ ποῦ αἱ στρεβλώσεις, ἐβόα; Ποῦ δὲ αἱ μάστιγες; Ἀχθήτωσαν δὲ οἱ τροχοὶ, ἐξαπτέσθωσάν τε καὶ αἱ κάμινοι, καὶ τούτοις ὡσπερεὶ χρυσὸν, τοὺς χρυσοῦς ὄντως ἀνδριάντας τῆς εὐσεβείας ἐδοκίμαζον. Τίς τὴν πρὸς τὰ δεινὰ καρτερίαν αὐτῶν παραστήσει; Εὐτρέπιστο τὰ βασανιστήρια ὄργανα, καὶ χαίροντι προσώπῳ, καθάπερ πρὸς θεραπείαν τὰς τῶν δημίων χεῖρας ἀπέβλεπον, ὥσπερ οὐ πόνου, ἀλλ' ἡδονῆς ἐξ αὐτῶν οὔσης προσδοκίμου. Καὶ οἱ μὲν ἔξεον μέχρις ὀστέων. Οἱ δὲ, ὥσπερ φυτὰ κατὰ βάθος πιαινόμενα, εὐανθεστέραν τὴν πίστιν ἐδείκνυσν. Ἀπέκειρον τὰ μέλη. Οἱ δὲ τὴν εἰς Θεὸν δοξολογίαν, καθάπερ καρποὺς ἀναφέροντες, οἷς ὁ τῆς ἀσεβείας οὐκ ἐπεσκότει γνόφος, ὡραιότεροι ἀνεφαίνοντο. Καὶ D οἱ μὲν διεσπάρασσον ὄνυξιν· οἱ δ' ἔλεγον, Λεπτύνατε τὸν τῆς σαρκὸς χιτῶνα, ὃν ἡ ἁμαρτία ἐπάχυνεν. Ἀποξεέσθω διὰ τούτων κακία, ᾗ ὁ πονηρὸς τῷ θείῳ ὑφάσματι ἐλυμήνατο. Νῦν ἡμῖν, δι' ὧν ἀπογυμνοῦνται τῆς σαρκὸς τὰ ὀστᾶ, χιτὼν ἐκεῖνος ὁ ἀπ' ἀρχῆς ἑτοιμάζεται. Νῦν ἡμῖν τὸ μακάριον τῆς εὐεξίας, ὃ δι' ἡδονῆς ἀπωλέσαμεν, ἐν τῇ δοκούσῃ πικρότητι τῶν βασάνων ἀποκαθίσταται. Πόσα ἄν τις βασιλείας ἀπολέσας ἀξιώματα, ἡδέως ἀνάλωσεν ἂν, ἵνα τοῦτο πάλιν ἀνακτήσηται; Νῦν ἡμῖν τὸ θεῖον ἀξίωμα τῇ ὀλίγῃ ταύτῃ ἀναλώσει τοῦ σώματος, ἀποδίδοται, μᾶλλον δὲ οὐδὲ ἀνάλωσις τοῦτό ἐστιν, ἀλλ' οἷον σπορά τις, εὐανθέστερον ἡμῖν τὸ σῶμα προΐσχουσα. Τί μέγα τοσαύταις ἐνεργείαις κατα-

πλουτισθέντας ἡμᾶς, ὀλίγα ὑπὲρ οὗ τὸ πᾶν ἔχομεν ἀποθέσθαι; Μὴ γὰρ βασάνους ἡγούμεθα τὰς βασάνους ὑμῶν, ἐμπορίαν τὸ πρᾶγμα νομίζομεν. Κείρετε οὖν ἀφειδῶς, ἵνα ἡμῖν ἀναβλαστήσῃ ἀκμαιότερον. Λάμβανε μὴ καθ' ἓν διακόπτων τὰ μέλη, ἀλλ' ὁμοῦ πάντα τέμνε, ὡς ἡμᾶς γε πλέον ἀποτέμνων, πλέον εὐφραίνῃς. Καὶ οἱ μὲν ἔλεγον ταῦτα. Ἕτεροι δὲ τοῦ πνεύματος τὰ ᾄσματα ἔμελπον, ὥσπερ οὐκ ἐν βασάνοις ὄντες, ἀλλ' εὐωχούμενοι. Ἄλλοι διδασκαλίας ἥδιστα νάματα ὤμβριζον, πολλοῖς τῆς δυσσεβείας τὸν αὐχμὸν διαλύοντες. Εἶπες ἂν ἰδὼν, οὐκ αὐτοὺς, ἀλλ' ἑτέρους τοῖς δεινοῖς ὑποχεῖσθαι.

A nominare decet, cum sit instar sementis, quæ corpus nostrum vegetius et floridius submittet. Quid mirum, si tantis donis locupletati, paucula quædam, quibus omnia adipiscimur, deponamus vicissim et elargiamur? Non enim tormenta vestra tormenta ducimus, sed magis bonorum omnium abundantiam. Attondete igitur nos et demetite absque modo, ut eo uberius nobis corpora repullulent. Ne sigillatim membra abscindas, sed simul omnia amputa, ut pluribus amputatis, magis nos exhilares. Et hæc quidem nonnulli ex illo numero ferebant. At alii spiritualia cantica concinebant, quasi non in tormentis, sed in conviviis versarentur. Alii doctrinæ pulcherrimæ et saluberrimæ velut imbrem emittebant, impietatis siccitatem per divini eloquii rorem humectantes. Dixisses, si coram conspicatus esses, non eos, sed alios cruciatibus excarnificari.

B Ἐμιμοῦντο δ' ἄρα κωφὴν ἀσπίδα οἱ τύραννοι, ὑπ' οὐδενὸς ἐπᾳδόμενοι· ἀλλὰ πρὸς τοὺς σπαραγμοὺς τῶν ἀθλητῶν θηριούμενοι· ἀλλὰ γὰρ ὁ μέν τις ὡς ἄμπελος εὐκλήματος, ἀποτεμνόμενος, οἷα δὴ βότρυς, τὴν εἰς Θεὸν ἔφερεν εὐχαριστίαν. Ἄλλος δὲ τοὺς ὀφθαλμοὺς ὀρυσσόμενος, τοιαύτην ἀφίει φωνήν· Προσφερέσθω θυσία ὀφθαλμὸς τῷ φωτί. Καλὸν, τῷ ἀληθινῷ φωτὶ, ὅπερ ἐν ἡμῖν ἔκτισε φῶς, προσφορὰν γενέσθαι. Ἀλλ' εὐπρόσδεκτος εἴη ἐνώπιόν σου, Κύριε, ἡ θυσία ἡμῶν· οὐδὲν ἀπεικὸς, παρ' οὗ τοσούτῳ κάλλει διεστολίσθη ὀφθαλμός· ὑπὲρ ἐκείνου τῶν ἰδίων ἐξελθεῖν θαλάμων, νῦν ὡραιότερον θαλαμεύεται. Νῦν μᾶλλον πλουτήσει τὸ φῶς. Νῦν ἀποστίλψουσιν αἱ κόραι λαμπρότερον, πάντων ἐπιπροσθούντων ἀπηλλαγμέναι. Καὶ ἄλλοι διέθλων τὰς κεφαλάς. Οἱ δὲ, C Ἀντὶ τῶν καλλίστων τῆς φύσεως, ἔλεγον, ἃ ὁ Δημιουργὸς τῇ κεφαλῇ ἐθησαύρισε, τὸν θησαυρὸν τῆς πίστεως τηρήσωμεν ἄσυλον. Μὴ γὰρ, κἂν δοκῇ τοῖς τυράννοις, σκορπιεῖται τῆς κεφαλῆς ἡ ὑπόστασις. Συνάγεται μὲν οὖν πλαστουργῷ δεξιᾷ, καὶ τῶν μυελῶν ἡ τῆξις, ὡς ὀσμὴ εὐωδίας σπουδασθήσεται. Καὶ ὀβελίσκοις ἄλλος ἐπερονᾶτο τὴν ἀκοὴν, ἀλλὰ νῦν τρανότερον ἀκούσειν, ἔλεγεν, τῆς τοῦ δρακοντείου πωρώσεως ἰοῦ, τοῖς ὀβελίσκοις τούτοις διακαθαιρομένης, νῦν εἰς ὑποδοχὴν ἐπιτηδειοτάτη τοῦ ᾄσματος τῶν ἀγγέλων ἡ ἀκοὴ, διὰ τοῦ πυρὸς τούτου τῇ προϊούσῃ τῶν φλογερῶν στομάτων ὑμνολογίᾳ προσοικειουμένη. Ἄλλῳ ἀνασπώμενοι ῥιζῶν ὀδόντες, εὐφροσύνην ἀνέβλυζον, Νῦν δὴ τραφήσομαι λέγοντι τροφὴν ἀγγέλων, καὶ μέχρι τοῦ τὴν οὐ μένουσαν σιτοῦμαι, ἄρτι δώσει τροφὴν ὁ Δεσπότης οὐ κενουμένην, οὐδ' ὀδόντων προσδεομένην. Μή μοι τὸ πρᾶγμα βάσανος λεγέσθω, εὐεργεσίαν ἐγὼ τοῦτό φημι. Καὶ ἄλλων τὰ νῶτα, ἀμύθητον πλῆθος ἔφερε πληγῶν ἐκ βουνεύρων, ἀλλ' ἔχαιρον, Ἀντὶ τῆς πολλῆς, λέγοντες, ῥώμης, ἣν ἔθετο τῷ νώτῳ ὁ πλάσας, τοσούτοις συνδέσμοις συστίξας αὐτὸν, ὑπὲρ τῆς ἐκείνου δόξης τὸ μικρὸν τῶν μαστίγων φορτίον φερέτω. Ἄλλοις τὰ σπλάγχνα μέχρις αὐτῶν μυστηρίων τῶν ἐγκάτων ὠρύσσοντο, ἀλλ' ἐπὶ μᾶλλον τῆς εὐσεβείας τὸν θεμέλιον ἐνεβάθυνον. Ἕτερος τὴν γλῶτταν ἀπετέμνετο, καὶ τῆς δοξολογίας οὐκ ἔληγεν, ἀλλ' οἷα δὴ δῶρον τὸ κάλλιστον προσφέρων Θεῷ, ἐπευφήμει σεμνυνόμενος. Καί τινες ἐπὶ ξύλου ἐτανύοντο. Ἀλλ' ἦν αὐτοῖς καὶ πρὸ τῶν

Cæterum tyranni imitabantur surdam aspidem, incantamenta illa salutaria repudiantes, quippe ad solos cruciatus invictis athletis inferendos efferati. Sed enim alius, tanquam vitis onusta palmitibus, mutilatus, et botri instar, pressus, Deo debitas agebat gratias. Alius effossis oculis, tales voces mittebat: Offeratur in sacrificium oculus luci. Decet, ut veræ luci lux quam in nobis creavit, hostia fiat. Sed gratum sit in conspectu tuo, Domine, sacrificium nostrum. Inconveniens non est, ut oculus pro eo, a quo tanta pulchritudine exornatus est, propria statione excedat. Nunc ornatiorem sortietur locum. Nunc lumine magis abundabit. Nnnc pupillæ splendidius fulgebunt, ab omnibus, quæ luci officiunt, expeditæ. Aliis comminuebantur capita. Illi vero dicebant: Pro pulcherrimis naturæ donis, quæ rerum omnium Parens in capite reposuit, thesaurum fidei intactum custodiemus. Non enim dispergetur capitis substantia, licet tyrannis secus videatur. Colligetur denuo conditoris dextera, ac medullarum corruptio, ut odor suavitatis reputabitur. Alius verubus per aures transfigebatur. At nunc clarius, aiebat, audiam, expurgato per hæc veruta veneno, quod draco instillaverat. Nunc aptissimus est auditus ad excipiendos cantus angelicos, per ignem hunc laudationi ex igneo ore prodeunti assimilatus. Alii radicitus evulsis dentibus, lætitia exsultabant. Nunc, aiebant, nutriar angelorum esca. Hactenus manducabam cibum non manentem; jam D dabit Dominus cibum, qui non perit, quique dentibus non eget. Ne cruciatus hæc res vocetur. Beneficium arbitror. Aliorum dorsa innumeris plagis concidebantur; sed Deum laudabant; sed gaudebant. Loco multi roboris, aiebant, quo Creator dorsum instruxit, tot nexibus et vinclis id compungens, pro gloria ejus exiguam hanc flagellorum molestiam ferat. Aliis viscera usque ab intestinorum penetralibus evellebantur; sed eo altiora pietatis fundamenta jaciebant. Alii lingua abscindebatur, nec a divinis laudibus decantandis cessabat; sed quasi pulcherrimum munus Deo offerens, eum celebrare pergebat. Nonnulli in ligno extendebantur. Sed ex hoc ipso etiam ante perceptam coronam, majorem voluptatem percipiebant, quod similes

Domino suo cruciatus paterentur. Alii metæ instar, impuris manibus, per castissima corpora telis transfigebantur ; et vulneribus inde acceptis, tanquam pretiosis lapidibus conspicui decorabantur. Quorumdam suppliciis tyranni fatigati spe omni abjecta, creaturas, quas colebant, ad eos puniendos armabant, et alios quidem undis, alios flammis, alios gelido frigori tradiderunt et exposuerunt. Verum hæc magis eos agnoverunt, quam illi. Agnoscebant enim eos, qui Creatorem honorabant, et plus cultus, quam molestiæ attulerunt. Nam ignis crebro eos qui circumstabant absumens, veneranda eorum corpora intacta conservavit. Quod vero anima evolaret, id non ignis supplicio ascribendum erat, sed majoris cujusdam voluntatis et virtutis, quæ eam excipiebat. Hocque manifestum est, et videre nonnunquam erat, vestem illam martyrum illæsam, quasi in arca conditam, et quasi non fuisset in flamma, ab omni ignis vestigio plane immunem. At vero humida aquæ natura iisdem martyribus ministerium suum non denegabat. Nonnullis enim cum beatam animam Deo tradidissent, erat strati instar, in quo requiescerent, et ab infinitis laboribus respirarent. Aliis autem, qui vitam adhuc agitabant, planam et omnis molestiæ expertem viam præbebat. In hunc modum omnia, miranda mutatione, sanctis famulabantur. At quomodo martyres ad hæc adibant ? Videlicet, ut in incorruptionis lavacrum, læti in undas ingrediebantur, et in fornaces, quasi in thalamos se inferebant, et rigido gelu, velut jucundissima aura recreabantur.

Talis invictorum pugilum erat species. Hac ratione omnia, quæ terrifica videbantur, irridebant. Hoc modo generose fugato errore, pietatis tropæum erexerunt, abjectis omnibus hujus vitæ oblectamentis, et exuta omni naturæ necessitate, in solam mortem pro Christo obeundam intenti. Mactabantur, et qui mactabant, cadebant. Ligabantur, eosque qui ligabant omni agendi efficacitate destituebant. Flagellabantur, et dolor eos qui cædebant, cruciabat. Tormentis excogitandis deficiebant tyranni. Emarcescebant lictorum manus, et ipso sudore suo speciosiorem reddiderunt pietatis speciem. Mœstitiam impietati conciliarunt. Dæmones ejulantes aufugerunt, conculcato eorum in corpore supercilio. In silentium deceptionem mutavit malignus serpens, cum videret, omnes insidiarum machinas in suum caput recidisse.

Jam enim et mulieres alacriter in arenam descendentes, ob primam parentem deceptam, pœnas ab eo reposcebant, capite ejus strenue conculcato, illo, inquam, capite, quod illud malorum agmen progenuit. Nunc excogitatum ab illo mendacium : *Eritis sicut dii* [14], præter omnem spem, veritati consonans, acerbissimis eum cruciatibus torquet. Nam martyres Christo in passionibus suis configurati, etiam divinæ gloriæ configurati sunt. Nunc ab

[14] Gen. III, 5.

A στεφάνων μείζων ἡ ἀπόλαυσις. Ὅτι τῷ ὁμοίῳ πάθει ὑπεβέβληντο τοῦ Δεσπότου. Ἕτεροι, καθάπερ σκοπὸς χερσὶν ἀνάγνοις, τὰ ἁγνότατα σώματα βέλεσι διεπείροντο, καὶ τοῖς ἐκεῖθεν τραύμασιν, ὡς λίθοις πολυτίμοις περιανθιζόμενοι, ὡραΐζοντο. Τοῖς δὲ οἱ τύραννοι πρὸς τὰς βασάνους ἀπαγορεύοντες, ἣν ἐλάτρευον κτίσιν πρὸς τιμωρίαν ἐξώπλιζον. Καὶ οὓς μὲν ὕδατι, οὓς δὲ πυρὶ, καὶ ἑτέρους αἰθρίῳ κρύει παρεδίδοσαν. Ἀλλ' ἦν ἐκείνων ταῦτα μᾶλλον συναίσθησιν ἔχοντα. Ἐπεγίνωσκε γὰρ τοὺς τιμῶντας τὸν Κτίστην, καὶ πλέον ἐτίμα, ἢ κατετόλμα λυπεῖν. Τὸ μὲν γὰρ πῦρ πολλάκις τοὺς ἔξω καταβοσκόμενον, αὐτῶν τὰ σεβάσμια σώματα ἀκέραια διεφύλαττε. Τὸ δὲ ἐκπτῆναι τὴν ψυχὴν, οὐκ ἦν τῆς τοῦ πυρὸς τιμωρίας, ἀλλὰ τῆς ὑποδεδεγμένης αὐτὴν τοῦ κρείττονος B εὐδοκίας. Καὶ τοῦτο δῆλον ἀφ' ὧν ἐνίοτε τὴν μαρτυρικὴν ἐσθῆτα, ὥσπερ ἐν κιβωτίῳ, σῶαν ἦν καθορᾷν, ἀλλ' οὐκ ἐν φλογὶ καμίνου, παντὸς ἴχνους πυρὸς ἀπαθῆ, ἡ δὲ ὑγρὰ τοῦ ὕδατος φύσις, θεραπευτικῶς ἐδίδου τὰ νῶτα. Τοῖς μὲν γὰρ τὴν μακαρίαν ψυχὴν παραθεμένοις Θεῷ, στρωμνὴ ἀπολαύσεως ἐγένετο, τῶν μυρίων αὐτοὺς καμάτων ὡσπερεὶ διαναπαύουσα. Τοῖς δὲ ἔτι διαπεραιουμένοις τὴν ζωὴν, ὁδός τις λεία, καὶ μηδὲν ἐπίπονον φέρουσα. Ἀλλ' οὕτω μὲν ταῦτα μετεποιεῖτο εἰς θεραπείαν τῶν ἁγίων. Πῶς δὲ οἱ μάρτυρες πρὸς ταῦτα ἐχώρουν ; ὥσπερ εἰς ἀφθαρσίας λουτρὸν, φαιδροὶ πρὸς τὸ ὕδωρ εἰσῄεσαν, ὡς εἰς παστάδας, τὰς καμίνους ἐνέβαινον, καὶ C τῷ αἰθρίῳ κρύει, ὡς ἱλαρῷ ἐπαυριζόμενοι ἐγεγάνωντο πνεύματι.

Τοιαύτη ἡ τῶν ἀηττήτων παράστασις ἀγωνιστῶν, οὕτως ἁπάντων φοβερῶν κατεγέλων· οὕτω νεανικῶς τροπούμενοι τὴν πλάνην, τὸ τῆς εὐσεβείας ἀνίστων τρόπαιον, ἅπαντα ῥίψαντες βίου τερπνὰ, ἅπασαν ἀνάγκην φύσεως ἀποθέμενοι, καὶ μόνου τοῦ ὑπὲρ Χριστοῦ θανεῖν ἀντεχόμενοι. Ἐσφάττοντο, καὶ σφάττοντες ἔπιπτον. Ἐδεσμοῦντο, καὶ ἀνενεργήτους ἐδείκνυον τοὺς δεσμεύοντας. Ἐμαστιγοῦντο, καὶ αἱ ὀδύναι τοὺς μαστιγοῦντας ἐλάμβανον. Ἐξηπόρησαν πρὸς τὴν εὕρεσιν τῶν βασάνων οἱ τύραννοι. Ἐξενευρίζοντο τὰς χεῖρας οἱ δήμιοι. Φαιδροτέραν εἰργάσαντο τοῖς ἱδρῶσιν αὐτῶν τῆς εὐσεβείας D τὴν ὡραιότητα· τὸ σκυθρωπὸν τῇ δυσσεβείᾳ κατεπράξαντο, δαίμονες ἀπῄεσαν ὀδυρόμενοι τῆς ὀφρύος αὐτῶν ἐν σώματι πατουμένης, μετέβαλεν εἰς σιγὴν τὴν ἀπάτην ὁ πονηρὸς ὄφις, τὸ πᾶν τῆς ἐπιβουλῆς καθορῶν ἐπιστρεφόμενον πρὸς αὐτόν.

Ἤδη γὰρ καὶ γυναῖκες ἀποδυσάμεναι, πρὸς παλαίσματα τῆς προμήτορος, αὐτὸν εἰσέπραττον τὴν ἀπάτην, νεανικῶς τὴν κεφαλὴν πατοῦσαι, κεφαλὴν ἐκείνην, ἣ τὸν ἑσμὸν τῆς πονηρίας ἀπέτεκε. Νῦν τὸ μεμηχανημένον αὐτῷ ψεῦδος, τὸ, *Ἔσεσθε ὡς θεοὶ*, παρὰ πᾶσαν ἐλπίδα πρὸς ἀλήθειαν ἐξελθὸν, δριμυτάταις ἀλγηδόσιν αὐτὸν περιβάλλει. Οἱ γὰρ μάρτυρες συμμορφούμενοι ἐν τοῖς πάθεσι τῷ Χριστῷ, καὶ τῇ θείᾳ δόξῃ συνεμορφώθησαν, νῦν οἷς διεβάσκηνε τῆς

ἀπαθοῦς μακαριότητος, ὑπὸ τούτων περιβάλλεται A πάθεσι. Οὐ γὰρ μόνον δι' ὧν, μετὰ πάσης αὐτοῦ τῆς στρατιᾶς συμπλεκόμενος αὐτὸς κατῃσχύνετο, ἔπασχεν, ἀλλ' οἷα πάσχει καὶ νῦν, ταῖς ἐκ τάφων προϊούσαις δυνάμεσι. Νῦν τῶν πολυάθλων ὀστῶν ἐκείνων πυρὸς βολίδες πεμπόμεναι, τὰ τούτων καταφλογίζουσι πρόσωπα· καὶ τῆς σαρκὸς τὴν κόνιν, ἣν πολυτρόπως διέξηναν συσφίγγουσαν ψυχὰς ὁρῶντες, καὶ σώματα, αὐτοὶ ἀλύοντες, καὶ παρειμένοι πορεύονται. Ἀλλὰ γὰρ αὕτη τῶν ἀοιδίμων ἡ νίκη. Τοιοῦτον τῆς ἀληθείας τὸ τρόπαιον. Οὕτως οἱ τῆς ἀσεβείας ὑπηρέται σὺν τῷ σφῶν ἄρχοντι, καὶ πρωταγωνιστῇ διαβόλῳ, ὑπὸ τῶν προμάχων τῆς ἀληθείας ἡττήθησαν. Ἐκρότησαν ἐπὶ τούτοις ἄνωθεν ἄγγελοι, εὐφήμησαν καταπεσόντων τῶν ἀλαστόρων, ἐκπλήξει, καὶ χαρᾷ ἐμερίζοντο. B Ἔχαιρον ἐφ' οἷς τοῦ βασιλέως ἡ παράταξις, τοὺς ἐχθροὺς ἔργοις, καὶ λόγοις ἐτροπώσατο. Ἐξεπλήττοντο σαρκίνους ὁρῶντες τῶν ἀσωμάτων περιγενομένους· ὁ βασιλεὺς, ὑπὲρ οὗ οἱ ἄθλοι, καὶ τὰ παλαίσματα, τὰ βραβεῖα εὐτρέπιζεν. Ἠνοίγοντο πύλαι τῶν οὐρανῶν, ἀοιδίμους θερμαῖς ἔτι σταγόσι ῥέοντας ὑπεδέχοντο, Παντοκράτορι δεξιουμένους δεξιᾷ.

Ἀλλ', ὦ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, τί προσερεῦμεν ὑμᾶς; Ἀνθρώπους; Ἀλλ' ἡ φύσις ἰλιγγιᾷ οἰκειοῦσθαι πρὸς τοὺς ἀγῶνας ὑμῶν καὶ τὴν αὐτῆς δύναμιν ἀποσκοποῦσα. Φωστῆρας; Ἀλλὰ ταῖς ὑμετέραις αὐγαῖς τὸ φέγγος αὐτῶν ἀποκρύπτεται. Ἀγγέλους; Ἀλλὰ τὴν καρτερίαν, καὶ τὴν νίκην ἐξέστησαν ἄγγελοι. Εἰς ποίαν οὖν ἄλλην μεταποιηθέντες C φύσιν, οὕτω πάντα ὑπερεβάλεσθε; Οὐχ ἐμάλαξαν τὰ θελκτήρια, οὐκ ἐκλάσθητε τοῖς φοβεροῖς. Ποίῳ τοσούτῳ πυρὶ δυνάμεως τὸ πῦρ τῶν πικρῶν βασάνων ἐσβέσατε; Δρόσος ὑμῖν μᾶλλον, ἢ πῦρ ἐλογίζετο, ἢ δῆλον, ὡς τῷ πυρὶ τῆς θείας ἀγάπης πυρπολούμενοι, ἐκεῖνο τὸ πῦρ ἐνεργεῖν τὰ οἰκεῖα οὐ συνεχωρεῖτε; ἀλλὰ ἀντὶ μὲν τοῦ φλέγειν, δρόσος ἐγνωρίζετο· Τοῦ δ' ἐν ὑμῖν θείου πυρὸς ὑπέκκαυμα γενόμενον, λαμπροτέραν ἀνῆπτε φλόγα τῆς Χριστοῦ ἀγαπήσεως, οὗ νῦν ὡραίοις ποσὶ τὸν φαιδρὸν νυμφῶνα χοροστατοῦντες, εὐφραίνεσθε ἀντὶ τῶν δριμυτάτων ἀλγηδόνων, ἡδυτάταις ἐντρυφῶντες ἀπολαύσεσιν. Ἀντὶ τοῦ πυρὸς, μετὰ τῶν φλογερῶν συμπαρίστασθε τάξεων. Ἤπου, καὶ τούτων ἐγγυτέρω (τολμήσει γὰρ καὶ τοῦτο εἰπεῖν ὁ λόγος), ὅσον καὶ τῇ D ἐκμιμήσει τῶν παθημάτων ἐγγύτεροι, ἀντὶ τῆς ἐν λιμῷ, καὶ δίψει ταλαιπωρίας, ἃ *ὀφθαλμὸς οὐκ οἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*, προτίθεται τράπεζα φέρουσα ἀγαθά. Ἀντὶ τῆς ἐν γυμνότητι πήξεως, στολισμὸν φωτὸς περιβάλλεσθε. Ἀντὶ τοῦ σκορπισμοῦ τῶν μελῶν, τὴν ὁλοκληρίαν τῆς ἀρχαίας ἀπελάβετε πλάσεως. Ἀντὶ τῶν κενωθέντων αἱμάτων, τὰς πηγὰς προχεῖτε τῶν ἰαμάτων. Χαίρει ἡ γῆ τοῖς ἡμῶν ἀγωνίσμασιν. Εὐφραίνεται οὐρανὸς, τοιούτοις στεφανίταις χοροστατούμενος. Μετὰ ἀγγέλων εὐφραίνεσθε, καὶ ἡμῶν οὐ χωρίζεσθε. Οἱ ἐν πειρασμοῖς πρὸς ὑμᾶς

illis, quibus beatitudinem invidebat, tormentis subjicitur. Non enim solus devictus et confusione repletus est, cum omnes suas copias in aciem produxit, sed et nunc vi illa, velut igneis jaculis, ex ossibus illis, quæ tot certamina tolerarunt, prodeunte, vultus eorum inflammantur, cumque corporis pulverem, quem ipsi varie carpserunt, et animas et corpora constringentem intuentur, tristes ipsi et desperabundi aufugiunt. Hæc præstantissimorum athletarum victoria. Hujusmodi veritatis est tropæum. Hunc in modum impietatis ministri cum suo duce et principe diabolo a veritatis propugnatoribus devicti sunt. Plausum his dederunt e cœlo angeli, faustis acclamationibus exsultarunt, cum malos genios prostratos cernerent; simulque stupore et gaudio percellebantur. Gaudebant enim, quod regis acies, et factis et verbis hostem debellasset. Obstupescebant, cum conspicarentur, carne vestitos superiores factos iis qui carne carebant. Rex pro quo pugnabant, præmia parabat. Aperiebantur cœlorum portæ, et illustres illos calido adhuc perfusos sudore, recipiebant, Omnipotenti exceptos dextera.

Sed, o invicti milites Christi, quo nomine vos appellabimus? An homines? At natura nostra horret ad vestra certamina, cum oculos ad vim suam reflectit. An sidera? Sed vestro splendore lumen illorum occultatur. An angelos? At tolerantiam et victoriam vestram angeli obstupuerunt. In quam igitur aliam naturam transmutati, adeo omnia excedetis? Non emollierunt vos blandimenta; non fracti estis terroribus. Quonam tanto igne ignem acerbissimorum tormentorum exstinxistis? Rorem potius, quam ignem reputabatis. An liquet, vos igne charitatis divinæ inflammatos non concessisse, ut alter ignis ea quæ sunt naturæ suæ consentanea ageret? nec urebat, sed roris instar recreabat. Quin et divinum ignem exsuscitans, longe splendidiorem flammam dilectione Christi accendit. Cujus nunc speciosis pedibus thalamum circumsistentes, exsultatis, loco immanissimorum cruciatuum suavissimis voluptatibus perfusi. Loco ignis assistitis nunc cum flammeis illis ordinibus: imo et his propius (audeo dicere) quanto propius etiam imitatione ad passionem Christi accessistis. Loco conflictationis cum fame et siti, proponitur vobis mensa ejusmodi ferens bona, quæ neque *oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt* [15]. Loco nuditatis, stola lucis amicti estis. Loco membrorum disjectorum integram illam primævam hæreditatem adepti estis. Loco effusi sanguinis, fontes curationum funditis. Gaudet terra vestris certaminibus. Lætatur cœlum, cum hujusmodi victoribus corona redimitis ambitur. Cum angelis exsultatis, et a nobis non separamini. Qui tentationibus pressi ad vos confugiunt, paratum remedium inveniunt. Qui tranquillitatis tempore in vobis anchoras figunt,

[15] Isa. LXIV, 4; I Cor. II, 8.

A jucunde in vitæ hujus solo consistunt. Qui in bello vos pro propugnaculis habent, ii servantur; qui in pace, illi vestro præsidio bona, quæ nunquam imminuuntur, percipiunt. Multitudini libertatem suppeditatis; nam eos qui sub peccati jugo captivi tenentur, liberatis, erectis jam olim et etiamnum tropæis, et passionum caliginem, ortu diei, quo memoria vestri recolitur, dispellitis. Ecclesiæ unguentum estis, longe fragrantius, quam *quod descendit in barbam Aaron et oram vestimenti* [16]. Sacerdotibus estis ornamentum stolæ, regibus corona gloriæ, toti terrarum orbi conservatores. Per vos misit Pater dilectum Filium, qui præclarum illud et salutiferum tropæum statuit, creaturamque, quam tyrannide sua opprimebat dæmon, ejecto adversario, B rursus subjecit Deo et Patri qui propter eximiam confessionem, qua eum *confessi estis coram hominibus* [17], in conspectu Patris consortes regni vos confitens, corona gloriæ condecorat, quia illius est regnum et gloria in sæcula. Amen.

καταφεύγοντες, ἑτοίμην τὴν λύσιν εὑρίσκουσιν. Οἱ ἐν εὐθυμίᾳ ὑμῖν τὰς ἀγκύρας ῥίψαντες, ἱλαρῶς τὸν βίον ἀποσαλεύουσιν. Οἱ ἐν πολέμοις ὑμᾶς ἔχοντες πύργους, διασώζονται. Οἱ ἐν εἰρήνῃ, ταῖς ὑμῶν ἐπιστασίαις ἀμείωτα τρυγῶσι τὰ ἀγαθά. Ἔχει τὰ πλήθη χορηγοὺς ἐλευθερίας ὑμᾶς. Τοὺς γὰρ ὑπὸ τῆς ἁμαρτίας διωκομένους ἔτι καὶ νῦν ἐγείροντες τρόπαια, τῆς αἰχμαλωσίας ἀπολυτροῦτε, καὶ τῶν παθῶν τὸ σκότος, ταῖς ἀνατολαῖς τῶν ὑμῶν ἱερῶν μνημοσύνων διασκεδάζετε. Ἔχουσι μύρον ὑμᾶς αἱ Ἐκκλησίαι, τοῦ *ἐπὶ τὸν πώγωνα, καὶ τὴν ὤαν Ἀαρὼν καταβαίνοντος* εὐωδέστερον, στολῆς εὐπρέπειαν οἱ ἱερεῖς, διάδημα δόξης οἱ βασιλεῖς, πᾶσα ἡ οἰκουμένη σωτῆρας. Δι' ὑμῶν γὰρ ἐξαπέστειλεν ἀγαπητὸν Υἱὸν ὁ Πατὴρ, τὸ μέγα καὶ σωτήριον ἤγειρε τρόπαιον, καὶ ἧς ἐτυράννει κτίσεως τὸν ἀλάστορα καθελὼν, καλῶς αὐτὴν πάλιν ὑπέταξε τῷ Θεῷ, καὶ Πατρὶ, ὃς ἀντὶ τῆς καλῆς ὁμολογίας ἣν *ἐνώπιον ἀνθρώπων ὡμολογήσατε*, ἐνώπιον τοῦ Πατρὸς κοινωνοὺς τῆς βασιλείας ὁμολογῶν, τῷ στεφάνῳ τῆς δόξης κατακοσμεῖ, ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ORATIO XVI.

Oratio in decollationem sancti et gloriosi prophetæ et Præcursoris et Baptistæ Joannis.

ΛΟΓΟΣ ΙϚ'.

Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν ἀποτομὴν τῆς ἁγίας καὶ ἱερᾶς κεφαλῆς τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

(Gretser., t. XV, p. 322.)

C Quis dabit ut prophetæ forcipe os meum bene conformetur, et carbone illo labia mea expurgentur [18]? Iis enim nunc opus maxime habeo, cum eum oratione deprædicem, quem inter prophetas maxime sonorus et grandiloquus præcinuit. Quis velut supra montem cogitationum sublimitate subvehet eum, qui vocem Verbi dilaudare instituit, præconemque regis? Adest enim etiamnum magna illa pœnitentiæ tuba, divina monita intonans, non jam ex eremi regionibus, sed ex floriferis Ecclesiæ vallibus procedens. Adest, minaturque securim infructuosis et excidium [19], et palearum ab igne exustionem, frumentique in divina horrea importationem annuntiat. Nec una terrarum parte conspicitur; sed qua mundus patet, cernitur omnibus D illis, qui oculos hoc spectaculo dignos habent, lucis lucerna radios salutis emittens. Fundit etiamnum lingua illius, instar puri fontis doctrinæ fluenta [20]. Licet enim jam olim tyrannus, vel potius adulterii mancipium caput ejus amputare non horruerit [21]; at una non abscidit eloquentem illam linguam. Abstinuit gladius ab abscissione, cum incidisset linguam omni sectione penetrabiliorem. Quomodo enim fieri poterat ut lingua, quæ naturæ necessitatem superarat, superaretur ab ictu gladii? Quomodo par erat, ut is qui materno adhuc utero conclusus os in verba formaverat, carnis jam nexibus exsolutus, a loquendi facultate prohiberetur? Igitur lingua non est exsecta, nec vox compressa : sed

Τίς δώσει λαβίδι προφητικῇ διευστομῶσθαι, καὶ τῷ ἄνθρακι τὰ χείλη καθηρᾶσθαι [f. κεκαθᾶρθαι]; Ἐκείνων γάρ μοι τὰ νῦν μάλιστα δεῖ τῷ λόγῳ περιηχοῦντι, ὃν ὁ μεγαλοφωνότατος προανήχησεν ἐν προφήταις. Τίς οἷον ἐπ' ὄρους ὑψηλῇ διανοίᾳ ἀναβιβάσει, ὡρμημένον κηρύσσειν τὴν φωνὴν τοῦ Λόγου, τοῦ Βασιλέως τὸν κήρυκα; Πάρεστι γὰρ καὶ νῦν ἡ μεγάλη τῆς μετανοίας σάλπιγξ, τὰ θεῖα σαλπίζουσα παραγγέλματα, οὐκ ἐρημικῶν προΐσχουσα χωρίων, ἀλλὰ τῶν ἀνθηφόρων τῆς Ἐκκλησίας κοιλάδων. Πάρεστιν ἀπειλῶν τὴν ἀξίνην, καὶ τὴν τομὴν τοῖς ἀκάρποις, καὶ τὴν ὑπὸ τοῦ πυρὸς τοῦ ἀχύρου καῦσιν, καὶ τὴν τοῦ σίτου εἰς τὰ θεῖα ταμιεῖα καταγγέλλει ἀπόθεσιν. Ὁρᾶται οὐχ ἑνὶ μέρει τῆς γῆς, ἀλλ' ἀνὰ πᾶσαν τὴν οἰκουμένην, οἷς ὄψις τοῦ τοιούτου θεάματος, τοῦ φωτὸς ὁ λύχνος, τῆς σωτηρίας προπέμπων τὰς λαμπηδόνας. Προχεῖται καὶ νῦν τῆς ἐκείνου γλώσσης ὥσπερ πηγῆς καθαρᾶς τῆς διδασκαλίας τὰ νάματα. Εἰ γὰρ καὶ τὴν κεφαλὴν πάλαι τύραννος, μᾶλλον δὲ μοιχικοῦ δοῦλος ἄγους, ἐκτεμεῖν ἐφρυάξατο, ἀλλ' οὐ συναπέτεμε τὴν εὔλαλον γλῶσσαν. Ἐστράφη τὴν τομὴν τὸ ξίφος, ὀξυτέρᾳ περιτυχοῦσα τομῇ τῆς τοῦ Βαπτιστοῦ γλώσσης. Ποῦ γὰρ ἦν θεμιτὸν διατεμόντα πᾶσαν ἀνάγκην τῆς φύσεως, ἧττω γενέσθαι ξίφους τομῆς; Ποῦ δὲ εἰκὸς τὸν ἐν σπαργάνοις νηδύος φθεγγόμενον, τοῦτον λυθέντα τῶν σαρκίνων δεσμάτων [ἀμμάτων] τὴν φθογγὴν κωλυθῆναι; Οὐκοῦν οὐκ ἐτμήθη ἡ γλῶσσα, οὐδ' ἡ φωνὴ ἐπεσχέθη, ἀλλ' ἔτι καὶ νῦν τὴν Ἡρώδου μοιχείαν λαλεῖ. Ἀλλ' ἄνω

[16] Psal. cxxxii, 2. [17] Matth. x, 32. [18] Isa. vi, 6. [19] Matth. iii, 10; Luc. iii, 9. [20] Joan. v, 35. [21] Marc. vi, 28.

πρὸς τὰς αὐτοῦ γονὰς ἀνιὼν ὁ λόγος, ὅλον ἡμῖν τὸν ἐκείνου βίον ἀπαγγειλάτω, καὶ ὅλη τῆς ἐκείνου βιώσεως εὐωδία, τὴν λογικὴν αἴσθησιν κατατερπέτω. Μάλιστα μὲν γὰρ μέγα κέρδος τὸ καὶ μέρους τινὸς τοῦ ἐκείνου βίου λαλεῖν τὸ ὠφέλιμον· ἄπειρον δέ τι τὸ σύμπασαν τὴν ἐκείνου ἐπιόντα ζωὴν, συλλέγειν τὰ ἀγαθά.

Ἤδη μὲν οὖν τοῖς δούλοις ὁ βασιλεὺς ἐν ὁμοίᾳ μορφῇ προσομιλεῖν ἐκεκρίκει, καὶ τοῦ ὕψους τῆς θεϊκῆς συγκαταβάντα δόξης ἐνδημῆσαι τῇ ἀνθρώπων ἐσχατιᾷ. Ἔδει δὲ ἄρα τῆς ὑπὲρ λόγον ταύτης ἐπιδημίας μέγαν τινὰ γενέσθαι πρόαγγελον. Γίνεται Ἰωάννης, οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν· καὶ προφθάνει τόκον ὑπερφυῆ παρθένου, τόκος στειρευούσης παράδοξος· καὶ προανθεῖ στάχυος ἀσπόρου, μαραινομένης ῥίζης βλαστὸς, καὶ λύει ὥσπερ νηδύος τὴν στείρωσιν, οὕτω καὶ γλώσσης δεσμά. Οὐδὲ γὰρ ἔδει φωνῆς ἀποτεχθείσης, τὸν τεκόντα φωνῆς ἀμοιρεῖν, οὐδ' ἄφθογγον εἶναι τὸν τῆς σάλπιγγος αἴτιον. Λύεται τοίνυν τῆς δίκης τῆς σιωπῆς Ζαχαρίας, λύσαντος τὰς ὠδῖνας τοῦ βρέφους· καὶ φθέγγεται νέαν φωνὴν, τῆς πρώτης ἀμείνω καὶ θειοτέραν, τήν τε Δεσποτικὴν ἐπίσκεψιν ἀναφωνῶν ἐν τῷ Πνεύματι, καὶ τὴν τοῦ παιδὸς πορείαν, ἣν πρὸ τοῦ Ὑψίστου πορεύσεται, ὑφηγούμενος· οὐ μόνον δὲ δὴ μέχρι Ζαχαρίου ἵσταται τὰ τελούμενα, ἀλλὰ καὶ δογμάτων ὁρωμένων βαθύτερον ἐν τούτοις καταθεωρεῖται. Ὁ γάρ τοι παλαιὸς νόμος τὴν γηραιὰν τῶν ἐνταλμάτων φωνὴν εἰς καινὴν μετεποιεῖτο τῷ κατὰ Χριστὸν δόγματι καινιζόμενος. Ἀλλὰ γὰρ οὕτω μὲν παραδόξως γαστρὸς ἀτέκνου πρόεισιν Ἰωάννης, ἤδη τοῦ καιροῦ καλοῦντος πρὸς εὐτεκνίαν τὴν ἱερωτάτην τοῦ Μονογενοῦς νύμφην. Παραδοξοτέρων δ' ἀπάρχεται, θαυμαστὰ θαυμαστοῖς συνάπτων, καὶ ὑψηλοῖς ὑψηλά. Οὐ γὰρ κατὰ τὴν νενομισμένην τῇ φύσει αἰῶνα [ἠώνιζε] ζωὴν, οὐδὲ τοῖς κάτω δουλεύειν ὑπέμεινε νόμοις, ἀλλ' ὥσπερ ἔξω πάσης σαρκίνης ἀνάγκης μετ' ἀγγέλων ἐβίου, καὶ τῇ ἐκείνων συνανήγετο πολιτείᾳ. Καὶ γοῦν καταλείπει τὰς ἐν ἄστει διατριβὰς, οὐδαμῶς ἀνθρώπους μισῶν (πῶς γὰρ ὁ φιλανθρώπου Δεσπότου κῆρυξ, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας εὐαγγελιστής;)· ἀλλ' ἐχρῆν, ὡς ἔοικε, τὸν δορυφόρον τοῦ πάσης ἐπέκεινα δόξης καὶ εὐταξίας βασιλέως, κρείττονα εἶναι ἀστικῶν ταραχῶν, καὶ ταπεινότητος. Ἅμα δὲ καὶ μελλούσης ἄρτι τοῖς δουλεύουσιν ἁμαρτίᾳ διὰ τῆς ἐν χάριτι πολιτείας ἐλευθερίας μηνύεσθαι, ἀκόλουθον ἦν ἐξ ἐρημίας τὸ μήνυμα ἥκειν, ὥσπερ δὴ καὶ τῷ πρεσβυτέρῳ Ἰσραὴλ τῆς ἐν Αἰγύπτῳ δουλείας ἐξ ὄρους ἧκε Μωϋσῆς, ἀπαγγέλλων τὴν ἀπολύτρωσιν. Ἕως μὲν οὖν ὁ βασιλεὺς, ταπεινώσεως πλούτῳ, τῆς ἑαυτοῦ δόξης τὸν πλοῦτον ὑπέστελλεν, ἀφανέσι χωρίοις καὶ ὁ στρατιώτης ἐνδιητᾶτο. Ἐπεὶ δὲ ὁ καιρὸς ἐφεστήκει, καθ' ὃν ἔδει, ὅσα παρὰ τοῦ Πατρὸς ὁ Μονογενὴς ἤκουσε, χρηματίζειν, τότε δὴ καὶ τότε, καὶ ὁ τῆς ἐρήμου τρόφιμος, ἄνωθεν λαβὼν τὸ ἐνδόσιμον τοῦ κηρύγματος, ἄρχεται ὁμαλίζειν τρίβους τραχείας, ἤτοι καρδίας ἀτεράμονας τῇ Δεσπο-

A hodie etiam Herodis adulterium arguit. At revocemus orationem ad ejus ortum et incunabula, totiusque vitæ decursum nobis denarret, et tota vitæ ab illo transactæ fragrantia sensum rationis participem oblectet. In maximo enim lucro ponendum est, commemorare, quas vel una vitæ illius pars utilitates complectatur, infinitos autem fructus parit, si quis totius vitæ illius bona in unum colligere aggrediatur.

Ergo jam Rex cœlestis cum servis suis, simili vestitus forma, versari et habitare, et ex altitudine divinæ gloriæ ad has imas hominum sedes descendere decreverat; oportebat igitur ut hujus descensus et adventus omnem rationem exsuperantis insignis deligeretur prænuntius. Nascitur B Joannes, quo major inter natos mulierum nemo exstitit: partumque divinum Virginis antevertit, partus inopinatus infecundæ matris, et prius efflorescit quam spica non sata, arentis radicis germen. Et ut ventris sterilitatem, ita et linguæ vincula solvit. Non enim decebat, ut genita voce, genitor expers vocis maneret; mutusve esset ille, qui tubæ causa exstiterat. Absolvitur igitur Zacharias a silentio quo damnatus fuerat, infante dolores dissolvente: vocemque fundit novam, priore illa longe meliorem et diviniorem, dum Domini visitationem in Spiritu decantat, puerique viam, qua ante faciem Altissimi iturus erat, exponit. Neque miraculis circa Zachariam gestis res finitur. Quin C profundiorem quamdam doctrinam, quam sit vulgaris, et quæ in omnium conspectu posita, in his considerare licet. Nam lex vetus veterem illam mandatorum vocem in novam commutavit, per salutarem Christi institutionem renovata. In hunc modum ex infecundo utero præter opinionem et exspectationem Joannes pronascitur, cum jam tempus sacratissimam Virginem, et Unigeniti parentem ad fecunditatem vocaret, multoque adhuc admirabilius vitæ cursum inchoat, miranda mirandis, et sublimia sublimibus accumulans. Non enim vitam aliis usitatam degebat, neque terrenis decretis servire dignatus est; sed quasi carnis mole jam exutus cum angelis versabatur, eorumque vivendi rationem sectabatur. In urbe commorari renuit, D non odio hominum (quomodo enim præco Domini, qui homines tantopere amabat, et salutis humanæ evangelista, homines odisset?), sed quia oportebat, ut credibile est, satellitem Regis, qui omni gloria et ordine superior est, excelsiorem esse omni civili turba et abjectione. Accedit, quod cum iis qui peccato serviebant, libertas per statum gratiæ futura, annuntianda esset, consequens erat, ut ex solitudine nuntius iste prodiret, quemadmodum antiquo Israeli ex monte Moyses missus est, annuntians populo redemptionem ex servitute Ægyptia. Quandiu ergo rex divitiis humilitatis, divitias gloriæ tegebat, tandiu etiam miles illius et propugnator abditus in locis solis morabatur. At cum tempus advenit, quo Filius omnia, quæ a Patre audierat

mundo patefacere debebat, tunc et eremi alumnus A accepto e cœlis prædicationis inchoandæ signo, incipit vias asperas [21-19], animas videlicet inflexibiles et duras, divina doctrina planare, et æquabiles reddere. Et pœnitentiam quidem annuntiat, quippe salutaris Verbi vox, eosque qui emundatione egebant, mundat verbo et aqua, et eum qui, si tempus spectes, posterius venerat, major autem erat infinitate potentiæ, magis quam unquam antea apparuisse clamat, quem et perfecte in spiritu baptizaturum testatur, Agnum [20], qui apparuerat, ostendit, cujus sanguinis guttæ, a peccati sordibus orbem terrarum expurgarunt, quem et in utero adhuc abditus, agnoscit, et Jordanis aqua Dominum similiter ac servos abluit, testimoniumque Filio a B Patre datum exaudit.

Oportebat vero, ut non tantum mortuos inter, sed et inter eos, quos inferi tenebant, præcursor esset, ferretque iisdem lætissimum de libertate nuntium, de Domini videlicet adventu et præsentia. Quocirca cultura sermonis pectora dura excolens ad eum quoque, qui eo tempore apud Judæos rerum potiebatur, pervenit, sterilis et infructuosi animi medicinam explicans, vel potius exitiales peccati fructus libertatis in reprehendendo quasi falce amputans. Nam qui omnium maxime leges custodire debebat, legumque observatione subditos ad sui observantiam adducere (solent enim subditi cum eorum, qui præsunt, virtutibus vel vitiis se C plerumque conformare), iste præter jus et fas adulterii flagitio se contaminans, legem violare non erubescebat; neque solum adulterio sese inquinat, sed et fratris toro injuriam infert, quem, si quis alius in eum injuriosus exstitisset, ab omni contumelia cognationis jure vindicare oportebat, quemque tanquam proprium curare debebat : hunc ipsemet incestabat, neque sanguinis, neque legis ulla ratione habita, ut a piaculo desisteret; sed quantus, quantus erat, libidinis mancipium erat, et ad improbitatis barathrum, quasi clausis oculis ferebatur. Quo tempore magna illa Verbi vox silere non potuit : sed objurgavit, reique enormitatem publice traduxit et redarguit. Cæterum et hoc Herodis ingenio conveniebat, ut non modo emenda- D tionis spem nullam præbere, sed et improbitatem majoris criminis accessione augeret. Probe enim parentem suum homicidam imitabatur, et se genuinum illius filium esse reipsa comprobabat. Ille enim æquales Antiqui dierum, qui propter nos infantiam subiit, tanquam spicas immaturas, ex hac vita demetit : ille vero præconem, qui medicinam afferebat, putredinemque animæ exscindebat, interficit, et miser eum qui ut vincula solveret, advenerat, in vincula conjicit; quique ab oculis caliginem voluptatis abstergebat, carceris tenebris concludit. Deinde natalem diem celebrat, quem satius fuerat lucem hujus solis nunquam aspexisse,

[21-19] Luc. III, 5. [20] Joan. I, 29.

τικῇ καὶ θείᾳ διδασκαλίᾳ, καὶ ἀπηχεῖ μὲν τῆς μετανοίας τὸν φθόγγον, οἷα δὴ τοῦ σωτηρίου λόγου φωνή, καὶ τοὺς δεομένους καθάρσεως καθαίρει λόγῳ καὶ ὕδατι. Ἀναφανεῖσθαι δ' ὅσον οὔπω προκαταγγέλλει τὸν ὄπισθεν μὲν τῇ δι' ἡμᾶς ἐν χρόνῳ γεννήσει, μείζονα δὲ τῷ ἀπειροδυνάμῳ κράτει, ὃν καὶ βαπτίσειν μαρτύρεται τελείως ἐν Πνεύματι. Καὶ γοῦν φανέντα τὸν Ἀμνὸν ὑποδεικνύει· οὗ ῥανίδες αἵματος, τοῦ λύθρου τῆς ἁμαρτίας τὴν οἰκουμένην ἐκάθηραν· ὃν καὶ περὶ τὰ σκοτεινὰ τῆς γαστρὸς ἔτι χωρία γνωρίζει εἰλούμενος, καὶ τοῖς Ἰορδάνου ῥείθροις παραπλησίως τὸν Δεσπότην λούει τοῖς δούλοις, καὶ τὴν μαρτυρίαν ἐπὶ τῷ Παιδὶ φωνουμένην τοῦ Γεννήτορος ἐνηχεῖται.

Ἔδει δὲ ἄρα οὐ μόνον ἐν ζῶσι Πρόδρομος ὀφθῆναι, ἀλλὰ καὶ τοῖς ἐν ᾅδου φθάνειν, καὶ φέρειν κἀκείνοις τῆς ἐλευθερίας τὰ εὐαγγέλια, τὴν Δεσποτικὴν εὐαγγελιζόμενον παρουσίαν. Τοιγαροῦν τῇ γεωργίᾳ τοῦ λόγου τὰς κεχερσωμένας γεωργῶν καρδίας, ἔρχεται καὶ μέχρις αὐτοῦ τοῦ κατ' ἐκεῖνο λαχόντος καιροῦ τοῦ Ἰουδαίων ἔθνους κρατεῖν, τὴν θεραπείαν τῆς ἀκάρπου καρδίας εἰσηγούμενος, μᾶλλον δὲ τὸν φθοροποιὸν ἐκτέμνων τῆς ἁμαρτίας καρπὸν, τῆς παῤῥησίας τῶν ἐλέγχων τομῇ. Ὁ γάρ τοι πάντων μάλιστα νομοφυλακεῖν ὀφείλων, καὶ τῇ καθ' ἑαυτὸν συντηρήσει τοῦ νόμου εἰς τιμὴν αὐτοῦ τὸ ἀρχόμενον προσκαλεῖσθαι (πέφυκε γάρ πως τὸ ἀρχόμενον ταῖς ἀρεταῖς ἢ κακίαις ὡς ἐπιπολὺ τῶν κρατούντων συνδιατίθεσθαι), οὗτος δὴ παρανομῶν, καὶ μοιχείας ἄγει καταμολυνόμενος, εἰς αὐτὸν παροινῶν οὐχ ἠσχύνετο· καὶ οὐ τοῦτο μόνον μοιχείας, ἀλλὰ καὶ ἀδελφοῦ ἐνυβρίζει κοίτην, ἣν ἔδει καὶ τινος ἀλλοτρίου ὑβρίζοντος, ἐπαμύνοντα τῷ δικαίῳ τῆς συγγενείας ἀνεπιβούλευτον πειρᾶσθαι διατηρεῖν· ἣν ἔδει περιέπειν, ὡς οἰκείαν, ταύτην αὐτὸς ἀνώρυσσε δι' αὐτοῦ· μὴ τοῖς ἐξ αἵματος, μὴ τοῖς ἐκ νόμου ἔχων ἐπὶ λογισμὸν ἀναφέρειν, καὶ τοῦ μιάσματος ἀποστῆναι, ἀλλ' ὅλος τῆς ἡδονῆς ὢν ἀνδράποδον, καὶ πρὸς τὸ βάραθρον τῆς παρανομίας ὥσπερ δὴ μύων καταφερόμενος· ὅτε δὴ, ὅτε ἡ μεγάλη τοῦ Λόγου φωνὴ σιγᾷν οὐκ ἠνείχετο, ἀλλ' ἐξήλεγχε, καὶ τῆς πράξεως τὸ ἔκθεσμον ἐστηλίτευεν. Ἦν δὲ καὶ τοῦτο Ἡρώδου, μὴ μόνον καὶ καθίστασθαι πρὸς διόρθωσιν, ἀλλὰ καὶ τὸ κακὸν αὐξάνειν, μείζονος προσθήκῃ κακοῦ. Ἀκριβῶς γὰρ τὸν φονευτὴν ἐμιμεῖτο πατέρα, καὶ ὡς ἐκείνου γνησία σπορὰ ἐβεβαίου. Ὁ μὲν γὰρ τοὺς ἡλικιώτας τοῦ Παλαιοῦ τῶν ἡμερῶν δι' ἡμᾶς νηπιάσαντος, οἷα δὴ στάχυς ἀώρους τῆς ζωῆς ἀποκείρει· ὁ δὲ τὸν κήρυκα τὴν θεραπείαν εἰσηγούμενον, καὶ τὴν σηπεδόνα τέμνοντα τῆς ψυχῆς, ἀποσφάττει. Καὶ ὁ δείλαιος τὸν λύσειν αὐτὸν δεσμῶν βεβουλημένον, δεσμοῖς ὑποβάλλει· καὶ τὸν ἀποκαθαίροντα τῶν ὀφθαλμῶν τὴν ἐξ ἡδονῆς ἀχλὺν, σκότῳ φρουρᾶς ἀποκλείει· εἶτα γενεσίων ἑορτὴν συγκροτεῖ, ᾧ ἄμεινον ἦν, μηδ' ὅλως πρὸς αὐγὰς ἡλίου ἐλθεῖν, καὶ παῖδα τῆς συμφθειρο-

μένης εἰς ὄρχησιν προὐκαλεῖτο, καὶ ἐπὶ θεαταῖς ἐτέρπετο, ἧς ἔδει καὶ μόνον ὁρωμένης ἀποστρέφειν τὰς ὄψεις, ὡς φερούσης τινὰ ἐρυθρίασιν, ἐφ' οἷς τῇ ταύτης μητρὶ συνησέλγαινεν· ὁ δὲ καὶ εἰς ἐπίδειξιν ἄγει, καὶ θεατὰς ἔχων τῆς παρανοίας σεμνύνεται. Προσέτι καὶ τιμῆς ὠνεῖται τὴν ὄρχησιν, καὶ τὴν βασιλείαν μερίζεται, ἐρώτων καὶ μέθης τὸν ἄθλιον λογισμὸν ταλαντευόντων, καὶ δίδωσι κεφαλὴν, κειμήλιον τοῦ Πνεύματος, ἆθλον ὀρχήσεως ἐναγοῦς, ἀντὶ τοῦ τῆς βασιλείας ἡμίσους· ἧς οὐκ ἦν ὅλος ὁ κόσμος ἀντάξιος· καὶ δείκνυσι φοβερὸν ἅμα καὶ σκυθρωπὸν τοῖς εὐωχουμένοις θέαμα. Τί ποιεῖς, ἄνθρωπε; εἴγε δεῖ καλεῖν ἄνθρωπον, τὸν πάντα λογισμὸν ἀφῃρημένον ἀνθρώπινον. Καλεῖς, ἐφ' ᾧ εὐφρανεῖς; ἑορτάζεις, ἵνα φαιδρότητα ἐμποιήσῃς, καὶ οὕτω κατηφείας καὶ σκυθρωπότητος τὸ συμπόσιον ποιεῖς μεστόν; Τίς γὰρ οὐκ ἂν τῶν παρόντων τότε κατηφείας ἐνεπλήσθη; τίς οὐκ ἂν ἤλγησε τὴν ψυχὴν, ἐφ' οὕτω ξένῳ, καὶ οἷον οὐκ εἶδέ ποτε τράπεζα, θεάματι; Ὁπότε δὴ καὶ σύ γε αὐτὸς οὐ χωρὶς λύπης διατεθεῖσθαι προσποιῇ, τίς ἐκείνην θεωρῶν τὴν κεφαλὴν, οὐκ ἂν οἷς ἐκόμα ἀγαθοῖς ἐννοῶν, θάμβει τε κατεσχέθη, καὶ τὴν σὴν τῶν γενεσίων ἡμέραν ἐπηράσατο; Καλῶς γε σὺ τῆς σῆς ἀνοσίου γονῆς τὴν ἡμέραν τιμᾷς· ἐν ᾗ ἐχρῆν καὶ τὸν αἰτιώτατον ἀπολύειν θανάτου, ἐν ταύτῃ τὸν μείζονα πάντων προφητῶν ὑπάγων θανάτῳ· καθ' ἣν εἴ τι κάλλιστον, καὶ πρὸς χαρμονὴν ἐπιτηδειότατον ἐχρῆν προστιθέναι, ἐν ταύτῃ κεφαλὴν τοῦ τῆς σφαγῆς ἀποστάζουσαν αἵματος προτιθεῖς. Ὢ; δείλαιος μὲν τῶν ὠδίνων, ἃς ἐπὶ τῷ σαυτοῦ ἔλυσας κακῷ! ὡς δείλαιος δὲ τῶν ἀκαθάρτων ἐρώτων, οἷς κάτοχος ὅλος γενόμενος, πρὸς οὕτω προήχθης ἔκτοπον τόλμημα!

Οἷον δὲ καὶ τὸ σχῆμα τοῦ μὴ ἐθέλειν ἀνανεύσειν πρὸς τὴν σφαγὴν, μηδὲ τὴν αἴτησιν ἀσελγοῦς γυναίου διακρούσασθαι; Διὰ γὰρ τοὺς ἀνακειμένους, καὶ ἵνα τοὺς ὅρκους ἐμπεδώσηται, τὴν σφαγὴν ἐπιτρέπει, καὶ μὴν εἰ καὶ διὰ μηδὲν ἄλλο, διά γε ταῦτα ἐχρῆν τὸ γύναιον ἀποπέμπεσθαι, ἵνα τε μὴ ἀνιαθεῖεν, οὕτως ἀπανθρώπως οἱ ἀνακείμενοι εὐωχούμενοι, καὶ ἵνα μὴ γέλωτα ὄφλῃς, ἀντὶ τοῦ δοκεῖν εὐορκεῖν· τίς γὰρ ὤφθη τοιοῦτόν ποτε δῶρον ὑπισχνημένος; Ἀλλ' οὐ μόνον ἀνίατον ἡ μανία, καὶ μάλιστα ὅση ἐξ ἐρώτων καὶ μέθης, ἀλλὰ καὶ δόκησιν ἐμποιεῖ τοιούτους ἑτέρους ἡγεῖσθαι, οἷοίπερ αὐτοὶ τῇ ἀληθείᾳ εἰσίν. Ὡς καὶ νῦν Ἡρώδης τοῦ προφητικοῦ διψῶν αἵματος, παραπαίων εἰς ἐκπλήρωσιν τῆς ἐπιθυμίας αὐτοῦ, τοὺς συνανακειμένους προβάλλεται, ὡς οὐκ ἂν ἐκείνων οἵων τε ὄντων τὴν ἀνόητον ταύτην διαγνῶναι προσποίησιν. Πλὴν ὁ Βαπτιστὴς ἀποτέμνεται τὴν κεφαλὴν, καὶ προθύεται τοῦ αἴροντος Ἀμνοῦ τὰς ἡμῶν ἁμαρτίας, ὥσπερ τῷ τόκῳ μετέχων τοῦ θείου τόκου τοῦ θαύματος, δι' ὧν ἐκ στειρευούσης προῆλθε γαστρὸς, οὕτω καὶ τῇ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω μεταχωρήσει κοινωνῶν τῇ πορείᾳ, δι' ὧν τοῦ ἀθύτου σφαγίου προσφαγιάζεται, καὶ γίνεται ὥσπερ τῇ λύσει τῶν ὠδίνων, οὕτω καὶ τῇ εἰς ᾅδου φοιτήσει τοῦ Δε-

[11] Marc. VI, 26.

A filiamque adulteræ ad saltationem provocabat, et una cum spectatoribus delectabatur, a qua vel primo aspectu, oculos avertere debebat, ut quæ ruborem incuteret, eo quod cum matre illius turpiter consuesceret. At vero iste eam in publicum producit, et cum vesaniæ spectatores haberet, gloriabatur. Adhæc honore etiam saltationem mercatur, et regnum partitur, amore et ebrietate miseram mentem huc illucque distrahente, datque caput, Spiritus sancti thesaurum, remunerandæ sacrilegæ saltationi, loco dimidii regni, quo capite neque totus mundus pretiosior erat, infertque in convivium terrificum simul et triste spectaculum. Quid agis, o homo? si homo vocandus est, qui omni humano sensu est orbatus. Vocas, ut læteris; natalem ce-
B lebras, ut cunctos exhilares, et tanta mœstitia, animorumque consternatione convivium reples? Quis enim præsentium gravi tristitia tunc non est sauciatus? Quis non animo indoluit ob tam peregrinum, et quale vix ulla mensa vidit, spectaculum, quando et tu ipse te mœrore affectum esse præ te fers. Quis caput illud intuens et quibus bonis floreret, mente reputans, stupore non est defixus, non sine natalis tui exsecratione? Pulchre profecto detestandi ortus tui diem honoras! in qua nocentissimus quisque a morte liberandus erat, hac majorem omnibus prophetis morti tradis. Qua id quod omnibus pulchritudine præstabat, et ad lætitiam excitandam maxime valebat, proponendum erat,
C hac tu caput sanguinem ex recenti cæde adhuc stillans, proponis. O infelices ortus tui cruciatus, qui tanto tuo malo sunt soluti. Quam miser es, ob impuros amores, quorum furore captus et abreptus in tam nefandum facinus prorupisti.

Qualis vero ille prætextus, nolle in cædem consentire; et tamen lascivæ mulieris petitionem non repudiare? Nam propter simul discumbentes, et ut jusjurandum firmaret, cædem permittit [11]. Atqui si non alias ob causas, certe ob has muliercula amandanda erat, ne qui simul epulabantur tam inhumano spectaculo contristarentur, et ne ludibrium fieres, dum sancte jurasse videri cupis. Quis enim unquam tale donum pollicitus est? At non solum vesania immedicabilis est, potissimum
D illa, quæ ex amore et ebrietate nascitur, sed et opinionem ingenerat, quasi et alii sint tales, quales ipsi. Ita in præsenti Herodes sanguinem prophetæ sitiens, cupiditati suæ explendæ simul discumbentes stolide prætexit, ac si tantum rationis non haberent, ut tam fatuam simulationem agnoscerent. Cæterum caput Baptistæ amputatur, et sacrificatur prius illo Agno, qui tollit peccata mundi, et quemadmodum in partu miraculi divini partus particeps fuit, ex sterili ventre prognatus; sic et transitu ab his imis ad superna communionem cum eodem habuit in eo, quod ante illam non immolatam hostiam immolatur, fitque, ut ortu ex utero materno, ita et ad inferos abitu Domini

præcnuntius, et his, qui in vinculis et ærumnis versabantur, redemptionem significat, et exsultationis quasi radiis et splendore prius perfundit eos qui in umbra mortis et caligine calamitatis sedebant, et tanquam lucifer præsentiam solis indicat. At quæ inferis in oris gesta sunt mysteria, præcedentibus magis sunt arcana et recondita. Sed qualia illa, quæ Herodes patrat? Disco imponitur caput, cui recipiendo nihil par, illius caput, qui intactum caput tenuerat, fertque abjecta et furiis agitata puella illam comam, quam angeli reverebantur, eamque muneris loco accipit malæ filiæ pejor mater, rata se hujus amputatione amputaturam quoque reprehensiones, quæ pectus ejus vellicabant. At inscia in majores et magis inevitabiles incidit. Pessima bestia! quomodo hoc tibi in mentem venit? Voluisti impuritatis tuæ testem, et quasi columnam sternere, immota quassare agressa; nam supra gradus illustriores collocasti, adjecto ad adulterium tuum homicidio; et insano tuo amore quasi in columna ad sempiternam ignominiam inscripto. Exstinguere niteris lucernam quæ tua opera tenebrarum arguebat. At magis accendis lampadem, quæ nefanda tua flagitia prodat. Vertigine velut corriperis, ob vim et vehementiam propheticæ linguæ, qua putredo incontinentiæ tuæ disrumpitur. At nunc acerbiores cruciatus sustines.

A σπότου πρόαγγελος, καὶ τοῖς ἐν δεσμοῖς καὶ στενοχωρίᾳ, μηνύει τὴν ἀπολύτρωσιν, καὶ προανατέλλει τῆς ἀγαλλιάσεως τὰς αὐγὰς τοῖς ἐν σκιᾷ θανάτου, καὶ σκότῳ θλίψεως καθημένοις, ὁ ἑωσφόρος μηνύων τοῦ ἡλίου τὴν παρουσίαν. Τὰ μὲν δὴ κάτω τελούμενα τοιαῦτα ἐπὶ προλαβοῦσι μυστηρίοις, μυστήρια ἀποῤῥητότερα. Ἃ δὲ Ἡρώδης ἄνω διατίθησιν, ὁποῖα; Πινάκιον δέχεται, ᾗς οὐδὲν δοχεῖον ἐπάξιον, κεφαλὴν, κεφαλὴν ἐκείνου τοῦ κρατήσαντος τὴν ἄψαυστον κεφαλὴν, καὶ φέρει κόμη κόρης σεσοβημένης κόμην, ἣν ἄγγελοι κατῃδέσθησαν· καὶ λαμβάνει ταύτην δῶρον πονηροῦ τέκνου μήτηρ πονηροτέρα, οἰηθεῖσα μὲν τῇ ταύτης τομῇ διακόψειν τοὺς ἐλέγχους, οἳ τὴν αὐτῆς καρδίαν συνέτρεφον [συνέστρεφον]· ἐλελήθει B δὲ μᾶλλον αὐτοῖς ἀφυκτοτέροις περιπίπτουσα. Πονηρὸν θηρίον, πῶς τοῦτο διανενόησαι; Καθαιρήσειν ἐβουλήθης τῆς σῆς ἀσελγείας τὴν στήλην, ἀλλ' ἀκίνητα σαλεύειν ἐπεχείρησας. Ἕστηκε γὰρ μᾶλλον οἷον ἐπὶ βάθρας περιφανεστέρας, οἷς τῇ μοιχείᾳ τὸν φόνον προστέθεικας τὸν σὸν οἶστρον στηλιτεύουσα. Σβεννύειν ἐπιχειρεῖς τὸν λύχνον, τὰ σὰ τοῦ σκότους ἔργα ἐλέγχοντα· ἀλλ' ἀναφλέγεις πλέον τὴν λαμπάδα, τὴν σὴν ἀῤῥητοποιΐαν δεικνύουσαν. Ἰλιγγιᾷς πρὸς τὴν ἀκμὴν τῆς προφητικῆς γλώσσης, οἷς ἡ σηπεδὼν τῆς σῆς ἀκολασίας διασπαράττεται· ἀλλὰ νῦν δριμυτέρων αἰσθάνῃ τῶν ὀδυνῶν.

Caput amputasti, Herodes, objurgationes vero non amputasti. Auditur etiamnum vox illa clare insonans: *Non licet tibi habere uxorem fratris tui* [32], quæ increpationes, quas celare tentasti, et funesta tua flagitia toto terrarum orbe decantat. Verum mittamus istos cum infandis suis sceleribus. Ad Baptistam revertatur oratio, et hodie ex terrestri tabernaculo egredientem comitetur, et ad sedes materiæ expertes, quas etiam in corpore adhuc agens incolebat, abeuntem, quantum fieri potest, officii causa deducat. Etsi enim dignitas ejus majorem prædicationem desiderat, quam in hominem cadat; attamen periculum non est fore ut hanc dicendi voluntatem repudiet, cum propter alia, tum quia omnium vilissimis et contemptissimis contentus esse consuevit. Sed qualia oratio encomia adducet? Quam laudationem instituet ei, cujus laudes ipsa Dei sapientia contexuit? Quis vero te compellans reperiat appellationem, quæ exiguum honorem tibi creet? An nihil proprium, nihilque novum excogitandum; sed ea solum promenda sunt, quæ omnes tibi tribuunt, vetera nimirum illa, quæ divina oracula de te præcinuerunt? Te enim nominarunt vocem clamantem in deserto [33]; clamantem quidem in deserto, sed cunctis terrarum finibus resonantem, rectas facientem semitas Domini, aspera in directa flectentem, præconem salutis Israel, exaltantem vocem suam in virtute Sion. Afferantur etiam parentis tui laudes, quas

Ἔτεμες, Ἡρώδη, τὴν κεφαλὴν, ἀλλ' οὐ συνεξέτεμες τῶν ἐλέγχων τὴν φωνήν· C ἀκούεται καὶ νῦν διαπρύσιον ἐμβοῶσα· *Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.* Νῦν οὓς ἐπειράθης ἐλέγχους ἀποκρύπτειν, ἁπανταχοῦ γῆς τὴν σὴν ἀθεμιτουργίαν περιηχοῦσα. Ἀλλ' οὗτοι μὲν μετὰ τῆς αὐτῶν ἀῤῥητοποιΐας ἀφιέσθωσαν· ἐπὶ δὲ τὸν Βαπτιστὴν ὁ λόγος ἀναχωρείτω, ἐξιόντι σήμερον τοῦ γηΐνου σκηνώματος συνακολουθῶν, καὶ πρὸς τὰς ἀΰλους μονὰς ἀπιόντα, αἷς συνῴκει, καὶ μετὰ σώματος, ὅσον οἷόν τε τιμῶν καὶ προπομπεύων. Εἰ γὰρ καὶ μείζονος ἢ κατὰ γλῶσσαν ἀνθρωπίνην δεῖ τῆς εὐφημίας αὐτῷ, ἀλλ' οὖν οὐκ ἔστι δέος ἀπαξιώσειν τὴν τοῦ λόγου προαίρεσιν διά τε τὰ ἄλλα, καὶ ὅτι τοῖς πάντων εὐτελεστάτοις ἐξαρκούμενος ἔχαιρεν. Ἀλλὰ τίνων ὁ D λόγος ἐγκωμίων ἅψαιτο; τίνα εὐφημίαν προσοίσει, ᾧ τοὺς ἐπαίνους ἡ τοῦ Θεοῦ σοφία διέπλεξε; τίς δὲ σε προσειπὼν μετρίαν εἰς τιμὴν ἥκουσαν ἐξεύροι προσηγορίαν; Ἢ οὐδὲν μὲν ἴδιον, οὐδὲ νέον εὕρημα, ἀλλ' αὐτὰ ταῦτα, ὅσα πᾶσα γλῶσσα φθέγγεται, περὶ σοῦ τὰ παλαιὰ ἐκεῖνα, ἃ σε θεῖοι χρησμοὶ προανύμνησαν; τίνα φωνὴν βοῶσαν ἐν τῇ ἐρήμῳ, βοῶσαν μὲν ἐν ἐρήμῳ, πᾶσι δὲ πέρασιν ἀπηχουμένην, εὐτρεπίζοντα τρίβους τὰς εὐθείας Κυρίου, τὰ σκολιὰ κατευθύνοντα, εὐαγγελιστὴν σωτηρίας τῷ Ἰσραὴλ, ὑψοῦντα τὴν φωνὴν ἐν ἰσχύϊ τῇ Σιών; Λεγέτω δὴ καὶ τοῦ γεννήτορος τοὺς ἐπιτοχίους ἐπαίνους, βραχύ τε μεταποιήσας αὐτοὺς πρὸς τὸ τῷ καιρῷ προσφορώτερον. Πρὸ τοῦ Ὑψίστου προπεπόρευσαι, προφήτης

[32] Marc. vi, 18. [33] Isa. xl, 3.

χρηματίζων ἐν νηπίῳ τῷ γάλακτι, καὶ γνῶσιν σωτηρίας τῷ λαῷ κηρύξας, οὐ μόνον ἐν σώματι, ἀλλὰ καὶ δεσμὰ τῆς σαρκὸς ἀποθέμενος. Προσθῶμεν ὥσπερ τινὰ κορυφὴν, καὶ ἃ τῆς πηγῆς τῆς σοφίας ἔχεις προσρήματα. Μείζων ἐν γεννητοῖς γυναικῶν οὐδεὶς ὤφθη σου ἐξεγηγερμένος· προφητῶν ἁπάντων ἀποφέρῃ τὸ περισσότερον, ἐκεῖνα θεωρήσας, ἐκεῖνα μηνύσας, τούτοις λειτουργήσας, ἃ διὰ συμβόλων αὐτοῖς ὠπτάνετο· τούτων ἀπολαύσας, ὧν ἐπεθύμησαν μὲν ἅπαντες, ἔτυχε δὲ οὐδείς. Ἄρτι σοι, Βαπτιστὰ, τὸ βάπτισμα παραγίνεται, ὃ πάλαι τῆς Δεσποτικῆς ἐζήτεις παλάμης, οὐ νάμασι ποταμίοις, ἀλλὰ ῥείθροις τοῦ σοῦ λουόμενος αἵματος. Πλὴν καὶ οὕτω πρὸς σὲ ἔρχεται, ᾧ πάλαι τὸ πολὺ τῆς συγκαταβάσεως ἐνεκάλεις. Φθέγξαι κἀκεῖ, ὅπου νῦν ἄπει, τοῦ θείου Ἀμνοῦ τὴν ἐνέργειαν, τὴν δι' ἐκεῖνον τῶν ἁμαρτιῶν ἄρσιν, B καὶ ἀπολύτρωσιν. Μᾶλλον δ' ἐπὶ τούτῳ προφθάνεις, ἵνα καὶ τούτοις τὸ σὸν ἠχήσῃ κήρυγμα, ἐλεύθερον ἀπειλῆς. Οὐ γὰρ δεήσει τῇ ἀξίνῃ καὶ τῇ τομῇ τοὺς ἐκεῖ ταλαιπωρουμένους φοβεῖν, οὐδὲ τὸ πῦρ καὶ τὸ ἄχυρον προσεπιλέγειν, ἀλλὰ φθέγξῃ φωνὴν ψυχαγωγίας μεστὴν, χαρὰν ἀποστάζουσαν· ὀφθήσῃ τοῖς ἀπ' αἰῶνος ἐν ᾅδου δεσμίοις, θέαμα ποθεινὸν, προφήταις, πατριάρχαις, δικαίοις. Ἀναβιώσεις αὐτοὺς τοῖς εὐαγγελίοις, καὶ πρὸ τῆς ἐκεῖ καταβάσεως τῆς Ζωῆς.

A sub ipsum tuum ortum cecinit; mutatæ paululum, ut sint convenientiores tempori. Ante Altissimum præivisti, propheta nominatus [24], cum adhuc ab ubere matris penderes, et populo scientiam salutis annuntiasti, non solum in corpore, sed etiam corporis nexibus exsolutus. Addamus fastigii loco illa, quæ ab ipso sapientiæ fonte manarunt. Major te inter natos mulierum non apparuit [25], omnes prophetas tu antecedis, illa contemplans, illa nuntians, et illis subserviens, quæ prisci per obscura duntaxat symbola aspexerunt; iis fruitus es, quæ omnes quidem desiderarunt, at nemo adeptus est. Nunc, o Baptista, adest baptisma, quod a Domini manu olim postulabas, non fluvii undis, sed fluentis tui sanguinis ablutus. Cæterum et hoc modo ad te venit ille, de cujus nimia demissione olim querebaris. Prædica et istic, quo nunc abis, divini Agni vim et actionem, operaque illius, peccata sublatum, et redemptionem donatum iri. Quin hoc consilio eo prior te recipis, ut et istis prædicatio tua innotescat, ab omnibus jam libera minis; non enim jam securi et excisione opus erit perterrefacere illos, qui tibi cum ærumnis conflictantur, neque ignem et paleas commemorare; sed vocem consolationis plenissimam preferes, vocem gaudium stillantem. Venies vinctis a sæculo apud inferos, aspectu jucundissimus, prophetis, patriarchis, justis. Resuscitabis eos ad vitam his tam lætis nuntiis, etiam antequam Vita eo descendat.

Ἡσθήσονται Μωϋσῆς καὶ Ἀαρὼν ἰδόντες τὸν συγγενῆ τὸν ἐκ τῆς Ἀαρωνίτιδος. Ἀκούσεται δὲ καὶ Ἡσαΐας φωνούσης τὰ θεῖα μυστήρια, ἧς πάλαι Πνεύματος ὠτὶ θείῳ φωνῆς ἐπήκουσεν. Ἄσεται δὲ καὶ Δαβὶδ ὁ προφήτης καὶ βασιλεὺς, καὶ κρούσει τὴν λύραν. Σκιρτήσουσι πάντες οἱ δίκαιοι, καὶ φίλοι Θεοῦ, τὸν Βαπτιστὴν, καὶ φίλον, καὶ δίκαιον προσεληλυθότα θεώμενοι. Ἀλλ' ὦ παραδόξως μὲν τεχθεὶς, παραδοξοτέραν δὲ διανύσας ζωὴν, καὶ διὰ μαρτυρίου πρὸς τὴν ἀθάνατον ζωὴν μεταχωρήσας, δέχου μὲν ἡμῶν ἵλεως τὴν μετρίαν ταύτην τοῦ λόγου προσένεξιν, πόθῳ τεθαῤῥηκότων ἅψασθαι τῶν σῶν ἐπαίνων, ἵλεων δὲ ἀπέργασαι τὸν Δεσπότην, καὶ ἡμῖν μὲν οἷς τὸ αὐτοῦ ποίμνιον δι' ἄφατον ἐνεχείρισας ἀγαθότητα, καὶ τῷ ποιμνίῳ δὲ, δι' οὓς τὸ καθάρσιον αἷμα ἐξέχεε· D καὶ νῦν μὲν δίδου ἡμᾶς ἄγειν τε καὶ ἰθύνεσθαι τῶν θηρίων, ὅσοι τε ὁρώμενοι ἐπιπηδῶσι, καὶ ὅσοι ἀφανῶς ἐνεδρεύουσιν, ἀπημάντους, καὶ ἀνεπιβουλεύτους. Ἔστι σοι τὸ θαῤῥεῖν ὡς φίλῳ καὶ Βαπτιστῇ. Εἰ δὲ καὶ τῆς ἐντεῦθεν ζωῆς μεταχωροίημεν, ἀνεύθυνον αὐτῷ παραδοῦναι τὸν λόγον τῆς βασιλείας, ἧς ἐπιτροπεύειν κατέστησε, καὶ τῆς ἀδιαδόχου δόξης τῆς αὐτοῦ βασιλείας ἀξιωθῆναι, οἷς πάντες ἀπολαύσαιμεν καὶ ἐλέει, καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ πτωχεύσαντος, καὶ υἱοῦ ἀνθρώπου χρηματίσαντος δι' ἡμᾶς, ἵν' ἡμᾶς πλουτίσῃ καὶ υἱοὺς Θεοῦ ἀπεργάσηται, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

C Lætabuntur Moyses et Aaron viso cognato ex Aaronis filia. Audiet et Isaias vocem mysteria pandentem, quam olim jam divina Spiritus voce audierat. Canet quoque David propheta et rex, et lyram pulsabit. Exsilient omnes justi et amici Dei cum viderint Baptistam et amicum, et justum adventasse. At, o qui præter opinionem natus es, et adhuc magis præter opinionem cursum vitæ confecisti, qui per martyrium ad immortalem vitam transiisti, accipe propitius hoc levidense orationis nostræ munusculum, quod desiderio laudes tuas celebrandi offero, propitiumque redde Dominum, et nobis, quibus gregis illius per immensam tuam bonitatem, curam commisisti, et ipsi gregi, cujus emundandi gratia sanguinem fudit. Et nunc concede, ut regamus et regamur, a bestiis, tam quæ videntur, quam quæ occulte insidias tendunt, immunes et illæsi. Fiducia tibi suppetit tanquam amico et Baptistæ. Quod si hinc excedamus, effice, ut innoxiam et criminis expertem rationem reddamus imperii administrati, cui nos præfecit; et ut perpetua regni cœlestis gloria digni habeamur, qua utinam omnes fruamur misericordia et humanitate ejus, qui pro nobis egenus factus, et filius hominis appellari dignatus est, ut nos divites et filios Dei efficeret, cui gloria et potentia nunc et semper, et in sæcula sæculorum. Amen.

[24] Luc. I, 76. [25] Matth. XI, 11; Luc. VII, 28.

ORATIO XVII.

Leonis, Christi Regis æterni gratia, imperatoris, in celeberrimum archipræsulem, Ecclesiæ splendidissimum luminare mirificum magnum Nicolaum.

ΛΟΓΟΣ ΙΖʹ.

Λέοντος (1), *ἐν Χριστῷ βασιλεῖ αἰωνίῳ βασιλέως, εἰς τὸν ἐν ἀρχιερεῦσι Θεοῦ περιβόητον, καὶ τῆς Ἐκκλησίας φαεινότατον λαμπτῆρα θαυματουργὸν μέγαν Νικόλαον.*

(Edidit Petrus Possinus, Societatis Jesu presbyter, Tolosæ MDCXLIV, in-4, 47 pag.)

Quandoquidem delectatur Deus servorum suorum honoribus; non quod magnum putet honorari illos quos ipse apud se occupavit honore cumulare; sed quod in ejus laudis auctores præcipua ex ea commoda redundent, utpote tanto illustriori vicissim gratiæ reditu remunerandos quanto et abundantius habent unde magnifice largiantur ii qui honorantur, et ad grati animi tuendum officium civiliores sunt, age nostrarum rerum omnium maxima magnum in pontificibus Dei pontificem honoremus. Quid autem tanti est quanti oratio, qua una cæteris excellimus cujusque beneficio Deiformem partem a terrestri concretione repurgantes quicunque non hebetes ad conscientiam originariæ pulchritudinis sensus mentis habent, archetypi similitudine revocanda, nobilitati pristinæ restituunt imaginem: hac, inquam, vere hominis propria re magnus honoretur Nicolaus. Quid tum enim etsi ad sublimitatem ejus magnificentiæ minus accedat donum, at animum certe non aspernabitur. Est profecto sanctis qui apud Deum ævum degunt, est affatim illa gloria qua in cœlis fulgent: minimeque iis opus est perituris laudibus linguæ mortalis. Amant tamen genus unde orti sunt; ac lætis oculis aspiciunt quæ offeruntur a nobis: non ad meritum dignitatis propriæ munus exigentes: verum ostenso licet tantum proposito liberalis animi perfecti officii laudem imputantes. Atque hinc nemo privatim deterreatur tanquam ab incepto temerario ac facultatem superante. Commune hoc quippe omnium: utique cum subsidere infra verticem meritæ laudationis etiam summæ eloquentiæ necesse sit Nicolaum celebranti. Verum ut parentibus in copiosa re familiari nullo admodum egentibus si quid gratificandi causa collatum sit a filiis nequaquam id opportunitate usuque sui voluptatem accipientibus admovet, sed una pietatis imagine ac filialis amoris monumento: sic communes omnium Patres, quibus non ex voluntate carnis sed ex Deo geniti sumus, erga honores qui ipsis ab hominibus adhibentur, tali quodam modo affectos existimare oportet. Aut potius (neque enim satis ad verum ea similitudo rem exprimit) quem-

A Ἐπειδήπερ χαίρει Θεὸς ταῖς τῶν οἰκείων θεραπόντων τιμαῖς· οὐ δι' ὧν τιμῶνται οὓς ἔχει παρ' αὐτῷ τιμήσας, ἀλλ' ὅτι καὶ τοῖς ἐργάταις τοῦ πράγματος τὰ ἐκ τούτου κέρδη ἀσύγκριτα, τοσοῦτον ἐντιμοτέρας ἀμοιβῆς αὐτοῖς ἀντιπαραγινομένης, ὅσον εἴς τε τὸ παρασχεῖν μεγαλοπρεπῶς ἔχουσιν οἱ τιμώμενοι, καὶ μέτρα τηρεῖν εὐγνωμοσύνης εἰσὶ δεξιώτεροι. Φέρε δὴ τῷ μεγίστῳ τῶν παρ' ἡμῖν, τὸν μέγαν ἐν ἀρχιερεῦσι Θεοῦ τιμῶμεν ἀρχιερέα. Τί δὲ τοιοῦτον, οἷον λόγος, ᾧ μόνῳ τῶν ἄλλων κρατοῦμεν, B καὶ ᾧ τὸ θεοειδὲς τῆς γεώδους ἰλύος ἀνακαθαίροντες, ὅσοι γε οὐ ῥαθύμως τοῦ οἰκείου κάλλους ἐπαισθάνονται, τῷ ἀρχετύπῳ τὴν εἰκόνα ἐξευγενίζουσι; τούτῳ δὴ τῷ ὡς ἀληθῶς ἀνθρώπου οἰκείῳ χρήματι ὁ μέγας τιμάσθω Νικόλαος. Τί γὰρ, εἰ καὶ μὴ πρὸς ὕψος τῆς ἐκείνου μεγαλοπρεπείας τὸ δῶρον; ἀλλὰ τήν γε προαίρεσιν οὐκ ἀτιμάσει. Ἔχει μὲν γὰρ ἤδη, ἔχει τοῖς παρὰ Θεῷ ζῶσιν ἡ ἐν οὐρανοῖς ἀποχρώντως τιμὴ, καὶ ἥκιστα προσδεῖ τούτοις γλώσσης ἐπικήρου λυομένων ἐπαίνων. Ἀγαπῶσι δ' ὅμως καὶ τὸ γένος ὅθεν ἀνέσχον, καὶ ἡδέως ὁρῶσι καὶ τοῖς πρὸς ἡμῶν φερομένοις· οὐ πρὸς τὴν οἰκείαν ἀρετὴν τὸ δῶρον σταθμώμενοι, τῇ δὲ προαιρέσει τὸ πᾶν ἀπέχειν (2) ἡγούμενοι. Καὶ δέος ἐνταῦθα παρέστω οὐδαμῶς ἰδίᾳ C τινὶ, ὡς ἀδυνάτοις ἐπιβαλόντι. Κοινῶς γὰρ ἅπασι μέτεστι τούτου, ὑστερίζειν τῶν προσηκόντων ἐπαίνων, ἂν μάλιστά τις ἐπὶ λόγων δυνάμει προήκῃ. Ἀλλ' ὥσπερ ἐπιεικῶς ἔχοντας πλούτου πατέρας ἡ ἐκ παίδων χαρίζεσθαι διεγνωκότων γιγνομένη συνεισφορὰ, οὐ τῇ χρείᾳ πρὸς ἡδονὴν καὶ ἀποδοχὴν ἀνακινεῖ, τῷ δὲ περὶ αὐτοὺς μόνῳ φίλτρῳ· οὕτως καὶ τοὺς κοινοὺς ἁπάντων πατέρας, οἷς οὐκ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθημεν, διακεῖσθαι πρὸς τὰς ἐξ ἀνθρώπων τιμὰς οἴεσθαι χρή. Μᾶλλον δὲ (οὐ γὰρ εἰς ἀκρίβειαν ἡ εἰκὼν αὕτη σώζει τὴν μίμησιν), ὥσπερ τὸ κρεῖττον οὐδενὸς μὲν τῶν ἡμετέρων εἰς χρείαν καθίσταται, μόνου δ' ἕνεκεν τοῦ τῆς παρ' αὐτοῦ μεταδοῦναι χάριτος, τὰ ἐξ ἀνθρώπων λαμβάνει. Οὐχ ὡς οὐ προῖκα δωρούμενος (πάντα γὰρ οὕτω D ῥέει τῆς ἀκενώτου πηγῆς), ἀλλ' ὡς ἐκείνῳ ταύτῃ προσεγγιζόντων ἡμῶν, οὕτω τε μᾶλλον τῶν παρ' αὐτοῦ πρὸς ἡμᾶς διαβαινόντων. Ὥσπερ δὴ κἂν τῷ

NOTÆ.

(1) Ex bibliotheca illustrissimi Caroli de Montchal, archiepiscopi Tolosani. — Leonis Augusti, cognomento Philosophi, res exsequuntur Curopalates, Cedrenus, Zonaras, Glycas. Ex quibus Baronius collegit, et digessit. Scriptorum indices exhibent Gesnerus, Simlerus et Possevinus. Qui, quod hujus orationis non meminerunt si quis in argumentum trahere vellet dubitandi de auctore, sciat exstare in Vaticana bibliotheca num. 803, ut Baronius testatur, codicem quo continentur orationes tres et triginta hujus Leonis, quarum quæ ordine prima et vicesima est, inscriptionem habet hujusmodi: *In fulgentissimum Ecclesiæ lumen Nicolaum.* Quam eamdem huic quoque præfixam legis, ut dubitare non debeas quin hæc ipsa sit quam eidem Augusto Philosopho vindicabant in codice vetere unde exscripsi aliquot iambici versus: nescio cujus Græci grammatici, nequaquam satis elegantes ut editione digni sint visi.

(2) Ἀπέχειν non valet hic διίσταμαι, sed ἀπολαμβάνω. Quo sensu dicuntur ii quibus ex debito satisdatur, ἀπέχειν τὸ γιγνόμενον. Et operarii quibus est persoluta merces, ἀπέχειν τὸν μισθόν. Imo quod magis huc facit, ἀπέχειν χάριν Synesius dixit, sensu consimili, quod Latinis *accipere, tenere, imputare gratiæ*, etc. Confido me loci sententiam in interpretatione tenuisse.

πλησιάζειν ἡλίῳ πλουσιωτέρου (3) φωτὸς μεταλαμβάνουσι τοῖς ἐγγίζουσι. Κοινῆς δ' ἅπασιν ὅσοι τοῖς ἄνω βασιλείοις αὐλίζονται ταύτης οὔσης τῆς προαιρέσεως, φημὶ δὴ τοῦ βούλεσθαι τοῖς κάτω χαρίζεσθαι, οὐκ ἔστιν εὑρεῖν ὄντινα μᾶλλον ταύτης ἴσμεν τῆς προαιρέσεως οὗ νῦν τὴν εὐφημίαν εἰς ἔργον θεῖναι προτεθυμήμεθα. Ὥστε καὶ τοῦτο ἀφορμὴ πρὸς τὸν ἔπαινον τῇ περιουσίᾳ τῆς τοῦ ἀνδρὸς πρὸς τὸ εὖ ποιεῖν προθυμίας, ἡμῖν, ἐλαττουμένου τοῦ φόβου. Ποῖον γὰρ θαλάσσης πέλαγος ἀμέτοχον τῶν ἐκείνου καλῶν (4); Ποῖαι δὲ γῆς ἐσχατιαὶ οὐ τὰς ἐκείνου γνωρίζουσι χάριτας; Τοσοῦτον αὐτῷ τὸ ἐπίσημον τῷ περιόντι τῶν δωρεῶν ὥσθ' ὅπερ πρὸς ἥλιον ἄνθρωποι (5) μετὰ χειμερινὴν ὥραν πεπόνθασι, πάντας ἐπὶ τρυφὴν τῶν ἀκτίνων καλοῦντες, τοῦτο κἂν τῇ μνήμῃ (6) τοῦ θείου ἀνδρὸς γινόμενον ἔστι καθορᾷν, μᾶλλον δὲ πολὺ πλέον ἐνταῦθα γίνεται. Ἐκεῖ μὲν γὰρ εἰσὶν οἳ ὑπὸ τῆς καταλαβούσης ἀσχολίας οἷον πεπεδημένοι μένουσι, χαίρειν εἰπόντες τῇ τῶν ἀκτίνων τρυφῇ, ἐνταῦθα δὲ, οὐδεμία οὕτω βιαία πραγμάτων ἀσχολία ἣ δύναιτ' ἂν ἀπείργειν τῆς ἐκ τῶν ἱερῶν μνημοσύνων τοῦ μεγάλου κήρυκος ἀπολαύσεως. Τίς οὕτω σάλπιγξ τὸ ἐνυάλιον ἀπηχήσασα παρατάξεις ἀνέρωσεν ὡς οὗτος διὰ τῆς μνήμης σαλπίσας ἤγειρε τὰς ψυχάς; τῶν προθύμων αὔξων τὸ πρόθυμον, τῶν ἀναπεπτωκότων διαλύων τὸ ῥᾴθυμον; Ἀεὶ μὲν ὁ τοῦ γένους ἀντίπαλος ἐπὶ ταῖς τῶν ἁγίων τιμαῖς καιρίας δέχεται τὰς πληγὰς, σκυθρωπάζων, καὶ συμφορὰν ἰδίαν τὴν τῶν πιστῶν εὐφροσύνην ποιούμενος. Νῦν δὲ τοσοῦτο πλέον κερδαίνει τῆς συμφορᾶς, ὅσον εἰς ἅπαντα πέρατα τὸ τῆς πανηγύρεως ἀγαλλίαμα διαβαίνει. Ἀλλ' ὥσπερ εἰς ἀρχὴν καταστὰς ὁ λόγος πρότερον διαμνημονευσάτω τῶν ἐντίμων ὠδίνων, αἳ τὸν ἄνδρα τῷ βίῳ παρέσχον· οὕτω τε καθ' ὁδὸν ἐπὶ τὰ πρόσθεν χωρείτω. Τοῦτο δὲ προθυμείσθω οὐ νόμον ἐγκωμίων περὶ πολλοῦ ποιούμενος, ὃς βουλόμενος ἀφορμὴν τοῖς ἐπαίνοις εἰς αὔξησιν παρασχεῖν, ἐκεῖθεν ἐπιτάττει τούτους παρακροτεῖν. Οὐδὲ γὰρ εἰ καὶ τὰ μάλιστα θαυμαστοὶ οἱ γεννήτορες, τῆς ἐκείνων δόξης ἡ τοῦ παιδὸς εὐφημία προσδεῖται· ὥσπερ οὐδ' ἔμφυτον κάλλος τῆς ἐξ ἀλλοτρίων ἀνθέων χάριτος καὶ κομμωτικῆς περινοίας. Οὐδ' ἡμέρα ἡλίῳ καταπυρσευομένη προσθήκην ἐπιζητεῖ φαιδρότητος, ἵνα μᾶλλον ῥοδοειδὲς φέροι τὸ πρόσωπον. Ἀλλ' ὅσον ἐπιδεῖξαι ὅτιπερ οἷα κλῆρον ἐκ πατέρων τὴν ἀρετὴν παραλαβὼν, οὐκ ἐνέμεινε τῷ παρασχεθέντι. Οὐδὲ τοῖς ἐκείνων ἠρκέσθη ὡσπερεὶ παραδείγμασιν ἀκολουθῆσαι (καίτοι γε ἡλίκα οἷα ἦν!) ἀλλὰ τοσοῦτον ἀμεινόνων ἐπέβη κατορθωμάτων, ὅσον εἰκὸς τὸν εἰς οὐρανὸν ὅλην τὴν ζωὴν μεταθέμενον. Ἐπιτιμήσῃ δ' οὐκ ἄν τις τῷ λόγῳ κατόπιν τῆς

A admodum Numen præstantissimæ mentis nulla quidem rerum nostrarum opus habet; nostra vero sola causa, quo nimirum occasionem habeat suis nos opibus impertiendi, munera hominum suscipit. Non tanquam vel id ipsum quod eo nomine retribuit non gratis donet (gratis enim certe ex inexhausto illo fonte bona effluunt omnia), sed quod ea religione Deo nos admoveamus; indeque facilius bona quæ ab eo manant propagentur ad nos. Quemadmodum qui ad solem accedunt propius, eo abundantius participant lumen. Atque hoc animi propositum, studium dico bene merendi de mortalibus, cum commune sit omnium qui in cœlesti regia diversantur, nullum tamen reperire est quem illustrioribus constet documentis in tali erga homines esse voluntate, quam eum cujus in adornanda laudatione B nunc maxime sumus. Quin hæc adeo fiducia impetum nobis expedit ad audaciam incepti tanti, prolixissima liberalitate viri ad condonanda omnia, veniam quoque male perfunctæ laudationis sperare nobis suadente; successusque parum boni minuente metum. Quod enim maris fretum, quæ pelagi vastitas, non ejus miraculis insignita est? Qui vero saltus ac solitudines terræ non ejus gratias experimento cognitas habuerunt. Quæ tam constans magnificentia donorum tam insignem eum vulgo reddidit; ut, quod solent homines si forte post brumam serenior elucescat sol, tum gestire in aprico ipsi, tum alios ad jucundum C teporem radiorum solarium convocare perfruendum: idem ad memoriam quoque divini hujus viri fieri videre liceat, imo longe plus hujus quidem hac in parte fit. Ibi enim sunt qui occupati negotio velut præpediti manent; amœnitate radiorum valere jussa, hic autem nulla tam intenta fuerit occupatio quæ prohibere queat homines ne eam quæ ex sacro magni hujus confessoris monumento percipitur gratiæ copiam participatum eant. Quæ tuba classicum intonans procinctos ad pugnam ordines sic animavit ut hic per sui mentionem veluti clangens concivit animas, devotorum fervorem augens, desidum torporem excutiens? Semper quidem humani generis adversarius honoribus sanctorum lethales accipit plagas, ringens et suam calamitatem D fidelium lætitiam reputans. Nunc autem eo abundantiori dolore cumulatur quo jam in fines late omne panegyris hujus celebritas propagatur. Sed velut in principiis adhuc insistens oratio prius repetat memoriam illustrium parentum qui hunc virum mundo genuerunt; ita demum secunda deinceps via in anteriora pergat. Quod

NOTÆ.

(3) Quamlibet copiam πλούσιος Græcis sonat: adeo ut nescio quis apud Euripidem queratur δαίμονα sibi esse πλούσιον κακῶν, ut minus mireris thesaurum iræ ad Rom. II, 5; Jacobi V, 3.

(4) De miraculis a sancto Nicolao in salutem navigantium maximo numero factis consulenda ejus Acta et historiæ veteres juxta recentesque.

(5) Videndum an non fuerit consuetudo aliqua convocandi ad solem post brumam. Qualia multa Plutarchus in Quæstionibus Romanis et alii narrant. Tales illi εὐφημισμοὶ, φῶς ἀγαθόν, cum lux accendebatur prima face.

(6) Ecclesiastica consuetudine memoria martyris templum martyris est aut monumentum. Nec dubium quin ad confessores extendi possit. An hic ista notio vocis hujus sit, judicium integrum relinquo lectori.

ipsum ne ea tamen religione curet quasi encomiorum legem eam magni faciens, quæ id agens ut augendi recte facta laudatoribus occasionem præbeat inde eos auspicari jubet. Ut enim maxime mirabiles parentes hujus fuerint, eorum tamen quantæcunque participatione gloriæ filii non indiget memoria non magis quam nativus decor alieno fuco ac emendicato flore gratiæ medicatæ artificio mangonico. Neque vero pleno sole collustrata dies serenitatis accessionem quærit ut magis rosea niteat facie. Verum hoc eatenus memoretur solum ut demonstretur, nostrum hunc, qui tanquam hæreditariam a parentibus virtutem accepisset, nequaquam eo velut patrimonio contentum, in expressione domesticorum exemplorum laudis acquiescendum sibi statuisse (quanquam quanta illa qualiaque erant!), verum ad tanto præstantiora facinora suscipienda generosum animi propositum excitavit, qualia nimirum consentaneum erat moliri eum qui se cœlestem prorsus ad vitæ sectam ac rationem transtulisset. Nemo porro reprehendendam orationem meam putet quod ea secundum a filio dignitatis locum parentibus attribuat. Volentibus sane ipsis ac lubentibus acciderit hoc quidem : quippe hinc tanto uberiore in eos veræ gloriæ accessione redundatura quantum ipsa comparatio dignitatis ademisse postpositis videbatur. Nam hic quidem quod aufertur non damno magis deputandum quam lucro est, ut fluviis in se per orbem refluentibus, seseque excipientibus mutuo per vices, quod adimitur continuo refunditur ei qui dederat.

A τοῦ παιδὸς ἀξίας τιθέντι τοὺς γονέας. Κεχαρισμένον γὰρ δή που καὶ αὐτοῖς τοῦτο πάντως καὶ τοσοῦτον ἐκείνοις φέρον ἐπιθήκην εἰς κόσμον, ὅσον ἀφαιρεῖν ἔδοξε τῆς ἰσοτιμίας τοῦ ἐξ αὐτῶν πεφυκότος. Ὥστε ἐνταῦθα μᾶλλον ζημίαν ἢ κέρδος προξενεῖ ἡ ἀφαίρεσις, ὥσπερ ποταμίων ῥευμάτων ἐν κύκλῳ ῥεόντων καὶ περιχωρούντων εἰς ἄλληλα, τὸ παρ' ἑκατέρου ἀφαιρούμενον πάλιν προσθήκη γίνεται τῷ δεδωκότι.

Ergo qui huic nostro fuere parentes in primis illustres, tum iis ornamentis quæ decent corpora, cumque corporibus consumuntur, tum iis quoque quæ sempiternæ vitæ duratione æqualia sunt : quo posteriori genere potissimum nitentes prius illud contemnebant. Quare procul a civilibus curis tanquam a procelloso mari subducti, in portu beati otii tranquillæ vitæ cursum peragebant. Vultis hic apponamus aliqua virtutis eorum certa documenta? Quid vero me opus est iis vexare colligendis, cum istorum mores in rebus quoque cæteris quales fuerint ex ultro delecto vitæ genere facile sit intelligere. Etenim cum spectabiles eminere possint ex functione aliqua illustri principalis procurationis, rei dignæ vulgo creditæ pro qua laboris nihil contentionis recusetur, id illi tamen præsentibus contenti, ambitione insuper habita, prorsus ut rem nihili neglexerunt. Neque vero suis copiis ad voluptatem abutebantur; neque deliciis quarum inde affluebant opportunitates, resolvebantur. Sed præclare persuasi solum hunc esse habendi fructum si quis ita rem vivendo dispensaret ut ea deinde conscientia solatio esse morienti posset, seminabant, ut dicitur, utraque manu per sinus pauperum divitias, quod ob meritum præter cæteram claritatem illam etiam a remunerante Deo tulere mercedem ut fierent parentes filii mortalis naturæ modum ac captum virtute et admirabilitate superaturi. Alii quidem in magna felicitatis parte numerare solent crebros partus, numerosaque gaudere sobole, velut ad hæc quoque bona sese extendente avaritia, nullumque ne hic quidem cupiditati finem statuente. Quorum in sententiam irem ego quoque pedibus si

B Ἀλλὰ γὰρ ἐκείνου γεννήτορες ἄκρως ἔχοντες περιφανείας, ὅση τε σωμάτων καὶ μετὰ τῆς ἐκείνων συναπολήγει λύσεως, καὶ ὅση τῷ μένοντι βίῳ συμπαρατείνεται· ᾗ καὶ μᾶλλον σεμνυνόμενοι, παρὰ φαῦλον τὴν ἑτέραν ἐτίθεντο. Διὰ τοῦτο καὶ πολιτικῶν διατριβῶν ὥσπερ κλύδωνος ἔξω διαβιοῦντες ἀπραγμοσύνῃ τὸν βίον ἐσάλευον. Βούλεσθέ τινα προσθῶμεν τῆς ἐκείνων ἀρετῆς γνωρίσματα; Ἢ τί με δεῖ ὥσπερ ἐνοχλεῖν, ῥᾳδίου ὄντος ἐντεῦθεν τὸν ἐκείνων τρόπον, ὁποῖός τις ἦν κἀν τοῖς ἄλλοις, τῷ προαιρουμένῳ καταμανθάνειν; Οἵγε δυνάμενοι ἐν μεγάλῳ μέρει βασιλείου δόξης γνωρίζεσθαι, πράγματος πᾶσι περιμαχήτου, οἱ δὲ ὥσπερ τι τῶν ἀτίμων οὕτω παρέδραμον αὐτὸ, τοῖς παροῦσιν ἀρκούμενοι, οὐ πρὸς ἡδονὴν ἀποχρώμενοι τῇ περιουσίᾳ, οὐδὲ ταῖς ἐκεῖθεν προσ- C ανειμένοι ἀπολαύσεσιν. Ἀλλὰ ταύτην μόνην εὖ εἰδότες ἀπόλαυσιν, εἴ τις ἄπιοι τῆς ζωῆς λαβὼν παραμύθιον, σπείροντες, ὃ δὴ λέγεται, χειρὶ ἑκατέρᾳ ἐν τοῖς τῶν ἀπόρων ἐγκάτοις τὸν πλοῦτον, διὰ τοῦτο μετὰ τῆς ἄλλης εὐδοξίας καὶ ταῦτο θεόθεν ἀντιλαμβάνουσι, παιδὸς χρηματίσαι πατέρες κρείττονος ἢ κατὰ θνητὴν φύσιν ὀφθῆναι μέλλοντος. Ἄλλοι μὲν οὖν μέγα μέρος εὐκληρίας ὑπολαμβάνουσι συχναῖς λειτουργεῖν ὠδῖσι, πολυπαιδίᾳ χαίροντες, ὥσπερ ἐν τοῖς ἄλλοις, οὕτω κἀνταῦθα τερπούσης αὐτοὺς τῆς πλεονεξίας. Ἤμην δ' ἂν κἀγὼ τῶν τιθεμένων ταύτῃ, εἰ ὥσπερ μιᾶς πεφυκότας ῥίζης καὶ τῶν ὠδίνων κληρονομοῦντας ἑώρων (7). Νῦν δὲ πολὺ μᾶλλον ἀνίσως ἔχοντας ἢ τοὺς δακτύλους ὁρῶμεν, καὶ συμβαίνει τῷ μέν τι παρεῖναι τῶν χρηστῶν τῷ δὲ τῶν D φαύλων· ὥστε οὐ μᾶλλον ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς τῷ παιδὶ χαιρήσει, ἢ ἐπὶ τοῖς χείροσιν ὁ γονεὺς ἀνιάσεται. Καὶ γίνεται παραπλήσιον οἷον εἴ τις τῇ μὲν στέφοι χειρὶ, τῇ δὲ ῥαπίζοι, ἐν τῷ λυποῦντι

NOTÆ.

(7) Perplexus locus et haud scio an non mendosus. Interpretationem expedivi ut potui. Succurrebat forte legendum ὁμοίων pro ὠδίνων. Nisi verius est hujus nostri et Græciæ citeriorum temporum propria dialecto ὠδῖνας parentes dici. Quod satis manifeste apparet ex pag. 12 superiori. (Col. 206 D.)

ἀναχωροῦντος τοῦ τέρποντος. Διό μοι φαίνεται καὶ κατὰ τοῦτο τὸ μέρος, φημὶ δὴ τῆς παιδοποιΐας, τοῖς πατράσι τοῦ νῦν τιμωμένου τὴν κατὰ τῶν ἄλλων πατέρων προσεῖναι ὑπεροχήν. Ὄντος γὰρ οὐ ῥᾳδίου ἐν πάσῃ ἀρετῆς ἰδέᾳ ὁμοίως εὐδοκιμεῖν, ἀλλ' ἐν ταύτῃ μέν τινα δοκεῖν ἱκανῶς ἔχειν, ἐν ταύτῃ δὲ ἀποδημεῖν (8), τοῖς μὲν ἄλλοις ὅσοις ὑπῆρξε χρηματίσαι γονεῦσι, τοῦ μὲν τῶν παίδων ταύτην κεκτημένου τὴν ἀρετήν, τῷ δὲ προσούσης ἑτέρας (τὰ γὰρ χείρω σιγάσθω), συμβαίνει ὥσπερ ἐξ ἐράνου τὸν κόσμον συλλέγεσθαι, εἴπερ ἀρετὴ παίδων κόσμον φέρει τοῖς γεγεννηκόσιν. Ἐνταῦθα δὲ ἑνὸς ὄντος τοῦ πάντα συλλαβόντος τὰ κάλλιστα, ἔξεστιν εἰκάζειν τῷ βουλομένῳ τὸ ὑπερβάλλον τοῦ πράγματος. Ἀλλ' εἴρηται μὲν περὶ τῶν γεννητόρων ὅσον ἐπ' ὀλίγον τῆς αὐτῶν ἀρετῆς ὠσφράνθαι βραχέα τῷ λόγῳ. Εἴη δ' ἂν καὶ τὸ B νῦν εἰρημένον μαρτύριον, ὡς τὸ ἅπαξ τὴν καλλίστην ἐκείνην ὠδῖνα λῦσαι, ἀμείνους αὐτοὺς ἄγει τῶν ἐπὶ συχναῖς ἐγνωσμένων. Τὸ δ' ἐντεῦθεν πειράσθω τὸν παῖδα ἐκδιηγεῖσθαι καὶ δεῖξαι, ἂν ἄρα καὶ δύνηται τοσοῦτον ἔργον ὑποστῆναι, ὅσος καὶ ἡλίκος ἐχρημάτισεν.

A ut ex una stirpe procreatos fratres, ita virtutis atque indolis parentum velut hæreditatem participantes ex æquo viderem. Nunc multo major inter eos quam inter digitos inæqualitas cernitur; contingitque fere ab ortu ipso uni laudabile inesse quidpiam, alteri vero vitiosum; ut genitor non majorem a bonis lætandi causam quam dolendi habeat a malis: consimile quid patiens atque si quis altera quidem ipsum manu coronaret, altera colaphum impingeret; in quo casu honoris fructus plagæ contumelia obrueretur. Quare mihi videntur etiam in hac parte, fecunditate, inquam, ac felicitate generandi, parentes ejus quem nunc celebramus, supra cæteros aliorum genitores dignitatis obtinere principatum. Cum enim facile non sit in omni genere virtutis ex æquo florere, sed fere videamus qui in quadam laude aliquousque progressus sit, eumdem ab alia longius abesse, cæteris quibus contigit fieri patribus plurium liberorum collatitio quodam gaudii genere lætandum est. Dum uno quidem filiorum unam duntaxat virtutem possidente, alio vero rursus aliam (nam deteriora sileantur), collectione ipsis atque acervo emendicata multis ex locis gratulatio completur ad aliquem demum ornatus modum, si quis a virtute filiorum conferri verus ornatus in parentes potest. Hic vero cum in uno capite collecta omnia decora teneantur, conjectura licet assequi quanto excessu vulgarem parentum fortunam horum conditio peculiaris antecellat. Atque hæc quidem de Nicolai magni genitoribus sic dicta sunto; ea duntaxat tenus ut velut odorata obiter virtutem eorum quasi præteriens oratio videatur. Sane quæ diximus abunde sunt ad probandum illos unico hoc quidem at eodem præstantissimo partu defunctos longe apparuisse clariores iis ipsis qui numero sobolis fuere nobiles. Deinceps in filio qualis ac quantus fuit demonstrando exornandoque conatus orationis desudet nostræ. Si tamen ingenio atque industria sustinere valebimus opus tantum.

Οὗτος μὲν οὖν πρωτότοκος ἅμα καὶ τελευταῖος τίκτεται τῇ μητρί. Αὐτίκα γὰρ αἱ τοὺς λογικοὺς στάχυς ἀνθοῦσαι λαγόνες, ἐπιλιπούσης αὐτὰς τῆς ἐνεργείας, ἀγωνίαν ἠλάσσοντο· ἐμοὶ δοκεῖ δεικνύντος τοῦ κρείττονος, ὡς ἄλλης τινὸς θειοτέρας ἢ κατὰ τὴν συνήθη τῆς γενέσεως αἰτίαν εἴη ὁ πεφυκώς, οἷα ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὸν βίον γίνεται παραδόξων, ἃ ἐν μακραῖς καιρῶν περιόδοις ἐπιδημεῖ (9). Ἡ μὲν οὖν πρώτη φυὴ οὕτω θαυμαστὴ καὶ τῶν ἄλλων τὸ διάφορον ἔχουσα. Τί δέ; κοινὰ τὰ ἑξῆς, οἷα ἐν τῇ τῶν βρεφῶν εἴθισται ἀγωγῇ; Οὐμενοῦν, ἀλλὰ θαῦμα, φασί, θαύματι ἕπεται. Σαμουὴλ ἐκεῖνον (10) ὃς δῶρον εὐχῆς ὑπῆρξε, καὶ ἄλλους δή τινας ἄρτι θηλῆς πεπαυμένους, ὑπὸ τῶν γεννητόρων ἀκούομεν καθιε-

C Prima fuit is postremaque matri proles suæ. Nam qui ista rationali spica effloruerat uterus, exhausta mox fecunditate mutatur in sterilem. Deo, ut mihi videtur, demonstrante diviniorem aliquam ad originem, non autem ad consuetas nascendi causas ortum hujus pueri pertinuisse; qualia certis orbibus redeuntia temporum, inopinata in rebus humanis miracula exstant. Primus hic igitur ingressus in vitam ita mirabilis atque adeo præcellens supra cæteros fuit. Quid autem? An vulgaria quæ deinde secuta, et a cætera consuetudine infantilis ætatis nihil abhorrentia? Minime; sed, quod aiunt, miraculum miraculo comes. Samuelem illum qui præmium orationis fuit aliosque quosdam si-

NOTÆ.

(8) Suggerebat animus rescribere ἀποδοκιμεῖν ut opponatur τῷ εὐδοκιμεῖν paulo superius posito. Sane peregrinum ab hoc loco videtur τὸ ἀποδημεῖν nisi se jure metaphoræ tueatur. Quod equidem reveritus manum abstinui.

(9) Censorinus lib. *De die natali*, cap. 17, refert ex Etruscorum libris: « Initia sæculorum alioqui hominibus incomperta futura, divinitus indicari solere apparitione prodigiorum. » Eo respicere videtur hic locus.

(10) Gregorius Theologus de vita sua:

. . . . τῷ γὰρ Θεῷ
Παρίσταμ' ὡς ἀμνός τις ἢ μόσχος φίλος
Θῦμ' εὐγενές τε καὶ λόγῳ τιμώμενον.
Ὀκνῶ γὰρ εἰπεῖν ὡς Σαμουήλ τις νέος,
D *Πλὴν ἢ βλέποιμι πρὸς πόθον δεδωκότων.*

Quæ sic vertit interpres:

. . . . *Nam Deo sistor velut*
Vitulus vel agnus, victima et pernobilis
Ratione pollens. Non enim fari audeo
Samuelis instar, vota ni spectem et pium
Studium superno dantium me numini.

Atqui τῷ λόγῳ τιμώμενον non est, *ratione pollens*, sed *Deo Verbo consecratum*. Id enim et Gregorius isthic de se et de Nicolao noster hoc loco indicare voluerunt: fuisse utrumque mature, illum a parentibus, hunc a seipso ad modum Samuelis oblatos Christo. Nam alioqui quomodo se Gregorius ratione pollentem diceret jam tum cum primum est natus, nam eo tempore se oblatum dicit.

mul atque depulsi a lacte fuerant, accepimus a parentibus Deo dicatos. Hic autem religionem parentum nequaquam exspectans lactens etiamnum sese Deo consecrat. Cum enim vitam ad sacrum canonem jam tum exigeret, hoc ipso consecrationis illius fidem faciebat. Nam aliis quidem diebus materna illum mamilla pascebat nutrimenti ratione ætati congrua; illis vero diebus quarum una quidem in Redemptorem nefaria coitione sceleratorum concilium congregatum, alia vero Deo in carne cum morte congresso exstincta mors est, semel sumpto lacte perseverabat deinde jejunus. Sic tanto ante ætatem adultam jam sacer et sacri ritus erat ac præcepti peritus quo talis observatio præscripta. Talis hic primus surculus assurgentis vitæ, talemque ad modum velut a topiario aut arboratore temperantia exculta, puroque hinc affluente liquore rigata. Postquam autem erat consequens plantam ad hunc modum bono primum satu editam, felicissimis deinde incrementis auctam, proventu denique fructuum abundare. Jamque præterierat pueritiæ rude tempus, auctoque corpusculo adolescentulus esse cœperat, cum varia ecce quædam protinus arrisit decorum species. Adeo siquidem puerilem non ostendit in moribus levitatem, ut constantia potius mentis atque sententiæ senilem prudentiam exhiberet. Quare quæ consueta oratio est laudationes perorantium in eos qui vitam eleganter ab ipsa prima visi sunt pueritia traduxisse: contigisse nempe ipsis ut cubitalibus augmentis crescerent, talis, inquam, oratio quæ in aliorum encomiis magna in laudis parte numeratur, uno in isto quem nunc admiramur quasi exile quiddam nimium et prorsus impar locum habere non videtur posse. Non enim licet affirmare cubitali proportione auctam illius esse virtutem : sed si veram afferre laudationem ejus voluerit quispiam, dicturus utique sit totam ipsam in eo quanta est humano formatam habitu inter homines visam ac versatam esse virtutem. Adeo perfectionem officiorum omnium semper in

A ρῶσθαι Θεῷ. Οὗτος δὲ οὐκ ἀναμείνας τὴν τῶν τεκόντων προαίρεσιν, ἔτι τοῦ γάλακτος ὑποκλύζων, δωρεῖται ἑαυτὸν τῷ Θεῷ. Δι' ὧν γὰρ κατὰ θέσπισμα τὸ ἱερὸν (11) ἰδίου, καὶ ἐπιστοῦτο τὴν καθιέρωσιν, οἷον δὲ τὸ τῆς καθιερώσεως γνώρισμα; Ἐν μὲν οὖν ταῖς ἄλλαις τῶν ἡμερῶν ἡ μητρῴα αὐτὸν εἱστία θηλὴ, κατὰ τὴν προσήκουσαν τῇ ἡλικίᾳ τροφήν· ἐν ἐκείναις δὲ ὧν τῇ μὲν κατὰ τοῦ Λυτρωτοῦ τὸ παράνομον συνήχθη συνέδριον· τῇ δὲ ὁ θάνατος ἀπώλετο (12) σαρκὶ θανάτῳ Θεοῦ ὁμιλήσαντος, ἅπαξ μεταλαμβάνων τοῦ γάλακτος, τὸ ἑξῆς τῆς ἡμέρας ἀπηγόρευε τὴν τροφήν. Οὕτω πόῤῥω (13) τῆς ἡλικίας ἱερός τε ἦν καὶ τοῦ ἱεροῦ συνίη διατάγματος, B ὃ ταύτῃ ζῆν ἐπιτρέπει. Ἡ μὲν οὖν πρώτη βλάστη τοιαύτη, καὶ οὕτως οἷον ὑπὸ φυτηκόμῳ τεχνίτῃ τῇ ἐγκρατείᾳ τηρουμένη καὶ τῷ ἐκεῖθεν ἀρδομένη καθαρῷ νάματι· ἐπεὶ δ' ἦν ἑπόμενον τὴν οὕτω μὲν εὖ ἀνασχοῦσαν φυὴν, οὕτω δὲ κάλλιστα αὐξομένην εὐφορῆσαι καὶ τοῖς καρποῖς, καὶ ἤδη παρῆκεν ὁ νηπιάζων καιρὸς, καὶ μειράκιον ἦν, εὐθέως παντοδαπή τις προὔκυπτεν ἰδέα καλῶν. Οὐ γὰρ μόνον οὐκ ἐγνώριζε κατὰ παῖδα τὸ ἦθος, ἀλλὰ καὶ πρεσβυτικὴν τῷ εὐσταθεῖ τῆς γνώμης ἀπέκρυπτε σύνεσιν. Ἀεὶ μὲν οὖν ἐπὶ τῶν ἄλλων ὅσοι ἐκ παίδων εἰς κάλλος ὤφθησαν βιοῦντες, ἔθος ἐστὶ λέγειν τοῖς ἐπαινέταις, ὡς κατὰ πῆχυν αὐτοῖς συνέβαινεν αὔξεσθαι· τοῦτο δὲ μέγα μέρος ὂν ἐγκωμίων, ἐπὶ μόνῳ τῷ νῦν θαυμαζομένῳ οὐδὲ τὸ βραχύτατον ἀναπληρῶσαι δόξειεν ἄν. C Οὐ γὰρ ἔξεστι κατὰ πῆχυν αὐτῷ προσμαρτυρεῖν ηὐξῆσθαι τὴν ἀρετὴν, ἀλλ' εἴγε μέλλοι τις ἀληθῶς αὐτὸν ἐπαινέσεσθαι, αὐτὴν ὅλην φαίη ἐν ἀνθρωπείῳ σχήματι δι' ἐκείνου ὀφθῆναι τῷ βίῳ. Οὕτως αὐτῷ παρῆν ἐξ ἀρχῆς τῶν κατορθωμάτων τὸ τέλειον· ἀπαγορεύσας δὴ πᾶσιν ὑφ' ὧν ὁ νοῦς ὥσπερ βιαίῳ πνευμάτων ὀχλούμενος, πολλάκις μὲν ὅλην ἀπώλεσε τὴν λαμπάδα, μέγα δ' εἰ καὶ στυγνὸν φαίνουσαν περισώσειε, μόνοις ἐκείνοις προσῄει οἷς ἀρετὴ φίλη, καὶ ὧν ἔμελλε, φωτὸς υἱὸς χρηματίζων προσθήκην φωτὸς λαμβάνειν, ἱεροῖς μάλιστα μαθήμασι προσιὼν καὶ Θεῷ δι' ἀπαύστων προσευχῶν ὁμιλῶν τε καὶ οἰκειούμενος. Ἔδει δὲ ἄρα τῆς σωματικῆς ἀπηρτη-

NOTÆ.

(11) Innuit canonem 68 apostolorum quem et pagina sequenti ἱερὸν διάταγμα nominat. Is sic habet : Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, ἢ τετράδα, ἢ Παρασκευὴν οὐ νηστεύοι, καθαιρείσθω ἐκτὸς, εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. Εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω· hoc est : *Si quis episcopus, vel presbyter, vel diaconus, vel lector, vel cantor, Paschæ Quadragesimam non jejunat, vel quartum diem, vel Parasceven, præterquam si propter infirmitatem corporalem impediatur, deponatur. Si sit autem laicus, segregetur.* Commune quidem erat omnium, ut mox videbimus, Christianorum jejunium quartæ et sextæ feriæ. Tamen quia id clericis peculiari modo injunctum erat, visus est Nicolaus jam tum in cunis quasi sponte sese in clericorum ordinem obtulisse : qui se ista peculiari clericorum observatione constrictum quasi profiteretur. Notandum hoc fuit ut intelligeretur quod mox sequitur, πόῤῥω πρὸ τῆς ἡλικίας ἱερός τε ἦν. Nisi forte, quod non D pernegarim, ἱερὸς hic Christianum sonet, habita ratione consuetudinis illorum temporum quibus baptismus non fere nisi adultis conferebatur.

(12) Hunc locum enarret Augustinus epist. 86 : *Cur autem*, inquit, *quarta et sexta feria maxime jejunet Ecclesia, illa ratio reddi videtur, quod, considerato Evangelio, ipsa quarta Sabbati, quam vulgo quartam feriam vocant, concilium reperiuntur ad occidendum Dominum fecisse Judæi.* Et paulo inferius: *Passus est Dominus (quod nullus ambigit) sexta Sabbati, quapropter et ipsa sexta recte jejunio deputatur.* Hæc sanctus doctor. Ex quibus patet antiquissimam fuisse istam observationem jejunii quartæ sextæque feriarum. Cujus præter Clementem Romanum, Ignatius, Tertullianus, Clemens Alexandrinus, Origenes aliique meminerunt, quorum testimonia recitat Baronius ad annum Christi 34 et 57.

(13) Inter voces, πόῤῥω et τῆς, infindendam puto particulam πρό. Paulo post, ὁ νηπιάζων καιρός, pueritiæ tempus, quod *stultos dies* Tibullus dixit.

A τμένης αὐξήσεως, καὶ τὸ τῆς ψυχῆς τέλειον ἐπίδηλον γεγενῆσθαι, καὶ εἰς κοινὸν ὄφελος, ὅτου πράγματος μετῆν ἱκανῶς, καταστῆναι. Ἐπεὶ καὶ Χριστὸς ὁ τοῦ κόσμου Σωτὴρ τότε ἀνθρώποις γνωρίζεται ὧν εἴη ἐργάτης, ὅτε τὸ μέτρον αὐτῷ οὐκ ἔτ' ἔδει τῆς ἡλικίας. Ὄντος οὖν ἑπομένου τὸν ὑπερφυῶς καὶ γεγονότα καὶ βεβιωκότα, οἰκονόμον ὀφθῆναι τῶν ὑπερφυῶν, οὕτω καὶ γίνεται. Ἵνα δὲ ᾗ ἀμιγὲς θνητῆς ἐπικρίσεως καὶ καθαρῶς θεῖον τὸ γινόμενον, οὐκ ἀνθρώπων ἐκ γῆς τὴν ψῆφον πιστεύεται, ἀλλ' οὐράνιος χρησμὸς ἐπὶ τὸν ἀρχιερατικὸν αὐτὸν ἱδρύει θρόνον. Μικρὸν δὲ ἄνωθεν ἀναλαβὼν ὁ λόγος ἀπαγγελεῖ τὸ διήγημα.

suis moribus ab ipso principio repræsentarit. Omnibus illis renuntians a quibus mens tanquam vehementia ventorum exagitata sæpe quidem integram exstinctionem totius lampadis patitur, magnumque si vel luridam et mœstam semimortuæ facis servaverit flammulam, cum iis solis versabatur quibus chara virtus; ex quorumque consuetudine filius ipse lucis adventitii luminis augmento proprium suum cumularet, sacris maxime disciplinis vacans et cum Deo nunquam intermissis precationibus agens, seque illi admovens. Oportebat porro jam ad plenitudinem ætatis adulto corpore, animæ quoque perfectum statum apparere manifesto, atque in communem produci utilitatem id quo ille valebat. Quoniam et mundi Salvator Christus tum demum suam illam hominibus mirificam vim ostendit quando jam ætatis ipsi mensura non deerat. Consequens igitur cum esset eum qui supra naturam et natus esset et vixisset in supernaturalium dispensatorem rerum atque administrum tandem evadere, sic plane contigit. At ut nullo mortalis ullius præjudicio mista, sed mere divina ea res esset, non is hominum terrestrium calculo, sed cœlesti oraculo in pontificali collocatus est throno. Cujus rei narrationem paulo altius ductam subjiciam.

B Ὁ πρὶν λαχὼν διέπειν ἀρχιερεὺς τὴν μετὰ ἀνθρώπων ζωὴν ᾤχετο λελοιπώς. Ἐπιζητούσης δὲ τῆς πανάγνου παστάδος τὸν ἀντ' ἐκείνου νυμφίον, σύλλογος ἱερὸς, ὅσος καὶ ἐν ἀρχιερεῦσι καὶ ἱερεῦσι Θεοῦ συνεληλυθὼς, βουλὴν ἥτις ἀρίστη διαθεῖναι περὶ τῆς ἱερᾶς μνηστείας σπουδὴν ἐποιεῖτο. Οὔσης δὲ πολλῆς, ὡς εἰκὸς, ἀγωνίας αὐτοῖς (μεγίστων γὰρ ἀγώνων τὰ μεγάλα τῶν πραγμάτων ἤρτηται), καὶ τοσοῦτο μείζονος (14) ὅσον καὶ τῶν κινδύνων τὸ μέγεθος, μὴ ἁρμοσθείσης τῆς οἰκονομίας τῷ πράγματι, βουλὴν βουλεύονται ἀληθῶς ἱερώσυνον. Τίς αὕτη; Ἀνενεγκεῖν τὸ πᾶν εἰς Θεόν. Ἐκεῖθέν τε παραμένειν ἥξειν τὸ τῆς διοικήσεως (15) ἀσφαλές. Εὐχαῖς τοίνυν καὶ νηστείαις καθάπερ ὠκυτάτοις πτεροῖς εἰς οὐρανὸν ἡ σπουδὴ αὐτοῖς ἀνιοῦσα, τοῦ ζητουμένου τυγχάνει. C Εἷς γάρ τις τῆς ἱερᾶς ἐκείνης λογάδος θείῳ χρησμῷ τῶν λογισμῶν ὑπεκλύοντι τὴν ἀπορίαν, μυσταγωγεῖται τήν τε προσηγορίαν, καὶ ὅποι τὸν ἄνδρα εὑρῆσθαι δεήσει. Παραφυλάξας δὲ τὸν τόπον ὁ μεμυσταγωγημένος (ἦν δ' ἄρα τοῦ ναοῦ τι μέρος οὗ προσομιλεῖν ὁ μέγας εἴσθιστο Νικόλαος τῷ Θεῷ), ἐπιστάντα κατέχει (16), καὶ τοῖς ἐκείνου ῥήμασι τὰ ἐκ τῆς ὄψεως συμβαλὼν, τὸν ἄνδρα διαγινώσκει. Οὕτω τε σὺν τῇ παρούσῃ ἱερᾷ πληθύϊ τῇ Ἐκκλησίᾳ νυμφαγωγεῖ.

Qui ante hunc archiepiscopalem erat administrationem sortitus mortali defunctus vita ex humanis abierat. Cum virgineus porro thalamus alium ejus loco sponsum desideraret, conventus sacer ex pontificibus et sacerdotibus Dei collectus consilio expedire quam posset optimo sacras illas nuptias satagebat. Cum vero multa, ut in deliberatione tanta, perplexitas esset (maximis enim ex discriminibus magnorum negotiorum exitus pendent), ac tanto difficilior expeditu esset electio quanto majora pericula ex errore si quis in ea committeretur consecutura providebantur, consilium capiunt vere sacerdotale. Quodnam vero illud? Rem omnem referendam ad Deum. Exspectandum inde venturam salutarem resolutionem intricatissimi negotii. Ergo cum orationibus et jejuniis tanquam alis velocissimis evolasset in cœlum ipsorum devotio, nacta ibi quod quærebat est. Unus enim quidam ex sacro illo cœtu, oraculo divino rationis humanæ dubitationem expediente, et viri nomen edocetur et locum ubi reperiendus is erat. Quo observato, ille cui revelatio facta fuerat (erat autem is locus pars quædam ædis ubi frui Dei colloquiis magnus consueverat Nicolaus) stantem ibi deprehendit divina sibi visione demonstratum virum. Hunc enim eum esse ejus ex verbis ipsius facile agnovit, sicque illum cum præsenti sacra multitudine sponsum Ecclesiæ conjungit.

D Μέχρι μὲν τοῦδε ὥσπερ ἀπλῆν τινα τρίβον παριὼν ὁ λόγος οὐ χαλεπῶς διήνεγκε. Τὸ δ' ἐντεῦθεν μυρίας ἀπαντώσης διεκδρομῆς καὶ οὐ καθάπερ ἐπὶ τοῖς ἀπόροις λέγεται τρίοδον ἀπηντηκέναι, τί χρὴ δράσαι; μᾶλλον δὲ τί παθεῖν; Ἀπείρων γὰρ ὄντων ἐκείνῳ

Hactenus recto quodam itinere quasi inoffense processit oratio. At deinceps cum non solum, quod in perplexis dicitur, occurrat trivium, verum in innumera quædam divortia scindat se via, quid facere opus est? vel potius, quid pati necesse? Cum

NOTÆ.

(14) Non dissimulo in exemplari me legisse μειζόνων, quod cum satis cohærere non videretur, in μείζονος mutavi, ut ad ἀγωνίας referatur.

(15) Non puto διοίκησιν hic esse diœcesim. Olim enim aliter id nomen usurpabatur. Quanquam si phrasis Græca pateretur, non esset incommodus sensus. Convenerant episcopi unius provinciæ, quæ diœcesis vocabatur veteribus, et in commune consultabant. Tota tamen ἀκολουθία loci me in eam sententiam traxit quam interpretatione expressi, cujus si minus videbitur felix, equidem non ero pertinax.

(16) Quid si legamus ἐκεῖ πάντα κατέχει?

enim infinita huic nostro decora insint, propriamque sibi unumquodque laudationem postulet, quomodo quæ dici nequeant singula una oratione comprehendat quispiam ? aut quomodo de argumentis ita magnis, non quidem cum ipsorum dignitate comparandum, sed vel tolerabile ac mediocre aliquid possit afferre? Tamen ex ejus præclare factis delibanda sunt pauca. Ad persequenda enim omnia neque si quis prolixitate vitæ paria faciat cum eo qui diutissime omnium mansisse in vita dicitur, suffecturam habiturus linguam esset. Quis ita se functione sacerdotii et magno sacrificio dignum exhibuit? aut potius quis ut ille in odorem suavitatis holocaustum oblatus est Deo? Quis ita sublimis in habitu submisso? Quis rursum in submissione magis inaccessus? Illud quidem ob naturæ morumque benignitatem, hoc propter inimitabilitatem virtutum. Quis sic ad verum expressit in seipso pastorem verum, et ne periculum oves tangat, tanquam ad jucundum aliquid ad mortem accessit? Quis magis gravem injuste grassantium contrivit manum? Quis in tempore opportunius protexit oppressos? Aut potius quis unus utrique generi consuluit melius? Priori quidem eo studiosius, quo illud atrocius periculum malo usque ad animam pertinente. Sed jam in arcem invadamus. Quis tanto animo militiam prædicationis verbi toleravit? Hinc dæmoniorum acies fundens fugansque, horumque fana expurgans, miserosque quos deceperant ut spolia opima Deo sistens. Inde vero strenue rem gerens adversus hostes furiosa contumacia ubi minus decebat armatos, qui exacuta ad blasphemiam lingua unam naturam in creaturam et Creatorem dividere conabantur. Pauli quidem definiat cursum Hierosolymis ad Illyricum pertinens peregrinatio. Huic vero nostro non quidem ab Hierosolymis prædicatio processit, neque in illam aliam terræ partem propagata est. Videamus tamen an ideo minus Evangelio contulerit. Ille sero tandem zelo converso maturos fructus prædicationi dedit; hic vero pene ex ipso limine vitæ, tametsi id deinde manifestius apparuit. Rursus ille non diu moratus absolvit cursum; hujus vero usque ad vitæ longissimæ metas ultimas cursus extenditur. Itaque hæc nostra utrinque summa non sinunt illum peregrinationis nomine primas ferre. Par igitur certamen esto quando et utriusque simile studium. Verum quis unquam ita consuluit sibi subjectis, ut ille omnium qui cura indigebant

νη; Τῷ πράῳ τὸ δίκαιον κερασάμενος, πρῶτον μὲν ὑπεραπολογεῖται, οἷς Ἀνθέμιος ἐπετίμησεν· ἔπειτα τῆς Ἰησοῦ μαθητείας, καὶ οἷς ἐκείνη παῤῥησιάζεται, διὰ βραχέων αὐτὸν ὅλον εἶναι παραδηλῶν, ἐπικροτεῖται παρὰ πάντων. Καὶ ἦν ἰδεῖν τῷ ὕψει τῶν λόγων Ἰωάννου, τῇ ἐπιλάμψει τοῦ ἁγίου συνεξαστράπτοντα Πνεύματος· ὥστε εἰπεῖν ὁρῶντα τὸν ὕπαρχον, Ἀληθῶς τῆς Ἑλλήνων παιδείας ἡ Χριστιανῶν διδασκαλία πάντα ἀσύμφωνος, τῶν μὲν δοξομανούντων, τῶν δὲ τὴν ἐναντίαν ἐκείνων πορευομένων. Συνεπιλαμβάνεται τούτοις ὁ Ἰωάννης, καὶ τῷ ζέοντι τοῦ κινοῦντος Πνεύματος, δημοσίᾳ παῤῥησιάζεται τὴν εὐσέβειαν, στηλιτεύει τὰ Ἑλλήνων, καὶ τοὺς αὐτῶν θεούς τε καὶ δαίμονας, Κρόνῳ, καὶ Διί, καὶ Ἀθηνᾷ καὶ Ἀπόλλωνι, καὶ τῷ λοιπῷ τῶν Ἑλλήνων θεῶν ὁρμαθῷ, ἑρπετῶν τε καὶ θηρῶν, καὶ τῶν ἄλλων κνωδάλων, τὴν στήλην ἀξίαν τῶν σεβομένων παραστησάμενος, ὧν καὶ οἱ λόγοι (λέγων) τὸν αἰθέρα μολύνουσι. Τί ἔτι; τὸ ἀληθινὸν φῶς προστίθησι κηρύττων τῆς ἁγίας Τριάδος, τῆς ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, τῇ μιᾷ θεότητι τρισυποστάτως καὶ ἀνάρχως καὶ ἀϊδίως θεωρουμένης τοῖς Χριστιανοῖς, καὶ προσκυνουμένης. Ταῦτα μὲν ὁ Ἰωάννης. Ἐχάρησαν οὖν, ὅσος τῆς τῶν Χριστιανῶν μοίρας ὅμιλος· ὅσος δὲ ὁ τῶν Ἑλλήνων, ἀηδῶς ἔσχον, ὠργίσθησαν. Βραχὺς ὁ λόγος, καὶ ὁ ὕπαρχος συναπάγεται, παύεσθαι τῶν θεῶν κωμῳδίας τῷ Ἰωάννῃ ἐγκελευόμενος. Χώρα τοῦ λέγειν Ἀνθεμίῳ πάλιν. Καὶ πρῶτα μὲν τοὺς θῶπας τῶν λόγων καταχεῖ τῷ ὑπάρχῳ· ἀδολεσχεῖ δὲ, μακρά τινα κατά τε Ἰωάννου καὶ τῆς ὑπὲρ αὐτοῦ θρησκείας ἐκεῖνα λεσχηνευόμενος, ὅσα τῷ θρησκευτῇ τῶν τοιούτων εἰκὸς, οὕτως εἶπεν. Ἀλλ' οἱ βασιλεύοντες, ἀντέφη ὁ ὕπαρχος, ἀφ' οὗ Χριστῷ συνετάξαντο, ὑψώθη τὰ τῆς βασιλείας αὐτῶν, ἁπανταχοῦ τῶν Χριστιανῶν ἐπιδόντων εἰς πλάτος· οἷς κἀγὼ κεκοινώνηκα καὶ εἰς τὸ δεῖγμα. Πάλιν οὖν Ἀνθεμίῳ τούτων ἀκούσαντι κημὸς καὶ κατήφεια. Καὶ δέχεται τὸν λόγον ὁ Ἰωάννης, καὶ ταῦτα προστίθησιν· Ἀψευδής, λέγων, ὦ ἄνδρες, ὁ ὕπαρχος. Οὐ γάρ τίς ἐστι τόπος ἀπ' ἄκρων ἕως ἄκρου τῆς οἰκουμένης, οὗ Χριστὸς οὐ τιμᾶται καὶ σέβεται. Καὶ εἴ τις φιλοπονῶν ἐθέλοι μαθεῖν, ἴστω τὰ περὶ τῶν ἐν Ἱερουσαλὴμ ἀποσκιρτησάντων Ἰουδαίων, ὅπως μετὰ τὴν ἐκ νεκρῶν Χριστοῦ ἀναβίωσιν, τῷ Ῥωμαίων πολιορκούμενοι δόρατι, εἰς τοσοῦτον στενώσεως ἦλθον, ὥστε τὰς τῶν ἰδίων νηπίων σάρκας ἀντὶ τῶν ἄρτων φαγεῖν. Οἱ τοίνυν ἐμοὶ πειθόμενοι, ἰδοὺ ὁ ἐπίσκοπος, προσέλθετε πρὸς αὐτὸν, καὶ βαπτίσθητε. Ἐπειδὴ δέ τις τῷ θείῳ ζήλῳ καὶ φόβος ἕπεσθαι πέφυκε, φοβεῖ καὶ τούτους αὐτὸς ὁ Ἰωάννης. Οἷς γὰρ τὸ ῥᾳστωνεῦον τῆς γνώμης τῷ χαύνῳ πολιορκεῖται φρονήματι, καλὸν καὶ ὠφέλιμον ἡ τοῦ φόβου παρέστηκεν ἀνθυποφορά. Φοβεῖ τοίνυν αὐτοὺς ὁ ζηλωτὴς ἐκεῖνος Ἠλίας, τί λέγων; Εἰ μὴ πείθεσθέ μοι τὰ ζῶντα συμβουλεύοντι, ἰδοὺ ἀναφέρω τοῖς βασιλεῦσι, καὶ παραυτίκα ἀποθανεῖσθε. Κρείσσων γὰρ θάνατος ζωῆς βλασφημούσης τὸν ζωοδότην, ἀναισθητότερόν τε διακεῖσθαι κυνῶν καὶ πετεινῶν καὶ θηρίων, ἃ τοῖς ἡμεροῦσι καὶ τιθασσεύουσιν ὑπείκοντα τέθεικεν. Ἐν τούτοις Ἰωάννου παῤῥησιαζομένου, Ἀνθέμιος ἀντανίσταται μὲν κατὰ

A honorem; et ante omnia, humilitas est ei horum causa et conciliatrix. Sed hæc quidem præfectus. Quid vero Joannes? Mansuetudine temperans justitiam, primum quidem respondet iis, quæ ei objecit Anthemius; deinde se Jesu disciplinæ et iis quæ illa libere profitetur, se totum esse deditum paucis ostendens, omnium plausu suscipitur. Licebatque videre oculis, orationem Joannis refulsisse illuminatione sancti Spiritus, adeo ut diceret hoc videns urbis præfectus: Revera Græcorum disciplinæ cum doctrina Christianorum nihil omnino convenit; cum illi quidem laborent insana gloriæ cupiditate, hi autem ingrediantur via illis contraria. Post hæc sequitur Joannes, et ardore moventis eum Spiritus, publice libere profitetur pietatem; in gen-

B tes invehitur, eorumque deos et dæmones, Saturnum, et Jovem, et Minervam, et Apollinem, et reliquam deorum gentilium seriem, serpentesque et bestias, quæ ab eis coluntur, qui eis debetur, honore afficiens: de quibus ii etiam qui habentur sermones, aiebat, æthera inficiunt. Quid præterea? Veram etiam lucem pergit prædicare sanctæ Trinitatis, quæ in Patre et Filio et sancto Spiritu in una divinitate et tribus personis, sine principio et sempiterne, a Christianis contemplatione cernitur et adoratur. Hæc quidem Joannes. Lætata est autem universa turba, quæ sequebatur partes Christi; dolore autem affecti gentiles, ira fuerunt perciti. Ut paucis absolvam, una cum eis movetur quoque

C præfectus, jubens Joannem cessare deos ludificari. Anthemio rursus datus est dicendi locus. Et primum quidem se blandis verbis insinuat præfecto; valde autem et prolixe nugatur in Joannem et ejus religionem, illa blaterans quæ talium cultorem decent, ita dixit. Sed, ex quo imperatores, contestatus est præfectus, Christo nomen dederunt, in altum sublatum est eorum imperium, cum ubique Christiani longe lateque crevissent, cum quibus fui ego societate conjunctus, et in hunc locum sum deductus. Rursus ergo Anthemio injectus est mœror et tristitia. Ejus autem orationem excipit Joannes et hæc adjicit, dicens: Vera dicit præfectus, o viri. Nullus est enim locus ab extremis usque ad extrema orbis terrarum, ubi Christus non honoratur et

D colitur; et si quis studiosius hæc velit discere, sciat de Judæis qui exierunt ab Jerusalem, quod postquam Christus resurrexisset a mortuis, a Romanis bello obsessi, ad tantas redacti sunt angustias, ut suorum infantium carnes pro pane comederint. Qui ergo mihi creditis, ecce episcopus; accedite ad eum et baptizemini. Quoniam autem divinum zelum solet etiam metus quidam consequi, illos terret ipse Joannes. Quibus enim animi socordia obsidetur a molli et enervato spiritu, utiliter eis metus objicitur. Eos ergo terret zelo percitus ille Elias; quid dicens? Nisi mihi parueritis consulenti quæ dant salutem; ecce vos deferam ad imperatores, et statim moriemini. Est enim mors melior quam vita, quæ blasphemiis et maledictis incessit vitæ datorem, et minus habet sensus quam

canes et volucres et feræ quæ iis cedunt qui eas mites faciunt et cicures. Cum hæc libere diceret Joannes, Anthemius graviter quidem insurgit adversus Christum, cadit autem gravius. Jam enim os sceleratum nondum cesserat Christum maledictis incessere; et protinus a spiritu immundo correptus Anthemius, afficiebatur sicut dæmoniaci, horrorem et fugam immittens iis qui aspiciebant. Deinde quid? Misericordia movetur Joannes, et Anthemium, etsi malo adhuc vexaretur, magnis clamoribus confessum, non esse alium Deum nisi Christianorum, a malo liberat. Cumque esset redactus in exstasim, omnes quidem afficit admiratione, propter repentinam mutationem; repente autem baptizatur cum tota domo; et sic confirmata baptizatur multitudo. Nec hoc solum; sed etiam ex iis qui audierunt, omnes filii lucis regenerantur divino baptismate. Communis hinc omnibus gaudii et lætitiæ exsultatio; adeo ut re ipsa liceret intueri quod canitur: *Lætantium omnium habitatio est in te* [8]. Hujus lætitiæ causam ignorabat antistes Athenarum. Deinde cum intellexisset, eum statuit adducere ad ordinationem. Quod cum rescivisset Joannes, clam aufugit, et se reddit patriæ.

A Χριστοῦ χαλεπῶς, πίπτει δὲ χαλεπώτερον. Ἤδη γὰρ τὸ μιαρὸν οὔπω στόμα τῆς κατὰ Χριστοῦ βλασφημίας ἐπαύσατο, καὶ παρευθὺς πνεύματι ἀκαθάρτῳ βληθεὶς ὁ Ἀνθέμιος, τὰ τῶν δαιμονώντων πάσχει, φρίκην καὶ φυγὴν ἐμποιῶν τοῖς ὁρῶσιν. Εἶτα τί; Δυσωπεῖται ὁ Ἰωάννης, καὶ τὸν Ἀνθέμιον κἂν τῷ πάθει ἔτι ὄντα, καὶ κραυγαῖς ὑψηλαῖς, μὴ Θεὸν ἄλλον εἶναι πλὴν τοῦ Θεοῦ τῶν Χριστιανῶν, διομιλήσαντα, ἐλεύθερον τοῦ πάθους ἐργάζεται. Καὶ γενόμενος ἐν ἐκστάσει, θαμβεῖ μὲν ἅπαντας τῷ ἀθρόῳ τῆς μεταβολῆς· βαπτίζεται καὶ παραχρῆμα πανοικεσίᾳ· καὶ οὕτω στερεωθέντα καὶ τὰ πλήθη βαπτίζεται· οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν ἀκουσάντων ἅπαντες, υἱοὶ φωτὸς ἀναγεννῶνται τῷ θείῳ βαπτίσματι. Κοινὴ πᾶσιν ἐντεῦθεν εὐφροσύνης καὶ χαρᾶς ἀγαλλίασις· ὡς ἔργοις B αὐτοῖς ἐνῆν καθορᾷν τὸ ᾀδόμενον· *Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί*. Ταύτης τῆς εὐφροσύνης ὁ πρόεδρος Ἀθηνῶν ἠγνόει τὸν αἴτιον· εἶτα μαθὼν, ἐπὶ τὴν χειροτονίαν τοῦτον γνώμην ποιεῖται προσαγαγεῖν. Καὶ γνοὺς ὁ Ἰωάννης, λάθρα διαφεύγει, καὶ τῇ πατρίδι ἑαυτὸν ἀποδίδωσιν.

5. Hinc ubique terrarum fama et sermone erat celebratus Joannes, cum ad illud tempus venisset, quo lanugo solet genas vestire, ut qui annos ageret decem et octo. Quo tempore cum insignem esse Joannem magnus animadvertisset Meletius, persuadet ut ad se veniat frequentius. Quo tempore dicitur suis condiscipulis, Theodoro, qui fuit postea episcopus Mopsuestiæ, et Maximo Seleuciæ, persuasisse ut relicta vita augendæ pecuniæ dedita, vitam eligerent tenuem et solitariam. Hinc cum magno Basilio, qui ab ipso Meletio diaconus fuerat ordinatus, magna jungitur amicitia, et tanta, ut mutuo amore nullus ei esset æqualis ex iis, qui a principio fuerant ei familiares. Quomodo enim ab artificibus conjunguntur harmoniæ; aut cum iis, quæ in cœlo æquali celeritate moventur luminaribus, inconfusus ordo conjungitur coitionum; aut, ut melius dicam, quomodo lux visui, et visus luci conjunctim præbet ut videatur; aut quomodo mentis cum anima, et animæ cum mente nota est cognatio; aut, ut dicam convenientius, quomodo spiritus ignis in specie linguarum, ita etiam in his. Homines enim spiritus, sancto Spiritu conjuncti, unam in Christo charitatis perfectam efficiebant conspirationem. Quodnam autem esset amoris inter eos vinculum, ut ita dici potest, sic ostendit oratio. Basilius, qui jam vitam susceperat monasticam, secum attrahebat Joannem; eum autem contra attrahebat materni rursus amoris plena lacrymis oratio. Cum vero clementis et misericordis Joannis non esset animæ et sapientiæ, tam multas matris lacrymas prolixamque orationem et viduitatem despicere, tunc retrahitur, et matri se invitum tradidit, persuasus non tonderi ante ejus exitum. Cum materna ergo pietate insignis esset Joannes, Zeno episcopus ascendit ex

ε'. Ὡς ἐξάκουστος ἔνθεν Ἰωάννης ἁπανταχοῦ γῆς, ἐκεῖνο τοῦ χρόνου φθάσας, ὁ τὴν ὑπήνην ἀνθεῖν ἄρτι προβάλλεται, ὀκτὼ πρὸς τοῖς δέκα τὴν ἡλικίαν ἀγόμενος ἔτεσιν, ἐν οἷς διαπρέποντα τὸν Ἰωάννην Μελέτιος ὁ μέγας προσχὼν, πείθει τὴν πρὸς αὐτὸν ποιεῖσθαι συχνότερον ἄφιξιν. Ἔνθα δὴ λέγεται τοὺς συμφοιτητὰς, Θεόδωρον, τὸν ὕστερον Μοψουεστίας, C καὶ Μάξιμον Σελευκείας, πεῖσαι τὸ χρηματιστικὸν καταλελοιπότας, τὸν λιτὸν καὶ μονότροπον βίον ἑλέσθαι. Ἐντεῦθεν τῷ μεγάλῳ Βασιλείῳ, ὃς ὑπ' αὐτοῦ Μελετίου διάκονος κεχειροτόνητο, φιλίως ἄγαν συνάπτεται, καὶ τοσοῦτον, ὥστε τῷ πρὸς ἀλλήλους γνησίῳ τοῦ φίλτρου μὴ ἂν ἄλλο τι τῶν ἀρχῆθεν ἐθάδων παρεξισοῦσθαι. Ὥσπερ γὰρ τοῖς τεχνίταις αἱ ἁρμονίαι συνάπτονται· ἢ τοῖς ἐν οὐρανῷ φωστῆρσιν ἰσοταχῶς κινουμένοις ἡ συνάπτουσα τάξις τῶν συνόδων ἀσύγχυτος· ἢ μᾶλλον εἰπεῖν, ὥσπερ ὄψει τὸ φῶς, καὶ φωτὶ τὸ ὁρᾶσθαι (ὄψις) συνημμένως ἀντιπαρέχεται· ἢ νοῦ πρὸς ψυχὴν, καὶ ψυχῆς πρὸς νοῦν ἡ συγγένεια γνώριμος· ἢ, ἵνα οἰκειότερον εἴπω, καθάπερ τὸ πνεῦμα πυρὸς ἐν εἴδει γλωσσῶν τοῖς D μαθηταῖς τοῦ λόγου γνωρίζον συνάπτεται· οὕτω κἀν τούτοις. Οἱ γὰρ τοῦ πνεύματος πνεύματι συναρμονολογούμενοι, μίαν ἐν Χριστῷ ἀγάπης ἀπηκριβώσαντο σύμπνοιαν. Ἀλλὰ τῆς πρὸς ἀλλήλους ἀγάπης τὸν σύνδεσμον, οἷός τις εἰπεῖν, ὁ λόγος ὧδε παρέστησε. Βασίλειος δὲ τὸν μονάδα ἤδη προειληφὼς βίον, συνεῖλκε τὸν Ἰωάννην· ἀνθεῖλκε δὲ τοῦτον μητρῴου πόθου πάλιν λόγος πολύδακρυς. Ἐπεὶ δὲ τῆς συμπαθοῦς καὶ ἀλήπτου ψυχῆς καὶ σοφίας οὐκ ἦν, τοσοῦτον ἔργον δακρύων πολλῶν καὶ λόγων μακρῶν τῆς μητρὸς, καὶ χηρείας ἀνάγκην ὑπεριδεῖν, τέως ἀνθέλκεται, καὶ τῇ μητρὶ καὶ ἄκων ἑαυτὸν ἐμπεριέχει, πεισθεὶς πρὸ τῆς ταύτης ἐξόδου μὴ ἀποκείρασθαι. Μητρῴαις τοίνυν οἰκονομίαις διαπρέποντος Ἰωάννου, Ζήνων ἐπίσκοπος ἐξ Ἱεροσολύμων ἐπάνεισιν,

[8] Psal. LXXXVI, 7.

ἀναγνώστην τε τῷ λαῷ τῆς Ἐκκλησίας τῶν Ἀντιοχέων τὸν Ἰωάννην καθίστησι. Τότε δή φασι τοὺς κατὰ Ἰουδαίων αὐτὸν ἓξ συντάξασθαι λόγους, τὸν τόνον τῆς οἰκείας εὐδρομίας ἀνένδοτον πρὸς τὰ κρείττω βίῳ καὶ λόγῳ διαφυλάττοντα. Μετὰ ταῦτα, χερσὶν ἡ μήτηρ Θεοῦ παραθεῖσα τὸ πνεῦμα, τῷ ἱερῷ παιδὶ τὴν ἐλευθερίαν χαρίζεται. Ὁ μὲν δὴ μέγας Δαβὶδ τὸ δίκαιον κἀν τούτοις χαρακτηρίζων, *Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι*, φησίν· *ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*. Ὁ δὲ Ἰωάννης τῇ μητρὶ δεόντως ἀποδοὺς τὴν οὐσίαν, οὐ μόνον τὸν ἅπαντα πλοῦτον, ὃν μὲν σκορπίζει καλῶς, ὃν δὲ ἀφοσιοῦται κάλλιστα τῷ Θεῷ· ἀλλὰ καὶ τὸν πρὸς τοὺς γνωστοὺς καὶ φίλους καὶ τοὺς ἄλλως συνήθεις πόθον ἐν δευτέρᾳ μοίρᾳ θέμενος, τοῦ ἀληθοῦς B ἐξήρτηται καὶ μόνου μὴ διαῤῥέοντος ἔρωτος· καὶ τὸν μονάδα βίον, ὁ καὶ πρὸ τούτου μονότροπος, εἴπερ τις ἄλλος, ἐπενδυσάμενος, ὡς ἄρτι τότε ἀρξάμενος, φροντιστηρίοις ἑαυτὸν ἐπιδίδωσιν, ὅσαι ἡμέραι, *τοῖς ἔμπροσθεν*, κατὰ Παῦλον, *ἐπεκτεινόμενος*. Ὁρώμενος δὲ τοιοῦτος, τὴν προστασίαν τῶν ἀδελφῶν παρακαλεῖται μὲν ἀναδέξασθαι, οὐ μέντοι ἀνέχεται. Ὅρους δὲ καὶ τάξεις πάσης ἀγαθοεργίας ὁ θεῖος ζηλωτὴς οὗτος ἀσκητικοὺς συγγραψάμενος, παραδίδωσιν. Ἀλλὰ τί ταῦτα, καίπερ μεγάλα τυγχάνοντα, πρὸς τὰ μέλλοντα; ἡ μὲν περὶ αὐτοῦ φήμη συνεισρεῖν ἅπαντας πρὸς αὐτὸν ἀσμένως ἠνάγκαζεν· αὐτὸς δὲ, οἷά τις ἀέναος κρήνη, τῆς διακρίσεως τῶν Γραφῶν τὸ ὕδωρ βλύζων ἀνεπιθόλωτον, τοῖς πᾶσιν ἐδαψίλευσε. Καὶ ἦν ὁρᾷν ἅπαντας τοὺς, ὅσοι τῷ φλογμῷ, C τῇ ἐνδείᾳ καὶ δίψει τῶν θείων λογίων διεξηραίνοντο, ὥσπερ ἄγγεσι ταῖς βίβλοις τὰς τούτου σαφεῖς καὶ διειδεῖς ἑρμηνείας ἀρυομένους, καὶ πρὸς τὰς ἐνεγκαμένας χαίροντας ὑποστρέφοντας.

ς'. Ἐνταῦθά μοι γενομένῳ σιγᾷν προτεθύμηται. Κριτὴς γὰρ τῶν ἐμῶν, ἡ συνείδησις. Τίς δὲ ὁ λόγος τῆς σιωπῆς; Ὅτι μεγάλων ἐντεῦθεν ἀνακόπτει πραγμάτων διήγησις, ὧν τὰ παράδοξα διηγεῖσθαι ἢ ἐξυμνεῖν, ὅσον ἄξιον, οὐχ οἷός τε ἐγώ· πλὴν, ὅ μοι κατ' ἀρχὰς ἐν προοιμίοις, καὶ αὖθις ἐπινενόηται. Καί μοι συγγινωσκέτω πρῶτον μὲν ὁ θεῖος οὗτος ἀνὴρ, καὶ τῆς θείας εὐσπλαγχνίας μιμητὴς, καὶ ἐγγυητής· συγγινώσκοιτε δὲ καὶ ὑμῶν ὅσοι τῆς αὐτοῦ φιλοσοφίας ἐπαινέται καὶ τρυφηταί. *Μακάριος εἶ, Σίμων*, D ἐν Εὐαγγελίοις εἰσάγεται, φωνὴ δὲ αὕτη Χριστοῦ πρὸς τὸν μέγαν ἐν ἀποστόλοις Πέτρον· καὶ *στήθει ἀναπίπτων Χριστοῦ* ἄλλος μαθητὴς μεμαρτύρηται, καὶ ὅσα τοῦ μακαρισμοῦ μετὰ ταῦτα, καὶ τῶν ἐν ἀμφοτέροις ἀποκαλύψεων, καὶ τέλος, αἱ κλεῖς τῆς οὐρανῶν βασιλείας. Ἆρ' οὖν εἴ γε τῆς ὁμοίας τιμῆς καὶ δόξης ὁρῷτο καὶ οὗτος ὁ Ἰωάννης ἠξιωμένος, ἐν δὲ τὸ εἶναι καὶ ὀνομάζεσθαι τῆς μακαρίας ἐκείνης τῶν ἀποστόλων ἀξίας καὶ τάξεως ἰσοστάσιος; Οὐδαμῶς. Πῶς δὲ καὶ τίνα τρόπον, ἤδη ἐρῶ. Συνῆν Ἰωάννῃ Σύρος τις πρέσβυς, Ἡσύχιος τοὔνομα, τοσοῦτος εἰς ἀρετὴν, ὥστε κατηξιῶσθαι αὐτὸν καὶ τοῦ μεγάλου δώρου τῆς θείας προγνώσεως· οὗ τῆς ἀναστροφῆς καὶ τῆς ἄλλης διαίτης ἐμιμεῖτο τὴν σεμνοπρέπειαν. Τούτῳ ποτὲ τῷ γέροντι προσευχομένῳ δύο τινὲς ἀν-

A Hierosolymis, et populo Antiochenæ Ecclesiæ Joannem constituit lectorem. Tunc autem dicunt eum composuisse sex libros adversus Judæos, perpetuum sui ad meliora recti cursus tenorem vita et oratione conservantem. Post hæc cum mater in Dei manus suum tradidisset spiritum, sacrosancto filio concedit libertatem. Atque magnus quidem David in his virum justum exprimens, dicit : *Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi* [6]. Joannes autem cum matri, ut decebat, justa fecisset, non solum omnes divitias, partim quidem pulchre dispergit, partim autem Deo pulcherrime consecrat; sed etiam suum in notos et amicos, et alioqui familiares amorem postponens, a vero et qui nunquam effluit amore pendet; et cum vitam B suscepisset monasticam, qui etiam ante, si ullus alius, erat solitarius, tanquam tunc incipiens dat se monasteriis, quotidie ad anteriora, sicut Paulus loquitur [7], se extendens. Cum talis autem cerneretur, rogatur quidem ut fratrum suscipiat præfecturam : sed id minime sustinet. Decreta autem et ordinem omnis bonæ monasticæ exercitationis divinus hic zelotes conscripta eis tradit. Sed quid hæc, etsi magna sint, si conferantur cum futuris? Quæ de eo quidem spargebatur fama, cogebat omnes lubenter ad eum confluere. Ipse autem tanquam fons quidam perennis, discernendarum Scripturarum aquam effundens minime perturbatam, eam affatim suppeditabat omnibus. Licebatque videre omnes, qui C æstu et egestate et siti divinorum eloquiorum exsiccabantur, ex ejus libris, tanquam ex vasis, ejus claras et perspicuas haurientes interpretationes, et lætos revertentes in patriam.

6. Cum ad hunc locum pervenerim, statui silere; meorum est enim judex conscientia. Quænam est autem ratio silentii? Quod hinc rerum magnarum exoritur narratio, quarum admirabilitatem narrare et laudibus, quantum par est, celebrare non possum : attamen quod mihi in principio proœmii, id rursus quoque venit in mentem. Et mihi primum ignoscat hic vir divinus, divinæque clementiæ imitator et fidejussor : ignoscite autem ex vobis quoque quicunque ejus philosophiæ laudatores estis, et in ea vos oblectatis. *Beatus es, Simon* [8], dicitur in Evangeliis; hæc autem vox est Christi ad magnum inter apostolos Petrum. Alium quoque apostolum testatum est *super Christi pectus recubuisse* [9]; et quæcunque fuerunt utriusque post hæc beatitudines et revelationes, et postremo claves regni cœlorum. Num ergo si eodem honore et gloria cerneretur hic quoque Joannes dignatus, ei deesset aliquid, quominus et esset et nominaretur par beatæ illi dignitati et ordini apostolorum? Nequaquam. Quomodo autem et qua ratione, jam dicam. Cum Joanne versabatur Syrus quidam senex, nomine Hesychius, virtute tantus, ut is quoque dignus sit habitus, qui assequeretur magnum donum divinæ præscientiæ; cujus conversationis

[6] Psal. CXI, 3. [7] Philip. III, 13. [8] Matth. XVI, 17. [9] Joan. XIII, 25.

et vitæ agendæ honestatem imitabatur Joannes. Huic seni aliquando oranti apparent duo senes, induti candidis vestibus, astantes ubi precabatur Joannes; quorum unus quidem librum scriptum, alter vero gestabat claves. Licebat autem videre Joannem, cum eos vidisset, adorare, illos autem dicere : Confide, et noli timere. Illum vero verbo rogasse quo appellamus dominos, quinam essent, quod dignati essent venire ad suam humilitatem, et eos rursus dicere : Ne timeas, vir desideriorum, nove Daniel, in quo habitat Spiritus sanctus. Rex magnus Christus, noster magister, nos misit ad te nuntios gaudii; gaudii, inquam, quo per te fruentur omnes Dei Ecclesiæ. Hæc dixisse et ei tradidisse, alterum ex his quidem librum, alterum vero claves, subjungendo : Ego quidem Joannes, qui in mystica cœna super Christi pectus recubui, et illinc hausi fluenta theologiæ; ego autem sum Petrus, qui Christum Dei vivi Filium sum confessus. Deus vero tibi quoque dat meam potestatem. Fac omnia quæcumque tibi jubemus. Et cum in divinorum præceptorum mysteriis eum instituissent, et futurorum et bellorum et afflictionum, quæ justis hic multæ esse solent, prædixissent eventum, tandem cum universa ejus membra obsignassent, eumque amplexi essent, bonoque et forti animo esse jussissent, recedunt. Hæc cum ille vere admirabilis vidisset et audiisset senex, apud se mirabatur. His autem qui eum sic videbant, causam rogantibus, dixit : *Regis*, o fratres, *arcana propalare* [10], et Dei aperire miracula, par atque adeo majus affert periculum; et incipiens totam narravit visionem. Cui cum data esset fides, non sciturum id Joannem, is mentes omnium implevit admiratione. Joannes autem tunc scripsit libros de monastica exercitatione. Hinc ei ascendenti ad fastigium imprimis regiæ virtutum contemplationis, et subjicienti audaciam passionum, divinitus in eas datur potestas, mente quæ principatum obtinet superno auxilio adjuvata, et subjugante illarum feritatem. Operæ pretium est autem de Omnipotentis quoque in eum et in his munificentia, contrahendo orationem, quoad fieri potest, breviter disserere.

7. Dominicam fimbriam, sicut audivimus, necessitate morbi adacta illic quidem mulier fide tangens [11], accipit tactu salutem. Ergo hic quoque imitatus est magistrum. Hic enim vir quidam laborabat tanto dolore hemicranii, ut mali vehementia exsiliens oculus ejus cerneretur pendere a maxilla. Is cum incassum in medicos suas omnes consumpsisset facultates, accedit aliquando ad divinum Joannem, rogans ut sanaretur. Ille autem dicit ei : Hunc morbum tibi conciliarunt tua animi perversitas et pauca fides in Christum Salvatorem. Tunc ægrotus, simul atque hoc dixisset Joannes, se totum traducens ad firmam Christi fidem, tangit tunicam Joannis, et cum eam locis affectis imposuisset, dicto citius fuit curatus. Post hunc

[10] Tob. XII, 7. [11] Matth. IX, 22.

A δρες ὁρῶνται λευχείμονες, παραστάντες ἔνθα ὁ Ἰωάννης προσηύχετο· ὧν ὁ μὲν τόμον γεγραμμένον, ὁ δὲ κλεῖς ἐπεφέρετο. Ὁρᾷν δὲ ἦν τούτους ἰδόντα προσκυνῆσαι τὸν Ἰωάννην, τοὺς δὲ εἰπεῖν· Θάρσει καὶ μὴ φοβοῦ. Τὸν δὲ διερωτῆσαι ῥήματι, ᾧ τοὺς κυρίους καλοῦμεν, τίνες ἂν εἶεν, ὅτι κατηξιώσατε πρὸς τὴν ἐμὴν ταπείνωσιν ἱκέσθαι· καὶ τοὺς αὖθις εἰπεῖν· Μὴ φοβοῦ, ἀνερ ἐπιθυμιῶν, νέε Δανιὴλ, ἐν ᾧ σκηνοῖ τὸ Πνεῦμα τὸ ἅγιον. Βασιλεὺς ὁ μέγας Χριστὸς, ὁ ἡμέτερος διδάσκαλος, ἀπέστειλέ σοι χαρᾶς ἀγγέλους ἡμᾶς· χαρᾶς, ἧς ἀπολαύσουσι πᾶσαι διὰ σοῦ αἱ τοῦ Θεοῦ Ἐκκλησίαι. Ταῦτα εἰπεῖν, καὶ ἐπιδοῦναι αὐτῷ, τὸν μὲν τὸν τόμον, τὸν δὲ τὰς κλεῖς, ἐπειπόντας, ὡς Ἐγὼ μὲν Ἰωάννης, ὁ ἐπιπεσὼν ἐν τῷ μυστικῷ δείπνῳ στήθει Χριστοῦ, κἀκεῖθεν τὰ τῆς

B θεολογίας ἐρυσάμενος νάματα· ἐγὼ δὲ Πέτρος, ὁ τὸν Χριστὸν Υἱὸν Θεοῦ ὁμολογήσας. Θεὸς δὲ καὶ σοὶ τὴν ἐμὴν δίδωσιν ἐξουσίαν· ποίησον οὖν πάντα, ὅσα ἐντελλόμεθά σοι. Μυσταγωγήσαντές τε αὐτὸν τὰ θεῖα ἐντάλματα, καὶ τῶν ἐπελευσομένων πολέμων αὐτῷ καὶ θλίψεων, αἳ πολλαὶ τοῖς δικαίοις προσγίνονται, τὴν ἔκβασιν προειπόντες, τέλος πᾶν μέλος αὐτοῦ κατασφραγισάμενοι, ἀσπασάμενοί τε καὶ θαρσεῖν καὶ ἰσχύειν ἐπειπόντες, ἀπίασι. Ταῦτα ὁ θαυμάσιος ἐκεῖνος ὄντως ἰδὼν, καὶ ἀκούσας πρεσβύτης, καθ' ἑαυτὸν ἐξεπλήττετο. Τῶν δὲ βλεπόντων οὕτως αὐτὸν, τὴν αἰτίαν πυνθανομένων, ἔφη· *Μυστήρια βασιλέως*, ἀδελφοὶ, *θριαμβεύειν*, καὶ Θεοῦ καλύπτειν τεράστια, τὸν ἴσον, μᾶλλον δὲ καὶ πλείω κίνδυνον

C ἐπιφέρει. Καὶ ἀρξάμενος, τὸ πᾶν διῆλθε τῆς ὀπτασίας. Ἀσφαλισάμενός τε αὐτοὺς μὴ γνωσθῆναι ταῦτα τῷ Ἰωάννῃ, θάμβους τῶν ἀκουσάντων τὰς διανοίας ἐπλήρωσεν. Ὁ δὲ Ἰωάννης τηνικαῦτα τοὺς ἀσκητικοὺς συνεγράψατο λόγους. Ἐντεῦθεν αὐτῷ πρὸς ἀκρώρειαν τῆς βασιλικωτάτης τῶν ἀρετῶν ἀνιόντι περιωπῆς, καὶ τὰ θράση τῶν παθῶν ὑποτάσσοντι, θεόθεν ἡ κατ' αὐτῶν ἐξουσία παραδίδοται, τοῦ αὐτοκράτορος νοῦ τῇ ἄνωθεν συνεπικουρίᾳ φορολογοῦντος, καὶ τὸ ἐκείνων ἀγριαῖνον καθυποτάσσοντος. Ἄξιον δὲ τῆς περὶ τὸν ἄνδρα παρὰ τοῦ κρείττονος κἀν τούτοις φιλοτιμίας συνελόντα τὸν λόγον, ὅσον ἐνδέχεται, βραχέα διαλαβεῖν.


D ζ'. Τοῦ Δεσποτικοῦ κρασπέδου, καθάπερ ἠκούσαμεν, ἀνάγκῃ πάθους ἐκεῖ μὲν γυνὴ ἐκ πίστεως ἀψάμενον, τῇ ἀφῇ τὴν σωτηρίαν ἀπολαμβάνει· τὸν διδάσκαλον οὖν καὶ οὗτος ἀπομεμίμηται. Ἐνταῦθα γάρ τις ἀνὴρ τοσαύτῃ περὶ τὸ ἡμίκρανον ἀλγηδόνι συνέχεται, ὥστε τῷ σφοδρῷ τῆς ὀδύνης τὸν τούτου ὀφθαλμὸν ἐκπηδήσαντα, τῇ σιαγόνι ὁρᾶσθαι ἀπαιωρούμενον. Οὗτος ἰατροῖς προσαναλώσας ὅλον τὸν βίον ἀνόνητα, πρόσεισί ποτε τῷ θείῳ Ἰωάννῃ, ἀντιβολῶν ἰαθῆναι. Ὁ δὲ λέγει αὐτῷ· Τοῦτό σοι τὸ πάθος, τὸ σκολιὸν τῆς ψυχῆς, καὶ πρὸς τὸν Σωτῆρα Χριστὸν ὀλιγόπιστον προεξένησαν. Ὁ δὲ πάσχων, ἅμα τῷ λόγῳ, ὅλον ἑαυτὸν ἐπὶ τὴν ἀῤῥαγῆ πίστιν Χριστοῦ μεταθεὶς, ἅπτεται τοῦ χιτωνίσκου τοῦ Ἰωάννου, καὶ τοῖς πεπονθόσι χωρίοις ἐπιθεὶς, θᾶττον ἢ λόγος,

λαμβάνει τὴν ἴασιν. Μετὰ τοῦτον λεπρός τις τὴν ὄψιν, τῶν μεγιστάνων τυγχάνων, Ἀρχέλαος ὄνομα, προσῆλθε τῷ Ἰωάννῃ, καὶ καθὼς Ζακχαῖος ἐκεῖνος, πρὸς τὸν Δεσπότην μεγαλοψύχῳ κινήματι πίστεως καὶ οὗτος εἰπὼν καὶ συνθεόμενος, πρῶτον τὴν ἀμορφίαν τῆς λεπρώσης ψυχῆς τῷ ῥυπτικωτάτῳ τῶν Ἰωάννου λογίων ἀποπλυνάμενος ὕδατι, μετά γε τοῦτο τοῦ φρεατίου ὕδατος, ᾧ ἐχρῶντο οἱ ἀδελφοί, κελεύεται νίψασθαι· καὶ νιψάμενος, εὐθέως καὶ τὸ σῶμα καθαίρεται. Εἶτα τῷ περιόντι τῆς εἰς Χριστὸν πίστεως, ἧς ἦν αὐτῷ τὸ χρυσοῦν ὄντως ἐκεῖνο στόμα πρόξενον ἀποκείρεται· καὶ μονάσας ὁσίως, διαπρέπει καὶ τελειοῦται. Τούτου ζηλωταὶ πολλοὶ τῶν τότε καθίστανται, τὰ μὲν ποικίλα τῶν λογισμῶν τῷ ἰατρῷ θεατρίζοντες τραύματα, ἁπλῆν δὲ καὶ ῥάστην καὶ ἄφθονον τὴν θεραπείαν ἀποκληρούμενοι. Πανταχοῦ τότε λοιπὸν μοναστήρια, ἀγάπης πλεονασμὸς, διπλόης ἀφανισμὸς, ταπεινοφροσύνης περιουσιασμὸς, ἀγερωχίας κατακλυσμὸς, βίος ἀσκητικὸς, λόγος εἰρηνικὸς, βρωμάτων ὑπεροψία, δογμάτων διδασκαλία. Οὐχ ἦν ἰδεῖν τότε πόσεων οἰνοφλυγίαν, οὐ γέλωτος ἀταξίαν, οὐκ ἔριδας, οὐ ζῆλον, οὐκ ἄλλο τι τῶν ἀντιτειχιζόντων νεφῶν ὁρᾶσθαι τὰς τοῦ νοητοῦ Ἡλίου μαρμαρυγάς. Τῶν ἁπάντων κεφάλαιον ἓν τῆς Ἰωάννου κηδεμονίας ἡ φιλάνθρωπος ἐπιμέλεια. Τί τὰ ἄλλα τῶν θαυμάτων; Νῦν μὲν Εὔκλεος ἐκεῖνος, ὃς φθόνῳ διαβόλου, θατέρου τῶν ὀφθαλμῶν τὸ φῶς λέγεται ἀπολέσαι, πιστεύει τῷ Χριστῷ, πρόσεισιν, ἀποκείρεται· τέλος, εὐχαῖς τοῦ Ἰωάννου πάλιν ἀπολαμβάνει τὸ φῶς· νῦν δὲ ἡ αἱμόῤῥους ἐκείνη χρόνοις ἑπτὰ διατελοῦσα, τὸν σύζυγον πείθει, καὶ δι' αὐτοῦ δυσωπεῖ μὲν τὸν Ἰωάννην, διδάσκεται δὲ παρ' αὐτοῦ τὴν αἰτίαν, ὅτι δι' ἁμαρτίας παρεχωρήθη κολάζεσθαι. Ποίας δὲ ταύτας; Τὴν πρὸς τὰς ἅβρας ἀπανθρωπίαν, τὴν τῶν πενήτων ἀφροντιστίαν, ἀδδηφαγίαν τε καὶ πᾶσαν ἐρεσχελίαν. Πρὸς ταῦτα τί δεῖ τὰ πολυειδῆ τοῦ τῶν ψυχῶν ἰατροῦ φάρμακα λέγειν, ὁπόσοις τὴν ἄνθρωπον προσεπενοήσατο; Πάντα διὰ τοῦ συζύγου μαθοῦσα, καὶ αὐτῶν τὴν διόρθωσιν πιστῶς ἐπαγγελλομένη, ταχύτατα λαμβάνει τὴν αἴσθησιν τῆς ἰάσεως. Τί δὲ καὶ περὶ τοῦ ἀνημέρου θηρὸς ἐκείνου, ὃς πολλοὺς μὲν τῶν διοδευόντων ποιεῖται κατάβρωμα, πολλοὺς δὲ τῶν ὁμορούντων τῷ δέει φυγάδας ἐργάζεται; Τὸ Δεσποτικὸν ὅπλον ὁ θεῖος κατὰ τοῦ θηρὸς ἐκείνου προβάλλεται στρατηγὸς, καὶ τοῦτο παγῆναι πρὸ τοῦ σπηλαίου διορισάμενος, τὸν φοβερὸν ἐκεῖνον καὶ ἀνθρωποκτόνον λέοντα ποιεῖ πρὸ τοῦ τιμίου σταυροῦ περὶ τὸ περίορθρον χαμαὶ εὑρεθῆναι νενεκρωμένον. Τούτῳ τῷ ὅπλῳ καὶ τῷ τρόπῳ ἀναῤῥύεται μὲν τοὺς ἁλόντας αἰχμαλωσίᾳ τῆς εἰδωλολατρείας· μερίζεται δὲ τὴν ψυχὴν ἑτέραις θεαρέστοις βουλαῖς καὶ ἀποσκοπήσεσιν.

A quidam facie leprosus, qui erat e proceribus, nomine Archelaus, accessit ad Joannem, et quomodo Zachæus ille, ad Dominum magnanimo motu fidei hic quoque loquens et accedens; cum leprosæ animæ deformitatem Joannes eloquiorum, quæ maxime expurgabat, aqua abluisset, jubet eum quoque aqua putei, qua fratres utebantur, lavari; et cum lavatus esset, ejus quoque corpus mundatur protinus. Deinde propter summam in Christum fidem, quam ei conciliaverat illud os vere aureum, tondetur; et cum sancte fuisset monachus, insignis evadit et perfectus fit. Multi ex iis qui tunc erant, fuerunt ejus imitatores, varia quidem cogitationum vulnera medico aperientes, simplicem autem et facilem et copiosam assequentes curationem. Ubique B tunc de cætero monasteria, charitatis abundantia, duplicitatis expulsio, humilitatis redundantia, superbiæ diluvium, vita ascetica, oratio pacifica, ciborum contemptio, dogmatum doctrina. Non licebat tunc videre compotationum temulentiam, non risus insolentiam, non lites, non æmulationem, non aliquam aliam nubem quæ obstaret quominus videretur spiritualis solis splendor. Quorum omnium est caput unum benigna cura Joannis providentiæ. Quid alia miracula? Nunc quidem, Eucleus ille, qui invidia diaboli, alterius oculorum lucem dicitur perdidisse, credit Christo; accedit, tondetur, tandem Joannis precibus lucem rursus accipit. Nunc autem illa quæ laborabat sanguinis profluvio, septem annos sic affecta, persuadet con- C jugi et per eum rogat Joannem; ab eo autem docetur causam, quod propter peccata permissum fuerit ut puniretur. Quænam autem sunt ea? Summa in famulas inhumanitas, pauperum contemptus, ingluvies et omnis nugacitas. Ad hæc quid opus est dicere multiplicia medici remedia quæ in mulierem excogitavit? Quæ cum omnia per conjugem didicisset, et se omnia esse correcturam fideliter promisisset, celerrime recipit sensum curationis. Quid vero de immani quoque illa fera, quæ multos quidem devoravit ex iis qui transibant, ex finitimis autem multos egit in fugam? Dominica arma divinus ille imperator objicit belluæ; et cum decrevisset ut ea figerentur ante speluncam, D facit ut ille terribilis et sævus hominum occisor leo ante pretiosam crucem mane humi inveniretur morte affectus. His armis et moribus liberat quidem eos, qui capti erant a captivitate cultus simulacrorum; animum autem confert ad alia Deo grata consilia et contemplationem.

η'. Ἐπειδὴ, τὸ τοῦ Δαβὶδ, καταμόνας εἶναι λίαν ἠσπάζετο, τὸ δὲ φιλάνθρωπον ἀντεφιλονείκει περικόπτον τὸ βούλημα, τὴν καλὴν οἰκονομίαν ἀμφοτέροις κάλλιστα διατίθησιν. Εἰδὼς γὰρ τὸ ἰδιάζον ἀσφαλέστερον μὲν καὶ ἀτάραχον, τοῖς δὲ πολλοῖς οὐκ ἄτυφον νομιζόμενον· τὸ δὲ κοινωνικὸν, ταραχῶδες μὲν καὶ σφαλερώτερον, οὐκ ἄμισθον δὲ, οὐδὲ ἀκερδὲς, πανσόφως ἄγαν ἀμφότερα κίρνησιν· ὅτι μὲν

8. Nam quoniam illud divini Davidis singularitas et solum esse valde amplectebatur, adversus id autem contendebat benignitas voluntatem reprimens, optimo et prudenti consilio utrumque recte administrat. Nam cum sciret, seorsum quidem esse, tutius et magis perturbatione vacuum, a multis autem id existimari non carere fastu et arrogantia, sed uti multorum consuetudine et se eis commu-



nicare, turbulentum quidem et periculosius, sed non carere mercede et utilitate, sapientissime utraque commiscet, aliquando quidem versatus cum omnibus, ut omnes lucrifaceret [12] Paulus hic novus, aut complures; aliquando autem seorsum latens in caligine, et purus cum puro versatus [13], novus Moyses, animarum et mentium, quæ Deum vident, legislator et dux. Hinc cum amor divinus superasset, is magnum hunc decertatorem deducit ad quamdam speluncam habitandam, in qua biennium insomnis fere peragens, divinæ scrutabatur Scripturæ, tam veteris quam novæ, quæ sunt profundissima. Cum autem robur corporis voluntati animæ non suffecisset, imus venter morte afficitur; et cum haberet renes frigore sauciatos, tanquam in portum venit ad ecclesiam Antiochenam. Deinde ordinatur diaconus. Quo in ordine se quinque annos præclare gerens, scripsit sex libros De sacerdotio. tres ad Stagirium, qui sunt inscripti de incomprehensibili et ad Anomœos, et sex præterea de introductitiis.

9. Sed jam ad magni Joannis in presbyterum ordinationem nos vocans oratio, modum enuntiet. Cum Constantinopoli mortuus esset Meletius, qui eo venerat ad constituendum magnum illud luminare, nempe Gregorium cognomento Theologum, Flavianus Meletio succedit Antiochiæ. Is autem cum vigilaret, ut consueverat, quadam nocte videt divinum accessisse angelum, qui ei jubebat ordinare Joannem, dicens futurum Joannem novum vas electionis: Ecce, dicens, ego ei de hoc mandatum dabo, et obediet. Ad quem quidem cum accessisset angelus, ei mandavit; prius narravit futura, et quæcunque par est facere eum qui divinus sit minister. Et ut pluribus prætermissis veniat oratio ad id quod est maxime mirabile, hoc faciat. Cum magnus et hostia et pontifex Jesus Christus Filius Dei mei aquis purgaretur, Pater apparet, ab alto voce testificans eum germanum esse Filium, et Spiritus in columbæ specie [14] vocem illam confirmat. Et licet alicui audax videatur oratio propter ea quæ audet dicere juveniliter, illa proponimus ad recordationem. Quænam? Illud, *Ego dixi, Dii estis*, et illud rursus, si vultis: *et filii Altissimi omnes* [15]; et ante ea, verbum quod est: *ad imaginem et similitudinem* [16]; et quæcunque ad honorem eorum, qui servant quæ sunt imaginis, copiosa providit gratia. Mihi autem hic quoque considera. Cum igitur adesset hora ordinationis, et incruentum perageretur sacrificium, et inferius assisteret multitudo innumerabilis, et angeli desuper intuerentur, manum imponente episcopo et preces dicente consuetas, dicitur factum esse illud maxime novum spectaculum. Alba columba repente devolans, quomodo illic supra Jesum meum et Deum, in honorem ejus, cui manus hic imponebantur, stetit supra ejus caput. Hoc admiratione quidem afficit et stupefacit eos, qui tunc aderant, simul attrahit autem eos quoque qui audiunt. Admiratur universa, non solum quæ circumsita est regio, sed etiam universa quæ extra fines est Syria. Sic om-

A τοῖς πᾶσιν ἀναστρεφόμενος, ἵνα κερδήσῃ πάντας Παῦλος οὗτος ὁ νέος, ἢ πλείονας· ὅτε δὲ ἰδιαζόντως τῷ γνόφῳ κρυπτόμενος, καὶ καθαρῶς τῷ καθαρῷ συγγινόμενος ὁ νέος Μωϋσῆς, ὁ ψυχῶν καὶ νόων ὁρώντων Θεὸν νομοθέτης καὶ ὁδηγὸς καὶ δημαγωγός. Ἐντεῦθεν ὁ θεῖος ἔρως ὑπερνικήσας, ἄγει τὸν μέγαν τοῦτον ἀγωνιστὴν εἴς τινος σπηλαίου κατοίκησιν· ἐν ᾧ διετῆ χρόνον ἄϋπνος μικροῦ διανύσας, ἠρεύνα τῆς θείας Γραφῆς, Καινῆς τε καὶ Παλαιᾶς, τὰ βαθύτατα. Τοῦ δὲ σωματικοῦ τόνου τῷ ψυχικῷ προθύμῳ μὴ ἐπαρκέσαντος, νεκροῦται τὰ ὑπογάστρια, καὶ τοὺς νεφροὺς τῷ κρύει τραυματισθεὶς, καθάπερ λιμένα καταλαμβάνει τὴν Ἀντιοχέων ἐκκλησίαν. Εἶτα χειροτονεῖται διάκονος. Ἐν οἷς διαπρέπων ἐπὶ ἔτεσι πέντε, τοὺς περὶ ἱερωσύνης, τοὺς πρὸς Σταγείριον τρεῖς
B λόγους, τοὺς περὶ ἀκαταλήπτου, καὶ πρὸς Ἀνομοίους, ἔτι τε τοὺς περὶ συνεισάκτων ἓξ συνετάξατο λόγους

θ'. Ἀλλ' ἤδη καὶ πρὸς τὴν τοῦ πρεσβυτέρου χειροτονίαν τοῦ μεγάλου Ἰωάννου προσκαλουμένου, ὁ λόγος τὸν τρόπον ἀπαγγειλάτω. Ἐν Κωνσταντινουπόλει τελευτήσαντος Μελετίου, παραγεγονότος ἐν αὐτῇ τότε χάριν τῆς τοῦ μεγάλου λαμπτῆρος καταστάσεως Γρηγορίου, ᾧ ἐπώνυμον ἡ τοῦ λόγου θειότης, Φλαβιανὸς ἐν τῇ Ἀντιοχέων Μελέτιον διαδέχεται. Οὗτος δὲ συνήθως ἐπαγρυπνῶν, ἐν μιᾷ νυκτὶ θεῖον ὁρᾷ παραγενόμενον ἄγγελον, ἐγκελευόμενον αὐτῷ χειροτονῆσαι τὸν Ἰωάννην, νέον ἐκλογῆς σκεῦος λέγοντα ὡς ἔσται Ἰωάννης· καὶ ὅτι Ἰδοὺ ἐντέλλομαι
C καὶ αὐτῷ περὶ τούτου, καὶ ὑπακούσεται. Ἐφ' ὃν δὴ παραγεγονὼς ὁ ἄγγελος ἐνετέλλετο, προδιηγεῖτο μέλλοντα, καὶ ὅσα εἰκὸς τὸν θεῖον εἰπὼν διακονήσασθαι λειτουργόν. Καὶ ἵνα τὰ πλεῖστα παραδραμὼν ὁ λόγος πρὸς τὸ θαυμασιώτερον γένηται· τοῦτο δὴ καὶ ποιείτω. Τοῦ μεγάλου καὶ θύματος καὶ ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ ἐμοῦ καθαιρομένου τοῖς ὕδασιν, ὁ Πατὴρ ἄνωθεν φωνῇ μαρτυρῶν τῷ Υἱῷ τὸ γνήσιον ἐπιφαίνεται· καὶ περιστερᾶς ἐν εἴδει τὸ Πνεῦμα τὸ ἀσφαλὲς βεβαιοῖ τῆς φωνῆς. Καὶ εἰ τολμηρὸς ὁ λόγος, ἐφ' οἷς ἤδη τολμῆσαι νεανιεύεται, ἐκεῖνα προτίθεμεν εἰς ἀνάμνησιν. Ποῖα; Τὸ, *Ἐγὼ εἶπα· Θεοί ἐστε*, καὶ τὸ, εἰ θέλετε πάλιν, *καὶ*
D *υἱοὶ Ὑψίστου πάντες*· καὶ πρὸ τούτων, *τὸν κατ' εἰκόνα* λόγον *καὶ καθ' ὁμοίωσιν*· καὶ ὅσα εἰς τιμὴν τῶν φυλασσόντων τὰ τῆς εἰκόνος ἡ ἄφθονος χάρις ᾠκονομήσατο. Σκόπει μοι δὴ κἀνταῦθα. Ὅτε τοίνυν ἡ ὥρα παρῆν τῆς χειροτονίας, τῆς ἀναιμάκτου θυσίας τελουμένης, πλήθους ἀπείρου κάτω παρεστηκότος, ἄνωθεν ἀγγέλων ἐπισκοπούντων, τοῦ ἐπισκόπου χειρωθέντος, καὶ τὴν συνήθη ποιοῦντος εὐχὴν, τὸ καινότατον ἐκεῖνο γεγονέναι θέαμα λέγεται· ἄφνω περιστερὰ λευκὴ καταπτᾶσα, καθάπερ ἐκεῖ ἐπὶ τοῦ ἐμοῦ Ἰησοῦ καὶ Θεοῦ, εἰς τιμὴν τοῦ χειροθετουμένου, ἔστη ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς. Τοῦτο θαμβεῖ μὲν τοὺς τότε παρόντας θεασαμένους καὶ καταπλήττει, συνέλκει δὲ τοὺς ἀκούοντας. Θαυμάζει πᾶσα οὐ μόνον ἡ περίχωρος, ἀλλὰ καὶ ἡ ὑπερόριος πᾶσα Συρία. Ἔθεντο πάντες ἐν τῇ καρδίᾳ ταῦτα, λέγοντες·

[12] I Cor. IX, 19. [13] Exod. XX, 21. [14] Matth. III, 16. [15] Psal. LXXXI, 6. [16] Gen. I, 26.

Τί ἄρα ἔσται τῷ Ἰωάννῃ, ὅτι ἐκ προοιμίων ἐφανερώθη ἐν αὐτῷ ἡ δόξα Κυρίου; Ἐκ μὲν οὖν τῶν εἰρημένων ἡ, ἐφ' οἷς τὸν οἰκεῖον λειτουργὸν ὁ παρὰ δόξαν ἀνδρῶν εἰς τιμὴν τῶν αὐτοῦ θεραπόντων καὶ δόξαν οὐράνιος τιμᾷ βασιλεύς, εὐφυὴς τῶν πραγμάτων ἀπόδειξις. Ἐνταῦθα δὲ τὸν λόγον βραχύ τι διὰ τὸν κόρον προσαναπαύσαντες, τῶν ἑξῆς προθυμοτέραν ποιῶμεν τὴν διεξάνυσιν. Ἐπειδὴ τῆς οἰκουμένης ὁ μέγας ἔμελλεν ἤδη τὴν προστασίαν προστάτης καὶ κριτὴς ἀναδέχεσθαι, ἔτι τοῖς καλοῖς προγυμνάζεται. Δωδέκατον γὰρ ἔτος ἀνύσας ἐν τῇ Ἀντιοχέων, ἀποσεμνύνει τὸ ἱερατεῖον τῷ καθαρῷ τοῦ βίου, καθαίρων τὰς τῶν βλεπόντων ψυχὰς, λαμπρότητι τοῦ λόγου λαμπρύνων, ἁγιάζων τὰς διανοίας ἁπάντων, πολὺς εἰς τὸ διδάξαι, μέγας εἰς τὴν τῶν ἀκουόντων ὠφέλειαν, τῷ στύφοντι μᾶλλον τοῦ ἤθους, ἢ αἰδοῖ χαριζόμενος, τὸ τοῦ λέοντος πεπονθὼς, ἐν τῷ δικαίῳ διαφερόμενος, ᾧ τοῖς νωθεστέροις ἀλαζονικὸς ἐνομίζετο. Τίς νοῦς, τίς λόγος τὰς ἐκείνῳ πρὸς σωτηρίαν ἁπάντων ἐξευρημένας ὁδοὺς παραστήσειεν; ὧν τὰ πλεῖστά φασι καὶ μέχρι τῆς νῦν περισώζεσθαι τῇ Ἀντιοχέων. Ἀναγκάζεταί ποτε παρὰ τοῦ προέδρου ἀνελθεῖν ἐπὶ τοῦ ὀκρίβαντος, καὶ σχεδίως τῷ λαῷ ἐξηγήσασθαι· καὶ μόλις μὲν, βίᾳ δὲ ὅμως πεισθεὶς, καὶ ἀρξάμενος τοῦ λόγου, ὑπόθεσιν ἔχων, εἰς τὸ πρῶτον τότε εἰπεῖν, καὶ εἰς τὸν ἐπίσκοπον, οὗ ἡ ἀρχή· Ἆρα ἀληθῆ τὰ συμβάντα περὶ ἡμᾶς; πάντας ἐξέστησεν. Ἔκτοτε πάντας εἷλεν, ἐπὶ τοῦτο πάντες εἰσέῤῥεον· κατελίμπανον γεωργίας, τέχνας, ἐξουσίας, διοικήσεις ἁπάσας, ἃς οἶδε πολλὰς ἐμποιεῖν τοῖς ἀνθρώποις ἡ περὶ τὸν πολύμοχθον τοῦτον βίον πολυειδὴς περιπέτεια. Φθάνει καὶ τὰς ἀκοὰς Ἀρκαδίου τοῦ βασιλέως ἡ περὶ αὐτοῦ φήμη· καὶ ὁ βασιλεὺς διανίσταται τὴν ψυχὴν, ἔρωτι θείῳ καὶ φίλτρῳ τῆς τούτου θέας περισπαζόμενος.

ι'. Ἀλλὰ μεταξὺ τούτων βραχεῖ λόγῳ παρελείφθη τοῦ λόγου, μακρᾶς ἀσφαλείας ἀνακύψασα παίδευσις, κοινὴ μὲν ἅπασι, μάλιστα δὲ ταῖς ψυχαῖς τῶν ὑπὸ ζυγὸν ὄντων· προσέχειν δὲ ἄξιον· Γυνή τις πρώτη τῶν ἐν Ἀντιοχείᾳ τὸν υἱὸν λάβρως πυρέττοντα καὶ ἀπογινωσκόμενον ἄγει πρὸς τοῦτον τὸν ἰατρὸν, τὴν ἴασιν ἐπισπεύδουσα. Ὁ δὲ, Τοῦτο, ἔφη, Θεοῦ μέν ἐστι τοῦ ζωοποιοῦντος· σὺ δὲ, ὦ γύναι, ἀπέχου τῶν προτέρων παραπτωμάτων· ἴσθι γὰρ ὅτι καὶ οἱ λοιποί σου τέσσαρες υἱοὶ, διὰ τὰς ἁμαρτίας σου καὶ τοῦ ἀνδρός σου τεθνήκασι πρὸς παιδείαν ὑμῶν. Ἔμελλε δὲ καὶ αὐτός· ἀλλὰ διανάστητε, ἀλλὰ διανήψατε· καὶ οὐ μόνον τὸν παῖδα ζῶντα, ἀλλὰ καὶ τὴν τῶν οὐρανῶν ἀπολήψεσθε βασιλείαν. Ταῦτα ὡς ἐκ στόματος Θεοῦ δεδεγμένοι, καὶ λίαν εὐλαβῶς ὑποσχόμενοι τὴν διόρθωσιν, παραυτὰ καὶ τὸν παῖδα ὑγιῆ προσλαμβάνουσιν. Ἀλλ' ὧδε μὲν ὁ τοῦ λόγου δρόμος ἧκεν ἐπὶ τοσοῦτον· ἐντεῦθεν δὲ περὶ τῶν τὰ Μαρκίωνος νοσούντων ὁ τρόπος λεγέσθω τῆς θείας κρίσεως. Ταύτην οἱ νοσοῦντες τότε τὴν νόσον, τὸ μὲν ὅθεν παῤῥησιασάμενοι πολλοὺς ἀποσύρουσιν, ἤδη λελέξεται· τὸ δὲ ὅπως τῆς ἐπὶ θάνατον ἀναῤῥύονται πᾶσα ἡ πόλις, δεδόσθω τῷ λόγῳ πρὸς δόξαν τοῦ λόγου. Συνενόσει τούτοις δὲ ὁ ἄρχων τὴν νόσον τῆς

A nes apud se cogitabant, dicentes : Quidnam ergo erit Joanni, quod ab initio ei apparuit gloria Domini? Atque ex iis quidem quæ dicta sunt, rerum est demonstratio admirabilis, in his quibus suum ministrum honorat præ hominum opinione rex cœlestis, ad gloriam et honorem eorum qui illi ministrant. Cum hic autem orationis cursum propter satietatem parumper stiterimus, ad ea quæ deinceps consequentur, pergemus alacrius. Quoniam orbis terræ creandus erat magnus antistes et judex, his quoque bonis et honestis prius exercetur. Nam cum duodecim annos transegisset presbyter in Ecclesia Antiochena, puritate vitæ decorat sacerdotium, eorum qui videbant animas expurgans, et verbi splendore mentes omnium illustrans et sanctificans; multus in docendo, magnus ad utilitatem

B eorum qui audiebant morum potius severitati quam pudori serviens, leonis fiduciam ostendens in justitia; qua de causa hebetioribus existimabatur arrogans et insolens. Quæ mens, quæ oratio ostenderit vias, quæ ab illo inventæ sunt ad salutem omnium? quarum plurimam partem dicunt usque in hodiernum diem servari Antiochiæ. Cogitur aliquando ab antistite Flaviano ascendere suggestum, et ex tempore populo exponere; vix tandem, vi persuasus, cum dicendi cepisset argumentum, quod nunc primum sibi sit dicendum, et episcopi loco cujus est munus, incipit : Num vera sunt quæ nobis acciderunt? affecit omnes

C admiratione. Ab eo tempore omnes præterea attrahebat, omnes affluebant, relinquebant agriculturam, artes, potestates, omnes administrationes, quas multas affert hominibus laboriosæ vitæ varia et multiplex conditio. Ad Arcadii imperatoris aures pervenit etiam ejus fama, et tenetur ejus animus magno illius videndi desiderio.

10. Sed inter hæc brevi oratione assumatur, quæ ex magna cautione emersit castigatio, communis quidem omnibus, maxime autem animis eorum, qui sunt sub jugo. Operæ pretium est attendere. Mulier quædam prima ex iis, quæ erant Antiochiæ, filium vehementer febricitantem, et plane deploratum adducit ad hunc sapientem medicum, instans ut eum curaret. Ille autem dixit : Hoc

D quidem est Dei vivificantis. Tu vero, o mulier, abstine a tuis prioribus delictis, scias enim cæteros quoque tuos quatuor filios, propter peccata tua et mariti tui, esse mortuos ad vestram disciplinam. Erat autem hic quoque moriturus : sed surgite et resipiscite, et non solum filium vivum, sed etiam cœlorum regnum accipietis. Hæc cum tanquam ex ore Dei accepissent, et se esse correcturos sancte essent polliciti, protinus filium quoque sanum accipiunt. Sed hucusque quidem procedat cursus orationis. Hinc autem de eis, qui Marcionis morbo laborabant, dicatur quodnam fuerit divinum judicium. Atque qui hoc quidem morbo tunc laborabant, quanam quidem fiducia freti multos attraherent jamjam dicetur. Quomodo autem a morbo qui tendebat ad mortem liberata sit tota

civitas, dicendum est ad Verbi gloriam. Eodem morbo, quo civitas laborabat etiam præses civitatis; et hæc erat causa quod malum cresceret, quid ergo facit Deus, qui animarum semper saluti providet?

A πόλεως, καὶ αὕτη ἀφορμὴ τοῦ κακοῦ τῆς προσθήκης. Τί οὖν ποιεῖ ὁ τῶν ψυχῶν ἀεὶ Θεὸς τὴν σωτηρίαν οἰκονομῶν; . . . . Λείπει. . . . .

Uxorem præsidis ferit morbo dyssenteriæ. Et ea quidem omnes accersit, nihil autem ei prodest, sed omni ex parte auxilio deficitur. Deinde quid? Confugit ad hæreticos. Ii quoque aggrediuntur ad trium dierum usque precationem, nec quidquam proficiunt. Nescit rursus quid agat mulier: tandem statuit ad virum divinum confugere. Deinde id dicit marito suo, persuadet. Postremo venit ad Dei servum. Joannes de his disceptat cum episcopo, eis procedit obviam, ex ecclesia arcens tanquam indignos, arguit hæreseos: petunt ipsi veniam, assentiuntur veritati, maxime autem mulier. Cum sanctus aquam attulisset, rogat episcopum, ut facto signaculo mulieri aquam aspergat. Hoc cum factum esset, statim mulier accipit sanitatem, reversa suis pedibus, et pulchre effecta, reddens quæcunque erat pollicita. Hoc fuit hæreticis dedecori, probro et afflictioni; et causa cur virum divinum maledictis incesserent. Ille autem omnia quidem despiciebat, uni solum rei intentus, nempe illorum saluti. Sed non persuadebat. Dolore autem affectus propter universam civitatem, lamentabatur dicens: Si Salvator maledictis incessabatur, idque cum Deus esset, ab ingratis; qui hoc magnum in nos servos? Speró tamen fore ut illorum casu Deus universam castiget civitatem. Nondum autem nox præterierat, et terræ motu tota concutitur civitas. Tenebris involvitur concilium hæreticorum, ad solum usque dejicitur, et quævis domus hæretici; et domus eorum fiunt eorum sepulcra, nulla læsa domo orthodoxorum. Propter hoc confirmabatur civitas, et augebatur fides, et Deus laudabatur. Quid præterea? Post hanc admirabilem Omnipotentis providentiam et judicium, non longum effluxit tempus, et decessit Nectarius antistes Constantinopolitanus. Quærebat autem quilibet eum qui esset dignus. Cum alius vero ab aliis præferretur, aut etiam intruderetur, imperatori visum est post longam de re consultationem, Joannem deduci Antiochia, omnibus communiter suffragantibus et rei et litteris. Hæc cognoscit Antiochia; et quæ deinceps quidem sequuntur, aggredi veretur oratio: aggredietur tamen. quoad fieri poterit. Cum cogitaret unusquisque se sui boni facere jacturam, ad tantam excitantur seditionem, ut timore affectus antistes, dato jurejurando persuaserit omnibus se rem

[11] esse prohibiturum, sicque vix tandem sedat seditionem; ad imperatorem autem scribit de seditione. Divini itaque stimuli et miraculi desiderio feritur cor imperatoris et senatus cum hæc audivissent, et erecto tropæo, sacrum illud bellum declinantes, cum rem quæ desiderabatur plane auream ex Antiochena civitate surripuissent, donant Constantinopoli. Quomodo? Comiti Antiocheno jubet imperator, ut ignorantibus omnibus Joannem ad se accerseret. Quod cum fecisset comes, et usque ad martyria quæ sunt extra civitatem sapienter admodum traxisset Joannem, et equo impositum celeri cursu abduxisset, dedit iis qui desiderabant. Cum autem multi convenissent episcopi, imperatoris parati sollicitudine, cum episcopis erat etiam Alexandrinus ille Theophilus, qui invidia motus, conabatur Joannis gloriæ detrahere; quod nulla in eum caderet reprehensio, tabescens et eum recusans manu imposita consecrare. Vincitur tamen vel invitus; semper enim vincit Spiritus sanctus. Sic autem vincitur: multi ex iis qui divino erant zelo incensi, Theophili malorum Iliadem scriptis satis pulchre mandarunt, quam quidem tunc manus tenens, qui in imperatorio primas partes obtinebat gynæceo, is autem erat Eutropius, Theophilo ostendit dicens: Alterum duorum elige, ut vel horum convincaris, vel impositis manibus Joannem consecres. Adversus eum ergo qui talia ausus fuerat, Eutropii verborum producta acies, vi expugnavit maleficum periculosi et ancipitis studii. Quo quidem cum in Theophilum acres jam fierent quæstiones, in trivio cogitationum, ut est in proverbio,

B [ια']…. τοῦ πράγματος κώλυσιν· καὶ οὕτω κατευνάζει μόλις τὸ στασιάζον, καὶ γράφει τῷ βασιλεῖ τὰ τῆς στάσεως. Βάλλεται τοίνυν τῷ τοῦ θείου κέντρου καὶ θαύματος πόθῳ τὴν καρδίαν ὁ βασιλεὺς, καὶ ἡ σύγκλητος τούτων ἀκούσαντες, καὶ τροπαίῳ τὸν ἱερὸν ἐκεῖνον ἐκκλίναντες πόλεμον, καὶ τὸ ἐπιθυμούμενον χρυσοῦν ὄντως χρῆμα τῆς Ἀντιόχου λαφυραγωγησάμενοι, τῇ Κωνσταντίνου χαρίζονται. Πῶς; Τῷ κόμητι Ἀντιοχείας ὁ βασιλεὺς ἐγκελεύεται, ἀγνοίᾳ πάντων, τὸν Ἰωάννην παρακαλέσαι καὶ ὑποδέξασθαι. Καὶ τοῦτο δράσας ὁ κόμης, καὶ μέχρι τῶν μαρτυρείων ἔξω τῆς πόλεως παρελκύσας ἄγαν συνετῶς καὶ φρονίμως τὸν Ἰωάννην, καὶ τῷ ὀξυδρόμῳ ἐφιππασάμενος, τοῖς ποθοῦσιν ἀποκαθέστηκεν. Ἐπειδὴ δὲ καὶ συνέλευσις ἦν πολλῶν ἐπισκόπων ἐκ C βασιλικῆς φροντίδος παρασκευασθεῖσα, σὺν τοῖς ἐπισκόποις καὶ ὁ Ἀλεξανδρείας ἐκεῖνος Θεόφιλος, ὃς διασύραι τὴν Ἰωάννου δόξαν, φθόνῳ κλαπεὶς, ἠγωνίζετο, τῷ ἀνεπιλήπτῳ τοῦ ἀνδρὸς ἐκτηκόμενος, καὶ πρὸς τὴν χειροτονίαν ἀναδυόμενος· ὅμως καὶ ἄκων ἡττᾶται· νικᾷ γὰρ ἀεὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἡττᾶται δὲ οὕτω· Πολλοὶ τῶν πυρπολουμένων τῷ θείῳ ζήλῳ τὴν Ἰλιάδα τῶν Θεοφίλου κακῶν γραφαῖς τε καὶ συγγραφαῖς οὐκ ἀγεννῶς ἐῤῥαψῴδησαν· ἥντινα τότε χειρωσάμενος ὁ τῆς βασιλικῆς πρωτεύων γυναικωνίτιδος, Εὐτρόπιος δὲ οὗτος ἦν, τῷ Θεοφίλῳ ὑπέδειξεν, εἰπών· Δυοῖν θάτερον ἔκλεξαι· ἢ ταῦτα ἐλεγχθῆναι, ἢ Ἰωάννην χειροτονῆσαι. Τῷ τοίνυν τολμητῇ τῶν τοιούτων ἡ Εὐτροπίου τῶν λόγων ἀντιστρατευσαμένη παράταξις, αἱρεῖ κατὰ κράτος τὸν κακουργοῦντα τῷ ἀμφικρήμνῳ τοῦ ἐπιτηδεύματος. Ὦ Θεόφιλος σφοδρῶς ἤδη λεηλατούμενος ἐν τριόδῳ λο…

μιῶδες, ἀκροδυλίζεται· καὶ πρὸς μὲν τὴν χειροτονίαν τοῦ καιροῦ παραστάντος, ἐκτείνει τὰς χεῖρας, προσεκτείνειν δὲ ταύτας κατὰ τοῦ χειροθετηθέντος ὕστερον οὐκ ἐνάρκησεν. Εἶτα μετὰ τὴν χειροτονίαν, εὐλογεῖται παρὰ τοῦ ἀρχιερέως ὁ πιστὸς βασιλεὺς, ἅμα πᾶσι τοῖς σὺν αὐτῷ, διὰ τιμῆς μεγίστης λόγοις καὶ πᾶσι τρόποις τὸν ἀρχιερέα ποιούμενος. Ὁ δὲ τὰ συνήθη τῆς οἰκείας εὐλαβείας καὶ ἐφρόνει καὶ διελέγετο, ταύτην τελευταίαν τότε τὴν παραίνεσιν ἐπιθείς· Αἱ μὲν ἄλλαι τῶν διοικήσεων, λέγω, ὦ βασιλεῦ, καὶ πάντες οἱ παρεστηκότες, ἀναλόγους ἔχουσι καὶ τοὺς κινδύνους καὶ τὰ γέρα· ἱερέων δὲ καὶ ποιμένων ὅσος κίνδυνος, ὅσα τὰ γέρα, ὧν εὖ ἢ κακῶς διῳκήσαντο, πλήρης πᾶσα, Συγγραφὴ, Καινή τε καὶ Παλαιά. Δεομένου τοίνυν τινὸς ὅσαι ἡμέραι τῆς θεραπείας, οὐ φείσομαι. Καὶ προσετίθη τούτοις τὰ κατὰ Δαβὶδ καὶ Ναθὰν, τὸ τῆς Γραφῆς, εἰς παράδειγμα. Ἀσμενίζει τούτοις ὁ πιστότατος βασιλεὺς, συμπροθυμεῖται δὲ πᾶς ὁ βασίλειος ὅμιλος, ᾧ τότε δὴ, τότε τὸν διδασκαλικὸν ἐξέτεινε λόγον, ὅπως δέοι πάντας τοῖς πᾶσιν ἐπιχειρεῖν· ἱστορίαν τε μεγάλου θαύματος, καὶ μνήμης ἀξίαν προβάλλεται, φήσας· ὡς Τίτος, ὁ Ῥώμης ἄναξ, [πολλὰ] πολλάκις τοιοῦτόν τι ἐπέλεγεν ἑαυτῷ, λέγων, Σήμερον οὐκ ἐβασιλεύσαμεν, εἴτ' οὖν οὐκ ἐζήσαμεν, μηδὲν ἄξιον βασιλέως ποιήσαντες. Ἔτι δὲ τοῦ ἀρχιερέως τὸν λόγον συνείροντος, ἰδού τις ἀνὴρ δαιμονῶν ἐκεῖνα μέσον ἁπάντων ἐποίει καὶ ἔκραζεν, ὅσα τὸ ἐνοχλοῦν δαιμόνιον φῦλον ἐξεβιάζετο. Παρακαλεῖται ὁ ἰατρὸς θεραπεῦσαι τὸ πάσχον. Καὶ μέντοι καὶ θεραπεύει σφραγῖδι τοῦ τιμίου σταυροῦ, καὶ τῇ ἐπικλήσει τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος, εἰπὼν πρὸς αὐτόν· Ἴδε ὑγιὴς γέγονας· μηκέτι βλασφήμει τὸ Θεῖον, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Τοῦτο ἡ τελειοτέρα στερέωσις ἅπασι τῆς εἰς Χριστὸν ὁμολογίας καὶ πίστεως.

ιβ'. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον θαύματος ἄγοντα τὸν ἀκροατήν· δείξει δὲ προϊὼν ὁ λόγος καὶ τὰ τούτου θαυμασιώτερα. Ἄρτι τῶν οἰάκων τῆς οἰκουμενικῆς ὁλκάδος ὁ πνευματοκίνητος κυβερνήτης ἐπειλημμένος, καὶ πρὸς τὰς ἀντιπνεούσας, αἳ πολλαὶ κατὰ τοῦ θαυμαστοῦ πελάγους τῆς Ἐκκλησίας, διασκεψάμενος λαίλαπας, τί μὲν οὐ ποιεῖ, ποίαν δὲ οὐ κινεῖ μηχανὴν σωτηρίας, ἕως οὗ καταντήσῃ πρὸς τὸν ἄνω λιμένα, τὸν ὄντως εὔδιόν τε καὶ πολυόρεκτον ὁ τῶν καμνόντων παντοίαις νόσοις ἀνθρώπων θαυμάσιος ἰατρός! Φέρε δὴ, τῶν ἐκείνῳ σοφῶς ἐπινενοημένων ψυχικῶν ἀντιδότων, βραχεῖά τις μοῖρα λεγέσθω. Γένοιτο γὰρ ἂν αὕτη τοῖς χρείαν ἔχουσιν ἰατρῶν οὐ φαύλη τις σωτηρίας ὑπόθεσις. Ἐκεῖνος τῇ διὰ τῶν ἐλέγχων ἀντιδότῳ (οὕτω γὰρ ἐκεῖνο εἰπεῖν) ἐν πρώτοις χρῆται κατὰ τῶν παρεισάκτων· οἱ τῶν πορνοβοσκῶν, ἐν αἱρέσει κακῶν ἢ συγκρίσει, παντάπασι χείρους εἰσίν. Ἐκείνοις μὲν ἡ νόσος πόῤῥω τοῦ ἰατροῦ· τούτοις δὲ ἔνδον τοῦ ἐργαστηρίου τῆς σωτηρίας, καὶ ἑαυτοῖς καὶ τοῖς ὑγιαίνουσι πλέον αὔξεται πολλῷ τὰ τῆς ἀῤῥωστίας· οὓς ὁ σοφώτατος ἰατρὸς, τῷ κατὰ τὸν μέγαν καὶ ὁμώνυμον πρόδρομον ἐλεγκτικῷ κεχρημένος, ῥωστικωτάτου λόγου δύναμιν, τῆς τοιαύτης λύμης

A telis appetitur; et ad manuum quidem impositionem, cum esset tempus, extendit manus, ad quas postea extendendas in eum, cui eas imposuerat, minime obtorpuit. Deinde post consecrationem, benedicitur a pontifice fidelis imperator cum suis simul omnibus, qui in maximo honore et verbis et modis omnibus habebat pontificem. Ille autem pie, ut solebat, sentiebat et disserebat; qui etiam hanc ultimam tunc dedit admonitionem: Aliæ quidem administrationes, dixit, o imperator et omnes qui adestis, proportione convenientia habent et præmia et pericula; sacerdotum et pastorum quantum sit periculum, et quanta præmia eorum, quæ bene vel male gesserint in administratione, plena est universa Scriptura et Nova et Vetus; si quis ergo
B quotidie opus habeat curatione, non parcam; et his adjiciebat quæ Scriptura dicit de Davide et Nathan in exemplum. Ea lubenter audit imperator fidelissimus, grataque fuerunt toti catervæ imperatoris. Tunc autem, tunc in docendo prolixa utebatur oratione, quonam modo oporteret omnes omnia aggredi; et proferebat historiam dignam, quæ et in admiratione haberetur et mandaretur memoriæ, dicens: Titus imperator Romanorum sæpe tale quid apud se dictitabat: Hodie non imperavimus, seu non viximus, ut qui nihil fecerimus dignum imperatore. Cum autem adhuc verba continuaret pontifex, ecce vir quidam dæmoniacus illa faciebat et clamabat in medio omnium, quæ
C vexans cogit genus dæmonum: rogatur medicus, ut curet laborantem. Quem quidem curat signo pretiosæ crucis, et invocatione sanctæ et vivificæ Trinitatis, ei dicens: Ecce sanus factus es; ne Deum amplius blasphemes, ne deterius quid tibi contingat. Hoc ille, qui erat omnibus perfectum ornamentum confessionis et fidei in Christum.

12. Sed hæc quidem sunt, quæ auditorem deducunt ad tantam admirationem. Ostendet autem procedens oratio his quoque magis admirabilia. Cum jam navis orbis terræ clavum accepisset, a Spiritu sancto motus gubernator et adversas considerat tempestates, quæ multæ exoriebantur in mari mirabili Ecclesiæ, quid non facit, quam non salutis excogitat machinam, donec perveniretur ad
D portum superiorem, qui est tranquillus et valde expetendus, ut qui hominum omni genere morborum laborantium esset medicus admirabilis! Age vero animæ antidotorum, quæ sunt ab illo sapienter excogitata, dicatur brevis quædam particula. Fuerit enim ea iis qui opus habent medicis, non contemnenda causa salutis. Ille reprehensionum antidoto (sic enim convenit dicere) imprimis utitur adversus eos qui mulieribus utuntur introductitiis, qui in electione aut comparatione malorum sunt omnino deteriores lenonibus. Nam his quidem morbus procul est ab officina medici; illis autem intra officinam salutis, et sibi et iis qui sunt sani, multo magis augetur morbus. Quos sapientissimus medicus, utens reprehensione sicut magnus, qui erat ejusdem nominis, præcursor, validissimæ ora-

tionis viribus a tali liberavit pernicie. Deinde adversus arcem vitiorum, avaritiam, inquam, dirigit aciem. Deinde procedit adversus eos qui secant crumenas, quibus comprehensa est etiam helluonum et assentatorum lues. Et iis quidem se applicat oratio, ut par est ejus qui medetur. Quorum autem Deus est venter et gloria, quomodo sanari potuerint cura verborum humanorum? Non solum certe non sanantur, sed etiam ab eis adversus medicum excogitantur accusationes. Visitat libidinosos et intemperantes oratio medici, adeo tangens primum affectam mentem eorum, qui sua sponte laborant libera sui arbitrii voluntate, ut idem nequaquam ullo modo permiserit (quis enim Paulum imitatus, magis honoravit honestum et venerandum matrimonium?) ab eo abstinere multos propter insignem animadversionem et obedientiam. Ante omnia autem docendo alendos esse pauperes, alebat eorum, qui ipsos nutriebant, animas, novus ille frumenti dator: utpote quod omnium bonorum operationem contineat et comprehendat eleemosyna, quæ etiam docuit: *Quod uni horum fecistis* [47]; sic omnia comprehendens. Divini itaque viri audientes orationem adeo trahebantur omnes ad ea observanda, ut in dispergendis opibus ii, qui eis abundabant fierent pauperiores iis qui erant olim pauperes; perfecte autem fierent in Christo divites et thesaurum cœlestem acquirerent. Propter quæ is qui hæc bona introduxerat, nominabatur Joannes eleemosynæ. Quid vero sycophantis et calumniatoribus? Quid autem iis qui insolescunt fastus elatione et inani superbia? Quid vero iis, qui prodiga et luxuriosa vita graviter peccant in corpus proprium, aut etiam mentis inopia animæ suæ afferunt exitium? Quid ergo his ille magnus excogitavit medicus? Multiplicia opem ferentia medicamenta, a perturbationibus animi liberationem, per pœnitentiam salutarem operationem. Mitto dicere fructum charitatis et hospitalitatis; quo effecit, ut omnes onerati pinguescerent, suavi rore suorum verborum, pro musicis canticis; in omnibus operibus, ad quæ hæc vita cogit homines, divinum canticum jubens canere.

13. Sed forte hæc solum faciebat in sua ecclesia et civitate et finitima regione: earum autem, quæ procul erant remotæ, nullam gerebat curam, satis habens dare salutem propinquorum multitudini? Mente mihi persequere totius Thraciæ, Asiæ, Ponti, Phœniciæ, Celtarum latitudinem, et Scythas nomadas, qui sunt ultra Danubium. Quis locus fuit absconsus a radio ejus verborum? Revera nullus. Sol quidem a magno Davide laudatur, et in admiratione habetur, propter magnitudinem, illuminationem, egressum, occursum; quod non sit absconsus locus aliquis ab ejus calore et splendore. Bona autem ejus eximia sunt solari radio operatione longe præstantiora, nempe quantum præstant iis, quæ aliter illustrantur, ea quæ ratione illuminantur. Præterea hoc dicam: densa caligo

[47] Matth. xxv, 40.

A ἀπήλλαξεν. Εἶτα κατὰ τῆς ἀκροπόλεως τῶν παθῶν, τῆς πλεονεξίας, ἀντιπαρατάσσεται. Ἔπειτα χωρεῖ κατὰ τῶν βαλαντιοκόπων, οἷς συμπεριείληπται τῶν γαστριμάργων καὶ κολάκων ἡ σηπεδών. Καὶ διαιτᾷ μὲν καὶ τούτους ὁ λόγος ἐπαξίως τοῦ ἰατρεύοντος. Ὧν δὲ Θεὸς ἡ κοιλία καὶ ἡ δόξα, πῶς ἂν καὶ ἰαθεῖεν αὐτοὶ ῥημάτων θεραπείᾳ τῶν ἀνθρωπίνων; Οὐ μόνον δὲ, ἀλλ' ἀντιδιαιτᾶται μᾶλλον αὐτοῖς κατηγορίας κατὰ τοῦ ἰατροῦ συνδιάσκεψις. Ἐπισκέπτεται τοὺς φιληδόνους καὶ ἀκρατεῖς τοῦ ἰατροῦ ὁ λόγος, ἐπὶ τοσοῦτον ἁπτόμενος τοῦ πρωτοπαθοῦντος τοῦ τῶν ἑκουσίως καμνόντων τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως, ὥστε καὶ ὁ αὐτὸς οὐ μὲν οὖν οὐδαμῶς ἐπιτρέπει (τίς γὰρ ὡς οὗτος, κατὰ Παῦλον, ἐτίμησε τὸ τοῦ γάμου σεμνὸν καὶ τίμιον;) ἀπέχεσθαι καὶ τούτου τῷ περι-
B όντι τῆς προσοχῆς τοὺς πολλοὺς καὶ ὑπακοῆς. Περὶ πάντων δὲ τῷ τῆς ψυχοτροφίας διδακτικῷ τὰς ψυχὰς τῶν τρεφόντων ὁ νέος ἔτρεφε σιτοδότης· ὡς πάντων τῶν ἀγαθῶν τὴν ἐργασίαν τῆς ἐλεημοσύνης, ἣ καὶ τὸ, *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων*, ὥσπερ ἐδίδασκε ταύτῃ τὰ πάντα περιοριζόμενος. Μενοῦνγε τοσοῦτον ἀκούοντες τὸν λόγον τοῦ θείου ἀνδρὸς πρὸς φύλαξιν εἵλκοντο πάντες, ὥστε τῷ σκορπισμῷ τοῦ πλούτου, τοὺς τοῦτον κομῶντας, τῶν πάλαι πενήτων ἀπορώτεροι γεγονέναι· τὸ δὲ, τέλειον εἶναι κατὰ Χριστὸν, προσευπορηκέναι, καὶ τὸν οὐράνιον ἀποκληρώσασθαι θησαυρόν· ὑφ' ὧν ὁ τούτων εἰσηγητὴς τῶν καλῶν Ἰωάννης, ὃς τῆς ἐλεημοσύνης ἐπωνομάζετο. Τί δὲ τοῖς συκοφάνταις, τί δὲ τοῖς ἀλαζονευομένοις
C ἐπάρσει τύφου, καὶ τῷ διακένῳ τῆς ὑπερηφανίας, τί δὲ τοῖς ἀσώτῳ βίῳ εἰς τὸ ἴδιον σῶμα χαλεπῶς ἁμαρτάνουσιν, ἢ φρενῶν ἐνδείᾳ, τῇ αὐτῶν ψυχῇ προτιθεῖσι ἀπώλειαν, τί τούτοις ὁ μέγας προσεπενόησεν ἰατρός; Τὸ πολυειδὲς τῶν ἀλεξητηρίων φαρμάκων, τὴν ἀπαλλαγὴν τῶν παθῶν, τὴν διὰ μετανοίας ἐργασίαν τὴν σωτήριον. Ἐῶ λέγειν τὸν περὶ τῆς ἀγάπης καὶ τῆς φιλοξενίας καρπόν· ᾧ πάντας βρίθειν πιαινομένους ἀπέδειξε, δρόσῳ γλυκείᾳ τῶν ἑαυτοῦ ῥημάτων τὴν ἀντὶ τῶν μουσικῶν ᾀσμάτων ἐν πᾶσιν ἔργοις, ὅσοις ὁ βίος τὸ ἀνθρώπινον ἐκβιάζεται, θείαν ᾠδὴν διηνεκῶς ᾀσματίζειν ἐγκελευόμενος.

ιγ'. Ἆρ' οὖν ἐν τῇ κατ' αὐτὸν ταῦτα μόνον ἐκκλη-
D σίᾳ, καὶ πόλει καὶ περιχώρῳ, τῶν δὲ μακρὰν οὐ προνοεῖται, τῷ πλήθει τῶν πλησίον τὴν σωτηρίαν δοῦναι ἀρκούμενος; Δίελθέ μοι τῷ νῷ Θρᾴκης ἁπάσης, Ἀσίας, Πόντου, Φοινίκης, Κελτῶν τὰ εὐρύχωρα, καὶ τοὺς πέραν τοῦ Ἴστρου νομάδας Σκύθας. Ποῖος ἀποκέκρυπται τόπος τῆς ἐκείνου τῶν λόγων ἀκτῖνος; Οὐδείς. Ἥλιος μὲν γὰρ τῷ μεγάλῳ Δαβὶδ ἐπαινεῖται, θαυμάζεται, τῷ μεγέθει, τῇ ἐλλάμψει, τῇ ἐξόδῳ, τῷ καταντήματι, τῷ μὴ ἀποκεκρύφθαι τόπον τινὰ τῆς ἐκείνου θέρμης καὶ λαμπηδόνος. Τῶν δὲ τούτου καλῶν τὰ ἐξαίρετα, τῆς ἡλιακῆς ἀκτῖνος πολλῷ τῷ περιόντι τῆς ἐνεργείας, τὸ διάφορον ἀπηνέγκατο· καὶ τοσούτῳ πλέον, ὅσῳ διαφέρει τῶν ἄλλως αὐγαζομένων τὰ λογικῶς φωτιζόμενα. Ἔτι τοῦτο ἐρῶ, ὁμίχλη δασεῖα τὴν ἑῴαν τῶν Μαρκιωνοῦ

ἐκάλυπτεν ἀναθυμιάσεων, καὶ ταύτην (σὺν Θεῷ φάναι) τῇ μαρμαρυγῇ τῶν οἰκείων λόγων διασκεδάσας ὁ ἡμέτερος ἥλιος, λευκὴν καὶ ἐκεῖσε τὴν τῆς ὀρθοδοξίας ἡμέραν ἐφήπλωσε. Τί μοι τὰ πόῤῥω λέγειν; Ἐρευνᾷ τῆς ἑαυτοῦ ἀρχιεπισκοπῆς τῆς διαίτης τὸ σιτηρέσιον, καὶ τὰ μὲν περιττὰ τῶν ἀναλωμάτων, τὰ τῶν νοσοκομείων ἀναπληροῦν διορισάμενος ὑστερήματα. Ἐθέλων δὲ τύπον ἑαυτὸν παρασχεῖν καὶ τοῖς μετ' αὐτὸν, ἰδίῳ μισθῷ, κατὰ Παῦλον, ζῆν ἠγωνίζετο. Ἀλλ' ὅμως ἀνάγκη τῆς ἐκκλησίας αὐτὸν ἀποτρέφεσθαι, καὶ οὐδὲν ἀπεικός. *Ἄξιος γὰρ ὁ ἐργάτης τοῦ οἰκείου μισθοῦ.* Τίς δὲ ποιμαίνει ποίμνην, τῷ γάλακτι ταύτης μὴ σιτιζόμενος; ἢ τίς ἀμπελῶνα φυτεύσας, οὐ μεταλαμβάνει τοῦ ἐκεῖθεν καρποῦ; Εἰ δὲ μὴ συνήσθιέ τινι, ἢ παρῃτεῖτο παρακαλούμενος, τί τοῦτο; Ὅτι πρῶτον μὲν οἴνου μετασχεῖν ἀνεβάλλετο, τῆς κεφαλῆς τὸ θερμὸν προβαλλόμενος. Ἐνίοτε γὰρ τῷ *διὰ ῥόδων* ἐν θέρει, καὶ μόνῳ ἐχρῆτο. Δεύτερον δὲ ὅτι κατατρύχων ἦν ἔκ τινος ἀσθενείας ὁ στόμαχος, καὶ τάξιν οἰκείαν οὐκ εἶχεν· ὡς πολλάκις βρωτοῦ μεταλήψει, τῷ ἀηδεῖ τοῦ στομάχου μηδόλως σιτίζεσθαι. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ταῦτα τὴν καθόλου λήθην ἐνεποίει τῆς βρώσεως. Ποῖα δὲ ταῦτα; Ἡ τῆς διδασκαλίας φροντὶς, ἡ ἐν πνεύματι θεωρία, τῆς τοῦ λόγου θεραπείας, τῆς τῶν Γραφῶν ἱστορίας, τῆς τῶν χηρῶν κηδεμονίας ἡ ἐπιμέλεια, τῶν ἄλλων, οἷς ὁ τῶν ἱερέων πλέκεται στέφανος, ἡ διηνεκὴς μελέτη καὶ μέριμνα. Χῆραί τινες ἦσαν τηνικαῦτα φιλόσαρκοι, αἷς ἀεὶ παραινῶν, πείθει δυοῖν ἑλέσθαι τὸ ἕτερον, ἢ τῷ πρέποντι βίῳ χήραις βιοῦν, ἢ χωρεῖν ἐπὶ δευτέρους γάμους, ἵν' ὁ θεῖος νόμος ἀνύβριστος μένῃ καὶ ἀδιάπτωτος· τοῖς ἐκ τοῦ δήμου, λιτανείαις ἐπαγρυπνεῖν καὶ δεήσεσι νυκτὸς καὶ ἡμέρας· γυναιξὶν, αἷς ἡ πρόοδος εἴργηται, κατ' οἴκους προσεύχεσθαι· πλουσίοις ἀποστολικῶς ἠσφαλίζετο μὴ ὑψηλοφρονεῖν, μήτε τῷ ἀδήλῳ καὶ ἀστάτῳ τοῦ πλούτου καὶ διαῤῥέοντι ἠλπικέναι.

ιδ'. Ἀλλὰ καὶ ταῦτα ἐκ πολλῶν ἐπιτροχάδην ὁ λόγος ἐν βραχεῖ διηγόρευσεν. Ἀρχὴ δέ τις ἐντεῦθεν ἄλλη παρέστηκε, πρὸς ἣν καθιστάμεθα. Τὸν μὲν ἤδη πρώτως χειρὶ καὶ εἰκόνι Θεοῦ τιμηθέντα μὴ φέρων ὁρᾷν ἐπὶ τοσοῦτον ὁ ἀντικείμενος τῆς ἀπόνου τρυφῆς καὶ διαίτης ἐκείνης, παρεσκευάσατο γενέσθαι καὶ τοῦ Θεοῦ, καὶ τοῦ παραδείσου, καὶ τῆς τιμῆς ὑπερόριον, ὄφει, καὶ βρώσει, καὶ γυναικὶ, καὶ δόλῳ τὴν ἄτιμον ζωὴν καὶ τὸν θάνατον τούτου μηχανησάμενος. Ἐκεῖνος καὶ πρὸς τὸν Θεὸν ἀναιδεύεται, τὸν Ἰὼβ ἐξαιτούμενος· ὁ αὐτὸς μηκέτι στέγων ὁρᾷν τὴν Ἐκκλησίαν ὡσεὶ παράδεισον ὡραϊζομένην, καὶ τῷ κάλλει τῶν οἰκείων καρπῶν, τῶν τέκνων ἀστράπτουσαν, καὶ τὸν γεωργὸν τὴν τῆς ἐντολῆς ἀξίαν συντηροῦντα καὶ τῆς εἰκόνος, τὰς ἀποστατικὰς ὑπ' αὐτὸν δυνάμεις συμπαραλαμβάνει, μηχαναῖς ὅσαις καὶ μεθοδείαις τὸν κατὰ τοῦ καλοῦ γεωργοῦ καὶ ποιμένος πόλεμον ἀναῤῥιπισάμενος. Καὶ ὅπως, ἀναλαβὼν διηγήσομαι· Σαραπίων τις οὕτω καλούμενος, διακόνοις τελῶν, καὶ ὑπὸ τῷ καλῷ ποιμένι

[18] Act. xx, 20. [19] Luc. x, 7.

A Marcionis exhalationum tegebat Orientem; cum eam autem, Dei gratia, suorum verborum splendore sol noster dissipasset, extendit album diem orthodoxæ fidei. Quid opus est ut ea dicam, quæ sunt procul remota? Scrutatur quantum frumenti redderet suus episcopatus ad victum sustentandum, et iis, quæ redundabant ad sumptus, supplet defectum nosocomiorum, se autem volens posteris præbere exemplar, sua mercede, sicut Paulus [18], contendebat vivere, sed tamen necessarium est eum ali iis quæ sunt ecclesiæ; idque est consentaneum. *Dignus est enim operarius mercede sua* [19]. Quis vero pascit ovem, et non lacte ejus nutritur? aut quis, cum plantavit vineam, fructus ejus non est particeps? Ille autem cum nemine comedebat, B et invitatus recusabat; quanam de causa? quod primum quidem vinum bibere renuebat, prætexens calorem capitis. Nonnunquam enim utebatur solum in æstate eo quod dicitur *ex rosis*. Secundo autem, quod ex quadam imbecillitate male habebat stomachus, et nequaquam suo fungebatur munere; adeo ut sæpe cum cibum sumeret, propter stomachi fastidium, minime omnino aleretur. Non solum autem ea, sed hæc quoque efficiebant, ut cibi omnino oblivisceretur. Quænam ea sunt? Studium doctrinæ, in spiritu contemplatio, verbi curatio, Scripturarum cognitio, cura viduarum, aliorum, quibus sacerdotum corona contexitur, meditatio assidua et sollicitudo. Erant tunc quædam viduæ carnis amatrices, quibus assidue suadens studet C ut alterum eligant e duobus: ut vel vitam agant quam decet viduas; vel se ad secundas nuptias conferant, ut lex divina maneat illæsa et inviolata. Iis qui erant ex populo, suadebat nocte et die vigilare in precibus et supplicationibus; feminis quibus non licet foras progredi, domi precari. Divites apostolice admonebat, ne nimis altos spiritus conciperent, neque in incertis instabilibusque et diffluentibus divitiis omnino spem haberent.

14. Sed hæc quidem pauca ex multis volubiliter recensuit oratio. Hinc autem aliud quoddam exsistit, in quo sumus, principium. Eum quidem qui manu et imagine Dei primum fuerat honoratus, non D ferens adversarius videre ita frui nullo labore partis deliciis et victu, effecit ut a Deo, paradiso et honore expelleretur, serpente, et cibo, et muliere, et dolo, ignominiosam vitam et mortem ei machinatus. Ille etiam adversus Deum se impudenter gerit, Job incusans. Idem non amplius sustinens videre Ecclesiam, quæ erat speciosa instar paradisi, et suorum fructuum, nempe filiorum, resplendebat pulchritudine; et agricolam, qui ei præcepti et imaginis conservabat dignitatem, rebellibus quæ sub ipso sunt potestatibus eum curat comprehendendum machinis et insidiis, suscitans bellum adversus bonum agricolam et pastorem. Quomodo autem? narrabo ab alto repetens. Quidam nomine Serapion, qui erat diaconus sub hoc egregio pastore, invidia diaboli et mulieris impulsu (indicabit autem

eam quoque oratio), cum esset callidus et malitiosus, pastori vero familiaris, movet omnem, ut dicitur, lapidem, ut odium et offensionem excitet adversus divinum pontificem. Et primum quidem hoc facit : cum Severiano episcopo colloquens, aut aliquid eorum dicens, quæ dicuntur quotidie, fretus ea quæ apud pontificem ei erat fiducia et loquendi libertate, sedens cum eo disserebat. Ut autem solet in his accidere, quodam die non ferens dedecus Severianus, suam attendens dignitatem et gradum diaconi, dicitur aliquando tale quid dixisse : Si Serapion mortuus fuerit Christianus, Christus non fuit homo. Hoc cum audivisset vafer ille et plane factus ad malitiam, cum dictum divisisset, apud sanctum accusat Severianum, ut ejus et Christi inimicum, ut qui dixisset, Christus non fuit homo, e sua caterva hujus dicti testes producens. Quid ergo oportebat facere zelotem illum Eliam, o per ipsam justitiam ? (detur enim sic inter laudes dicere) dimittere id quod sibi fuerat renuntiatum ? non credere ea quæ dicta fuerant a testibus ? procul amandare eos qui loquuntur pro Christo ? Et quis non ægre tulisset, et reprehendisset pontificem, cum callidus horum artifex, etiamsi tunc ignoraretur malitia, propterea quod actus esset perversus, clamaturus esset adversus judicem et pastorem ? sed *sicut audio, judico* [29], inquit Christus, cum adhuc esset in hac vita et carne. Cujus discipulus, justam sic ferens sententiam, e civitate expellit Severianum, ut qui blasphemavisset. Quem cum, quæ tunc imperabat (erat autem Eudoxia), hæc audivisset esse passum, tollens filium Theodosium plane adhuc infantem, eum ponit ante sancti pedes, et plurimis adacto sacramentis persuadet pontifici, ut cum Severiano ineat amicitiam. Severianus vero amicitiam quidem simulat, belluam autem inimicitiarum agni pelle contegit, et adversus pastorem facta conspiratione, non leves apud populum dispergit calumnias, de omnium amore in pontificem moliens plurimum detrahere. Ille autem calumnias quidem, quæ in eum struebantur, parum aut nihil omnino curabat ; fama vero suæ in dicendo gloriæ et alterius utilitatis, efficiebat, ut totæ civitates et insulæ confluerent et convenirent. Nam nec Romæ quidem magnus episcopus Innocentius, erat bonorum ejus ignarus ; sed eum in magna habebat existimatione ad eum scribens litteras et vicissim accipiens.

15. Volo paululum immorari in jucunda narratione, quomodo Paulus, qui est et mysta et eruditor arcanorum mysteriorum, pontificem initiaverit in mysteriis. Cum divinas ejus epistolas earum interpres et expositor percurreret, erat, ut est verisimile, dubia et suspensa cogitatione, dicens : Quis scit, an Deo grata mea sit interpretatio? Hæc cogitans, rogabat ut de ea re a Deo fieret certior, quod etiam cito hoc modo factum est Quidam ex iis qui imperatori erant familiarissimi, offendit imperatorem, qui

[29] Joan. v, 30

A ταττόμενος, φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ (δείξει δὲ καὶ ταύτην ὁ λόγος) δεινὸς ὢν καὶ σοφὸς εἰς κακίαν, οἰκεῖος δὲ τῷ ποιμένι, πάντα λίθον, ὃ δὴ λέγεται, κινεῖ, μίσους λαβὰς καὶ σκανδάλων τῷ θείῳ ἀνεγεῖραι ἀρχιερεῖ. Καὶ πρῶτον μὲν τοιοῦτόν τι δρᾷ· Σευηριανῷ τῷ ἐπισκόπῳ προσομιλῶν, ἤ τινι τῶν ἄλλων ὅσαι ἡμέραι διαλεγόμενος, δῆθεν τῇ πρὸς τὸν ἀρχιερέα θαῤῥῶν παῤῥησίᾳ, καθεζόμενος αὐτῷ διελέγετο. Οἷα δὲ φιλεῖ ἐν τοῖς τοιούτοις, ἐν μιᾷ ποτε μὴ ἐνεγκὼν τὰ τῆς ἀτιμίας ὁ Σευηριανὸς τῇ ἑαυτοῦ ἀξίᾳ προσχὼν, καὶ τῷ τοῦ διακόνου βαθμῷ, λέγεταί ποτέ τι τοιοῦτον εἰπεῖν· Εἰ Σαραπίων Χριστιανὸς ἀποθάνῃ, Χριστὸς οὐκ ἐνηνθρώπησε. Τοῦτο ἀκούσας ὁ δεινὸς ἐκεῖνος, καὶ πολὺς εἰς κακίαν, διατεμὼν τὸ τοῦ ἔπους, διαβάλλει Σευηριανὸν τῷ ἁγίῳ, B ἐχθρόν τε ὄντα αὐτοῦ καὶ Χριστοῦ, ὡς εἰπόντα, Ἄρα Χριστὸς οὐκ ἐνηνθρώπησε, μάρτυρας τοῦ ἔπους τοῦ στίφους ἑαυτοῦ προβαλλόμενος. Τί οὖν ἔδει ποιῆσαι τὸν ζηλωτὴν ἐκεῖνον Ἠλίαν, ὢ πρὸς τῆς δικαιοσύνης αὐτῆς (δεδόσθω γὰρ οὕτως εἰπεῖν μεταξὺ τῶν ἐπαίνων) ; μεθῆναι (*sic*) τῷ ἀπαγγέλματι ; διαπιστῆσαι τὰ μαρτυρούμενα ; πόῤῥω τοὺς δῆθεν ὑπὲρ Χριστοῦ λαλοῦντας ἀποδιαπομπήσασθαι ; καὶ τίς ἂν οὐκ ἐπεστύγνασε, καὶ κατεμέμψατο τοῦ ἀρχιερέως, τοῦ δεινοῦ σοφιστοῦ τῶν τοιούτων, κἂν τέως ἠγνοεῖτο τὰ τῆς κακίας τῷ ἀντιστρόφῳ τοῦ δράματος, καταβοήσαντος τοῦ κριτοῦ καὶ ποιμένος ; Πλὴν οὖν, *καθὼς ἀκούω, κρίνω*, φησὶ τῷ βίῳ τούτῳ καὶ τῷ σαρκίῳ ἔτι παρὼν ὁ Χριστός· οὗ ὁ μαθητὴς τὴν κρίσιν ἔνδικον οὑτωσὶ ποιησάμενος, ἐξελᾷ τῆς πόλεως Σευη- C ριανὸν, ὡς δῆθεν βλασφημήσαντα. Ὃν ἡ τηνικαῦτα κρατοῦσα (Εὐδοξία δὲ ἦν), διαγνοῦσα τοιαῦτα παθόντα, ἀραμένη τὸν υἱὸν Θεοδόσιον κομιδῇ νηπιάζοντα, τοῦ ἁγίου τοῖς γόνασι τίθησι, καὶ ὅρκοις ὅτι πλείστοις πείθει τὸν ἀρχιερέα φιλιάσαι πρὸς Σευηριανόν. Ὁ δὲ Σευηριανὸς τὴν μὲν φιλίαν ὑποκορίζεται, τὸ δὲ θηρίον τῆς ἔχθρας τοῦ ἀμνοῦ τῷ κῳδίῳ περικαλύπτει· καὶ φατρίαν συστησάμενος κατὰ τοῦ ποιμένος, οὐ τὰς τυχούσας διαβολὰς τῷ δήμῳ ἐγκατασπείρει, τῆς πρὸς τὸν ἀρχιερέα παρὰ πάντων ἀγάπης τὸ πλέον ὑποτέμνειν ἐκμηχανώμενος. Ὁ δὲ τῶν μὲν κατ' αὐτοῦ διαβολῶν μικρὰ οὐδ' ὅλως ἐφρόντιζε· τῇ δὲ περὶ αὐτὸν φήμῃ τῆς τοῦ λόγου δόξης D καὶ τῆς ἄλλης ὠφελείας, πόλεις ὅλας καὶ νήσους συνεισρεῖν ἐποίει καὶ συνεισέρχεσθαι. Οὐδὲ γὰρ οὐδ' ὁ Ῥώμης μέγας Ἰννοκέντιος ἄμοιρος τῶν τούτου καλῶν, ἀλλ' ἐν μεγάλῃ μοίρᾳ τὴν αὐτοῦ ἀποδοχὴν ἐποιεῖτο, γράφων αὐτῷ καὶ ἀντιγραφόμενος.

ιε'. Βούλομαι δὲ μικρὸν ἐπισχεῖν, τοῦ μύστου καὶ μυστηρίων τῶν ἀῤῥήτων Παύλου τῇ πρὸς τὸν ἀρχιερέα μυήσει τῷ λόγῳ κατατρυφήσων. Τούτου τὰς θείας ἐπιστολὰς ὁ τούτων ἑρμηνεὺς καὶ ἐξηγητὴς διερχόμενος, ὡς εἰκὸς, ἐταλάντευε, λέγων· Τίς ἄρα οἶδεν, εἰ ἀρεστὰ τῷ Θεῷ τῆς ἐμῆς ἑρμηνείας ; Καὶ ταῦτα διανοούμενος ἐδεῖτο θείας τινὸς περὶ τούτου πληροφορίας· ἣν δὴ καὶ λαμβάνει ταχέως τόνδε τὸν τρόπον· Τῶν οἰκειοτάτων τις τοῦ βασιλέως προσκρούει τῷ βασιλεῖ, καὶ θάνατον ἀπειλεῖται· καὶ δια-

πέμπεται τῷ θείῳ ἀρχιερεῖ μεσίτην, τοῦ παραγενέσθαι νυκτὸς πρὸς αὐτὸν, διὰ τὸν φόβον τοῦ βασιλέως, καὶ ἀπαγγεῖλαι τὰ κατ' αὐτόν· οἷς εὐδοκήσας ὁ ἅγιος, διὰ Πρόκλου τοῦτον ἐλθεῖν ἐγκελεύεται. Ἡ νὺξ παρῆν, συμπαρῆν δὲ ὁ ἱκέτης, περὶ τὴν ὑπόμνησιν ὁ Πρόκλος ἀπολογεῖται. Εἶτα περισκοπεῖ πρῶτον ὀπῆς διά τινος, καὶ ὁρᾷ τὸν ἀρχιερέα κατὰ τὸ εἰωθὸς ἐνθρονιζόμενον γράφοντα, τὰ δὲ ἦν ἡ τῶν θείων Ἐπιστολῶν ἑρμηνεία. Τότε οὖν δὴ, τότε τοῦ φοβεροῦ ἐκείνου ἀξιοῦται θεάματος. Ὁρᾷ γὰρ ὁ Πρόκλος τὸν θεῖον ἀπόστολον Παῦλον ἐπικεκλιμένον ὄπισθεν τοῦ θρόνου, πρὸς τῇ κεφαλῇ τοῦ ἀρχιερέως, καὶ τὸ στόμα θέντα δεξιῷ τούτου ὠτίῳ, καὶ ὁμιλοῦντα αὐτῷ. Ἔκστασις λαμβάνει Πρόκλον καὶ ἀπορία, πόθεν ἄρα εἰσελήλυθεν ὁ ὁρώμενος (ἠγνόει γὰρ ὅστις ἦν) καὶ παρῄνει τούτῳ καρτερῆσαι μικρόν. Πάλιν μετὰ μικρὸν περισκοπεῖ καὶ ἅπαξ καὶ δὶς, καὶ ἡ αὐτὴ θεωρία. Ἐγκαλεῖται ὁ Πρόκλος παρὰ τοῦ μεγιστᾶνος, εἰπόντος, ὡς Οὐκ ἐχρῆν σε εἰδότα τὸν ἐμὸν προσδοκώμενον θάνατον, ἕτερον προσεπαγαγεῖν τῷ ἁγίῳ. Ὁ δὲ πληροφορεῖ τοῦτον, τοῦτο μηδ' ἐννοήσασθαι. Ἔτι τούτων διαπορούντων, ὁ κῆρυξ πρὸς τὰς ὀρθρίους ὑμνῳδίας ἀνίσταται τοῖς κρούμασιν. Ἐντεῦθεν ὑποστρέφει ὁ ἄνθρωπος, πρὸς τὴν δευτέραν νύκτα τὰ τῆς ἐλπίδος ἀποσαλεύων. Καὶ ἡ δευτέρα παρίστατο νὺξ, καὶ ἡ τρίτη· καὶ πάλιν τὰ ὅμοια τοῦ θεάματος. Τούτοις καταπληττόμενος, ὀψὲ καὶ μόλις ᾔσθηθη ὁ Πρόκλος ἀορασίᾳ θεόθεν ἀπεστάλθαι τὸν ὁμιλοῦντα, καί φησι πρὸς τὸν μεγιστᾶνα ἐκεῖνον· Ὦ βέλτιστε, Θεοῦ ἀντικράττοντος, σπουδαῖς ἁπάσαις ὁ πόνος ἀνήνυτος. Ἴθι τοίνυν παρακαλέσων τὸν Θεὸν βοηθῆσαί σοι. Ἡμέρα παρῆν, καὶ εἰς μνήμην ἐλθὼν τοῦ ἱκέτου ὁ ἀρχιερεὺς, διηρώτα, εἰ παρεγένετο. Μανθάνει τοίνυν τὰ κατ' αὐτὸν παρὰ τοῦ Πρόκλου, εἰπόντος ἔτι καὶ ταῦτα, ὡς Ἰδιάζοντί σοι μεθ' ἑτέρου τὰς παρελθούσας νύκτας, συνεῖδον μὴ προπετεύσασθαι. Καὶ τίς οὗτος, τοῦ ἁγίου ἀντερωτήσαντος, ἀρξάμενος ὁ Πρόκλος, τῷ μὲν λόγῳ τὸ πᾶν διέξεισι τοῦ θαύματος, τῷ δακτύλῳ δὲ διὰ τῆς εἰκόνος ἀριδηλότατα τὴν ἀποστολικὴν παρουσίαν πιστούμενος [τὸ πᾶν διέξεισι τοῦ θεάματο]. Οἷς ἐπιστήσας τὸν νοῦν ὁ θεῖος οὗτος ἀνὴρ, διέγνω σαφῶς τὰ τοῦ θεάματος, καὶ τὴν πληροφορίαν τοῦ ἐξαιτήματος εἰληφὼς, πρὸς τὸ θεῖον εὐχαριστίας ἀνετίθει. Καὶ πάλιν τὸν ἱκέτην προσκαλεῖται, καὶ ὁμιλεῖ· μεσιτεύει δὲ πρὸς τὸν βασιλέα, καὶ πρὸς τὴν προτέραν ἀρχὴν ἀποκαθιστᾷ, καὶ τὰ λείποντα τῶν θείων Ἐπιστολῶν ἀναπληροῖ προθυμότερόν τε καὶ χαριέστερον. Τοιαύτη τῆς ἐμῆς διηγήσεως ἡ μερίς. Σὺ δέ μοι λέγε τὸν σὸν Λοξίαν, τὸν σοῦ χρυσηλάτου τρίποδος τὸν θεσπιῳδὸν, ὁ ἐμὲ διώξας, ὁ τοῖς μύθοις μεγαλαυχούμενος, καὶ τὴν ἐκ τῶν δαφνηφάγων ὄπα λαιμῶν τῆς σῆς Φοιβαστρίας, καὶ τοὺς χρησμοὺς, τοὺς ἐκ δρυῶν ληρεῖς, τὰ Ὀρφέως μυστήρια, τοὺς Τειρεσίας ἐκείνους, τοὺς ἀνιπτόποδας, τοὺς σοὺς νημερτεῖς ὑποφήτας. Ἐῶ γὰρ λέγειν τοῦ Φοίβου σου τὸ φιλότιμον φιλοτιμοῦντός σου τὸ εὔηθες, καὶ τὴν πρόγνωσιν διὰ τῆς μαντοσύνης τῆς ἀμύμονος, τῆς ἐξ ἀστραγάλων, καὶ κριθῶν, καὶ λιβάνου, ἔτι δὲ διὰ πλίνθων, καὶ λύχνων, καὶ φύλλων, καὶ κύβων. Ὀκνῶ τὰς δι' ἐντόμων καὶ δερ-

A mortem minatur; et mittitur qui apud divinum pontificem intercederet, ut noctu ad eum veniret propter metum imperatoris, et sua ei exponeret. Quibus assentiens sanctus, per Proclum jubet ut veniat. Nox aderat, et simul etiam aderat is qui erat supplex. Ut cum admoneat, dat operam Proclus. Deinde primum aspicit per quoddam foramen, et videt pontificem, ut consueverat, in sede sedentem et scribentem. Ea autem erat interpretatio divinarum Epistolarum. Tunc autem, tunc illo terribili dignus habetur spectaculo. Videt enim Proclus divinum apostolum Paulum inclinatum post sedem ad caput pontificis, et os admoventem auri ejus dexteræ, et cum eo colloquentem. Proclum incessit
B stupor et admiratio, quanam ingressus esset qui cernebatur. Ignorabat enim quis esset; et rogat hominem ut parum exspectet. Rursus paulo post aspicit, et semel, et bis; et erat idem spectaculum. Reprehenditur Proclus ab illo optimate qui dixit: Non oportebat te, cum videres mortem quæ mihi exspectatur, alium ad sanctum adducere. Ille autem ei affirmat, se de eo nihil cogitasse. His adhuc dubitantibus, præco ad matutina cantica excitat ligni pulsibus. Homo itaque revertitur, in secundam noctem spem rejiciens. Accessit secunda nox et tertia; et erat rursus simile spectaculum. His obstupefactus, vix tandem sensit Proclus nemine vidente a Deo missum esse eum qui loquebatur; dicitque illi optimati: O optime, Deo resistente, studiis
C omnibus labor est inutilis. Roga ergo Deum ut tibi opem ferat. Dies aderat, et cum supplicis recordatus esset pontifex, rogavit an accessisset. De eo ergo ei significat Proclus, qui hæc etiam dixit. Cum tu præteritis noctibus seorsum esses cum alio, statui non temere accedere. Cum sanctus autem rogasset quisnam esset is? incipiens Proclus verbis quidem totum persequitur miraculum, digito autem per imaginem evidentissime probans eum fuisse apostolum, totam narrat seriem miraculorum. Quibus cum adhibuisset mentem hic vir divinus, aperte intellexit spectaculum, et factus certior suam accepisse petitionem, Deo egit gratias. Deinde sic rursus accersit supplicem, et eum convenit, et pro eo intercedit apud imperatorem, et priori restituit
D magistratui, impletque promptius et alacrius quæ restabant ex divinis epistolis. Hæ sunt partes meæ narrationis. Tu autem, dic mihi tuum loxium vatem aurei tui tripodis, qui me persequeris et vocem ex laurivoro gutture tuæ Phœbadis, responsa, nugas ex quercubus, Orphei mysteria, illos Tiresias, illos qui sunt illotis pedibus, tuos veros prophetas. Mitto enim dicere Phœbi tui magnificentiam, qui honore tuam afficit stultitiam, et tibi præbet præscientiam per vaticinationem: vaticinationem quam nemo potest reprehendere; quæ fit ex talis, et hordeo, et thure; et præterea per lateres, et lucernas, et folia, et cubos. Vereor dicere quæ per insecta fiunt, et pelles, et reliqua membra, ex diversis animalibus, per viasque, et mortuos, mysticas præscientias. Quorum omnium quod est revera præ-

clarissimum est incredulitas, et contumelia id quod creditur. Sed illi quidem nugentur; nobis autem ad rectum deducatur oratio, deducatur nostra quoque vita universa melius illius intercessionibus. Post hæc cognoscitur ab accusatoribus, quæ per pontificem data est salus ei, qui confugerat, et regressus ad priorem dignitatem; eosque incendentes flammæ invidiæ faciunt rabie agitari et furore adversus eum qui dedit salutem: hujus furoris præcipuum accipientes ministrum diaconum, quem prius diximus, Serapionem. Quæ cognoscit quidem bonus pastor, ea vero nihil curat.

16. Cum autem videret multos servire avaritiæ, ipsam autem præ cæteris imperatricem, in eos producit in aciem gratiam suorum sermonum: nullius quidem personam publice nominans, communiter autem procurans salutem omnibus. Quod quidem eos, qui illo vitio laborabant, faciebat medico succensere et efferari. Jam autem venit ad caput oratio. Theodoricus ille, qui tunc erat patricius, cum esset ditissimus, ab imperatrice appetitur insidiis. Quid ergo facit vir ille? Confugit ad communem portum; et servatur quidem ab iis quæ ei parabantur, insidiis. Servatur autem meliori quoque et permanente salute, modo alio. Dispersit, dedit omnia pauperibus. Quomodo? Magistri consiliis et suasionibus. Qua ex re quid lucratur? Thesaurum cœlestem, cum esset ei persuasum, Cornelii eleemosynæ ejus quoque esse exæquandam eleemosynam. Hæc cum rescivisset imperatrix, non potuit amplius contineri. Impudentiam autem et aliam temeritatem suam absque ullo rubore sancto indicat: eum bona Patricii lucratum esse nugabatur et objiciebat. Ejus enim, qui erat mundus, propter benignitatem admonitio erat inquinatæ sordida existimatio. Augetur ergo (quid enim opus est in singulis immorari?) in sanctum invidia: ex ea autem odium; ex eo maledicta; ex maledictis vero calumniæ; ex calumniis concilia. Transmutant, quod viderentur, non quod essent, sermones in nugas prolatas adversus imperatores. Fiunt hæc rursus alioqui validiora sermone habito in Eutropium. Dicatur autem modus, ut sit multorum doctrina et utilitas. Hic Eutropius cum perversis esset moribus et inclemens, ad malefaciendum autem malitiosus, talem laqueum (o novum inventum!) fabricatur inhumanitatis. Persuadet imperatori (apud imperatorem enim multum poterat) ut legem ferret, ne cui liceret confugere ad sacram et divinam mensam. Non multum autem intercessit temporis et suis laqueis (o justam pœnam et celeritatem!) capitur qui fabricatur. Cadit enim, et ad eam quam aliis studuit prohibere, confugit ecclesiam. Propter hæc justa reprehensione ea quæ fecerat Eutropius, suo sermone sapiens persequitur medicus, et hoc fuit accusatoribus alia injustitiæ occasio et insurrectio, ut qui cum non solum illius non mi-

A ματος εἰπεῖν, καὶ τῶν λοιπῶν παρὰ διαφέρων ζώων μελῶν σοι, καὶ ὁδῶν καὶ νεκύων μνήσεις τε καὶ προγνώσεις· ὧν ἁπάντων ὡς ἀληθῶς τὸ σεμνότατον, ἀπιστία, καὶ ὕδρις τὸ πιστευόμενον. Ἄλλοι μὲν ληρείτωσαν, ἡμῖν δ' ὁ λόγος πρὸς τὸ εὐθὲς ἄγοιτο. Ἄγοιτο δὲ καὶ ὁ βίος ἅπας ἡμῶν, ταῖς ἐκείνου πρεσβείαις ἄμεινον. Μετὰ ταῦτα διαγινώσκεται τοῖς κατηγόροις ἡ διὰ τοῦ ἀρχιερέως σωτηρία τῷ προσφυγόντι καὶ πρὸς τὴν προτέραν ἀξίαν ἐπάνοδος· καὶ φθόνου φλόγες αὐτοῖς ἐξανάψασαι, λυττᾷν κατὰ τοῦ σώσαντος ποιοῦσι καὶ μεμηνέναι τῆς τοιαύτης λύπης ἀρχιδιάκονον τὸν εἰρημένον λαβόντας διάκονον τὴν Σαραπίωνα· ἃ διαγινώσκει μὲν ὁ ποιμὴν ὁ καλὸς, φροντίδα δὲ τούτων οὐδεμίαν ποιεῖται.

ιϛ'. Ὁρῶν δὲ τῷ φιλαργύρῳ πάθει πολλοὺς, αὐ- B τὴν δὲ πρὸ τῶν πολλῶν βασιλευομένων τὴν βασιλίδα, τῶν ὁμιλιῶν τὴν χάριν ἀντιστρατεύει, προσωπικῶς μὲν οὐδένα δημοσιεύων, κοινῇ δὲ πᾶσι τὴν σωτηρίαν οἰκονομῶν· ὃ τοὺς κρατουμένους τῷ πάθει κατὰ τοῦ ἰατροῦ χαλεπαίνειν ἐποίει καὶ ἀποθηριοῦσθαι. Ἧκει δὲ ὁ λόγος ἤδη πρὸς τὸ κεφάλαιον. Θεοδώριχος ἐκεῖνος, ὁ τηνικαῦτα πατρίκιος, ὁ πλουσιώτατος ὢν, παρὰ τῆς βασιλίσσης ἐπιβουλεύεται. Τί οὖν ποιεῖ ὁ ἀνήρ; Ἐπὶ τὸν κοινὸν καταφεύγει λιμένα, καὶ σώζεται μὲν τῆς ἐκεῖθεν ἐπιβουλῆς, σώζεται δὲ τὴν κρείττω σωτηρίαν καὶ μένουσαν, τρόπον ἕτερον. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι. Πῶς; Τοῦ διδασκάλου συμβουλίαις καὶ παραινέσεσιν. Ἐξ οὗ τί κερδαίνει; Τὸν οὐράνιον θησαυρὸν, πληροφορηθεὶς τῇ κατὰ τὸν Κορνήλιον ἐλεημοσύνῃ ἐξισωθῆναι καὶ τὴν C αὐτοῦ. Ταῦτα μαθοῦσα ἡ βασιλὶς, οὐκ ἔτι γίνεται καθεκτή· τὰ δὲ τῆς ἀναιδείας, καὶ τῆς ἄλλης προπετείας ἀπηρυθριασμένως δηλοῖ τῷ ἁγίῳ· ἀποκερδῆσαι αὐτὸν τὰ τοῦ πατρικίου διεφληνάφει καὶ προεβάλλετο. Ἡ γὰρ τοῦ καθαρεύοντος διὰ φιλανθρωπίαν παράκλησις, ῥυπῶσα τῆς μολυνομένης ὑπόληψις ἦν. Αὔξεται τοίνυν (τί γὰρ δεῖ τοῖς καθ' ἕκαστον τὸν λόγον ἀπασχολεῖν;) ὁ κατὰ τοῦ ἁγίου φθόνος· ἐκ δὲ τούτου τὸ μῖσος, ἐκ τούτου αἱ λοιδορίαι, ταῖς δὲ αἱ διαβολαὶ, ταῖς διαβολαῖς τὰ συνέδρια. Μεταποιοῦσι, τῷ δοκεῖν οὐ τῷ εἶναι τὰς ὁμιλίας εἰς ὕθλους κατὰ τῶν βασιλευόντων δῆθεν ἐξ[εν]ηνεγμένους. Ἐπισχύεται ταῦτα πάλιν ἄλλως καὶ τῇ κατ' Εὐτρόπιον ὁμιλίᾳ. Ὁ δὲ τρόπος λεγέσθω, παίδευμα τῶν πολλῶν καὶ D ὠφέλεια. Εὐτρόπιος οὗτος, δυστροπίᾳ γνώμης ἄνους ὑπάρχων, κακῶσαι κακὸς, τοιοῦτόν τινα βρόχον (ὢ τῆς καινῆς ἐπινοίας!) μισανθρωπίας τεκταίνεται. Παραπείθει τὸν βασιλέα (καὶ γὰρ ἦν διὰ πολλῆς παῤῥησίας τῷ βασιλεῖ) νομοθετῆσαι, τοῦ μηδένα ἐξεῖναι προσφεύγειν τῇ θείᾳ καὶ ἱερᾷ τραπέζῃ. Καὶ οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τοῖς ἰδίοις βρόχοις (ὢ τῆς δικαίας ποινῆς τε καὶ ταχυτῆτος!) ὁ τεκταίνων ἁλίσκεται. Περιπίπτει γὰρ, καὶ πρὸς ἣν αὐτὸς τοῖς ἄλλοις κωλύειν ἐσπούδακεν, ἐκκλησίαν προσφεύγει. Ἐπὶ τούτοις τὸν δι' ὁμιλίας ἔλεγχον οἷς Εὐτρόπιος ἔδρασεν, ὁ σοφὸς διέξεισιν ἰατρός. Καὶ τοῦτο τοῖς κατηγόροις πρόφασις ἀδικίας ἄλλη καὶ ἐπανάστασις, μὴ ὅτι τὸν δυστυχοῦντα οὐκ ἐλεοῦντος, ἀλλὰ καὶ δι' ἐλέγχων, λεγόντων, μαστίζοντος. Καὶ τῆς μὲν τοιαύτης ἐπαναστάσεως ἀρχηγός τε καὶ κορυφαῖος

ὁ Ἀλεξανδρείας Θεόφιλος ἦν. Οὐδεμία τῷ κατηγορουμένῳ περὶ τούτων φροντὶς, πλὴν ἡ τοῦ Κρείττονος θεραπεία. Ταύτης δὲ διὰ πάντων καὶ μόνης τὴν φροντίδα ποιούμενος, διαγνοὺς τότε τοὺς τὰ Ἀρείου νοσοῦντας, χωροῦντας εἰς συνακτήρια, πρῶτον μὲν εὐχαῖς, εἶτα σπουδαῖς ἁπάσαις ἐξελαύνει τῆς πόλεως. Ἀλλ' οὐ πολὺς ἤδη προέβη χρόνος, καὶ πάλιν χειραγωγηθὲν τὸ Ἀρειανίζον ἔκ τινων τῆς συγκλήτου, παῤῥησιάζεται· καὶ τὰ ἐντεῦθεν ἀναιδῆ σιγητέον. Ἀλλ' οἷα διὰ τῶν οὕτω λεγομένων ἀντιφώνων Ἀρειανοῖς συμβαίνει καὶ ὀρθοδόξοις, τῶν μὲν λαμπροτέροις ὕμνοις τὸ ὁμοούσιον ἱερολογούντων, τῶν δὲ Ἀρειανῶν ταπεινουμένων καὶ ἡττωμένων, καὶ δὴ εἰς κινδύνους ἀμφοτέρων ἐκ τῆς ἁμίλλης καταντησάντων, ὁ λόγος παραδραμὼν τὸν τρόπον λεγέτω τῆς τῶν ἀντιφώνων ἀπ' ἀρχῆς παραδόσεως. B Ἔστι δὲ οὗτος Ἰγνάτιος Ἀντιοχείας, ὁ θεοφόρος, τρίτος χρηματίσας μετά γε τὸ μέγα καὶ κορυφαῖον τῶν ἀποστόλων καλλώπισμα Πέτρον, ὃς καὶ αὐτοῖς συνδιέτριβε τοῖς μαθηταῖς τοῦ Χριστοῦ, λέγεται θείας ὀπτασίας ἀγγέλων κατηξιῶσθαι δι' ἀντιφώνων ὑμνούντων τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα. Ἐξ οὗ ἐν Ἀντιοχείᾳ, καὶ ἐκεῖθεν ἁπάσαις ἐκκλησίαις ἡ τῶν ἀντιφώνων, ᾗ καὶ σταυροὺς ἀργυρέους τοῖς ἀντιφώνοις παραπήγνυσθαι, διεδόθη παράδοσις. Ἀλλὰ τοῦτο μὲν ὡδί πως ὁ λόγος ἀπήγγειλεν. Ἐπειδὴ δὲ καὶ ἄλλη τις ἱστορίας ὑπόθεσις ἀπαντᾷ, ἡ κατὰ τὸν Κελτόν φημι Γαϊνᾶν τὸν Ἀρειανὸν, ἑκὼν καὶ ταύτην ὁ λόγος παραδραμεῖται, τοὺς φιλοπονωτέρους παραπέμπων, ἢ μᾶλλον τοὺς ἀγνοοῦντας, εἰς τὴν κατὰ Θεοδώρητον C ἐκκλησιαστικὴν ἱστορίαν, ἥτις καὶ τοῦτο ποριεῖ τοῖς πολλοῖς, ὅπως τῷ κόπῳ καὶ τῇ παῤῥησίᾳ τοῦ ἁγίου ἐπιστομίζεται, καὶ τέως εἰρηνεύει ὁ βαρβαρώδης ἐκεῖνος ἀνήρ.

ιζ'. Ἐντεῦθεν αἱ κατὰ τοῦ Ἐφεσίων ἐπισκόπου λίβελλοι Ἀντωνίου, καὶ ἡ πρὸς Ἔφεσον τοῦ ἀρχιερέως ἀποδημία, καὶ ἡ πολλῶν καθαίρεσις ἔνδικος, χρυσίῳ φωραθέντων ἐπισκοπῆσαι. Ἐντεῦθεν ἡ κατὰ Παυλικίου παρά τινος χήρας πρὸς τὴν βασιλίδα ἔγκλησις. Μικρὸν δέ τι τῷ διηγήματι χαρισώμεθα. Τάδε τῆς ἐγκλήσεως ἦν, χρέους κατάσχεσις ὡσεὶ χρυσίων πεντακοσίων. Ἄγει δὲ τοῦτον ἡ βασιλὶς, καὶ οὐ πρότερον ἀνῆκεν, ἕως οὗ ἀπῄτησε μὲν ἐξ αὐτοῦ ποσότητα χρυσίνων λιτρῶν ἑκατὸν, ἀποδέδωκε δὲ τῇ ἐγκαλούσῃ χρυσίνους μόνους ἓξ καὶ τριάκοντα. D Τί οὖν ποιεῖ τὸ ἐγκαλοῦν γύναιον; Ἐπὶ τὸν κοινὸν καταφεύγει προστάτην· ὁ δὲ τὸν ἐγκαλούμενον ἦγε, καὶ τὰ λείποντα τοῦ χρέους ἀπῄτει. Διέγνω καὶ τοῦτο ἡ βασιλὶς, καὶ δηλοῖ τῷ ἀρχιερεῖ ἀπολῦσαι τὸν ἄνδρα, ὡς ἀπαιτηθέντα παρ' ἑαυτῆς. Ἔνστασις περὶ τούτου σφοδρὰ παρ' ἀμφοτέρων, καὶ τέλος εἰς ἀναίδειαν κατὰ τοῦ ἁγίου χωρεῖ. Δύο γὰρ ἑκατοντάρχους σὺν τοῖς ἀρχομένοις ἐξαποστέλλει τοῦ ἀποσπάσαι τῶν χειρῶν τοῦ ἁγίου τὸν ἐγκαλούμενον. Ταῦτα ἡ πλεονέκτις γνώμη τῆς βασιλίσσης. Τί δὲ ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν, ἐξουθενῶν δὲ τοὺς καταφρονοῦντας Θεός; Ἄγγελον αὐτοῖς φοβερὸν ἐπεφίστησιν ἐν ῥομφαίᾳ· ὃν ἡ πληθὺς ἐκείνη θεασαμένη φρικτῶς εἰς τὰ πρόθυρα στάντα, καὶ τούτοις κατα-

A sereti, sed illum etiam reprehensionibus flagellare dicerent. Et hujus quidem insurrectionis dux erat et princeps Theophilus Alexandrinus. Ei autem qui accusabatur, nulla horum erat cura, sed solum cultus Omnipotentis. Cum ejus autem solius curam gereret perpetuam, cognovisset vero eos, qui morbo laborabant Arii, in cœtus congregari, primum quidem precibus, deinde studiis omnibus expellit e civitate. Sed non multum processerat temporis, et rursus deducti Ariani a quibusdam ex senatu, libere versantur in civitate. Et tacenda quidem sunt gravia mala, quæ hinc sunt consecuta. Quin etiam quæ per ea, quæ dicuntur Antiphona, Arianis acciderunt et Orthodoxis, his quidem claris hymnis celebrantibus homousium, dejectis B autem et superatis Arianis, cum utrique ex contentione venissent in periculum, prætermittens oratio dicat modum primæ ab initio traditionis Antiphonorum. Hic est autem : Ignatius, qui fuit tertius Antiochenus episcopus, post magnum et summum apostolorum ornamentum Petrum, qui etiam versatus est cum ipsis Christi discipulis, dicitur esse dignatus divina angelorum visione, per Antiphona laudantium sanctam et ejusdem essentiæ Trinitatem. Ex quo Antiochiæ, et illinc omnibus ecclesiis, Antiphonorum, qua etiam cruces argenteæ in antiphonis figuntur, data est traditio. Sed hoc quidem sic enuntiavit oratio. Quoniam autem occurrit illud argumentum historiæ, de Gallo, inquam, Gaina Ariano, eam quoque lubens prætermit- C tet oratio, studiosos, vel potius eos, qui ignorant, remittens ad Theodoreti historiam ecclesiasticam, quæ hoc multis suppeditabit, quomodo sancti labore et dicendi libertate os ei obstruitur : et tunc pacem agit vir ille barbarus.

17. Hinc sequuntur adversus Ephesiorum episcopum libelli Antonii, et pontificis Ephesum migratio, et justa multorum depositio, qui deprehensi sunt auro esse adepti episcopatus. Deinde Paulicii a quadam vidua apud imperatricem accusatio. Largiamur vero nonnihil narrationi. Continebat autem accusatio, quod debitor esset circiter quingentorum aureorum. Eum ducit imperatrix, nec prius eum remisit, quam ab eo exegisset quanti- D tatem centum librarum auri : reddidit autem accusatrici tantum sex et triginta aureos nummos. Quid ergo facit quæ accusabat mulier? Confugit ad communem defensorem. Ille autem producendum curavit eum qui accusabatur, et ab eo exigebat id quod reliquum erat debiti. Hoc quoque rescivit imperatrix, quæ significavit pontifici, ut eum dimitteret, cum ipsa ab illo exegisset pecuniam. De hac re inter utrumque vehemens exoritur contentio; et postremo res eo deducitur, ut per impudentiam procedatur adversus sanctum. Mittit enim duos centuriones cum suis cohortibus, ut eum qui accusabatur, a sancti manibus abstraherent. Hæc avara mens imperatricis. Quid autem qui glorificat eos, qui ipsum glorificant, nihili autem pendit eos, qui ipsum contemnunt, Deus? Angelum eis

mittit terribilem in rhomphæa. Quem cum illa vidisset multitudo horribiliter stantem in vestibulis et eis occurrentem, minaciter, timet quidem et metu afficitur : revertitur autem cum tremore et magna admiratione, et similibus. Cum hæc autem rescivisset imperatrix, metu quidem afficitur; servat autem inimicitias, et armatur ad vindictam. Anima enim semel victa pecuniis, et vehementia oppressa avaritiæ, non potest coerceri freno mentis temperantis. Diligenter ergo quærit imperatrix, quasnam insidias invenerit adversus pontificem : aliquando quidem minantis, aliquando vero blandientis personam suscipiens. Ille autem manet invictus, firmusque et immobilis, ab uno solo pendens, nempe a communi omnium salute. Non possum autem satis admirari, cogitans hunc magnum et divinum Dei servum, os vere aureum, præconem divinæ benignitatis, quod propter omnium salutem adeo erat sollicitus et adeo incendebatur, et omnia providens, quæ mens Deum dignata videre, potest invenire ad salutem, non destituebat ille eos, qui erant ejusdem generis, adeo ut, quod est maxime admirabile vel inviti multi per ipsum salutem sint assecuti.

18. Sed cum hæc ita se haberent, et Ecclesia divinæ fidei illustraretur splendoribus, et illuminatione pietatis vita fidelium refulgeret, non tulit hominum inimicus, sed, sicut a me dictum est superius, convocat rebelles quæ sunt sub eo potestates, et omnia confundit et pervertit, susque deque permiscens, et multos cogens et compellens, ut suam terrenam reducerent malitiam. Et primum quidem instrumentis, quomodo olim serpente, malitiæ usus Theophilo, et Severiano, Acacio et Antiocho, et presbyteris quibusdam et diaconis, et præterea e senatu feminis, quæ sunt antiqua ejus arma, locupletissimis viduis et sceleratissimis, paravit mortem sancto. Dicat aliquis Acacii BerrhϾ episcopi temerarium et inconsultum sermonem, qui ad tantam pervenit amentiam, ut diceret : Sine, ego ei parabo ollam, de sancto id dicens scelestissimus. Deinde mittit etiam aliquos Antiochiam et postea Alexandriam, quid facturos? Ut scrutarentur sancti delicta a juventute. Quid dicis? In civitatem cœlestis illius civis, quæ verborum et morum illius fragrantia bonum emisit odorem usque ad cœlestem et supernam civitatem Jerusalem, quam intuentes etiam meretrices sanctificantur? *Sed defecerunt scrutantes scrutationes*[21], et evanuerunt in cogitationibus suis, ut dicamus cum Psalmista : *Conversus est enim labor eorum in caput eorum*[22], ut procedens dicet oratio, et injustitia eorum descendit in verticem eorum, hæc callide machinante et procurante Theophilo. Quales autem et quam sophisticæ hujus Dei hostis malitiæ, vanæ et inanes nugæ fuerint adversus Dominum et adversus Christum ejus, supervacaneum est dicere. Quomodo autem se gesserit in fideles et sanctos monachos et in ipsum pontificem, studiosis significabit lectio.

[21] Psal. LXIII, 7. [22] Psal. VII, 17.

A πληκτικῶς ἀπαντῶντα, δειλίᾳ μὲν καὶ φόβῳ συνέχεται, ὑποστρέφει δὲ σὺν τρόμῳ καὶ θάμβει πολλῷ καὶ τοῖς ὁμοίοις. Ἡ βασιλὶς δὲ ταῦτα μαθοῦσα, συνέχεται μὲν τῷ δέει, φυλάσσει δὲ τὴν ἀπέχθειαν, καὶ πρὸς τὴν ἄμυναν ἀνθοπλίζεται. Ψυχὴ γὰρ ἅπαξ ἡττηθεῖσα χρημάτων, καὶ τῷ σφοδρῷ τῆς πλεονεξίας καταγομένη, διανοίας οὐκ οἶδε νηφούσης ἀναχαιτίζεσθαι χαλινῷ. Φιλοπονεῖ τοίνυν τίνα ἂν εὕροι μεθοδείαν ἡ βασιλὶς κατὰ τοῦ ἀρχιερέως, πῆ μὲν τῶν ἀπειλῶν, πῆ δὲ τῶν θωπειῶν ἐπιμορφαζομένη τῷ προσωπείῳ. Ὁ δὲ ἀήττητος μένει καὶ πάγιος, ἐν μηδενὶ σαλευόμενος, ἑνὸς μόνου τῆς κοινῆς ἁπάντων σωτηρίας ἐξηρτημένος. Καί μοι θαυμάζειν σύνεστιν ἀεὶ, καὶ θάμβους ἐμπίπλασθαι, τὸν θεῖον τοῦτον ἐννοοῦντι, καὶ μέγαν θεράποντα, τὸ B χρυσοῦν ὄντως στόμα, τῆς θείας φιλανθρωπίας τὸν κήρυκα, ὅτι κατὰ τοσοῦτον τῆς ἁπάντων ἕνεκεν σωτηρίας ἠγωνία καὶ ἀνεκαίετο· καὶ πᾶν ὁτιοῦν προμηθούμενος τῶν ὅσα νοῦς, τὸν Θεὸν ἠξιωμένος ὁρᾷν, εὑρίσκειν εἰς σωτηρίαν δύναται, τοῦ ὁμογενοῦς ἐκεῖνος οὐ διελίμπανεν· ὥστε καὶ ἄκοντας, τὸ παραδοξότατον, δι' αὐτοῦ σωθῆναι πολλούς.

ιη'. Ἀλλὰ τούτων οὕτω διακειμένων, καὶ τῆς Ἐκκλησίας ταῖς τῆς θείας πίστεως ἀκτινοβολούσης μαρμαρυγαῖς, καὶ τῇ λάμψει τῆς εὐσεβείας τοῦ βίου τῶν πιστῶν ἐξαστράπτοντος, οὐκ ἤνεγκεν ὁ μισάνθρωπος· ἀλλὰ, καθά μοι καὶ ἄνωθεν ἤδη λέλεκται, συγκαλεῖται τὰς ὑπ' αὐτὸν ἀποστατικὰς δυνάμεις, καὶ τὰ πάντα συγχεῖ καὶ συστρέφει, καὶ C ἄνω καὶ κάτω ποιεῖ, συνωθῶν καὶ συνελαύνων πολλοὺς πρὸς τὸν καταχθόνιον τῆς ἑαυτοῦ κακίας ὑποτροπισμόν. Καὶ πρῶτον μὲν ὀργάνοις, καθάπερ πάλαι τῷ ὄφει τῆς κακίας χρησάμενος, Θεοφίλῳ καὶ Σευηριανῷ, Ἀκακίῳ καὶ Ἀντιόχῳ πρεσβυτέροις τέ τισι καὶ διακόνοις, καὶ οἷς τῶν ἐκ τῆς συγκλήτου, ἔτι δὲ καὶ γυναιξὶ, τῷ ἀρχαίῳ ὅπλῳ, χήραις πλουσιωτάταις τε καὶ μιαρωτάταις, τὸν κατὰ τοῦ ἁγίου διήρτυε θάνατον. Λεγέτω τις τοῦ Βεῤῥοίης Ἀκακίου τὴν εἰς τοσοῦτον μανίας χασμολογίαν, εἰπόντος, Ἔασον, ἐγὼ ἀρτύω χύτραν τῷ ἁγίῳ, φάσκων ὁ ἐναγέστατος. Ἔπειτα καί τινας πέμπει πρὸς Ἀντιόχειαν, καὶ μετὰ ταύτην εἰς Ἀλεξάνδρειαν· τί διαπραξομένους; Τὰς ἐκ νεότητος τοῦ ἁγίου πλημμελείας ἐξερευνήσοντας. Τί λέγεις; πόλιν ἐκείνου τοῦ D οὐρανοπολίτου, ἣ τῷ εὐώδει τῶν ἐκείνου λόγων καὶ τρόπων ἄχρι τῶν οὐρανίων καὶ τῆς ἄνω μητροπόλεως Ἱερουσαλὴμ τὴν εὐωδίαν ἀνέδωκεν, ἣν καθορῶσαι καὶ πόρναι καθαγιάζονται; Ἀλλ' *ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις*, καὶ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, τὸ τοῦ ψάλλοντος· *Ἐπεστράφη γὰρ ὁ πόνος αὐτῶν εἰς κεφαλὰς αὐτῶν*, ὡς ἤδη προβὰς ὁ λόγος ἐκεῖθεν ἐρεῖ, *καὶ ἡ ἀδικία αὐτῶν ἐπὶ κεφαλὰς αὐτῶν, καταβέβηκεν*, Θεοφίλου ταῦτα δεινῶς ἀρχιτεκτονοῦντος καὶ διατάττοντος. Ὁποῖαι δὴ καὶ τῆς αὐτοῦ τοῦ θεομισοῦς σοφιστικαὶ τῆς κακίας τερθρεῖαι κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, περιττὸν λέγειν· κατὰ δὲ πιστῶν

μοναχῶν καὶ ὁσίων, καὶ αὐτοῦ τοῦ ἀρχιερέως, τοῖς A φιλοπόνοις ἡ ἀνάγνωσις γνωριεῖ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ οἷά τινα δρᾷ πρὸς τὴν Ἀλεξάνδρου γενόμενος, ἄρτι παραιτητέον, ἃ τῷ ἐκεῖθεν δημοσιευθήσεται κριτηρίῳ· ἡμεῖς δὲ πρὸς τὰ οἰκεῖα χωρῶμεν.

ιθ'. Διαγινώσκει οὖν ὁ βασιλεὺς παρά τινων ἀσκητῶν τοῖς κατηγόροις καὶ Θεοφίλῳ τὰ δρώμενα. Καὶ διὰ πολλῆς μὲν τῆς ταχύτητος καὶ δυνάμεως ἄγει τὸν Θεόφιλον. Γράφει δὲ καὶ πρὸς τὸν Ῥώμης Ἰννοκέντιον πρεπόντως καὶ συνετῶς, τά τε ἄλλα, καὶ τὴν ἀποστολὴν ἀπὸ Ῥώμης ταχεῖαν τῶν ὀφειλόντων ἀκροάσασθαι τὰ κατὰ Θεόφιλον· ἔτι δὲ καὶ πρὸς τὸν ἴδιον ἀδελφὸν καὶ βασιλέα Ὀνώριον, παρασκευάσαι τὸν πάπαν κατὰ τὰ γραφέντα αὐτῷ διαπράξασθαι. Οἱ καὶ δεξάμενοι, παρασκευάζονται μὲν πρὸς τὴν τούτων ἐκπλήρωσιν· διασκεψάμενοι δὲ, ὡς ἂν μὴ τῷ B τάχει τῆς ἀποστολῆς ἐν Κωνσταντινουπόλει χρονοτριβήσωσιν, ἄλλως τε καὶ τὴν ἐπισυναγωγὴν τῶν λοιπῶν προσεπινοήσαντες, δευτέραν γραφὴν προσδέχονται. Τί οὖν ὁ δεινὸς ἐκεῖνος καὶ ποικίλος θεομισής; Ταῦτα διαμαθὼν, ἐξανίσταται μοχθηρότερον κατὰ τοῦ ἀρχιποιμένος καὶ τῆς ποίμνης ἐκείνης, δς τῷ βασιλεῖ τὰς αὐτοῦ διεσάφησεν ἀῤῥητοποιίας. Καὶ πλασάμενος τὰ κατὰ τοῦ Ὠριγένους, συναρπάζει καὶ σπένδεται τὴν πρὸς τὸν μέγαν Ἐπιφάνιον Κύπρου φιλίαν, ὡς δῆθεν τὰ Ὠριγένους διακαταβαλεῖν. Συναπάγεται τούτοις ὁ Ἐπιφάνιος, καὶ συναγωνίζεται Θεοφίλῳ· ᾧ ἦν ὁ σύμπας σκοπὸς τῆς σπουδῆς κατὰ τοῦ ἁγίου καὶ τῶν εἰρημένων ἀσκητῶν ἀποβλέπων. Μετὰ ταῦτα τί; Πείθει τὸν Ἐπιφάνιον C γράψαι τῷ Ἰωάννῃ, τῶν Ὠριγένους βίβλων ἀπέχεσθαι καὶ μηδαμῶς συμφρονεῖν αὐτοῖς. Ὁ δὲ μέγας ὄντως οὗτος Χρυσόστομος ταῦτα δεξάμενος, τῷ καθαρῷ τοῦ φρονήματος οὐκ ἐφρόντιζε τῶν ἐπεμβαινόντων, μόνα δὲ τὰ τῆς σωτηρίας διεμερίμνα διαπαντός.

κ'. Ἀλλὰ ταῦτα μὲν ἀκολούθως τοῖς πράγμασι διατρέχων ὁ λόγος ἐδήλωσε· μεταξὺ δὲ τῶν τοιούτων ἡ τῆς πολυθρυλλήτου χήρας παρέστηκε τοῦ ἀμπελῶνος διήγησις, πρὸς ἣν καθισ[τ]άμεθα. Θεόγνωστος ἐκεῖνος, ὁ εὐσεβὴς καὶ πιστὸς, εἷς καὶ αὐτὸς τῶν οἰκείων τῷ βασιλεῖ Ἀρκαδίῳ· φθόνῳ δὲ διαβόλου, καὶ Γαΐου τοῦ τὰ Ἀρείου φρονοῦντος διαβολῇ συκοφαντεῖται πρὸς βασιλέα Θεόγνωστος, καὶ τὴν ἄδικον δήμευσιν καὶ ὑπερορίαν σὺν γυναικὶ καὶ παισὶ D κατακρίνεται· καὶ ἵνα συντέμω, πρὶν ἢ φθάσαι τὸν τῆς ἐξορίας τόπον, καθ' ὁδοῦ τὴν ὁδὸν τοῦ βίου τελέσας, πρὸς τὸν Θεὸν ἐξεδήμησε. Τούτου ἡ σύζυγος ὑποστρέψασα προστρέχει τῷ θείῳ ἀνδρὶ, τοιαῦτα τὰ καθ' ἑαυτὴν ἐκδιδάξασα. Ὁ δὲ συμπαθὴς οὗτος, καὶ Χριστοῦ μιμητὴς, ἐπικλᾶται τὴν καρδίαν τῷ πάθει καὶ τῇ χηρείᾳ τῆς γυναικός· καὶ παρηγορεῖ μὲν ἱκανῶς, καὶ παραινεῖ τὰ εἰκότα· διασκέπτεται δὲ πάλιν, ὅπως ἀποδοθῇ τῇ χήρᾳ τὰ ἴδια. Καὶ δὴ περὶ τούτου διαμεριμνῶντι αὐτῷ ἕτερον ὁ πονηρὸς κατὰ τῆς χήρας γυναικὸς ἀνεῤῥίπισε τὸ δεινόν. Καιρὸς γὰρ ἦν ὁ τῆς τρύγης, δι' ὃν ἡ βασιλὶς ἐξῆλθε τῆς πόλεως. Καὶ, οὐκ οἶδ' ὅπως εἴπω, προτέρως εἰς τὸν ἀμπελῶνα τῆς χήρας εἰσέδη· καὶ ἰδίᾳ χειρὶ τῆς ἀμπέλου βότρυν ἀποτεμοῦσα, ἐσθίει. Εἶτα διδάσκεται ὡς ἀλλοτρία ἡ ἄμπελος.

A Nec id solum, sed ea etiam, quæ fecit cum esset Alexandriæ, jam sunt prætereunda; quæ quidem publicabuntur ab eo, quod illic futurum est judicio. Nos autem procedamus ad nostra.

19. Cognoscit ergo imperator a quibusdam monachis, quæ ab accusatoribus facta sunt et Theophilo. Is autem magna celeritate et vi jubet adduci Theophilum. Scribit vero ad pontificem Romanum Innocentium pulchre et sapienter, cum alia, tum ut cito Roma proficiscerentur qui de Theophilo cognoscerent. Præterea autem ad suum quoque fratrem et imperatorem Honorium, ut efficeret ut papa exsequeretur ea quæ ad ipsum scripta fuerant. Qui cum ea accepissent, se parant quidem B ad ea implenda. Cum autem dubitassent, ne si cito mitterentur, tempus tererent Constantinopoli, et alioqui opperientes dum reliqui quoque congregarentur, exspectant secundas litteras. Quid ergo vafer ille et astutus Dei hostis? Hæc cum rescivisset, insurgit sceleratius adversus pastorum principem, et illum gregem, qui imperatori nefaria ejus facta exposuerant: et cum in eos confinxisset errores Origenis, magnum Epiphanium Cypri episcopum ad se attrahit, et cum eo init amicitiam, ut congregata synodo, scripta reprehenderet Origenis. His inducitur Epiphanius, et fert opem Theophilo. Cujus universus studii scopus non alio spectabat quam adversus sanctum, et eos, qui dicti sunt, monachos. Post hæc quid? Persuadet Epiphanio, ut C scribat ad Joannem ut abstineat a scriptis Origenis et cum eis minime sentiat. Ille autem vere magnus Chrysostomus cum hæc accepisset, sententiæ suæ fretus puritate, non curabat eos, qui insultabant, sed de communi salute solum erat perpetuo sollicitus.

20. Sed hæc quidem rebus consequenter persequens, declarabit oratio. Inter hæc autem celebratæ illius viduæ vineæ accessit narratio, ad quam pervenimus. Theognostus pius ille et fidelis, erat ipse quoque unus ex iis, qui erant familiares imperatori Arcadio. Invidia autem diaboli et Gaii, qui morbo laborabat Arii, apud imperatorem accusatur Theognostus, et injusta bonorum publicatione cum D relegatione damnatur simul cum uxore et liberis; et, ut paucis absolvam, priusquam pervenisset ad locum in quem erat relegatus, in itinere, via vitæ peracta, migravit ad Deum. Hujus uxor reversa accedit ad virum divinum, et de se omnia docuit. Hic autem misericors et Christi imitator, corde dolorem accipit ob ea quæ acciderant, et ob feminæ viduitatem: et pulchre quidem consolatur, et quæ par erat ei suadet: rursus vero considerat, quemadmodum viduæ sua restituantur. Cum is autem de eo sollicitus esset, aliud malum excitavit malignus adversus mulierem viduam. Erat enim tempus vindemiæ, propter quam imperatrix egressa ex urbe: et nescio quomodo prius ingressa fuit in vineam viduæ, et sua manu exsectum botrum comedit Deinde docetur, vineam esse alterius. Inducunt legis, quod est in rebus hujusmodi, auxilium, quæ

vineam imperatrici adjudicat, si quid tale contigerit, et domino pretium vel aliud quid jubet reddi; et jussu imperatricis refertur vinea in numerum suorum suburbanorum. Hoc autem non temere et simpliciter jubebat, sed hæc duo meditata: unum quidem, propterea quod irasceretur viduæ, ut eam magis affligeret; alterum autem, et cujus majore studio tenebatur, ut acciperet occasionem vexandi pontificis, cogitante illa fore ut resisteret et in legem incideret et offenderet imperium. Sed illa quidem ita se habebat; pontifex autem quomodo? Suadebat, supplicabat, ut decebat ejus philosophiam. Quid illa contra? Ea dabat responsa quæ erant plena impudentia, Romanæ legis auxilium, et quævis alia, quam ex adverso objiciebat, vana phantasia suæ arrogantiæ. Rursus ergo temperat medicus medicamenta salutis. Quod autem laborabat curari non poterat. Alia est præterea species curationis, solvens causas per quas videbatur id quod male affectum erat laborare gravius: solvens injustos prætextus; nempe quod hæc lex quidem lata esset ab imperatoribus, sed qui forte erant a fide alieni. Tu autem es, aiebat, lex, et tibi obtigit ut imperares, et est tibi conscientia quæ cogit, et quæ rem optime novit et intelligit. Ne permittas, ut multi coacti te novam vocent Jezabel, et quæ de Nabothe scripta sunt in Veteri testamento. Hæc sapientis medici, quæ perpetuo adhibebat, medicamenta, male affectam feminam magis inflammabant; adeo ut nec medicum quidem admitteret, imo vero repelleret, et quam nefarie conceptam celabat bilem, aperte in lucem proderet. Sic quidem repellitur medicus; quid vero, quæ deinceps consequuntur? Aderat dies festus et celebris crucis in altum elationis, et jusserat pontifex, ut portæ ecclesiæ clauderentur soli imperatrici. Ecce ergo primus ingreditur imperator, et fidelissimi populi universa multitudo cum ipso et circa ipsum. Cum autem incepisset sanctus de more concionari, vis sanctissimi, quæ eum illuminarat, Spiritus reddidit elegantiorem verborum pulchritudinem cum eo qui loquebatur. Et quid opus est dicere, ad quantam admirationem veniens multitudo, applausit exsultationibus sacræ dilectionis? Cum hæc autem fierent intra templum, ecce etiam imperatrix cum reliquo, qui eam stipabat, comitatu; et aliis quidem omnibus ingressum servabant liberum, ipsam vero prohibebant. Ira adhuc inconsideratam possidebat imperatricem. Mitto dicere quantum in divinum pontificem, idem est autem dicere, in Deum contumeliis invecta est et infremuit. Deinde cogitat quidam ex iis qui cum ipsa erant, et tentat portam gladio percutere; ejus autem manus statim arescit. Timet ergo imperatrix et statim revertitur. Ille autem cujus manus exaruerat, accedit ad sanctum, pœnitentia ductus, et supplicans statim curatur, et Deus per suum servum magnificatur et glorificatur. Estne aliquid justius aut benignius, et promptius ad convertendam animam, cui justum abunde suppetit? Sed nihil juvit eam, quæ improba

A Ἐντεῦθεν εἰσάγουσι τὴν περὶ τὰ τοσαῦτα τοῦ νόμου βοήθειαν, προσκυροῦντος τῇ βασιλίδι τὸν ἀμπελῶνα, ἡνίκα συμβῇ τὸ τοιοῦτο, καὶ ἀντισηκοῦντος τιμήματι, ἢ ἑτέρῳ τρόπῳ, τὸν κύριον· καὶ συντάττεται κελεύσει τῆς βασιλίδος ὁ ἀμπελὼν τοῖς αὐτοῖς προαστείοις. Τοῦτο δὲ οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε ταύτῃ ἐκελεύετο, διὰ δὲ δύο ταῦτα μελετηθέντα· ἓν μὲν, διὰ μῆνιν τῆς χήρας, καὶ τὸ ταύτην θλίψαι περισσοτέρως· τὸ δὲ δεύτερον καὶ μᾶλλον ἐπισπουδαστότερον, τὸ ἀφορμῆς οὕτως ἔχοντα παρακινῆσαι τὸν μέγαν..... Τὰ δὲ τοῦ ἀρχιερέως ὁποῖα; παραινέσεις, ἱκετηρίαι περὶ τοῦ πράγματος ἱκαναὶ, τῆς ἐκείνου φιλοσοφίας ἐπάξιαι. Ταύτῃ δὲ τίνα πρὸς ταῦτα; Ἀποκρίσεις ἀκηδείας μεσταὶ, αἱ τοῦ Ῥωμαϊκοῦ νόμου βοήθειαι, καὶ πᾶσά τις ἄλλη τῆς ἑαυτῆς ἀλαζονείας ἀντίθετος φαντασιοσκοπία. B Πάλιν οὖν τὰ τῆς σωτηρίας ὁ ἰατρὸς κεράννυσι φάρμακα, καὶ τὸ νοσοῦν ἀθεράπευτον· ἕτερον ἔτι θεραπείας εἶδος, λύων τὰς αἰτίας, δι' ὧν τὸ πάσχον ἐδόκει κρατύνεσθαι, λύων τὰς ἀδίκους προφάσεις· ὅτι τοῦτο νενομοθέτηται μὲν παρὰ βασιλέων, τάχα δὲ τῶν ξένων τῆς πίστεως. Σὺ δὲ καὶ εὔνομος εἶ, καὶ βασιλεύειν κεκλήρωσαι, καὶ ἡ συνείδησις ἀναγκάζουσα, συνειδυῖα τὸ πρᾶγμα, συγγινώσκουσα· καὶ, μὴ δῷς τοὺς πολλοὺς ἀναγκασθέντας νέαν Ἰεζάβελ εἰπεῖν σε, καὶ ὅσα διὰ τῆς πάλαι ἀρᾶς τῷ Ναβουθαὶ διιστόρηται. Ταῦτα γὰρ καὶ διὰ πάντων τοῦ σοφοῦ θεράπου τὰ ἀλεξιφάρμακα· καὶ μᾶλλον ἔτι φλεγμαίνει τὸ ἀρρωστοῦν ἐπὶ τοσοῦτον, ὥστε καὶ τὸν θεράπον τὴν οὐκ εἰσδέξασθαι, μᾶλλον δὲ ἀπώσασθαι, καὶ τὴν ἀθέσμως C θαλαμευομένην ὠδῖνα τοῦ χόλου φανερὸν ἀπορρῆξαι καὶ ἀνεπίκρυπτον. Οὕτω μὲν ἀπωθεῖται ὁ ἰατρός. Τί δὲ τὰ ἑξῆς; Παρῆν ἡ ἀθροίσιμος ἡμέρα τοῦ σταυροῦ τῆς ὑψώσεως, καὶ παραγγελία τοῦ ἀρχιερέως τὰς πύλας τῆς ἐκκλησίας ἀποκλεῖσαι μόνῃ τῇ βασιλίδι. Ἰδοὺ τοίνυν πρῶτος ὁ βασιλεὺς εἴσεισι, καὶ πᾶν τὸ πλῆθος τοῦ πιστοτάτου λαοῦ σὺν αὐτῷ καὶ περὶ αὐτόν. Καὶ δὴ ἀρξαμένου κατὰ τὸ εἰωθὸς δημηγορεῖν τοῦ ἁγίου, ἡ τοῦ παναγίου Πνεύματος ἐπιλάμψασα δύναμις ὡραιότερον τὸ κάλλος τῶν λόγων σὺν αὐτῷ λαλοῦντι ἀπέδειξε. Καὶ τί δεῖ λέγειν, ὅσον εἰς θαῦμα τὸ πλῆθος ἐλθόντες ἱεραῖς ἀγάπης ἀγαλλιάσεσιν ἐπεκρότησαν; Ἐντὸς δὲ τούτων τοῦ νεὼ τελουμένων, ἰδοὺ καὶ ἡ βασιλὶς σὺν τῷ λοιπῷ τῆς D φαντασίας κυκλώματι, καὶ τοῖς μὲν ἄλλοις τὴν εἴσοδον οἱ φυλάσσοντες παρεῖχον ἀκώλυτον, αὐτὴν δὲ διεκώλυον· καὶ ὁ θυμὸς ἔτι τὸ τῆς βασιλίδος ἀλόγιστον κατεβόσκετο. Ἐῶ λέγειν, ὅσον εἰς τὸν ἀρχιερέα τὸν θεῖον, ταυτὸν δὲ εἰπεῖν, καὶ εἰς τὸ Θεῖον ἐξύβρισε καὶ ἐφρυάξατο. Βουλεύεταί τις τῶν σὺν αὐτῇ, καὶ ὁρμᾷ ῥομφαίᾳ πατάξαι τὴν πύλην, καὶ παραυτίκα ξηραίνεται ἡ τούτου χείρ. Φοβεῖται τοίνυν ἡ βασιλὶς, καὶ παραυτὰ ὑποστρέφει. Ὁ δὲ τὴν χεῖρα ξηρανθεὶς, πρόσεισι τῷ ἁγίῳ, μεταγινώσκων, ἱκετεύων· καὶ παραυτίκα ἰᾶται, καὶ Θεὸς διὰ τοῦ θεράποντος μεγαλύνεται καὶ δοξάζεται. Ἔστιν ἄλλο τι τούτων ἐνδικώτερον ἢ φιλανθρωπότερον, καὶ πρὸς παράκλησιν ἐπιστροφῆς ἑτοιμότερον ψυχῆς πλεονεκτούσης τὸ δίκαιον; Ἀλλ' οὐδὲν ὤνησε τὴν ἅπαξ ἑαυτὴν τῷ ῥαθύμῳ τῆς προαιρέ-

σεως ἐκδοῦσαν, τὴν ἐπὶ τὰ χείρω βαδίζειν ἐλεεινῶς ἑλομένην. Ὅρα δέ μοι τοῦ βασιλέως ἐνταῦθα τὸ ἀρετῆς περιούσιον. Μαθὼν γὰρ τὰ κατ' αὐτὴν, οἷς τε ἐκείνη διεσάφει τῷ βασιλεῖ, καὶ οἷς τοὺς ἄλλους παρεσκεύαζεν ἀναγγέλλειν, πάντα παραβλέπει, καὶ οὐδένα λόγον ποιεῖται αὐτῆς, πόθου τοῦ πρὸς ἀρχιερέα καὶ δικαίας αἰδοῦς μηδὲν προτιμώμενος· ἄλλως τε, καὶ τὸ σκληρὸν καὶ θρασὺ τοῦ εἴδους ἐκείνης σαφῶς ἐπιστάμενος. Ὁ μὲν ἀγὼν οὗτος ἐξῶσαι τὸν καλὸν ἐκεῖνον ποιμένα πολύς· ἡ δὲ προθυμία τῶν κωλυόντων οὐκ ἀγεννής· ἡ δὲ τῶν θείων κανόνων ἀκρίβεια, ἡ δὲ ὑπ' αὐτοῦ φωτιζομένη πόλις, ἡ δὲ τῶν μοναζόντων ἀγέλη, πάντα τῇ τῆς βασιλίδος ἀντιστρατευόμενα τυραννίδι. Καὶ τοσούτων ὄντων, τὰ τῆς ἐπιθυμίας, ἢ, τόγε ἀληθέστερον εἰπεῖν, τῆς μιαιφονίας ἡ βασιλὶς ἐξεπλήρωσεν. Ὁ μὲν δὴ μέγας ἀπόστολος, τὸ σκεῦος τῆς ἐκλογῆς· *Οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ*, φησὶ, *διωχθήσονται*. Καὶ πρό γε τούτου Δαβὶδ ὁ μέγας *πολλὰς* εἰσάγει *τῶν δικαίων τὰς θλίψεις*, καὶ πᾶσα Γραφὴ πολλαχοῦ συνᾴδει τούτοις θεόπνευστος. Τίς δὲ ὁ λόγος τῆς ἐπαχθείας τῶν δυσχερῶν τοῖς δικαίοις ἐνταῦθα (καλὸν γὰρ μικρόν τι φιλοπονῆσαι πολλῶν ὠφελείας ἕνεκεν) τοῦ Θεολόγου Γρηγορίου βροντῆς ἐπακούσωμεν λέγοντος· *Εἰ γὰρ καὶ χρηστὸς ὁ ζυγὸς, καὶ τὸ φορτίον τοῦ Χριστοῦ ἐλαφρὸν, ἀλλὰ διὰ τὴν ἐλπίδα τοῦτο καὶ τὴν ἀντίδοσιν· δεικνύντος τοῦ λόγου, ὡς αἱ κατὰ τὸν παρόντα βίον ἀκρότητες τῶν ἀνδρῶν, πρὸς τὰς ἐκεῖθεν ἐλπίδας καὶ ἀντιδόσεις εὐφροσύναις καὶ χρηστότησιν ἀπεικάζονται.* Ἀλλ' ὅτι καὶ *αἱ σωματικαὶ αὐτῶν βάσανοι εὐφροσύναι δ' εἰσὶ τοῖς δούλοις, τοῦ σοφωτάτου πρὸς τὸν Θεὸν ἤκουσα λέγοντος.* Οἷς καὶ τὸν νῦν θαυμαζόμενον δίκαιον, ὅταν ἀκούσῃς χερσὶν ἀνόμων παραδιδόμενον, μηδὲν πάθῃς· αὐτοῦ γὰρ οὐδὲν ἅπτεται· τῶν δὲ παραδιδόντων ὑπεράλγει τῆς προαιρέσεως. Ὁ δὲ λόγος ἐπαναγαγέσθω πάλιν ὅθεν κατῆρε.

κα'. Μεταξὺ τούτων βραχὺς ἔῤῥει χρόνος, καὶ ὁ τῆς Κύπρου κατέλαβεν Ἐπιφάνιος. Ὃν συναρπάσας πάλιν Θεόφιλος, τῷ τε ποικίλῳ τῆς γνώμης, καὶ τῇ ἄλλῃ τοῦ ἤθους ἐπαγωγίᾳ, ταῦτα παρέπεισε διαπράξασθαι, ἃ καὶ τὸν ἅγιον ἐλύπει, καὶ αὐτὸν ὑπερόπτην τῶν κανόνων ἐδείκνυ τὸν Ἐπιφάνιον. Ποῖα δὴ ταῦτα; Τὰς πρὸς τῆς πόλεως πλησίον συναγωγὰς, τὰς χειροτονίας, τὰς μονομερεῖς στηλιτεύσεις δῆθεν τοῦ Ὠριγένους, τὴν ἄλλην ἅπασαν αὐθεντίαν τε καὶ προπέτειαν. Τίνα δὲ τοῦ ἀρχιερέως πρὸς ταῦτα; γνωρίζεσθαι γὰρ καὶ αὐτά. Τὸ ἀνεξίκακον, τὸ φιλάδελφον, αἱ εἰσηγήσεις τῆς τῶν κανόνων ἀκολουθίας, τά τε ἄλλα, καὶ ὅσα τῆς ἐκείνου κρείττονος ἢ κατὰ ἄνθρωπον γνωρίσματα φρονήσεως καὶ βουλήσεως. Οἷς εὐλαβηθέντα τὸν Ἐπιφάνιον, ὑποχωρῆσαι μέν τι μικρὸν καὶ μεταναστεῦσαι, μέγα δὲ λυπῆσαι τοὺς συνωθοῦντας αὐτόν. Αὐτοὶ δὲ, ὡς εἶχον τάχους, τῇ βασιλίδι ταῦτα προσενεγκεῖν. Ἡ δὲ κατὰ τάχος τὸν Ἐπιφάνιον σφετερίζεται, ταῦτα διδάσκουσα, καὶ ὑποτιθεμένη, ἃ καὶ τὴν ἄδικον ἐπιθυμίαν

[23] II Tim. III, 12. [24] Psal. XXXIII, 20.

A voluntate sequi deteriora misere statuerat. Vide autem hic mihi imperatoris insignem virtutis abundantiam. Nam cum res ejus rescivisset, tam illis, quæ exposuerat imperatori, quam iis, quæ alios fecerat renuntiare, omnia despicit, et nullam ejus ducit rationem, amori in pontificem et reverentiæ justæ nihil præponens, maxime cum illius morum acerbitatem sciret et importunitatem. Atque illa quidem magnopere contendebat bonum illorum pastorem expellere; promptum autem et alacre animi studium eorum, qui prohibebant, divinorum vero canonum accurata regula, et civitas quæ ab eo illuminabatur, et greges monachorum, omnia resistebant tyrannidi imperatricis. Quæ cum tam multa essent, suam tamen explevit B cupiditatem, aut, ut verius dicam, cædem fecit imperatrix. Atque magnus quidem Paulus vas electionis dicit: *Qui volunt pie vivere in Christo Jesu, persecutionem patientur* [23]: quinetiam ante eum magnus ille David affirmat, *esse multas justorum afflictiones* [24]: omnis quoque divinitus inspirata Scriptura multis in locis his concinit; quænam autem sit ratio, cur justis multæ inferantur hic molestiæ et difficultates (honestum est enim hic parum philosophari propter multorum utilitatem) audiamus tonitru Gregorii Theologi. Quid vero is dicit? *Si enim jugum suave et onus Christi leve est, at hoc est propter spem et remunerationem, significante verbo, quod quæ sunt summæ in vita præsenti* C *molestiæ, si spectetur spes quæ illic est et remuneratio, sunt similes rebus lætis et secundis. Quinetiam quod hæc tormenta corporis sunt tuis servis lætitiæ, audivi sapientissimum ad Deum dicentem.* Quamobrem cum justum qui nunc habetur in admiratione, audieris tradi manibus iniquorum, ne perturberis: eum enim nihil tangit: sed ægre feras voluntatem eorum qui ipsum tradunt. Sed eo redeat, unde digressa est, oratio.

21. Non multum interim effluxit temporis, et venit Cypri episcopus Epiphanius. Quem cum rursum attraxisset Theophilus, tum quod esset callido et vafro ingenio, tum quod esset moribus præditus aptis ad alliciendum, persuasit, ut ea faceret, quæ et sanctum molestia afficiebant, et D ipsum reddebant Epiphanium canonum contemptorem. Quænam autem ea sunt? Quæ prope civitatem factæ sunt congregationes, ordinationes, Origenis dogmatum condemnationes, cum pars una solum adesset; et universa denique ab eo usurpata auctoritas et temeritas. Qualem autem contra hæc se gessit pontifex? Nam ea quoque scire est operæ pretium: patientem, fratrum amantem, canones accurate sequentem, et in cæteris ita se gerentem, ut et prudentia et voluntate se homine esse superiorem aperte indicaret. Quibus motus Epiphanius aliquantulum quidem cessit et deflexit: magna autem affecit molestia eos qui ipsum impellebant. Ipsi vero quam potuerunt citissime ad imperatri-

cem hæc retulerunt. Ipsa autem Epiphanium celerrime trahit ad suas partes, ea docens et suggerens, quæ ejus iniquam explebant libidinem, et quæ sanctum deponebant; adjiciens etiam arcanum (o hominum audaciam! o divinam lenitatem!) hæreticum esse Dei servum et famulum. Quid autem contra sapiens dixit Epiphanius, audiamus: Si est tibi quidem, inquit, o imperatrix, ratio cur hæresim suspiceris, adsit, et causam suam agat Joannes in pœnitentia. Sin autem hæc verba profers causa contumeliæ, tibi minime assentitur Epiphanius. Tunc commota illa hostis, erupit in hanc exsecrandam vocem: Si, o Epiphani, sis impedimento, quominus Joannes mittatur in exsilium, ecce aperiam templa idolorum, et contendam ut ea adorentur. Non amplius ergo ferens Epiphanius aures suas pollui cœno inimicæ feminæ, totus perfusus fuit lacrymis, et se eorum esse innocentem pronuntians, fugam omnino arripuit. Hæc autem nescio quomodo aliter jactabantur externorum sermonibus. Quomodo? Quod vocatus Epiphanius sua decrevit sententia Joannem esse deponendum. Hæc cum audivisset Joannes, ad eum scribit: Sapiens Epiphani, et tu meo consensisti exsilio? De cætero non videberis amplius sedens in sede tua. Ille autem ad hæc rescribit: Athleta Joannes, feri et vince; ad locum autem, ad quem mitteris in exsilium, minime pervenies. Sic scripserunt, et sic factum est. Nam inter navigandum mortuus est Epiphanius, et Joannes cum nondum pervenisset ad locum in secundo exsilio, ut jam declarabimus, migravit ex hac vita.

22. Cum autem, postquam ille enavigavisset, rescivisset Joannes, quemadmodum propulsasset imperatricem, profert communiter vituperationem adversus omnem malam feminam. Quam tanquam ænigmatice prolatam adversus imperatricem, arripuit examen accusatorum. Id itaque per eam deferunt ad imperatorem. Cui cum nescio quas, nec quam multas adhibuisset ad eum inclinandum rationes, incitat, ut bellum suscipiat adversus Joannem, et ut coacta synodo damnaretur exsilio. Neque tamen sine Theophilo constitutum fuit hoc certamen; sed quamprimum ad eum missis litteris curat, ut veniat cum episcopis Indicis et Ægyptiis, et iis qui tunc propter justas causas merito depositi fuerant a pontifice; et, ut semel dicam, confluunt omnes Chalcedonem, in qua prius parati, veniunt omnes in urbem regiam. Cum autem tardarent, qui erant Roma venturi, imperator Arcadius nullo modo volens aspicere Theophilum, dubitabat et variis distrahebatur cogitationibus, ignorans quod Romanus episcopus secundas, ut a me prius dictum est, exspectabat litteras. Quid ergo Eudoxia? Clam arcessit Theophilum et eos qui cum ipso erant, et eos amplis ac magnificis prosequitur muneribus, pollicetur que se persuasuram imperatori, ut eis pareat. Hæc cum cognovisset noster Elias et magna tuba Ecclesiæ Chrysostomus, usus tuba orationis, et non timens aciem, quam in eum dire-

A ἐπλήρου, καὶ ἃ καθῄρει τὸν ἅγιον, προσθεῖσα καὶ τὸ ἀπόῤῥητον (ὢ βροτῶν τολμηρίας! ὢ θείας μακροθυμίας!) αἱρεσιώτην εἶναι τὸν ἀρχιερέα Θεοῦ καὶ θεράποντα. Τί οὖν ὁ σοφὸς ἀντέλεξεν Ἐπιφάνιος, καταμάθωμεν. Εἰ μὲν ἔστι σοι, ὦ βασιλίς, ἔφη, λόγος ὑπονοίας αἱρεσιώτιδος, παρέστω καὶ διδότω λόγον ὁ Ἰωάννης ἐν μετανοίᾳ· εἰ δὲ χάριν ὕβρεως ταῦτα προβάλλῃ τὰ ῥήματα, Ἐπιφάνιος τούτων οὐ συναινέτης. Τότε δὴ κινηθεῖσαν τὴν πολεμίαν, τὸ θεοστυγὲς τῆς τοιαύτης ἀποφάσεως ἀποῤῥῆξαι μιαρολόγημα, ὡς Εἴπερ ἐμποδὼν, Ἐπιφάνιε, γένῃ τῆς Ἰωάννου ἐξορίας, ἰδοὺ ἀνοίγω τοὺς ναοὺς τῶν εἰδώλων, καὶ προσκυνεῖσθαι αὐτὰ διαγωνιοῦμαι. Χραίνεσθαι τοίνυν μηκέτι στέγων τὰς ἀκοὰς τῷ περιῤῥαντηρίῳ τοῦ βορβορώδους τῶν λόγων τῆς πολεμίας

B ὁ Ἐπιφάνιος, ὅλος δι' ὅλου δακρύων ἐγένετο, καὶ ἀθῷον ἑαυτὸν τῶν τοιούτων ἀποφηνάμενος, τέλεον τὴν φυγαδείαν ἠσπάζετο. Ταῦτα δὲ, οὐκ οἶδ' ὅπως, ἀπεναντίας τοῖς ἔξω διεφημίζετό πως, ὅτι κληθεὶς ὁ Ἐπιφάνιος τὴν καθαίρεσιν Ἰωάννου ἐψηφίσατο. Καὶ τούτων διακούσας ὁ Ἰωάννης, γράφει αὐτῷ, Ἐπιφάνιε, λέγων, σοφὲ, σὺ συνῄνεσας ἐν τῇ ἐμῇ ἐξορίᾳ· οὐχ ὀφθήσῃ ἀπὸ τοῦ νῦν ἐπὶ τοῦ θρόνου σου καθεζόμενος. Ὁ δὲ ἀντεγράφει πρὸς ταῦτα· Ἀθλητὰ Ἰωάννη, παίου καὶ νίκα· τὸν δὲ χῶρον, ἐν ᾧ ἐξορίζῃ, οὐκέτι οὐ μὴ φθάσῃς αὐτός. Οὕτως ἔγραψαν, καὶ οὕτως ἐγένετο. Ἐπιφάνιος γὰρ κατὰ τὸν πλοῦν τελευτᾷ, καὶ Ἰωάννης μήπω φθάσας τὸν χῶρον κατὰ τὸ δεύτερον τῆς ὑπερορίας, ὡς ἤδη γνωρίσομεν, τὰ τῇδε καταλιμπάνει.

C

κβʹ. Μαθὼν οὖν ὁ μέγας Ἰωάννης μετὰ τὸν ἀπόπλουν Ἐπιφανίου, ὅπως διεκρούσατο τὴν βασιλίδα, ἐκδίδωσι ψόγον κοινῇ κατὰ πάσης γυναικὸς πονηρᾶς. Ὃν ἁρπάσαν, ὡς αἰνιγματισθέντα κατὰ τῆς βασιλίσσης, τὸ κατήγορον σμῆνος, ταύτῃ, καὶ διὰ ταύτης πρὸς τὸν βασιλέα προσαναφέρουσιν. Ὣ καὶ ἡ αὐτὴ τὰς κλήσεις, οὐδ' ὅσας εἰπεῖν, καὶ ὅπως, προσαγαγοῦσα παροτρύνει τοῦτον, συγκροτῆσαι τὸν κατὰ Ἰωάννου πόλεμον, καὶ συνοδικῶς ἐξορίαν κατακριθῆναι. Οὐ μὴν δὲ χωρὶς Θεοφίλου τὸν ἀγῶνα συνίστησιν· ἀλλ' ὅτι τάχιστα γραφαῖς τοῦτον εἰσάγει σὺν Ἰνδικοῖς ἐπισκόποις καὶ Αἰγυπτίοις, καὶ τοῖς καθαιρεθεῖσιν εὐλόγως τότε διά τινας αἰτίας παρὰ τοῦ

D ἀρχιερέως. Καὶ, ἵνα συνελὼν εἴπω, πάντες συνεισρέουσιν ἐν Χαλκηδόνι, ἐν ᾗ πρότερον παρασκευασάμενοι πρὸς τὴν βασιλείαν εἰσελαύνουσι. Χρονιζόντων δὲ τῶν ἀπὸ Ῥώμης, ὁ βασιλεὺς Ἀρκάδιος Θεόφιλον μηδόλως θέλων θεάσασθαι, διαπορεῖ, τοὺς λογισμοὺς συνεχεῖτο, ἀγνοῶν ὅτι δευτέραν ὁ Ῥώμης, καθὰ μοι προείρηται, γραφὴν ἐξεδέχετο. Τί οὖν ἡ Εὐδοξία; Λάθρα προσκαλεῖται Θεόφιλον καὶ τοὺς σὺν αὐτῷ, καὶ δώροις φιλοτιμεῖται, καὶ λόγοις πληροφορεῖ, τὸν βασιλέα πείσειν τοῦ πεισθῆναι αὐτοῖς. Ταῦτα διαγνοὺς ὁ καθ' ἡμᾶς Ἡλίας, καὶ μεγάλη σάλπιγξ τῆς Ἐκκλησίας Χρυσόστομος, τῇ τοῦ λόγου χρησάμενος σάλπιγγι, καὶ τὴν τῶν συνεπιτιθεμένων οὐχ ὑποστειλάμενος ἀντιστράτευσιν, Μωϋσῆς οἷά τις ἄλλος, ἢ Φινεὲς, ἢ Ἰησοῦς, ἢ ὁ φοβερὸς ἐκεῖνος

καὶ τῆς θείας δυνάμεως ἐνόπλιος ἀρχιστράτηγος, καὶ τὴν ῥομφαίαν σπασάμενος, καταπλήττει τὸ θράσος τῶν ἀντιπάλων, Συναγάγετε πρός με, δημηγορῶν καὶ λέγων, τοὺς ἱερεῖς τῆς αἰσχύνης, ἐσθίοντας τράπεζαν Ἰεζάβελ, ἵν' εἴπω αὐτοῖς· Ἕως πότε χωλαίνετε ἐπ' ἀμφοτέραις ἰγνύαις ὑμῶν; εἰ ἔστι Θεὸς ὁ Βάαλ, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δὲ τράπεζα Ἰεζάβελ αὕτη Θεὸς, φαγόντες ἐμέσατε. Ἔτι δημοσιεύσας τρανῶς τὴν ἄμαχον Θεοφίλου κακίαν, καὶ τῶν αὐτοῦ σκοτεινῶν μηχανημάτων τὴν ἰταμότητα, παντάπασι προτίθησιν εἰς διάγνωσιν. Τούτοις τοῦ τῆς εὐσεβείας λέοντος βασιλικῶς καὶ γενναίως παῤῥησιασαμένου, αἱ τῆς πονηρίας ἀλώπεκες δολερῶς τὰς ῥήσεις διεμερίζοντο, καὶ αὐταῖς λέξεσιν ἐπιδόντες τὰ ἴσα τῷ βασιλεῖ τῆς δημηγορίας ἀγανακτῆσαι τοῦτον ἐξεβιάσαντο, καὶ τὴν κατὰ Θεοφίλου βασιλέως ἀγανάκτησιν πρὸς τὸν ἀρχιερέα μετατραπῆναι παρεσκευάσαντο, κελευσθέντες τὴν κατ' αὐτοῦ σύνοδον ἐξεργάσασθαι. Οἳ καὶ λαβόντες τὸν καιρὸν τῆς ἀδείας, καὶ πρὸς τὴν πάλην ἀνδρικῶς κονισάμενοι, ἐν διαβουλίοις τῆς βασιλίδος, δώροις, λόγοις, ὑποσχέσεσιν, ἀπειλαῖς, καὶ πᾶσι τρόποις, συναγείρουσι πάντας. Καὶ τοὺς μὲν ἀντιπαλαίοντας τῷ πλάνῳ καὶ γόητι τῶν διαβουλίων, ἐξορίᾳ παρέπεμπον· τοὺς δὲ τῷ διακένῳ τῶν ὑποσχέσεων ἀνδραποδιζομένους, ἐλεεινῶς τοσοῦτον ἐφώπλιζον κατὰ τοῦ ἀρχιποιμένος, ὥστε καὶ θῦσαι καὶ ἀπολέσαι αὐτόν. Μέγας ὁ ἀγὼν ἐντεῦθεν τοῖς περὶ Εὐδοξίαν καὶ Θεόφιλον, τραπέζαις, χρυσῷ, κολακείαις, καὶ τρόποις ἅπασι τοὺς οἰκείους συμμάχους πρὸς τὸν πόλεμον ἐπαλείφοντας. Εἶτα τί; Λιβέλλων συῤῥαφαὶ, καὶ τούτων ἀποστολὴ πρὸς τὸν βασιλέα, περιεχόντων πάσας ματαιότητας, καὶ μανίας ψευδεῖς, καὶ τέλος ὅτι μετὰ τὴν κοινωνίαν οὕτως ἐκεῖνος ὁ Ἰωάννης ἐποίει πάντας ἀπογεύσασθαι ὕδατος, ἢ παστίλλου, διὰ τὸν πτύελον, καὶ πρὸ πάντων αὐτός. Λοιπὸν οὐκ ἔτι χωροῦσι δι' ὧν ἦν αὐτοῖς τὰ περὶ τῶν Ὠριγένους βίβλων κατηγορούμενα, ἀλλὰ δι' ἑτέρων ὕβρεων καὶ λοιδοριῶν. Τούτων ὧδέ πως σκευωρουμένων (οὐ γὰρ οἷόν τε τὰ τῆς σκευωρίας ἀνὰ μέρος ἐπεξιέναι πρὸς ἓν τέλος ἀφορώσης, τὸν φόνον τοῦ ἀρχιποιμένος καὶ τὸν θάνατον), παραγίνεται πρὸς τὸν ποιμένα τὸ μὴ συναρπασθὲν τοῦ ποιμνίου τοῖς [σ]παράκταις ἐκείνοις θηρίοις, εἰς δύο καὶ τεσσαράκοντα ἀριθμούμενον ἐπισκόπους, οἳ τὸν ποιμένα περικυκλώσαντες, διὰ θάμβους ὑπῆρχον τῷ τῆς μεταβολῆς ἀθρόῳ τε καὶ παρηλλαγμένῳ· ὅπως Θεόφιλος ἀγώγιμος ὢν, καὶ ὑπόδικος ἐνεχόμενος, ἐξαπίνης τοῦ δικαίου κριτὴς καθί[σ]το καὶ δικαστής. Τί οὖν ὁ ποιμὴν ὁ καλὸς, ὁ μιμητὴς τοῦ μεγάλου ἀρχιποιμένος Ἰησοῦ; Ἀλλ' ὧδε τοῦ λόγου νόμενος, ἐμνήσθην ἡμερῶν ἱερῶν, τὸν Δεσπότην, τούς τε μαθητὰς πρὸς τὸ πάθος ἥκοντας, τὴν Καινὴν Διαθήκην, τὴν πρὸς ἀλλήλους ἀγάπην, τὰ ἐκεῖ τελούμενα ἅπαντα καθ' ἕκαστον ἐνενόησα, καὶ τὸν ἄρτι μαθητὴν παραπλησίως τῷ διδασκάλῳ καὶ Δεσπότῃ μυσταγωγοῦντα τοὺς ὑπ' αὐτόν. Πάντων γὰρ συνεχομένων καὶ λυπουμένων ἐπὶ τῷ κατὰ τὸν διδάσκαλον ἀνιάματι, φησὶ πρὸς αὐτοὺς ὁ σοφὸς ἐκεῖνος τὰ θεῖα καὶ τὰ ἀνθρώπινα

[24] III Reg. xviii, 21.

A xerant adversarii, tanquam alius Moyses, aut Phinees, aut Jesus, aut ille terribilis et divinæ armatus princeps militiæ, stricta rhomphæa terret adversariorum audaciam, in concione dicens : Congregate ad me sacerdotes dedecoris, comedentes mensam Jezabel, ut dicam eis : Quousque claudicatis ambabus vestris tibiis [24] ? Si Baal est Deus, ambulate post ipsum. Si autem ipsa mensa Jezabel est Deus, comedentes evomite. Præterea aperte publicans invictam Theophili malitiam, et tenebrosarum ejus machinationum impudentiam, proponit omnia cognoscenda ab omnibus. Cum hæc regie et generose dixisset leo pietatis, vulpes improbitatis verba fraudulenter dividunt : et cum iisdem verbis imperatori dedissent exemplum, coegerunt eum irasci,
B et effecerunt ut imperatoris indignatio in Theophilum, converteretur ad pontificem. Qui etiam jussi sunt in eum facere concilium. Et cum tempus accepissent libertatis, et ad luctam se fortiter instruxissent, ac muniissent consiliis, imperatricis donis, verbis, promissis, minis, et omnibus modis omnes congregant : et alios quidem qui resistebant plano et improborum architecto consiliorum, mittebant in exsilium; alios autem vanis promissis misere redactos in servitutem, adeo armabant adversus pontificem, ut eum vel sacrificaturi essent et perdituri. Hinc magnum exsistit certamen Eudoxiæ et Theophili, dum mensis, auro, blanditiis et et modis omnibus suos socios ad bellum instruunt.
C Deinde quid? Adornantur et contexuntur libelli, et mittuntur ad imperatorem, qui continent omnes vanitates et insanias falsas. Postremum vero erat quod post communionem hic Joannes faceret omnes gustare aquam aut pastillum propter sputum, et ante omnes ipse. De cætero autem non amplius procedunt per ea, quæ ipsi in eum intendebant crimina, nempe quod sectaretur errores Origenis, sed per contumelias et maledicta. Cum hæc nescio quomodo struerentur (neque enim fieri potest, ut structas insidias singulatim persequamur, quæ ad unum finem spectabant, nempe ad cædem principis pastorum et mortem), accedit ad pastorem id, quod e grege non fuerat correptum a feris illis immanibus, nempe quadraginta duo episcopi numero : qui
D pastorem circumdantes admirabantur repentinam et diversam mutationem, nempe quod Theophilus, qui erat inter reos relatus, repente sit constitutus judex adversus sanctum et justum Chrysostomum. Quid ergo pastor ille bonus, magni principis pastorum, nempe Jesu, imitator? Sed cum ad hunc locum pervenit oratio, memini sacrorum dierum : Dominum venientem ad passionem, discipulos qui tunc erant, Novum Testamentum, inter se invicem charitatem, et omnia quæ illic mystice facta sunt edoctos singulatim apud me cogitavi : et cum, qui modo erat discipulus, similiter atque magistrum et Dominum, eos qui sub se erant, initiantem mysteriis. Nam cum omnes dolore cruciarentur propter magistrum, dicit eis ille vir sapiens in divinis et hu-

manis : (o quomodo fieri potest, ut sine lacrymis A eorum memoriam tibi tradat oratio?) Orate, o filii et amici et viscera, quæ mihi ex omnibus præcipue estis vicissim dilecta, et Deo agite gratias. Nullus autem cernatur ex vobis se separasse ab Ecclesia. Ego enim jam delibor, et instat tempus meæ resolutionis. Satanas non fert meas adversus ipsum orationes, sed ne obliviscamini sacræ meæ in vos dilectionis. Cum hæc et his longe plura dixisset, (quid opus dicere et lacrymas et dolorem, quibus sunt repleti ?) tandem omnes complexus, rogavit omnes, ut irent in concilium : malebat enim mortem subire gladio, hoc lucrum esse existimans, pro communi omnium securitate et salute; et rursus dicit : Vos omnes recordamini vitam præsentem esse viam, et transire quæ in ea sunt bona et mo- B lesta ; nec hoc solum, sed est etiam nundinæ : emimus itaque, vendimus, diversamur. Num sumus nos meliores patriarchis, prophetis, aut apostolis ? Dicit ei quidam cum ejulatu : Sed defleamus nostram orbitatem, rerum confusionem, statum Ecclesiæ, et alios honores, quibus affecti sumus, et ignominias quibus afficiemur. Sed ne vestras, inquit, relinquite ecclesias. Non enim est a me principium ; neque ad me usque est finis. Non enim post Mosem surrexit Jesus ? Non fuit David successor Samuelis ? Jeremiæ Baruch ? Eliæ Elisæus ? Post Paulum autem quis ? Non Timotheus, Titus, Apollo ? Non alii innumerabiles ? Sed si tenemus, dicit quispiam, nostras ecclesias, omnino com- C municare necesse est et subscribere. Communicate, inquit, ut non perturbetur neque scindatur Ecclesia : sed ne subscribatis. Quomodo hoc jubes ? Quoniam, inquit, nullius mihi culpæ sum conscius, propter quam deponar. His sacram illam turbam magnus inter patriarchas confirmavit Chrysostomus.

23. Jam concilium, quod extra urbem in Rufini prædiis inania in eum statuerat, arcessit eum, responsurum iis quorum accusabatur. Quæ autem ei significata sunt, erant hujusmodi : Sancta synodus congregata, Joanni : Libellos contra te accepimus, plenos malis innumerabilibus. Veni ergo eis responsurus. His lectis, hæc scribit sanctus : Ecclesiam propter quam Deus Verbum factum est, ne scindas, nec D dissolvas, neque extra terminos judices, repugnans trecentis et octodecim Patribus, et ne Abel, ut Cain, dolose in agrum advoces ; sed tu veni potius. Septuaginta enim capita aperte continent, qui adversus te scripti sunt libelli. Sumus autem nos ex diversis et plures, Dei gratia. Et ut quæ postea sequebantur in pauca contraham, cum sapiens pontifex præterea scripsisset et ostendisset nullam esse eorum quæ ab ipsis fiebant, consequentiam, optime et justissime eos repellebat præscriptione, optans ut in se fieret potius œcumenica synodus. Hæc cum accepisset et didicisset concilium illud per lectionem, irruunt tanquam leones ; et ex iis qui missi fuerant, alium quidem ceciderunt, alium vero comprehenderunt, alium autem conjecerunt

(ὢ πῶς ὁ λόγος ἀδακρυτὶ τὴν τούτων μνήμην διαδιδάσοι;), Εὔξασθε, λέγων, ὦ τέκνα καὶ φίλοι, καὶ σπλάγχνα τὰ ἐμοὶ πάντων ἀντιποθούμενα, καὶ τῷ Θεῷ τὴν εὐχαριστίαν ἀπόδοτε· μηδεὶς δὲ ἐξ ὑμῶν τῆς Ἐκκλησίας ὀφθείη ἀναχεχωρηκώς. Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς ἐφέστηκέ μου τῆς ἀναλύσεως. Ὁ Σατανᾶς οὐ φέρει τοὺς ἐμοὺς κατ' αὐτοῦ λόγους, ἀλλὰ μὴ ἐπιλάθησθέ μου τῆς ἱερᾶς πρὸς ὑμᾶς ἀγαπήσεως. Ταῦτα καὶ πολλῷ πλείω τούτων εἰπόντος (τί διαλέγειν τῶν δακρύων, τῆς λύπης ἧς ἐπληρώθησαν;), τελευταῖον ἀσπασάμενος ἅπαντας, παρεκάλει πάντας παραγενέσθαι εἰς τὸ συνέδριον· ᾑρεῖτο γὰρ καὶ τὸν διὰ ξίφους θάνατον, κέρδος τοῦτο ἡγούμενος, ὑπέρ γε τῆς ἁπάντων ἀσφαλείας καὶ σωτηρίας, καὶ αὖθίς φησι· Μνημονεύετε πάντων ὑμεῖς, ὁ παρὼν βίος ὁδός ἐστιν, ἔλεγε, καὶ τὰ τούτῳ χρηστὰ καὶ λυπηρὰ παροδεύεται· οὐ μόνον δὲ, ἀλλὰ καὶ πανήγυρις· τοίνυν ἠγοράσαμεν, ἐπωλήσαμεν, καταλύομεν. Μὴ ἀμείνους ἡμεῖς τῶν πατριαρχῶν, τῶν προφητῶν, τῶν ἀποστόλων; Λέγει τις ἐξ αὐτῶν πρὸς αὐτὸν, ὀλοφυρμῷ συνεχόμενος· Ἀλλὰ θρηνῶμεν τὴν ἡμῶν ὀρφανίαν, τὴν σύγχυσιν τῶν πραγμάτων, τὴν στάσιν τῆς Ἐκκλησίας, τἄλλα οἷς ἐτιμώμεθα, καὶ οἷς ἀτιμασθησόμεθα. Ἀλλὰ τὰς καθ' ὑμᾶς μὴ καταλείπητε, φησὶν, ἐκκλησίας· οὐ γὰρ ἀπ' ἐμοῦ ἡ ἀρχὴ, οὐδ' ἕως ἐμοῦ τέλος. Μὴ γὰρ μετὰ Μωϋσῆν οὐκ ἀνέστη Ἰησοῦς; οὐ διάδοχος Σαμουὴλ ὁ Δαβὶδ, ἢ Ἱερεμίου Βαροὺχ, Ἠλιοῦ Ἐλισαῖος; μετὰ Παῦλον δὲ τίς; οὐ Τιμόθεος, Τίτος, Ἀπολλώς; οὐ μυρίοι; Ἀλλ' εἰ κατέχομεν, ἔφη τις, τὰς ἡμῶν ἐκκλησίας, καὶ κοινωνῆσαι καὶ ὑπογράψαι πᾶσα ἀνάγκη. Κοινωνήσατε διὰ τὸ ἀτάραχον, ἔφη, τῆς Ἐκκλησίας καὶ ἀδιάσχιστον· μὴ ὑπογράψητε δέ. Πῶς, τίνα κελεύεις τρόπον; Ὅτι, ἔφη, τῶν εἰς καθαίρεσιν αἰτιαμάτων οὐδὲν ἐμαυτῷ σύνοιδα. Τοιούτοις τὸν ἱερὸν ἐκεῖνον ὅμιλον ὁ μέγας ἐν πατριάρχαις κατοχυρώσας Χρυσόστομος.

κγ'. Ἤδη τὸ συνέδριον ἔξω τῆς πόλεως ἐν τοῖς Ῥουφίνου τὰ κατ' αὐτοῦ κενὰ διαβουλευσάμενον, μετακαλεῖται τοῦτον τὸν ἅγιον, ἀπολογηθησόμενον οἷς ἐνδιαβάλλεται. Ἦν δὲ τὰ δηλωθέντα τοιάδε· Ἡ σύνοδος ἡ ἁγία συναχθεῖσα, τῷ Ἰωάννῃ τάδε· Λιβέλλους ἐδεξάμεθα κατὰ σοῦ, πλήρεις μυρίων κακῶν. Ἐλθὲ τοίνυν ἀπαντήσων πρὸς τὰ τοιαῦτα. Τούτων ἀναγνωσθέντων, ἀντιγράφουσι μὲν οἱ περὶ τὸν ἅγιον ταῦτα· Τὴν Ἐκκλησίαν, δι' ἣν ὁ Θεὸς Λόγος ἐγένετο σάρξ, μὴ σχίζε, μηδὲ κατάλυε, μήτε μὴν περιόριον κρίνε καὶ δίκαζε, δέκα καὶ ὀκτὼ καὶ τριακοσίοις Πατράσιν ἐναντιούμενος, καὶ μὴ τὸν Ἄβελ προσκαλοῦ δολίως εἰς τὸ πεδίον· ἀλλ' ἐλθὲ μᾶλλον αὐτός. Καὶ γὰρ κεφαλαίοις ἑβδομήκοντα οἱ κατὰ σοῦ προδήλως περιστοιχίζονται λίβελλοι, καὶ ἔτι ἐκ διαφόρων ἡμεῖς, καὶ πλείονες σὺν Θεῷ. Καὶ ἵνα τὰ ἐπὶ τούτοις συντέμω, καὶ ὁ σοφὸς ἀρχιερεὺς ἔτι λογογραφήσας τὸ ἀνακόλουθον τῶν ἐκείνοις πεπραγμένων, ἄριστά τε καὶ δικαιότατα παρεγράφετο τούτοις, τὴν κατ' αὐτοῦ σύνοδον οἰκουμενικὴν γενέσθαι μᾶλλον εὐχόμενος. Ταῦτα δεξάμενον καὶ ἀναμαθὸν τὸ συνέδριον ἐκεῖνο διὰ τῆς ἀναγνώσεως, ὁρμῶσι καθάπερ λέοντες, καὶ τῶν ἀποσταλέντων ὃν μὲν ἔδειραν, ὃν

δὲ περιέσχισαν, ὃν δὲ ἐσιδήρωσαν σιδήροις, οὓς A χορυβαντιάσαντες τῷ ποιμένι παρεσκευάσαντο. Τί οὖν ἔτι πρὸς τούτοις δρῶσιν; Ἀραχνείων νημάτων ἀδρανεστέροις συγγράμμασι καταψηφισάμενοι, ὃν οὔτε εἶδον, καὶ οὗ φωνῆς οὐκ ἤκουσαν, καθαιροῦσιν ἀρχιερέα, καὶ ταῦτα τῷ βασιλεῖ ἀναφέρουσι. Τί λέγοντες; Ὅτι μὴ τολμήσαντος αὐτοῦ παραγενέσθαι, διὰ τὸ συγγινώσκειν τὰ ἑαυτοῦ, τὸ δὲ τοιοῦτον οἱ νόμοι καθαιροῦσι, τοῦτο δὴ καὶ ὑπέστη· καὶ δὴ κελεύσει τοῦ ὑμετέρου κράτους καὶ ἄκων ἐξοριζέσθω, καὶ δίκας διδότω ἐφ' οἷς λελοιδόρηκε τὴν βασιλίδα, εἰπὼν αὐτὴν Ἰεζάβελ, καὶ τούτῳ τοῦ θανάτου τοῖς φονευταῖς ἐπισπευδομένου διὰ τὸ δύσφημον. Πιστεύει τοίνυν ὁ βασιλεύς, οἷάπερ ἱερεῦσιν αὐτοῖς· καὶ ἀνεξετάστως στρατιωτικῆς ἀποστολῆς B βαρβαρικῶς παραταγείσης, ἐξορισθῆναι τὸν ἅγιον κελεύει. Ἔγνω οὖν τὸ πιστὸν πλῆθος ταῦτα· καὶ τῷ ζέοντι καὶ περιόντι τῆς πίστεως, τὸν βασίλειον φόβον νικήσαντες, καὶ κάτω θέντες, κατὰ κράτος ἀντέστησαν. Τοῦτο οὖν συνιδὼν ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ τὰς ἐκ τοῦ πράγματος βλάβας καὶ τοὺς κινδύνους ἀποσκοπήσας, λανθάνει πάντας· καὶ πρὸς τὴν σφαγὴν (οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἐκείνων βουλὴν καὶ ὁρμὴν, οἶμαι δὲ καὶ ὑμεῖς) ὡσεὶ πρόβατον ἐθελοντὴς παραγίνεται. Τοῦτο δὲ συλλαβόντες, μέχρι τῆς Προποντίδος Εὐξείνου τέως ἐξέλκουσι. Μετὰ ταῦτα τί; Μεταμεληθέντες τινὲς ἐξ αὐτῶν, σεσυκοφαντῆσθαι τὸν Ἰωάννην καὶ ἠδικῆσθαι προσέλεγον· καὶ τοῦτο οὐκ ἦν τοῖς πολλοῖς διὰ πίστεως· ἐχύρου δὲ πλέον τὴν πίστιν τὰ πράγματα. Πῶς; Ἐκ C τῆς τῶν ἀπενηνεγμένων τοῖς κατηγόροις τιμῆς τε καὶ προκοπῆς. Ἀλλὰ τὸ τῆς αἰσχύνης ἀνίερον στόμα τοιούτοις ἀπήντα τοῖς φλυαρήμασιν. Εἰ καὶ μηδὲν ἄλλο, φάσκον τέως, τὸ ἀλαζονικὸν Ἰωάννου καθῄρει αὐτὸν, παρενείρων τῆς κακίας ὁ σοφιστὴς τὸ τῆς Γραφῆς, χαθὰ καὶ τοῖς ὑπερηφάνοις ἀντιτάσσεται Κύριος.

κδ'. Ἔπειτα γράφει ὁ διώκτης πρὸς τὸν μέγαν Ἰννοκέντιον, Ῥώμης ἀρχιερέα, τὴν, ἣν αὐτὸς ἔδρασεν, εἰς τὸν ποιμένα μεταμορφῶν καὶ ποικίλλων παρανομίαν. Ἀλλὰ Θεόφιλος γράφει μὲν, καταγινώσκεται δὲ, διαγνόντος τοῦ πάπα σαφῶς τὰ κατὰ τὸν ἅγιον. Ὧν τὸ πολυειδὲς τῶν ἐπιτηδευμάτων καταπλαγεὶς ὁ Ῥώμης, ἐπὶ τὸν Θεὸν καταφεύγει, κἀκεῖθεν ἐξαιτεῖ λυθῆναι τῶν σκανδάλων τὰ μηχανήματα. Καὶ μέντοι καὶ λαμβάνει τὴν λύσιν, καὶ τὸ τάχος ἡλίκον ἐκεῖθεν. Ἡ κυνικὴ Θεοφίλου ζήτησις καὶ ἀναίδεια κατὰ τοῦ ἀθώου ἔτι προσανηρεύνα. Ἐντεῦθεν πρὸς ὀργὴν τῶν πιστῶν ἐξανάπτει τὰ πλήθη· καὶ στάσεις ἐκ τούτου μυρίαι, καὶ πληγαὶ, καὶ διάφοροι κίνδυνοι, καὶ γίνεται τοῖς πονηροῖς τρόμος. Ἀνὴρ δυσσεβὴς, κατὰ τάχος φεύγων εἰς D Ἀλεξάνδρειαν, μόλις διαδρὰς τοὺς θαλασσῶσαι τοῦτον ζητήσαντας, κακῶς τῆς βασιλευούσης ἀποδιαπομπεῖται σὺν αὐτοῖς κατηγόροις καὶ ὁμογνώμοσι. Μανθάνει ταῦτα παρὰ τοῦ Ῥώμης ὁ βασιλεὺς Ὀνώριος, καὶ ὅτι χαριζόμενοι τῇ Εὐδοξίᾳ σεσυκοφαντήκασι τὸν Ἰωάννην. Καὶ περίλυπος γενόμενος (ἔρως γὰρ ἐγκρατεῖ τὸν βασιλέα θερμὸς, καὶ ἐπεθύμει θεάσασθαι τὸν ἀρχιερέα) γράφει τῷ ἀδελφῷ καὶ βασιλεῖ Ἀρκαδίῳ, νεμεσῶν καὶ προσονειδίζων, ὅτι Θεοφίλῳ χώραν παρέσχεν, ὃν ὑπὸ αἰτίαν καὶ δίκην

in vincula et ferreos compedes, quos illi bacchantes pastori paraverant. Quid ergo post hæc faciunt? Cum aranearum telis imbecillioribus scriptis eum damnassent, quem neque viderant neque hujus vocem audiverant, deponunt pontificem, et hæc referunt ad imperatorem. Quid dicentes? Quod cum non ausus esset accedere, quod esset sibi conscius; eum autem leges deponant; hoc etiam sustinuit. Jussu ergo vestræ potentiæ, aiebant, vel invitus relegetur, et det pœnas quod maledictis insectatus sit imperatricem eam dicens Jezabel, vel in eo morte ab occisoribus accelerata propter verbi asperitatem. Eis itaque credit imperator tanquam sacerdotibus, et absque ulla examinatione, missa manu militari, jubet sanctum relegari. Hæc cognovit fidelis populi multitudo, fideique fervore et abundatia victo et dejecto metu imperatoris, vi restiterunt. Hoc autem cum animadvertisset vir divinus et quæ ex eo oriebantur damna et pericula considerasset, omnes latet, et ad cædem (sic enim ego voco illorum concilium et impetum, existimo autem vos quoque), tanquam ovis sponte sua accedit. Eum vero cum comprehendissent, usque ad Euxini Propontidem tunc trahunt. Post hæc quid? Quidam ex iis ducti pœnitentia, dicebant fuisse Joannem appetitum calumniis et injuria affectum. Nec hoc credebatur a multis: fidem autem res ipsæ magis fecerunt. Quomodo? Ex honore et emolumentis, quibus sunt affecti accusatores. Sed profanum os dedecoris respondebat his nugis dicens: Etiamsi nihil aliud, at arrogantia et superbia Joannis eum deposuit, suæ malitiæ improbus veterator Scripturam applicans, nempe quod superbis resistit Dominus.

24. Deinde scribit persecutor ad Romanum pontificem Innocentium, quam in pastorem fecerat iniquitatem transformans et varians. Sed Theophilus scribit quidem, condemnatur autem, cum papa aperte res sancti cognosceret. Quorum varios ac multiplices conatus mirans Romanus episcopus, ad Deum confugit, et petit ut illinc solvantur machinationes offensionum. Maxima itaque celeritate illinc accepit solutionem. Canina Theophili impudentia adhuc inquirebat adversus innocentem. Hinc ad iram irritat fidelium multitudinem. Innumerabiles ex eo exsistunt seditiones et plagæ et diversa pericula, et contremiscunt improbi. Vir impius celerrime fugit Alexandriam, cum vix evasisset eos qui quæsierant eum mari obruere. Sic pater scandalorum, malus male ex regia amandatur cum ipsis accusatoribus, et iis qui erant ejusdem sententiæ. Hæc Romæ audiit etiam imperator Honorius, et quod ut gratum facerent Eudoxiæ, Joannem sunt calumniati. Dolore ergo affectus (valde enim amabat imperator, et cupiebat videre pontificem), scribit ad fratrem imperatorem Arcadium, cum eo expostulans et exprobrans quod Theophilo, quem reum tenebat, locum dederit deponendi Joannem, idque sine Romanis. Hæc cum cognovisset

imperator Arcadius, magna ductus pœnitentia, de pontifice revocando cogitabat : et ecce noctu venit terræmotus, et cadit pars cubilis imperatricis : fuitque hoc (nam quæ intercesserunt lubenter prætermitto) causa revocationis. Rursus ergo pastor bonus (oportet enim paucis dicere) recipit gregem, cum imperator longe splendidius quam prius ei processisset obviam : et ille quidem prius contenderet ut res suæ examinarentur : omnes vero plane violenta fidei motione eum adduxissent, in sede collocassent, et ut pacem ageret effecissent. Hæc suorum servorum Deus, *qui resistit superbis, et humilibus reddit gratiam* [25]. Hinc adest, quæ hospitalitate et temperantia (scientibus loquor) Saram et Susannam exprimit Olympias. Paucis autem eam quoque declaret oratio, quæ voluptatem simul et adhortationem ad virtutem præbet iis, qui laudant ea quæ sunt honesta. Olympias erat, quæ temperantia, hospitalitate, doctrina disciplinarum, non minus erat clara, quam splendore generis, opum et pulchritudinis, propter quæ antecedebat omnibus quæ tunc erant. Hæc marito quidem fuit conjuncta legitime, non est autem experta, ut quæ cum eo parum vixerit. Eam imperator Theodosius vi postea trahebat, ut nuberet cuidam cognato suo, non quidem dedignantem, sed contra ea quæ par erat, significantem. Dicebat enim : Si rex meus Christus voluisset me vivere cum marito, primum omnino non abstulisset. Et quid opus est orationem extendere, quæ contendit ad ea, quæ deinceps sequuntur, exponenda illius verba sapientia? Ei enim qui sapit, licet ex fimbria, ut est in proverbio, id quod est contextum intelligere. Jussu ergo imperatoris auferuntur ei facultates, gratia custodiæ. Illa autem ea re valde est lætata, et dictum protulit imperatori quod dignum est quod habeatur in admiratione et mandetur memoriæ. Dixit enim : Ne ea custodiantur, o imperator, sed dentur potius pauperibus. Jam olim enim deprecor, quæ ex hac distributione accedit, vanam gloriam. Statim ergo lætatus fuit imperator, cum hæc audisset, et ei sua rursus reddit. Illa autem cum ea accepisset, pulcherrime quidem administravit, seque exuit ac paravit ad exercitationem, et paulo post refertur in numerum diaconissarum Ecclesiæ. Sed ne sic quidem potuit evadere gravia retia Theophili, cum illius hospitalitatem ignominiæ materiam acceperit iste Deo invisus. Ipsa post multos curam quoque gessit Nectarii, ut quæ suis manibus, quando ad Deum excessit, ejus texit oculos. Ipsa quoque hospitio magnum accipiebat Chrysostomum, ei libum exhibens, propterea quod non posset avelli a studiis ; ipseque eam in secundo suo exsilio duobus epistolis est prosecutus. Sed hæc quidem postea : veniat autem oratio ad id, quod est propositum.

25. Post pontificis secundam in sedem suam restitutionem, cum non multum præterfluxisset temporis,

A εἶχε, καθῃρηκέναι τὸν Ἰωάννην, καὶ ταῦτα δίχα τῶν ἀπὸ Ῥώμης. Ταῦτα διαγνοὺς ὁ βασιλεὺς Ἀρκάδιος, πολλά τε μετεγνωκὼς, διεσκέπτετο περὶ τῆς ἀνακλήσεως τοῦ ἀρχιερέως. Καὶ ἰδοὺ σεισμὸς καταλαμβάνει νυκτὸς, καὶ πίπτει μέρος τοῦ κοιτῶνος τῆς βασιλίσσης. Καὶ τοῦτο γίνεται (τὰ γὰρ ἐν μέσῳ παρέδραμον ἑκὼν) ἡ αἰτία τῆς ἀνακλήσεως. Πάλιν οὖν ὁ ποιμὴν ὁ καλὸς (δεῖ γὰρ συντόμως εἰπεῖν) ἀπολαμβάνει τὸ ποίμνιον, τοῦ βασιλέως αὐτῷ λαμπροτέραν τὴν ἀπάντησιν πολὺ τῆς προτέρας πεποιηκότος· ἐκείνου μὲν πρότερον τὰ καθ' ἑαυτὸν ἐξετασθῆναι διισχυριζομένου, πάντων δὲ βιαίῳ πίστεως ὄντως κινήματι προσαγαγόντων, ἐνθρονισάντων, καὶ εἰρηνεῦσαι ποιησάντων αὐτόν. Ταῦτα ὁ τῶν ἑαυτοῦ θεραπόντων Θεὸς, *ὁ τοῖς ὑπερηφάνοις ἀντιταττόμενος, ὁ τοῖς ταπεινοῖς ἀντιμετρῶν τὴν*
B *χάριν*. Ἐντεῦθεν ἡ τῷ φιλοξένῳ καὶ σώφρονι τὴν Σάῤῥαν καὶ Σωσάνναν Ὀλυμπιὰς (εἰδόσι λέγω) χαρακτηρίζουσα, παρίστησι. Δηλούτω δὲ διὰ βραχέων καὶ ταύτην ὁ λόγος, ἡδονὴν ἅμα καὶ παράκλησιν εἰς ἀρετὴν τοῖς ἐπαινοῦσι τὰ καλὰ παρεχόμενος. Ὀλυμπιὰς, ἣν ὑπερωραίουσαν τῆς σωφροσύνης, τῆς φιλοξενίας, καὶ τῆς παιδείας τῶν μαθημάτων οὐχ ἧττον αἱ πολυτέλειαι, ἢ τοῦ γένους καὶ τοῦ πλούτου καὶ τῆς ὥρας, δι' ὧν ἁπάντων τῶν τηνικαῦτα ἐκράτει τὰ διαφέροντα· αὕτη συνεζεύχθη μὲν νομίμως ἀνδρὶ, οὐ πεπείραται δὲ μικρὸν αὐτῷ συμβιώσασα. Ταύτην ὁ βασιλεὺς Θεοδόσιος ἐπί τινι συγγενεῖ μετὰ ταῦτα βεβιασμένως πρὸς γάμον εἷλκεν, οὐκ ἀπαξιοῦσαν, ἀλλ' ἀντιδηλοῦσαν τὰ δέοντα, ὡς· Εἴπερ ὁ
C ἐμὸς βασιλεὺς ἐβούλετό με ἀνδρὶ συμβιοῦν, πάντως οὐκ ἂν τὸν πρῶτον ἐλάμβανε. Καὶ τί δεῖ πρὸς τὰ ἑξῆς τῶν ἐκείνης σοφῶν ῥημάτων, τοῦ λόγου σπεύδοντος, ἐμπλατύνεσθαι; τῷ γὰρ νήφοντι κατανοεῖν ἔστιν ἐκ τοῦ κρασπέδου, κατὰ τὴν παροιμίαν, τὸ ὕφασμα. Προστάγματι τοῦ βασιλέως ἀφαιρεῖται τῶν ὑπαρχόντων, φυλακῆς χάριν. Ἡ δὲ μᾶλλον ἥσθη τῷ πράγματι, καὶ δηλοῖ τῷ βασιλεῖ ῥῆσιν θαύματος καὶ μνήμης ἀξίαν.....

Λείπει.

.... Εὐθὺς οὖν ἥσθη ὁ βασιλεὺς, καὶ ἀποδίδωσι πάλιν τὰ ἑαυτῆς. Ἡ δὲ λαβοῦσα, ταῦτα μὲν ᾠκονόμησεν ὅτι μάλιστα, καὶ πρὸς τὴν ἄσκησιν ἀποδύεται, καὶ μετ' ὀλίγον, ταῖς διακόνοις τῆς Ἐκκλησίας ἐγκα-
D ταλέγεται. Ἀλλ' οὐδὲ αὕτη τῶν Θεοφίλου δεινῶν ἀρκύων ἀμέτοχος, τὴν ἐκείνης φιλοξενίαν, ὕλην ἀτιμίας τοῦ θεομισοῦς εἰληφότος. Αὕτη μετά γε πολλοὺς θεραπεύει Νεκτάριον χερσὶν οἰκείαις, ἡνίκα πρὸς Θεὸν ἐξεδήμει, τὰ τούτου καλύψασα ὄμματα. Αὕτη καὶ τὸν μέγαν ξενίζει Χρυσόστομον, μάζῃ δεξιουμένη διὰ τὸ αὐτοῦ ἀπερίσπαστον· καὶ ταύτην ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐξορίᾳ ἐπιστολαῖς δυσὶν ἀντεδεξιώσατο. Ἀλλὰ ταῦτά μοι ὕστερον· ὁ δὲ λόγος εἰσίτω πρὸς τὸ προκείμενον.

κε'. Μετὰ τὴν εἰς τὸν θρόνον δευτέραν ἀποκατάστασιν τοῦ ἀρχιερέως, μικροῦ διαῤῥυέντος ἐν μέσῳ

[25] I Petr. v, 5.

χρόνου, συνεισῆλθέ τι τῶν ἀναγκαίως δεομένων τῆς διορθώσεως· καὶ τῶν οἰκείων εἴχετο κατὰ κράτος ὁ τῶν τοιούτων διορθωτής, καὶ αὖθις ἡ βασιλὶς δι' ὀργῆς σφοδρᾶς τῷ ποιμένι καθίστατο. Εἴ τις ὑμῶν οἶδε τὸν ἀργυροῦν ἀνδριάντα, καὶ τὰς δημώδεις ἐκεῖ παιδιὰς, καὶ τοῦ θείου δόμου τὸν θόρυβον, καὶ τὴν ἀκοσμίαν, οἶδεν ὃ λέγω. Πάλιν οὖν ἀγῶνες ἐξ ἀγώνων, καὶ σύνοδοι κατὰ τοῦ ἀρχιερέως. Γινώσκει ταῦτα ὁ διωκόμενος, καὶ τὴν περιβόητον ἐκτίθησιν ὁμιλίαν, *Πάλιν Ἡρωδιὰς μαίνεται.* Ἀνάπτει τὴν μῆνιν τοῦτο τῆς βασιλίδος· καὶ πάλιν παῤῥησία τοῖς κατηγόροις. Καὶ Θεόφιλος ἀπὸ τῆς Ἀλεξανδρείας παραγενέσθαι δηλοῦται μὲν, ἔτι δὲ δειλιῶν ὁ δείλαιος ἀναβάλλεται. Ὅμως Ἀρειανῶν κανόνι, καθάπερ τόξῳ, χρησάμενος, βάλλειν κατατολμᾷ τοξεύμασι τοῖς ἐκ μέλανος. Τῆς δὲ βολῆς τὸ ἐκεῖ καίριον, ὅτι δίχα συνόδου ὁ καθαιρεθεὶς τῇ ἐκκλησίᾳ εἰσέῤῥευσεν. Οἷς ἐντυχὼν ὁ θεῖος οὗτος ἀνὴρ, καὶ διερωτώμενος, Ὑπὸ βασιλέως ἐξηλάθην, ἀπεκρίνατο, ὑπ' αὐτοῦ βασιλέως καὶ ἀνεκλήθην. Ὃ συνεδόκει μὲν τοῖς, ὅσοι τοῦ ὀρθοῦ καὶ κρίματος καὶ φρονήματος· καὶ ὁ βασιλεὺς συνεπείθετο. Ἀνταγωνιζόμενον δὲ, προσενώπιον τοῦ βασιλέως, τὸ τῶν κακούργων κηφήνων ἐκείνων σμῆνος, διεμφόβει τὴν ἑαυτοῦ ματαιότητα. Εἰσηγεῖταί τις ἐνταῦθα (Ἐλπίδιος δέ ἐστιν, ὁ τῆς ἐν Συρίᾳ Λαοδικείας) θαυμασίαν ὄντως εἰσήγησιν, Μὴ θορυβώμεθα, λέγων, ἐπὶ τοῦ βασιλέως· ἀπαίσιον γάρ· ἀλλ' ὑπογραψάτωσαν οἱ κατήγοροι ὅτι ὁμόπιστοι τῶν ἐκθεμένων τὸν κανόνα τυγχάνουσι· καὶ λύεται τὸ ἀμφίβολον. Συνεὶς οὖν ὁ βασιλεὺς τῷ ῥᾷστῳ τοῦ προβλήματος τὴν λύσιν τοῦ ἐγχειρήματος, μετά τινος περιχαρείας καὶ μειδιάματος, Οὐδὲν, ἔφη, τούτου λυσιτελέστερον. Τὸ δὲ ἀμφίκρημνον τοῦ προτεθέντος, ἰλίγγου τοῖς κατηγόροις ἐγένετο πρόξενον. Οἱ δὲ χείλεσιν ἄκροις ὑπισχνοῦνται μὲν, ἐξίασι δὲ κενοὶ καὶ ἄπρακτοι.

κϛ'. Τούτων ἄλλοτε ἄλλως μηχανωμένων καὶ κατὰ κύβους πεττευομένων τοῖς κατηγόροις, μῆνες παρίππευσαν δέκα. Ὁ δὲ ποιμὴν τῶν εἰωθότων οὐδὲ βραχύ τι παρελιμπάνετο, μᾶλλον μὲν οὖν ἐπεδίδου περισσοτέρως ὅσαι ἡμέραι. Φιλεῖ γάρ πως ὁ ἀκενόδοξος νοῦς ἐν ταῖς περιστάσεσι χαριέστερον διακεῖσθαι καὶ λογιώτερον. Οἱ δὲ οὐκ ἐδίδοσαν ὕπνον τοῖς ὀφθαλμοῖς, οὐ κατέσχον τῶν μηχανῶν, πολιορκοῦντες παντοίως, τοῦ τροπώσασθαι καὶ λαφυραγωγῆσαι τοῦ βασιλέως τὸν νοῦν. Ὁ δὲ βασιλεὺς γενναίως μὲν ἀντεῖχε, καὶ ἀντετίθετο μέχρι τινός. Ὅτε δὲ πάντοθεν οἱ κατήγοροι τὸ ἴδιον ἀσφαλὲς περιεποιήσαντο, καὶ οὐκ ἔθ' οἷός τις ἦν [ὁ] πρὸς τὴν τοσαύτην ἐπανάστασιν καὶ ἀντιπερίστασιν κηρύξων ἢ βοηθήσων τῷ βασιλείῳ νοΐ, καταμεμαλάκισται καὶ αὐτὸς, καὶ πρὸς τὸ πολέμιον, ἀνθρώπινόν τι παθὼν, ὑποκλέπτεται· καὶ ὅπως, τρανῶς διηγήσομαι· Ἡ μεγάλη τῶν ἑορτῶν, ἡ ἡμέρα τοῦ Χριστοῦ γενεθλίων παρῆν, καὶ ὁ βασιλεὺς, ὡς ἔθος, οὐ συμπαρῆν. Ἐδήλου δὲ τῷ ἀρχιερεῖ μὴ πρότερον κοινωνῆσαι, πρὶν ἢ αὐτὸν τὰ ἐγκλήματα ἀποδύσασθαι. Οὕτω διῆλθε καὶ ἡ Τεσσαρακοστή· καὶ πρὸ μιᾶς τοῦ Πάσχα πάλιν ὁ βασιλεὺς, βιαίῳ τῶν κατηγόρων ἐγκλήματι, δηλοῖ τὰ

A incidit aliquid, quod necessario opus habebat correctione : et suo pro viribus officio functus est is, qui erat rerum hujusmodi corrector; et rursus imperatrix fuit valde irata pastori. Si quis vestrum scit argenteam statuam, et qui illic fiebant ludos publicos, et divinam ædem contumeliis affectam, scit quod dico. Rursus ergo certamina ex certaminibus, et synodi adversus pontificem. Hæc cognoscit is quem persequebantur, et celebratum illum et insignem habet sermonem : *Rursus furit Herodias.* Hoc accendit iram imperatricis, et rursus libere ac confidenter agunt accusatores. Et Theophilo quidem significatur, ut veniat Alexandria ; sed adhuc timens differt infelix. Ariano tamen canone tanquam arcu usus, audet eum ferire jaculis ex atramento. B Certus autem, quem afferebant, erat hic ictus, quod absque synodo, qui erat depositus, irrupisset in ecclesiam ; quos cum convenisset hic vir divinus et ab eis interrogaretur, respondit : Expulsus fui ab imperatore, fui etiam revocatus ab ipso imperatore. Quod placebat quidem iis qui erant recti judicii et sententiæ, et imperator iis assentiebatur ; coram imperatore autem adversus eum decertans malignorum fucorum examen, strepitu obtundebat illius simplicitatem. Tunc autem profert quidam (is vero erat Elpidius, Laodiceæ quæ est in Syria episcopus) sententiam plane admirabilem : Ne tumultuemur, inquit, in conspectu imperatoris ; nefas est enim : sed subscribant ac- C cusatores se esse ejusdem fidei, cujus sunt qui illum ediderunt canonem, et soluta est dubitatio. Cum ergo intellexisset imperator facilitate propositionis solvi id de quo agebatur, lætus et subridens dixit : Nihil est hoc melius. Id autem quod erat propositum, cum esset anceps, effecit ut caligarent accusatores. Et tunc summis quidem labiis pollicentur, re autem infecta tunc exeunt.

26. Cum hæc alias aliter machinarentur accusatores, et tesseris quodammodo luderent, menses decem præterierunt. Pastor autem ne tantillum quidem prætermittebat ex consuetis ; imo vero quotidie magis ac magis augebatur ejus studium. Solet enim nescio quo modo mens, quæ caret vana gloria, jucundius affici, et se magis rationis compo- D tem ostendere in casibus qui accidunt. Illi autem non dederunt somnum oculis, nullis abstinuerunt machinationibus, imperatoris mentem obsidentes, ut eam funderent et captivam abducerent. Imperator vero aliquandiu fortiter restitit et repugnavit. Quando autem omni ex parte tuta fuerunt omnia accusatoribus, nec ullus fuit, qui adversus talem insurrectionem posset amplius imperatoris mentem fulcire et ei opem ferre, ipse quoque est mollitus, et humanum quid passus, ab insidiis hostis est circumventus. Dicam autem aperte, quomodo. Erat dies maximus, Christi ortus. Imperator autem, ut mos est, non simul aderat, significavit autem pontifici, se non prius communicaturum quam ipse crimina diluisset. Sic præteriit etiam Quadragesima; et die uno ante Pascha, rursus imperator violento

motu accusatorum, eadem significat, addens : Duæ te condemnarunt synodi : non possum tibi communicare. Quid vero pastor bonus, qui aspiciens advenire bestias, non fugit, et dimittit gregem ? Mihi, inquit, o imperator, a Deo fuit credita ecclesia, nec ab ea recedam. Sin autem hoc tibi visum sit, vi expellas, ne accusari possim, quod ordines deseruerim. Quod veritus imperator, in quem tyrannidem obtinebat vis inimicorum, cum eum cum metu separasset ab ecclesia, jussit degere in episcopatu : illud cogitans quod si quid rursus evenisset inopinatum, facilius esset eum invenire ad Deum placandum. Sic magnum luminare prohibetur lumen præbere Ecclesiæ ; et cum rursus imperatori exhiberetur molestia ab accusatoribus, ipse eis totum permisit consilium, ut qui venerandum diem Sabbati sancti et pontificis virtutem revereretur. Quid ergo dicunt ii, quibus fuerat permissum ? In nostrum caput, o imperator, sit Joannis depositio ; solum cito expellatur. Rursus ergo nulla interrogatio, et rursus suffragia et latæ sententiæ. Quæ agebat, sciebant omnes : confunditur universus populus, confunditur etiam dies festus, metus in fugam conjicit ; et fugientes clerus et quidquid erat fidelis populi et eorum qui gerebant magistratus, divinum Pascha in publico quodam lavacro quod Constantianæ dicitur, celebrarunt, vigilantes in illius noctis glorificationibus, et eos, qui erant catechesi instituti, baptizantes, et ea, quæ tempori conveniunt, munera obeuntes. Hæc quoque cito deferunt ad imperatorem, qui ad mala erant audaces : partim quidem timentes, ne si fuisset ingressus et solam invenisset ecclesiam imperator, populi quidem cognosceret benevolentiam, eos autem damnaret invidiæ : partim vero hoc agentes, ut omnes, qui illic erant, ulcisceretur imperator. Hinc assumpto Lucio, qui erat secta et sententia gentilis, et eo quem sub se recens habebat exercitu, nempe Thracibus armatis circiter quadringentis, secunda noctis vigilia (o quæ illic sunt per summam perpetrata audaciam, quæ quisnam digne fuerit lamentatus ?) repente impudenter irruperunt, et per medias turbas ad sanctas usque aquas procedunt, prohibent divinorum mysteriorum celebrationem, aciem struunt contra ministros ; licebatque videre effusa divinorum symbolorum mysteria, clavisque percutiunt capita sacerdotum, sanguine permiscent sacram piscinam. Deinde quid ? Fugiunt omnes : miserabile spectaculum iis, qui illic erant detenti. Nam ex militibus quidem alius virginem trahebat, tanquam prædam bello captam : alius autem tunicas, alius vero divina mysteria et vasa pretiosa. Sacerdotes conjiciebantur in carceres, expellebantur magistratus, frequentia proferebantur edicta, et minæ intentabantur frequentiores, quæ jubebant abnegari Joannis communionem. Sed sic quoque non cessabat, imo vero magis invalescebat et corroborabatur fides : et quomodo dictum est in Exitu Israel : *Quo magis eos occidebant, eo magis crescebant* [16]. Hinc eos Joannitas nominarunt cacodæmones.

[16] Exod. I, 12.

αὐτά, προσθεὶς, ὅτι Δύο σου κατεψηφίσαντο σύνοδοι καὶ ἀδυνάτως ἔχω [τοῦ] κοινωνῆσαί σοι. Τί δὲ ὁ ποιμὴν ὁ καλὸς, ὃς τὴν τῶν θηρίων ἔλευσιν θεωρῶν οὐ φεύγει καὶ τὴν ποίμνην ἀφίησι ; Ἐγὼ θεόθεν, ἔφη, ὦ βασιλεῦ, τὴν ἐκκλησίαν πεπίστευμαι, καὶ ταύτης οὐκ ἀπολείψομαι. Εἰ δέ σοι τοῦτο διὰ θελήσεως, βίᾳ ἐξελαθήσομαι ἵν' ὅπη κατ' ἐμοῦ λειποταξίου γραφή. Τί δὲ ὁ τυραννούμενος βασιλεύς ; Τῇ βίᾳ τῶν κατηγόρων, μετὰ δέους τοῦτον τῆς ἐκκλησίας χωρίσας, ἐν τῷ ἐπισκοπείῳ διάγειν ἐνεκελεύετο · ἐκεῖνο διανοησάμενος, ὡς εἴ γέ τι πάλιν συμβῇ τῶν ἀδοκήτων, εὑρίσκειν τοῦτον εἰς ἐξιλέωσιν τάχιον. Οὕτως ὁ μέγας φωστὴρ τὴν Ἐκκλησίαν κωλύεται δᾳδουχεῖν · καὶ δὴ πάλιν παραυτὰ δι' ὄχλου γινόμενος παρὰ τῶν κατηγόρων ὁ βασιλεὺς, αὐτοῖς τὴν πᾶσαν βουλὴν ἐπιτρέπει, τὸ φρικτὸν τῆς ἡμέρας τοῦ ἱεροῦ Σαββάτου καὶ τὴν ἀρετὴν τοῦ ἀρχιερέως διευλαβούμενος. Τί οὖν οἱ ἐπιτετραμμένοι φασίν ; Ἐπὶ τὴν ἡμῶν κεφαλὴν, ὦ βασιλεῦ, ἡ καθαίρεσις Ἰωάννου · μόνον τάχιον ἐξωσθήτω. Πάλιν οὖν οὐδεμία ἐρώτησις, καὶ πάλιν ψῆφοι καὶ ἀποφάσεις. Διαγινώσκεται πᾶσι τὰ δράματα, συγχεῖται πᾶς ὁ λαὸς, συγχεῖται τὰ τῶν ἑορτῶν, ὁ φόβος φυγὴν ἐμποιεῖ, καὶ φυγόντες ὅ τε κλῆρος καὶ τὸ πιστὸν ἅπαν τοῦ λαοῦ καὶ τῶν ἐν ἀξιώμασι, τὸ θεῖον Πάσχα ἐν δημοσίῳ τινὶ λουτρῷ (Κωνσταντιαναῖς τοῦτό φασιν) ἐπετέλουν, τῆς τε νυκτὸς ἐκείνης ταῖς δοξολογίαις ἐπαγρυπνοῦντες, τούς τε κατηχηθέντας βαπτίζοντες, καὶ τὰ εἰωθότα τῷ καιρῷ λειτουργοῦντες. Προσαναφέρουσι καὶ ταῦτα τῷ βασιλεῖ οἱ τολμηταὶ τῶν κακῶν, τοῦτο μὲν, δεδιότες μή πως εἰσελθὼν καὶ μόνην εὑρὼν τὴν ἐκκλησίαν ὁ βασιλεὺς τοῦ λαοῦ μὲν τὴν εὔνοιαν διαγνῷ, τῆς βασκανίας δὲ αὐτῶν καταγνῷ· τοῦτο δὲ, πρὸς ἄμυναν τῶν ἐκεῖ πάντων γενέσθαι τὸν βασιλέα παρασκευάζοντες. Ἐντεῦθεν λαβόντες τὸν Λούκιον, ὃς ἦν Ἑλληνόφρων, καὶ τὴν τοῦ ὑπ' αὐτὸν στρατοῦ νεολαίαν, Θρᾶκας ξιφήρεις ὡσεὶ τετρακοσίους, δευτέρᾳ φυλακῇ τῆς νυκτὸς (ὢ τῶν ἐκεῖ τολμηθέντων, ἃ τίς Ἱερεμίας ἀξίως θρηνήσειεν ;) αἰφνίδιον ἰταμῶς εἰσεπήδησαν. Καὶ διασχίσαντες τοὺς ὄχλους χωροῦσιν ἔνδον τῶν ἁγίων ὑδάτων, κωλύουσι τῶν μυουμένων τὴν θείαν μυσταγωγίαν, ἀντιτάσσονται τοῖς διακόνοις, καὶ ἦν ἰδεῖν ἐκχεόμενα τὰ τῶν θείων συμβόλων μυστήρια· παίουσι ῥοπάλοις τὰς κάρας τῶν ἱερέων, αἵμασι κιρνῶσι τὴν κολυμβήθραν. Εἶτα τί ; Φεύγουσι πάντες, ἐλεεινὸν θέαμα τοῖς καταχθεῖσιν · ὁ μὲν τῶν στρατιωτῶν παρθένον εἷλκεν, ὡς λάφυρον · ὁ δὲ χιτῶνας · ὁ δὲ θεῖα μυστήρια καὶ κειμήλια. Οἱ μὲν ἱερεῖς ἐν εἱρκταῖς, οἱ δὲ ἐν ἀξιώμασιν ἀπηλαύνοντο. Διατάγματα συνεχῆ, αἱ ἀπειλαὶ συνεχέστεραι, τὴν Ἰωάννου κοινωνίαν ἀρνεῖσθαι προστάσσουσαι. Ἀλλὰ καὶ οὕτως οὐ κατηργεῖτο, μᾶλλον μὲν οὖν ἐκραταιοῦτο καὶ ἐπεσφίγγετο τὰ τῆς πίστεως, κατὰ τὸ εἰρημένον ἐν τῇ Ἐξόδῳ τοῦ Ἰσραήλ · *Ὅσον ἀπέκτεινον αὐτοὺς, τοσοῦτο πλείους ἐγίνοντο.* Ἐντεῦθεν Ἰωαννίτας αὐτοὺς ἐξωνομάκασιν οἱ ἀλάστορες.

Ὅσον [51] τίμιον τὸ τοῦ μονάδος βίου ἐπάγγελμα καὶ οἱ τὸν χρηστὸν ἐκεῖνον καὶ μακάριον ζυγὸν ἀναλαμβάνοντες ὁποίας εἰσὶν αἰδοῦς ἄξιοι καὶ τιμῆς, ἴσμεν καὶ αὐτοί· οὔκουν οὐδ' ἐπ' ἀθετήσει αὐτοῦ, ἀλλὰ μᾶλλον ἀθετήσεως ἐξαιρούμενοι ταῦτα διαθεσπίζειν διέγνωμεν καὶ ἀποφαινόμεθα. Ὅσον γὰρ θαυμαστὸν καὶ θεῖον, τοσοῦτον δεῖ τούτου μετὰ θαυμαστῆς ὅσης εὐλαβείας ἐφάπτεσθαι, ἀλλὰ μὴ κακογνωμοσύνης πρόφασιν τὸ τῆς μοναδικῆς πολιτείας ποιεῖσθαι σεβάσμιον. Πῶς γὰρ οὐκ ἔστι κακογνωμοσύνης, δρασμῷ τοῦ οἰκείου δεσπότου πρὸς ἐκείνην τὴν πολιτείαν ἔρχεσθαι τὸν οἰκέτην; Ἐπεὶ οὖν τοῖς πρότερον νενομοθέτηται [52] περὶ δούλων ἀποδιδρασκόντων καὶ οὕτω πρὸς τὸν μονήρη βίον ἐρχομένων, μέχρι μὲν τρίτου χρόνου δήλου γεγονότος τοῦ φυγάδος ἐξουσίαν ἔχειν τὸν δεσπότην τοῦ σχήματος ἀπογυμνώσαντα ἀναλαμβάνειν αὐτὸν, τρίτου δὲ παρελάσαντος χρόνου ἐν τῷ ἀφανεῖ διάγοντος, εἰ μετὰ ταῦτα πρὸς ἐμφάνειαν κατασταίη, κρείττω αὐτὸν ὑπάρχειν τῆς δεσποτικῆς ἐξουσίας καὶ παρὰ τὴν ἐκείνου γνώμην χρηματίζειν ἐλεύθερον· ἐπεὶ οὖν ἐκ τούτου πολλοῖς ὁρῶμεν ἀφορμὴν ἐγγινομένην εἰς τὸ

A

CONSTITUTIO IX.

De servo qui ignorante (78) domino clericus factus est,

Idem imperator Stephano sanctiss. universalique Constantinopolitano archiepiscopo.

Eidem rectæ rerum ecclesiasticarum constitutionis curæ insistentes, quæque sacrosanctis canonibus placuerunt, hisce nos etiam album calculum adjicientes, ab adversariis civilibus legibus hanc contradictionis pœnam, ut ex legitimis constitutionibus subtrahantur, exigimus.

Ut enim qui, cum servilis conditionis esset, ignorante domino venerandam sacerdotii dignitatem assumpserit, nudatus istinc promanante honore, in pristinum servitutis restitueretur statum, se-
B
cundum (79) Ecclesiæ Dei voluntatem et nos constituimus (80). Legem autem, quæ servum ignorante domino sacerdotem factum servitute liberat, huc ut neque effectum, neque fandi facultatem habeat, redigimus.

CONSTITUTIO X.

De servo qui inscio domino monachismum suscepit (81-82).

Idem imperat. Stephano sanctiss. Constantinop. archiepiscopo, et patriarchæ universali.

Quam præstans monasticæ vitæ professio sit, quique suave illud et beatum jugum suscipiunt, quanta illi reverentia et honore digni sint, scimus quidem et ipsi. Itaque non quo illum vituperemus,
C
sed potius quo vituperatione eximamus, hæc statuere visum est, et censemus. Quanto enim illa admirabilior diviniorque est, tanto majore et quidem quanta maxima attingi cum veneratione, nequaquam vero ingratitudinis et improbitatis velamen ac prætextum monasticæ vitæ dignitatem fieri oportet. Et certe quomodo improbitas dicenda non est, si homo servus, dominum suum fugiens, ad illud vitæ institutum deveniat? Quoniam igitur de servis fugitivis ad vitam monasticam devenientibus, statutum a superioribus (83) est, ut si intra tres annos fugitivus manifestus fiat, illum habitu nudatum recipiendi facultatem dominus habeat: si vero usque in tertium annum incognitus manserit, tametsi postmodum agnoscatur, ut domini potestati
D
non obnoxius sit, præterque illius voluntatem liber nuncupetur: et vero inde multos fugiendi dominos suos occasionem cepisse, ac re honesta mo-

VARIÆ LECTIONES.

[44] Est in Ecl. Nov. quinta. Citatur a Balsamone in Commentario ad Photii Nomocanonem Tit. I, cap. 36 et tit. XI, cap. 3, hujus *Patrologiæ* t. CIV. [45] Melius περὶ τῆς τῶν. [46] Hinc incipit Ecloga. [47] Vide Justiniani Nov. 123, c. 17. [48] Ecl. συνεγνωκότος. [49] Est in Ecl. Nov. 6 et laudatur a Balsamone locis Nov. 9, citatis. [50] cod. Paris. 1385: περὶ τοῦ οἰκέτην ἀποδράντα τοῦ οἰκείου δεσπότου καὶ τὸν μονήρη βίον ὑποδεδυκότα. [51] cod. Paris ὅσῳ; rectius forte ὅσου. [52] Justiniani Nov. 123, c. 35. Vide Balsam. ad Photii Nomocan. tit. I, c. 36, *Patrologiæ* t. CIV.

NOTÆ.

(78) Adde Nov. 123, c. 17.
(79) Adde epist. ad Philemon.
(80) Vid. d. c 17.
(81-82) Ut a domino possit ex monasterio in servitutem retrahi, quantocunque tempore in monasterio delituerit.
(83) Nov. 5, c. 2, § 1, versic. Triennii vel semel expleto tempore.

nasticæ vitæ professione, ad tegendam malitiam abuti videmus (cuilibet enimvero perfacile est, ut ad triennum se occultet, deindeque libertatem consequatur).

Jubemus, ut quantocunque tempore servus tali consilio monachus factus delituerit, si ipsum aliquando dominus inveniat, nihilominus is quem malo proposito habitum sumpsit, hoc exuatur (84), rursumque in domini potestatem subigatur. Nam quod pio affectu habitum illum sumpserit, quantumvis id verbis ipse fingat, ne dici quidem potest. Sive enim cum benevolo placidoque domino uteretur, pro amore, odio concepto, fugere decreverit, extremæ ingratitudinis et improbitatis argumentum habes: sive (ut sunt res humanæ) molestiis et injuria affectus non tolerarit, ac idcirco dominum deseruerit, quomodo eam rempublicam magnifaciet, quæ cives suos in Christi crucem et mortem continenter respicere vult?

CONSTITUTIO XI.

De servo qui ignorante domino episcopus factus est.

Idem imperator Stephano sanctiss. Constantinop. archiepiscopo, et patriarchæ universali.

Quod de servo (85-86) qui venerandam sacerdotii dignitatem furatus sit, idem et de illis servis quibus nesciente domino ad primarii sacerdotii honores conscendere visum est, statuimus: ut videlicet secundum ecclesiasticæ constitutionis voluntatem exauctorati, honore in quem clam irrepserint, priventur, et ad suum servilemque statum reducantur. Non enim profecto qui aliis in rebus furto vel fraude aliquid subtrahunt, his non modo ea quæ subtraxerint retinere non concedimus, sed interdum etiam ut maleficos puniemus, et qui tantarum rerum furta audent, hos inde honeste vivere, et ex uno fraudis pessimo exercitio duo omnium longe pretiosissima, libertatem et sacerdotii prærogativam, lucrari sinemus?

Ergo si quis servus ignorante domino episcopus creatus sit, inde ad servitutis effugium nil juvatur.

CONSTITUTIO XII.

De officinarum (87) Magnæ ecclesiæ usu.

Idem imperator Stephano, sanctiss. Constantinop. archiepiscopo, et patriarchæ universali.

Constantinus (88), hic qui primus Christi, no-

τῶν οἰκείων δεσποτῶν ἀποδιδράσκειν, καὶ πράγματι σεμνῷ (τῷ μοναδικῷ ἐπαγγέλματι) εἰς πρόφασιν ἀποχρῶνται κακουργίας (ῥᾴδιον γὰρ παντὶ βουλομένῳ οἰκέτῃ μέχρι τριετίας κρύπτειν ἑαυτὸν, εἶτα τῆς ἐλευθερίας ἀντιποιεῖσθαι).

Κελεύομεν [83], ὅσον ἂν καὶ διαλάθοι ὁ γνώμῃ τοιαύτῃ μονάσας οἰκέτης, ἐὰν ὁ δεσπότης ἐν οἱῳδήποτε καιρῷ τοῦτον ἀνεύροι, ὅπερ κακούργῳ προαιρέσει περιβέβληται ἀποδύεσθαι σχῆμα καὶ ὑπὸ τὴν δεσποτικὴν ἐξουσίαν πάλιν αὐτὸν κατατάττεσθαι. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν, ὡς εὐλαβεῖ διαθέσει τοῦτο περιεβάλετο, κἂν τοῦτο λέγειν αὐτὸς πλάττοιτο. Ἄν τε γὰρ εὐνοίας δεσποτικῆς ἀπολαύων ἀντὶ τοῦ στέργειν μῖσος ἀναλαβὼν φεύγειν ἔγνω, ἐσχάτης κακίας ἀπόδειξις· ἄν τε (οἷα τὰ ἀνθρώπινα) λυπηρῶν τινων εἰς πεῖραν καταστὰς οὐκ ἤνεγκεν, ἀλλὰ διὰ τοῦτο τὸν δεσπότην ἀπέλιπε, πῶς ἐκείνην τιμήσει τὴν πολιτείαν, ἢ [84] τοὺς πολίτας διὰ παντὸς ἀφορᾷν πρὸς τὸν τοῦ Χριστοῦ σταυρὸν καὶ τὸν θάνατον βούλεται;

ΔΙΑΤΑΞΙΣ ΙΑ' [85].

Περὶ δούλου γεγονότος ἐπισκόπου ἀγνοίᾳ τοῦ δεσπότου.

Ὁ αὐτὸς βασιλεὺς Στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ὅπερ ἐπὶ τοῦ κλέψαντος οἰκέτου τὸ τῆς ἱερωσύνης σεμνὸν ἀξίωμα, τοῦτο καὶ ἐπὶ τῶν εἰς ἀρχιερατικὴν δοξάντων ἀναβεβηκέναι τιμὴν οἰκετῶν παρὰ τὴν γνώμην τοῦ οἰκείου δεσπότου ὁρίζομεν, τὸ κατὰ τὸ βούλημα τῆς ἐκκλησιαστικῆς διατάξεως ἀποχειροτονεῖσθαι μὲν τούτους τῆς ἐν ᾗ κατέστησαν λάθρα τιμῆς, πρὸς δὲ τὸ οἰκεῖον καὶ δοῦλον σχῆμα ὑπάγεσθαι. Οὐ γὰρ δὴ τοὺς μὲν ἄλλως ὑφελομένους τι κλοπῇ καὶ ἀπάτῃ οὐ μόνον οὐ συγχωρήσομεν ἃ ὑφείλοντο ἔχειν ἀναφαίρετα, ἀλλ' ἐνίοτε καὶ ὡς κακούργους τιμωρησόμεθα, τοὺς δὲ τολμῶντας οὕτω μεγάλων πραγμάτων κλοπὰς, τούτους ἐάσομεν σεμνῶς ἐκ τοῦ κλέψαι διάγειν καὶ ἑνὸς ἄθλου κακίστου τῆς ἀπάτης δύο κερδαίνειν τὰ τιμιώτατα, ἐλευθερίαν καὶ ἱερωσύνης προνόμιον;

Τοιγαροῦν καὶ εἴ [86] τις δοῦλος ὢν ἀγνοίᾳ τοῦ οἰκείου δεσπότου ἐπίσκοπος κεχειροτόνηται, καὶ οὗτος [87] μηδὲν ἐκ τῆς τοιαύτης βοηθείσθω χειροτονίας εἰς ἀποφυγὴν τῆς δουλείας

ΔΙΑΤΑΞΙΣ ΙΒ'.

Περὶ τῆς τῶν ἐργαστηρίων χρείας τῆς Μεγάλης ἐκκλησίας [88].

Ὁ αὐτὸς βασιλεὺς Στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Κωνσταντῖνος ὁ πρῶτος τῇ τοῦ Χριστοῦ κλήσει τὸ

VARIÆ LECTIONES.

[83] Ecl. hinc incipit. [84] Scrimg. ἧς. [85] Est in Ecl. Nov. septima et laudatur a Balsamone locis Nov. 9 allegatis. [86] Hinc incipit Ecl. [87] Sic Ecl. Zuich. οὔτω; Meerm. cod. εἰς τό. [88] Zuich. et Meerm. codd. rubricam non habent.

NOTÆ.

(84) Ne ex sua fuga et improbitate commodum consequatur.

(85-86) Nov. 91, supra eod.

(87) Novell. 41. Novell. 59.

(88) Vid. d. Nov. 43 in princ., et Nov. 59 in princ.

στέφος τῆς βασιλείας βασιλικώτερον ἀποφήνας τῶν ἄλλων αὐτοῦ κατορθωμάτων καὶ τῆς βασιλικῆς προνοίας ἐπάξιον καὶ τοῦτο προνενοημένος τὸ περὶ τῆς τῶν ἀποιχομένων ταφῆς, οὓς ἡ ἀπορία μέχρι καὶ τούτου συνέχει, ἐργαστήρια τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐπέταξεν ἐκκλησίᾳ, ὧν ἐκ τοῦ τέλους διώκησε τὴν χρείαν τῆς ταφῆς χορηγεῖσθαι. Ταύτην δὲ ἄρα τὴν πρόνοιαν ὕστερον εὐσεβούντων ἀνδρῶν φιλοτιμία διαδεξαμένη, αὐτή τε τοῖς ἀπόροις εἰς ταφὴν ἐπαρκοῦσα, τὴν εἰς ταύτην τὴν χρείαν χορηγίαν ἀνέτειλεν, καὶ νῦν τὸ παράπαν οὐδὲν ἐκεῖθεν ὁρᾶται καθ' ἣν ἐξ ἀρχῆς ἔθετο φροντίδα ὁ τρισμακάριστος βασιλεὺς οἰκονομούμενον.

Ἀλλὰ γὰρ εἰδότες ἡμεῖς, ὡς ἅπαξ ἡ ἐκκλησία τὰ τῶν ἐργαστηρίων οἰκειουμένη τέλη, εἰ καὶ μὴ πρὸς ἣν ἐξ ἀρχῆς ὡρίσθη θεραπείαν τοῦ θείου αὐτὰ καταβάλλεται διὰ τὸ μὴ τὴν χρείαν ἐπιζητεῖν,' ἀλλά γε πρὸς ἑτέραν τινὰ πάντως λειτουργίαν καὶ αὐτὴν θεραπεύουσαν τὸ κρεῖττον ταῦτα οἰκονομεῖ, ὁρίζομεν, τὴν ἀνέκαθεν περὶ τούτων διάταξιν ἀκίνητον διαμένειν. Ἔστι δ' ἅμα πάντων τῶν εἰς ταύτην ἀποτεταγμένων τὴν λειτουργίαν ἐργαστηρίων ἑκατὸν ἐπὶ χιλίοις ἡ ἀπαρίθμησις.

ΔΙΑΤΑΞΙΣ ΙΓ'[89].

Περὶ τῶν διηνεκῶν ἐμφυτεύσεων [90].

Ὁ αὐτὸς βασιλεὺς Στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Πρᾶγμα πλεονεκτικόν τε καὶ ἄθεσμον καὶ ὑπὸ τῶν προΐστασθαι λαχόντων τῶν ἀνατεθειμένων οἴκων Θεῷ (φημὶ δὴ ἐκκλησιῶν καὶ ξενοκομείων καὶ χηροτροφείων [91] καὶ ὀρφανοτροφείων) ταῖς ἡμετέραις ἀκοαῖς ἀνηνέχθη τολμᾶσθαι. Τῶν γὰρ ἐκδιδομένων ἔφασαν οἰκημάτων, ἤδη τοῦ συμπεφωνημένου χρόνου ἐκμετρηθέντος καὶ περιόδου ἐνστάσης ἀρχῆς καὶ ἀνανεώσεως τῆς τούτων διακατοχῆς, οὐ γίνεσθαι τὴν καταβολὴν ὡρισμένην τινά, ἣν καὶ ἰδίως εἰσδεκτικὸν καλοῦσιν, ἀλλ' ὡς ἂν παραστῇ τῇ πλεονεξίᾳ τῶν λαχόντων τὴν προστασίαν, οὕτω βαρύνεσθαι ταῖς τοιαύταις εἰσπράξεσι τοὺς τῶν οἰκημάτων διακατόχους.

Τοῦτο γοῦν καὶ ἄλλως μὲν χαλεπὸν ἅπασιν ὑπάρχον συνορῶντες, μάλιστα δὲ γινόμενον χαλεπώτε-

A mine imperii coronam splendidiorem ac augustiorem reddidit, ubi etiam dignum aliis suis præclaris facinoribus imperatoriaque cura fore prospexisset, de sepultura nempe eorum mortuorum quos in ea etiam re egestas premeret, officinas, ex quarum vectigali necessarios ad humandos mortuos sumptus suppeditandos ordinasset, sanctæ Dei ecclesiæ applicavit. Hanc igitur provisionem cum piorum hominum æmulatio postmodum excepisset, quæ et ipsa pauperibus ad sepeliendum sufficeret, permultum illa in hunc usum sumptus auxit. Verum nunc omnino nihil ea sollicitudine, qua initio ter ille quaterque beatus princeps voluit, dispensari inde videas.

At nos, et scientes quidem quod postquam ec- B clesia officinarum vectigalia occupavit (tametsi quod usus non postulet) in quem ab initio constitutum est, Numinis cultum illa non expendat, in aliud tamen quodpiam ministerium, et ipsum ad numinis cultum pertinens, prorsus illa dispenset: statuimus, ut quæ de his jam olim edita constitutio (89-90) est, immota et inviolata permaneat. Officinæ autem omnes quæ in hoc ministerium attributæ sunt, supra mille numero sunt ad centum.

CONSTITUTIO XIII.

De perpetuis emphyteusibus (91).

Idem imperator Stephano, sanctissimo Constantinop. archiepiscopo, et patriarchæ universali.

C Rem fraudulentam simul et illicitam consecratarum Deo ædium (ecclesiarum videlicet, hospitiorum, et viduis pupillisque alendis destinatarum domuum) præfectos etiam audere ad nostras delatum est aures. Narratum est enim cum domus elocatæ sint, jamque tempus pacto constitutum decurrat, quando locationis terminus ac possessionis renovatio (92) instat, non fieri certam aliquam et statutam solutionem, quam peculiari nomine εἰσδεκτικὸν (93) vocant, sed quomodo præfectis pro ipsorum avaritia visum sit, ita exactionibus domuum possessores prægravari.

Id igitur cum omnibus grave, tum pauperioribus (quod ita ipsis durior egestatis necessitas impona-

VARIÆ LECTIONES.

[89] In Ecl. Nov. 8. [90] Ecl. περὶ ἀναχάμψεως. [91] Zuich. et Meerman. cod. χειροτροφέων; Beck γηροτροφέων.

NOTÆ.

(89-90) Nov. 43.

(91) Quidam legunt περὶ ἀναχάμψεως, vid. Cuj. 2 Feud. 5.

(92) Ἀνανεώσεως Scr. Cujacius d. loco videtur legisse, περὶ ἀναχάμψεως, qui et hunc locum de precaria accipiendum esse existimat. Hinc illud Caroli Magni 4 leg. Franciæ, Si quis in censibus reddendis et precariis novandis negligens fuerit. Precaria porro non est eadem cum libellaria, dixi ad l. 24, §. 1. C. de sacrosanct. cum feudo, cum usufructu, quin cum ipsa emphyteusi. Quamvis illa omnia sint ususfructus. Ideo perspicitur, quod D is qui dat, proprietatem retineat ad instar pignoris, hypothecæ, fiduciæ, ἀντιχρήσεως, quæ omnia non eadem sunt, etiam si in hoc unum conveniant, quod sint pignora. Itaque Cujacius putat precariam esse cessionem ususfructus rei immobilis, quæ sit clerico ad tempus vel dum vixerit, ea lege ut ecclesiæ ministerium exhibeat, quod vix est ut huic loco conveniat; videtur enim pertinere ad omnes omnino homines, quibus jus est ab ecclesia emphyteusim accipere, non ad solos sacerdotes.

(93) Εἰσδεκτικόν, renovationis pretium. De mercedibus dixi ad edicta 13. Justin. c. 7.

tur) longe esse acerbissimum videntes, ne id amplius fiat lege cavemus : sed ut certa quantitate ad duplum emphyteutici; vectigalis constituenda solutio definiatur : et insuper omnis illatio locationis instrumentis inscribatur, domuique nulla novatio afferatur : non vero in præfectorum quæstum intervertatur, dum illi non ut domuum utilitati consulant, sed sceleste sibi lucrum parent, hoc agunt.

A τερον ἐν τοῖς ἀπορωτέροις δι' ὧν αὐτοῖς βαρυτέρα ἡ τῆς ἀπορίας ἀνάγκη καθίσταται, οὐκ ἔτι οὕτω γίνεσθαι νόμον [62] τιθέμεθα, ἀλλ' ὡρισμένῃ ποσότητι περιορίζεσθαι τὴν καταβολὴν πρὸς τὸ διπλάσιον ἀριθμουμένην τοῦ τέλους τῆς ἐμφυτεύσεως, προσγραφομένης δηλονότι τῆς εἰσφορᾶς ἁπάσης ἐν τοῖς τῆς ἐκδόσεως χάρταις· καὶ τῷ οἴκῳ ἀκαινοτομήτου προσαγομένης, ἀλλὰ μὴ πρὸς ἴδιον πορισμὸν τῶν εἰς τὴν προστασίαν καθισταμένων σφετεριζομένης, ὑπόθεσιν ἀνοσίου κέρδους καὶ οὐχὶ τῆς τῶν οἴκων ὠφελείας τὸ πρᾶγμα ποιουμένων αὐτῶν.

CONSTITUTIO XIV (93-95).

De (96) *iis qui monasterium imperfectum relinquunt.*

Eidem idem imperator.

Qui præcipitanter ambitioseque ad faciendum aliquid fertur, ac ipso in initio viribus ac facultate destituitur, sive manifestum vitium, sive benignitatis speciem conatus præ se ferat, simul ille reprehensione dignus, simul aspernandus est. Hoc sane et qui similitudines ab initio proverbiaque loquitur, Dominus noster et Servator in Evangeliis vult, ubi de ædificatione urbis et absolutione, ac de similibus sermocinatur. Merito igitur et sacræ leges (97) et civilia decreta similes edunt, ejusdemque sensus admonitiones, ut quicunque monasterium construere instituerent, si ad perficiendum opus pares non essent, id aggredi prohiberentur. Oportet enim quascunque res, ubi ad perfectionem pervenerint, tum demum convenientem appellationem indipisci : nequaquam vero nomen rebus imperfectis, ut consummatæ constitutionis sint, præstare potest. Itaque (quod dictum est) recte sacra civilisque lex eos qui ad rem absolvendam pares non sint, fabricandi monasterii conatu prohibet. Verum quoniam incognitum illud est, quando monasterium sufficienter absolutum judicari debeat (non enim expresse ab illis hujusmodi absolutio definita est), hac de re certum atque evidens editum promulgare placuit.

Dicimus igitur (quoniam divinum os locutum (98) est : *Ubi duo aut tres in nomine meo congregati sunt, ibi in medio illorum sum*), quod opus aliquod monasterii appellationem subiturum, minimum (99) tribus sufficere oporteat : quod nimirum idem opus, si facultatibus quoque abunde instruatur, ad celebritatem nominis etiam valeat. Ut ergo quis liberam impedimentoque carentem ad dedicandum monasterium aggressionem habeat, in tot minimum monachos dedicationem concipiat necesse fuerit. Porro quia permulti, qui se istiusmodi incepto

ΔΙΑΤΑΞΙΣ ΙΔ' [63].

Περὶ τῶν καταλιπόντων ἀτελὲς μοναστήριον.

['Ο αὐτὸς βασιλεὺς [64]] τῷ αὐτῷ.

Τὸ τῆς γνώμης προπετὲς καὶ φιλόνεικον πρὸς
B ἔνστασιν τὴν ἰσχὺν καταπαλαίουσαν ὁμοίως νεμεσητόν τε καὶ ἀναπόδεκτον, ἄν τε δήλην ἔχῃ τὴν κακίαν ἡ ἐπιχείρησις, ἄν τε σχῆμα ἐπιεικὲς προβαλλομένη προσέρχηται. Τοῦτο καὶ ὁ τὰς παραβολὰς καὶ τὰ ἀπ' ἀρχῆς προβλήματα φθεγγόμενος ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ ἐν Εὐαγγελίοις βούλεται, ἐν οἷς πόλεως οἰκοδομὴν καὶ ἀπάρτισιν καὶ τὰ ὅμοια διαλέγεται. Εἰκότως ἄρα οἵ τε ἱεροὶ θεσμοὶ καὶ ἡ πολιτικὴ ψῆφος σύμφωνα ἀφιᾶσι παρακελεύσματα, τοὺς ὅσοι μὴ πρὸς ἀπαρτισμὸν τοῦ ἔργου ἱκανοὶ ὄντες μοναστηρίου κατασκευῆς ἐφάπτονται, ἀπείργειν [65] τῆς ἐπιχειρήσεως. Δεῖ γὰρ τὰ πράγματα, ὁποῖά ποτ' ἂν ᾖ, πρὸς τελείωσιν ἥκοντα οὕτω τὴν προσήκουσαν ἐφαρμόζεσθαι κλῆσιν, ἀλλ' οὐχὶ μόνον ἐξαρκεῖ τὸ ὄνομα τῇ
C τῶν πραγμάτων ἀτελείᾳ παρέχειν τὴν σύστασιν. Ὅπερ οὖν εἴρηται, καλῶς ἀπαγορεύει τό τε ἱερὸν, τό τε [66] πολιτικὸν θέσμιον, ἐπιχειρεῖν οἰκοδομεῖν μοναστήριον τοὺς οὐκ ὄντας αὐτάρκεις πρὸς τὴν τοῦ πράγματος τελείωσιν. Ἐπεὶ μέντοιγε ἄδηλον ἐκεῖνο, τὸ μέχρι τίνος ὁ ἱκανὸς ἀπαρτισμὸς εἰς μοναστηρίου κατασκευὴν (οὐ γὰρ διώρισται ῥητῶς παρ' αὐτοῖς ὁ τοιοῦτος ἀπαρτισμὸς), ἔδοξε δῆλον περὶ τούτου ἐκφῆναι δόγμα.

Φαμὲν οὖν, ὡς ἐπεὶ τὸ θεῖον ἐπεῖπε [67] στόμα, *Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν*, χρῆναι τὸ ἐλάχιστον τρισὶν ἐπαρκεῖν τὸ μοναστηρίου κλῆσιν ὑποδυόμενον ἔργον, ὃ δηλονότι καὶ δοξολογίαν ὁρᾷ συνυπαρχούσης τῆς
D εὐπορίας. Τῷ μὲν οὖν πρὸς ἀνιέρωσιν μοναστηρίου ἀκώλυτον ἕξοντι τὴν ἐπιχείρησιν εἰς τοσοῦτον δεήσει τὸ ἐλάχιστον τὸ ἀφιέρωμα συντελεῖν. Ὅτι δὲ πλεῖστοι πρὸς τὴν τοιαύτην ἐπιχείρησιν ἑαυτοὺς ἐπιδιδόντες ἐνίοτε ὀπίσω βουλῆς ἀπολείπονται, προλαμβάνοντος τοῦ θανάτου καὶ τῆς ἐν ἀνθρώποις αὐτοὺς συναναστρο-

VARIÆ LECTIONES.

[62] Ecl. incipit διὰ τοῦτο νόμον τιθέμεθα. [63] Est in Ecloga Nov. nona ; citatur ab Harmenopulo lib. v, tit. 8 ed. 1587, p. 398. [64] Uncis inclusa non habet Scrimg., addit Beck. [65] Zuich. et Meerman. cod. ἀπεῖργον. [66] τότε addidit Stephanus. [67] Zuich. et Meerm. rectius ὑπεῖπε.

NOTÆ.

(93-95) Adde Nov. 76. c. 4. Nov. 131. c. 7.

(96) Meminit ejus Novellæ Harmenopul. 5. tit. 8. § 108.

(97) D. c. 1. d. c. 7.

(98) Matth. XVIII, 20.

(99) Imo duo videntur sufficere. l. 11. ff. De testibus. Sed id forte receptum fuit, quod duo familiam non faciunt. l. 40. in ser. ff. de ver. sig.

φῆς ἐξαφανίζοντος, ἐκεῖνο [68] ἡμῖν θεσπίζεται, ὡς διατυπώσεως προελθούσης τὰ ἐν ταύτῃ διορισθέντα ἔσται τῆς ἐκκλησίας, εἰ δ' (ὁποῖα πολλὰ φέρει τὸ ἄδηλον) πρὸ τῆς τῶν οἰκείων ἀναρπασθείη διατυπώσεως, παίδων μὲν ὑπόντων ἄχρι τριῶν, τέταρτον μέρος τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή, ἐπέκεινα δὲ τοῦ τρίτου ἀριθμοῦ προϊόντος τοῦ τῆς γονῆς πλήθους, συγκαταλέξεται τὸ μοναστήριον τοῖς παισὶ, καὶ τὰ ἴσα ἑνὶ τούτων ἑκάστῳ λήψεται ἐκ πάσης περιουσίας ἧς οὐχ ἅπτεται χρέα τοῦ τεθνηκότος. Ἄπαιδος δὲ ὑπάρχοντος τοῦ τὸν βίον λιπόντος, ἐπὶ γονεῦσι δὲ λιπόντος, διχῇ τῶν προσόντων διαιρουμένων ἡ μὲν τοῖς γονεῦσιν, ἡ δ' ἑτέρα μοῖρα τῷ μοναστηρίῳ παρασχεθήσεται. Εἰ δ' ἔρημος εἴη κληρονόμων ἀνιόντων καὶ κατιόντων, τοὺς ἐκ πλαγίου δὲ εἰσιόντας ὁ κλῆρος προσίεται, αὐτοὶ μὲν ὅσοι ἂν καὶ ὦσι τὸ τρίτον μέρος διανεμήσονται [69], τὸ δίμοιρον δὲ προχωρήσει [70] τῇ ἐκκλησίᾳ. Εἰ μέντοιγε ἢ δι' ἄγνοιαν ἢ δι' ἑτέραν τινὰ αἰτίαν εἰς ἐναντίαν γνώμην τὰ διατετυπωμένα ἀποκρίνηται τῆς νομίμου προαιρέσεως, θεσπίζομεν, τὸν κατὰ τὸν τόπον θεοφιλέστατον ἀρχιερέα ὅσα μὲν ἀποχρῶντα [71] εἰς διοίκησιν ἐκκλησίας καὶ τῶν ἐν αὐτῇ μελλόντων παρεδρεύειν ἀντιλαμβάνεσθαι, τοῖς δὲ λοιποῖς τὴν τῶν νόμων βουλὴν καὶ διάταξιν [72] διαιτᾷν.

A dedunt præveniente morte, ipsosque hominum consortio eripiente, interdum proposito destituuntur : illud a nobis statuitur, ut si testamentum conditum sit, quæ in illo ecclesiæ assignata sunt, eadem illi cedant. Si vero (ut identidem ex mortis incertitudine contingit) antequam de rebus suis statueret, evectus fuerit, tum si ad tres numero liberi supersint, quadrantem bonorum involabit monasterium : sin ultra ternarium numerum sobolis multitudo procedet, liberis connumerabitur monasterium, et deducto ære alieno, ex universa substantia, quantum ipsorum quisque capiet. Quod si defunctus sine liberis decesserit, parentes autem superstites habeat, rebus bifariam divisis, una pars parentibus, altera monasterio applicabitur. At B si neque parentes, neque liberos hæredes habeat, et cognati ad hæreditatem prodeant, ipsi quidem quotcunque fuerint, trientem inter se distribuent, bes vero ecclesiæ accedet. Verum enim vero si aut per oblivionem aut aliam quampiam causam, in contrariam laudabili legitimoque proposito testamentum sententiam conceptum sit, ut ejus loci antistes Dei amantissimus, quantum ad ecclesiæ eorumque qui in illa assessuri sunt, sustentationem suffecerit, vindicet : de reliquis vero legum præscriptio et testamentum dijudicent.

ΔΙΑΤΑΞΙΣ ΙΕ' [73].

Περὶ τοῦ ἐξεῖναι τὸ σωτήριον βάπτισμα ἐν παντὶ εὐσεβεῖ εὐκτηρίῳ τελεῖν [74].

Ὁ αὐτὸς βασιλεὺς Στεφάνῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Καὶ οὗτος ὁ τῆς σεβασμίας ἕκτης συνόδου κανὼν ἱερὸς, ὃς τὸ θεῖον τῆς ἀναγεννήσεως λουτρὸν ἐν τοῖς κατ' οἶκον εὐκτηρίοις τελεῖσθαι ἰδίᾳ οὐ βούλεται, ἀλλὰ ἐν μόνοις τοῖς πρὸς τὸ κοινὸν ἀνιερωμένοις ναοῖς, ἀδελφὰ παρακελευόμενος τοῖς οἳ τὰς ἱερὰς θυσίας καὶ τελετὰς κατ' οἴκους ἀποτρέποντες γίνεσθαι ἔτυχον παρ' ἡμῶν ἐπισκέψεως ἔμπροσθεν [75], ὁμοίως καὶ ἀδελφῆς [76] ἐκείνων ἐπανορθώσεως τεύξεται.

Ὁρίζομεν οὖν καθὼς περὶ θυσιῶν, οὕτω καὶ περὶ τοῦ [77] σωτηρίου βαπτίσματος, τὸ ἐξεῖναι αὐτὸ ἐν παντὶ εὐσεβῶν [78] εὐκτηρίῳ τοῖς βουλομένοις τελεῖν. Τὴν γὰρ τοιαύτην ἀκρίβειαν δοκεῖ μοι πεποιῆσθαι τὸ ἱερὸν τῆς συνόδου διάταγμα διὰ τοὺς ἐν ἱερέων ὀνόματι ἀνιέρους καὶ βεβήλους τοὺς ὑπ' αὐτῶν προσαγομένους τῷ λουτρῷ ποιοῦντας, οἳ, ὡς εἰκὸς, ἐν τοῖς τῶν ὁμοδόξων οἴκοις ὑποδυόμενοι οὐ τελοῦσιν, ἀλλὰ συντελοῦσι τοῖς αὐτοῖς προσερχομένοις [79]. Αὕτη δὲ εἰ

CONSTITUTIO XV.

Ut salutarem baptismum (1) in quocunque sacro oratorio peragi liceat (2).

Idem imperator Stephano sanctissimo Constantinop. archiepiscopo et patriarchæ universali. C

Etiam hic venerandæ sextæ synodi (3) sacer canon (4), qui non in privatarum ædium oratoriis seorsum, sed solum in communem usum consecratis templis, divinam regenerationis lotionem perfici vult, cum similia cum illis jubeat, qui sacrosancta sacrificia et mysteria in privatis domibus celebrari vetant (5), ideoque a nobis jam pridem consideratius expensi sunt : tanquam illorum germanus similiter correctionem consequetur.

Statuimus igitur, quemadmodum de sacrificiis sic quoque de salutifero baptismate, ut et ipsum in quocunque sacro oratorio quibuslibet peragere licitum sit. Nam hæc tam stricte sacrum synodi D decretum constituisse mihi quidem videtur, propter eos qui quanquam sacerdotum nomen gerant, profani tamen sunt, et quos ad lavacrum adducunt, pollutos reddunt : qui (ut apparet) domos ejusdem opinionis hominum subeuntes, non rem

VARIÆ LECTIONES.

[68] Hinc incipit Ecloga. [69] cod. διανεμηθήσονται. [70] Ecloga προσχωρήσει. [71] Eclogæ nonnulla exemplaria retinent ἀποχρῶνται. [72] Scrimg. διάθεσιν. [73] Citatur a Leuncl. Jur. Gr. Rom. I, 29 ; II, 78. [74] Meerm. cod. ad marginem : αὕτη κρατεῖ. [75] cf. supra Constit. 4. [76] Zuich. ἀδελφοῖς. Scrimg. ἀδελφῶς. [77] Balsamon addit τοῦ. [78] Scrimg. εὐσεβεῖ. [79] Spangenberg scribendum censet προσερχομένοις.

NOTÆ.

(1) Superius dixit περὶ τοῦ μὴ τὰς ἱερὰς μυσταγωγίας καὶ λατρείας οἴκοι ἐπιτελεῖν. Nov. 4, nunc de baptismo.

(2) Ea ita abrogatur canon 59 Synodi 6, in Trullo. Adde Nov. 58.

(3) In Trullo § 17.

(4) Canon 59.

(5) Nov. 4, § eod. Nov. 58.

divinam faciunt, sed cum iis qui conveniunt inau- A spicati aliquid moliuntur. Hanc vero provisionem tametsi et divinam esse, et multa salutaria continere constet, non tamen illa ad impietatis plenos a suis vitiis coercendos sufficiat. Nam et res audax est malitia, omnique modo, clausis etiam oratoriis, ad explendum propositum suum, suam inveniat viam. Verumtamen cum nunc divina gratia omnes perversæ opiniones sint profligatæ, etiam quantum ad hoc attinet, quamobrem reipublicæ hoc decretum ad prohibendam in privatarum ædium oratoriis regenerationis lotionem obtrudatur, nullam equidem esse necessariam causam video.

CONSTITUTIO XVI.

Ut qui viginti (6) *annos habet hypodiaconus creari possit.* B

Idem imperator eidem.

Vetus verbum, quod (7) de rebus suis dicenti aures esse operiendas monet, cum in aliis omnibus perbelle sese habeat, tum hic longe esse pulchrius apparet. At quorsum hoc? Civilis (8) lex statuit, ne minor viginti quinque annis in divinis officiis creetur hypodiaconus; decretum sacrum contra statuit, ut qui ad istiusmodi ministerium accedit, hunc vigesimus annus ad ordinationem perducat.

Dignum itaque sacram legem de rebus suis præcipientem audire imperatoria nostra majestas rata, et in eamdem cum illa sententiam descendit, et statuit, ut qui ad vigesimum annum pervenit, C modo anteactæ vitæ ratio obstaculo non sit, quantum ad ætatem, hypodiaconi officium suscipere non impediatur.

CONSTITUTIO XVII.

De puerperis quando divinorum mysteriorum participes fiant: et quando infantes baptizentur, post quadraginta videlicet dies, extra quam si necessitas urgeat.

Idem imperator eidem.

Id quod beatitudo tua postulat, a vobis procedere, quam a nobis originem sumere ac proficisci æquius fuerat. De re (9) enim sacra sanctitatem tuam sancire oportebat. Verum quoniam super uno duntaxat capite concilium consultare (cum de multis decernere concilii sit) inconveniens esse, nos vero et citra concilium decretum facere posse di- D citis: admonitionem suscipientes, quibus de rebus postulationem instituistis, de iis constitutionem emittimus. Cum itaque Dominus et Servator noster, quo splendore gloriæ ipsius illuminarentur qui in tenebris ambulant, juxta atque nos carnis atque sanguinis nostri particeps factus fuerit:

A καὶ θεία καὶ πολὺ τὸ σωτήριον ἔχουσα διαδείκνυται πρόνοια, ὅμως οὐκ ἐξαρκεῖ τοὺς τῆς ἀσεβείας ἀναπεπλησμένους τῆς ἑαυτῶν κακίας ἀναχαιτίζειν. Καὶ γὰρ τολμηρὸν ἡ κακία, καὶ παντί γε τρόπῳ χώραν οἰκείαν εὑρήσει, καὶ τῶν εὐκτηρίων ἀποκεκλεισμένων, εἰς ἐκπλήρωσιν τῆς οἰκείας προαιρέσεως. Πλὴν ἀλλά γε νῦν θείᾳ χάριτι πάσης κακοδοξίας ἀπεσκορακισμένης, οὐδὲν καὶ κατὰ τοῦτο τὸ μέρος ὁρῶ μοι τὸ δόγμα προβαλλόμενον ἀναγκαῖον εἰς τὸ κωλύειν ἐν τοῖς κατ' οἶκον εὐκτηρίοις τὸ λουτρὸν τῆς ἀναγεννήσεως.

ΔΙΑΤΑΞΙΣ ΙϚʹ.

B *Περὶ τοῦ μὴ χειροτονεῖσθαι ὑποδιάκονον κ' ἐτῶν, ἀλλὰ κε'* [80].

[Ὁ αὐτὸς βασιλεὺς] τῷ αὐτῷ.

Ὁ παλαιὸς λόγος, ὃς παρεγγυᾶται τῷ περὶ τῶν οἰκείων λέγοντι ἀναπεταννύειν τὴν ἀκοήν, καλῶς καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἔχων, ἐνταῦθα πολὺ διαδείκνυται καλλίων. Τί οὖν ἐστιν, ὅ φημι; Πολιτικὸς θεσπίζει νόμος [81], τὸν ἐλάττω πέντε καὶ εἴκοσι ἐτῶν μὴ χειροτονεῖσθαι εἰς λειτουργίαν ὑποδιάκονον· ἱερὸν ἀντιθεσπίζει δόγμα, τὸν πρὸς τὴν τοιαύτην διακονίαν προσιόντα τὸν εἰκοστὸν χρόνον εἰσάγειν εἰς τὴν χειροθεσίαν.

Ἄξιον οὖν ἡμῶν ἡ βασιλεία ἡγησαμένη τοῦ ἱεροῦ ἀκούειν νόμου ἐν τῇ περὶ τῶν οἰκείων διατάξει, τούτῳ καὶ συμψηφίζεται καὶ ὁρίζει, τὸν πρὸς εἰκοστὸν ἔτος ἐλάσαντα, μὴ τῆς ἄλλης διαγωγῆς τοῦ C βίου ἐμποδὼν ἱσταμένης, ὅσα γε ἐκ τῆς ἡλικίας μηδὲν εἰς τὴν τοῦ ὑποδιακόνου προχείρισιν ἐμποδίζεσθαι.

ΔΙΑΤΑΞΙΣ ΙΖʹ.

Περὶ τῶν τεκουσῶν γυναικῶν πότε λαμβάνει τῶν θείων μυστηρίων, καὶ πότε τὰ βρέφη βαπτίζονται ἄχρι τῶν μ' ἡμερῶν χωρὶς ἀνάγκης [82].

[Ὁ αὐτὸς βασιλεὺς] τῷ αὐτῷ.

Ἡ μὲν ἀξίωσις τῆς ὑμετέρας μακαριότητος ὑφ' ὑμῶν μᾶλλον δικαία προέρχεσθαι ἦν, ἢ παρ' ἡμῶν τὴν γένεσιν λαβεῖν· ἔδει γὰρ τῆς ὑμῶν ἱερότητος θέσπισμα εἶναι ὑπόθεσιν ἱεράν. Ἐπεὶ δέ φατε ὡς οὐ δέον ἐφ' ἑνὶ κεφαλαίῳ συνοδικὴν γενέσθαι διάσκεψιν, συνόδου δ' ἂν εἴη ἔργον προάγειν ψήφους, ἡμέτερον D δὲ καὶ δίχα συνόδου ἐκτίθεσθαι δόγμα, δεχόμενοι τὴν προτροπὴν ὧν ἀξιοῦτε διάταξιν ἐκφέρομεν. Τοῦ Κυρίου τοίνυν καὶ Σωτῆρος ἡμῶν, ὥστε τῷ φωτισμῷ τῆς αὐτοῦ δόξης ἐπιλαμφθῆναι τοὺς ἐν σκότει διαπορευομένους, σαρκὸς ἡμῶν καὶ αἵματος παραπλησίως κεκοινωνηκότος, λίαν ἔμοιγε δοκοῦσι φρονεῖν ὑπεναντία τῇ ἐκείνου σωτηριώδει προνοίᾳ, ὅσοι μὴ τοῦ φωτισμοῦ

VARIÆ LECTIONES.

[80] Osenbrüggen corrigendum putat κε' ἐτῶν ἀλλὰ κ'. [81] Justiniani Nov. 123, c. 13. [82] Sic Scring. Sed in Zuich. et Meerman. cod. non item.

NOTÆ.

(6) Nov. 75. J. eod. cap. 15, syn. 6, in Trullo.

(7) Ne dicatur alioquin cum poeta: Dedecus ille domus siet ultimus.

(8) Et ita abrogatur Novella Justiniani 123, c. 13.

(9) Cuique turpe est, jus in quo versatur ignorare; l. 2, § 43, ff. de origine juris 12. Quintil. 3.

ἀξίαν ὑπολαμβάνουσι τὴν ἄρτι μὲν τετοκυῖαν καὶ ἐπίλοχον, καταλαμβανομένην δὲ ὑπὸ τοῦ θανάτου παρὰ πόδας ἑστῶτος καὶ τὴν προθεσμίαν ἣν αὐτοὶ ἀναμένειν οἴονται (φημὶ δὴ τὴν μετὰ τὴν λύσιν τῶν ὠδίνων τεσσαρακοστὴν ἡμέραν) οὐκ ἀναμένοντος ἀλλὰ θᾶττον προαρπάζοντος, καὶ διὰ τὴν σωματικὴν ἀκαθαρσίαν ἀκάθαρτον ὡς ἀληθῶς ἐξ ἀνθρώπων ἀπιέναι καταπραττόμενοι ταύτην, ἀμυσταγώγητον οὖσαν καὶ τῆς διὰ τοῦ θείου λουτροῦ καθάρσεως καὶ ἀναγεννήσεως ἀμέτοχον· οὐδ' ἐννοοῦσι τὸ μέγεθος τοῦ κινδύνου καὶ τῆς ζημίας, ἣν τῆς αὐτῶν εὐλαβείας τὸ ἀνευλαβὲς καὶ σφαλερὸν προξενεῖ. Καίτοιγε διὰ τὴν ὑπερβολὴν οὐδὲ λόγου δεῖται ἡ τοιαύτη ἀτοπία. Πῶς γὰρ θεμιτὸν ἢ πῶς οὐ λυπηρὸν Θεῷ, ὃς διὰ τῆς εἰς αὐτὸν πίστεως καὶ τῆς ἐν τῷ ὕδατι καὶ πνεύματι ἀναγεννήσεως δωρεῖται τὴν σωτηρίαν, ἄπιστον καὶ τῆς ἀναπλάσεως ἐρήμην τὴν [83] ἄνθρωπον ἀπελθεῖν, καὶ ἀντὶ τοῦ μετὰ τῶν σεσωσμένων τετάχθαι εἰς τὴν τῶν ἀπολωλότων ἐῤῥῖφθαι χώραν ἕνεκά γε τῆς τοιαύτης προφάσεως;

A valde, mea quidem sententia, a salutifera ipsius providentia diverse sentiunt, quotquot eam quæ ex recenti puerperio decumbit, et morte (10) præ (11) foribus consistente, nec diem quem ipsi expectandum autumant (quadragesimum nempe post partum) expectante, citiusque obtorto velut collo protrahente, corripitur, illuminatione (12) indignam esse opinantur, et ut ob corporis immunditiem revera illa e vita immunda excedat (quippe quæ in sacris non instituatur (13-14), nec sacri lavacri lustrationis regenerationisque particeps fiat) efficiunt. Neque vero illi periculi damnique magnitudinem, quam inconsiderata ipsorum et perniciosa religio affert, præ oculis habent. Verum ea illa est absurditas, ut oratione non indigeat. B Talem enim mulierem incredulam reformationeque destitutam discedere et istiusmodi ob causam pro eo quod inter servandos collocanda esset, in perditorum damnatorumque locum rejici: quomodo fas, Deove, qui per fidem in ipsum et in aqua Spirituque regenerationem, salutem donat, non grave atque acerbum est?

Τὴν οὖν τοιαύτην ματαιοφροσύνην ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἔπειτα χρόνον ἐκποδὼν ποιούμενοι, ὁρίζομεν περὶ τεκουσῶν γυναικῶν καὶ περὶ τῶν [84] ὅσαι τῇ φυσικῇ καθάρσει καταλαμβάνονται, ἀνενοχλήτου μὲν ἐξ ἑτέρας τινὸς διαθέσεως νοσερᾶς τῆς ζωῆς αὐτῶν διατελούσης [85], ἀμετόχους εἶναι τὰς μὲν ἀτελέτους [86] τοῦ φωτισμοῦ, τὰς δὲ μεμυσταγωγημένας τῶν ἀχράντων μυστηρίων τῆς μεταλήψεως μέχρι τῆς τῶν τεσσαράκοντα ἡμερῶν προθεσμίας· νοσήματος δέ τινος καταλαβόντος καὶ [87] κατασχόντος καὶ τὴν διακοπὴν τῆς ζωῆς ἀπειλοῦντος, παντὶ τρόπῳ μεταλαγχάνειν [88] αὐτὰς τοῦ ἁγιάσματος. Εἰ γὰρ ἐκείνοις, ὅσοι δι' ὑπερβολὰς ἀνοσιουργημάτων ἀπείργονται μακροῖς ἔτεσι τῆς ζωοποιοῦ κοινωνίας, ὁ θάνατος ἐπιστὰς τὸ ἐμπρόθεσμον διακόπτει, καὶ οὐδεὶς ἀνέχεται τούτους κωλύειν τῆς τῶν ἁγίων μετοχῆς, ἤπου γε αὗται κωλυθήσονται διὰ ῥυπάσματα σαρκὸς φυσικά; Καὶ ἅπερ οἶμαι καὶ τῷ παλαιῷ κεκωλύσθαι νόμῳ καὶ τὴν χάριν διαδέξασθαι τὴν παράδοσιν οὐχὶ τοσοῦτον διὰ τὴν γυναικείαν ταύτην ἀκαθαρσίαν, ὅσον δι' ἑτέρας αἰτίας ἐν τῷ βάθει κρυπτομένας τοῦ νομοθετήματος. Λογίζομαι γὰρ τὸ τῆς ἐπιθυμίας ἀκόλαστον τῶν ἀκρατῶς ἐχόντων κολάζον τὸ θέσπισμα τοῦτο διατάξαι, ὥσπερ καὶ ἄλλα πολλὰ δι' ἑτέρων οἰκονομεῖται

Vanam igitur istiusmodi prudentiam dehinc in futurum e medio tollentes de mulieribus, quæ recens pepererunt, quæque naturali expurgatione occupatæ sunt, statuimus, ut si quidem alia quacunque affectione morbida ipsarum vita non tenetur, usque ad præfinitum quadraginta dierum tempus expertes maneant, nondum initiatæ illuminatione (15), ad sacra receptæ et initiatæ, C sacrosanctorum mysteriorum perceptione; at si quis ipsis morbus, qui vitæ internecionem minitetur, superveniat et incumbat, sacrarum rerum omnibus modis participes fiant. Etenim si illis (16) qui propter enormia flagitia multis annis vivifica communione arcentur, mors ad obruens præscriptum tempus incidit, neque quisquam hos sacrorum participatione prohibere sustinet, qua ratione hæ propter naturales carnis sordes prohibebuntur? Quod profecto non tam propter muliebrem hanc immunditiem, quam ob alias causas in intima legis ratione reconditas, et veteri (17) prohibitum esse lege, et gratiæ tempus traditionis loco suscepisse puto. Existimo siquidem sacram legem id præscripsisse, quo protervam eorum qui intemperanter D viverent, concupiscentiam castigaret: quemadmo-

VARIÆ LECTIONES.

[83] cod. τόν.? [84] Hæc om. Scrimg., sed habent Zuich., Meerm. et Bals. [85] ἀνενόχλητον μὲν ἐξ ἄλλης συντελούσης. [86] Meerman. cod. et Bals. ἀτελέστους. [87] καταλαβόντος καὶ omisit Bals. [88] Bals. μεταλαμβάνειν.

NOTÆ.

(10) Puerpera præ foribus mortis posita, l. ult. § 1. C. qui potiores.

(11) Παρὰ πόδας. Scrimg.

(12) Φωτισμῷ, id est, baptismo.

(13-14) Ἀμυσταγώγητον.

(15) Id est, baptismo: hoc innuit: mulieres baptismo non initiatas intra diem 40 puerperii baptizari non posse, nisi casus aliquis aliud exigat: baptismo initiatas non admitti intra eosdem dies ad sacram communionem. Adde Photium num. 3, c. 18.

(16) Nota excommunicatis, mortis tantum impendentis causa, communionem dari.

(17) Mosis lege, mulier si masculum peperisset, septem diebus immunda: 30 diebus præterea manebat in sanguine purificationis suæ; si feminam, duabus septimanis immunda: 66 diebus in purificatione nullam rem sacram attingere poterat. Levit. 12.

dum et alia multa per alia præcepta ordinantur et A præscribuntur, quo indomitus quorumdam in mulieres stimulus retundatur. Quin et hæc providentiæ quæ legem constituit voluntas est, ut partus a depravatione liberi sint. Quia enim quidquid natura supervacaneum est, idem corruptivum et inutile est, quod hic sanguis superfluus sit, quæ illi obnoxiæ essent, in immunditie ad id temporis vivere illas lex jubet; quo ipso etiam nominis sono lasciva concupiscentia ad temperantiam redigatur, ne ex inutili et corrupta materia ipsum animans coagmentetur.

Et sane de infantibus eumdem ad modum constituimus, ut si non inquietentur, inimicosque naturæ casus superent, antequam gratiæ splendore illustrentur, quadragesimus (18) dies exspectetur. B Consentaneum namque est, ut quemadmodum fetus quadraginta (19) diebus in naturæ maternoque receptaculo plene informantur, sic etiam in æquali dierum numero in divinæ gloriæ æternique omnium Patris domum procedant. Si tamen et octavo a partu die, baptizare aliquis volet, neque id absurdum fuerit. Dominus enim noster Christus octavo die circumcisus, imposito circumcisioni fine, pro hac vivifico baptismate initiari concessit. Verum hæc obtineant, si nulla necessitas, quæ mortem minetur, exsistat. At si periculum aliquod emergens vim vitæ inferat, omni diligentia omnibusque viribus etiam intra octavum diem sacram lotionem peragi oportebit, nenon illuminatus, C neque sacri lavacri, atque adeo summi boni expers partus decedat.

CONSTITUTIO XVIII.

Ut (20-21) in sponsalibus constituta pœna exigatur (22).

Idem imperator Styliano excellentissimo sacrorum officiorum magistro.

In omnibus rebus et dictis quod præstantius sit seligi, reprehendendum non est. Atque tunc quidem, ut aliquid sequare aut declinandum censeas, non eorum qui aliquid aut faciunt aut dicunt, habenda ratio: sed eorum quæ fiunt aut dicuntur, cognoscendus status est. Idcirco quod consuetudini placuit ut in sponsaliorum reprobationibus pœnæ imminerent iis, qui reprobare instituerent, et id in le- D gis auctoritatem collocamus. Arbitror enim id quod consuetudini visum est, ea lege quæ de hujusmodi rebus lata erat, nihil improbabilius esse, ac res ipsas referre in melius. Nam cum lex arrhæ perditione, aut in duplum (23) restitutione solum te-

προσταγμάτων, ὡς ἂν διὰ τούτων τὸ πρὸς τὸ θῆλυ ἐνίων τῆς ὁρμῆς ἀκατάσχετον χαλινούμενον ἀνακόπτοιτο. Οὐ μόνον δὲ ἀλλὰ καὶ προνοίας ἐστὶ τὰ τικτόμενα λώβης καθαρεύειν οἰκονομούσης τὸ θέσπισμα. Ἐπεὶ γὰρ ἅπαν τὸ τῇ φύσει περιττὸν φθοροποιόν τε καὶ ἄχρηστον, περιττὰ δὲ καὶ ταῦτα ὑπάρχει τὰ αἵματα, τὰς φερούσας αὐτὰ ἐν ἀκαθαρσίᾳ κατ' ἐκεῖνον τὸν καιρὸν διάγειν ὁ νόμος ἐντέλλεται, ὅπως [89] καὶ ἀπ' αὐτοῦ μόνου τοῦ ῥήματος εἰς τὸ ἀκρατὲς [90] συστελλομένης [91] τῆς ἀκολάστου ἐπιθυμίας [92], μὴ ἐξ ἀχρήστου καὶ διεφθαρμένης ὕλης λαμβάνῃ τὸ ζῶον τὴν σύστασιν.

Καὶ περὶ τῶν βρεφῶν δὲ ὁμότροπα διορίζομεν, εἰ μὲν ἀνενόχλητα εἴη καὶ τῶν τῇ φύσει πολεμίων συμπτωμάτων περίεστιν, πρὸς φωτισμὸν τὴν τεσσαρακοστὴν ἡμέραν ἐκδέχεσθαι· ἀκόλουθον γάρ, ὥσπερ ἐν ὅλαις ἡμέραις τεσσαράκοντα τὸ πλῆρες ἀπολαμβάνει τῆς μορφώσεως ἐν τῷ τῆς φύσεως καὶ μητρικῷ οἴκῳ, οὕτως ἐν ἴσῳ ἀριθμῷ ἡμερῶν εἰς τὸν οἶκον τῆς θείας δόξης καὶ ἀϊδίου πάντων Πατρὸς τὰ τικτόμενα προσιέναι. Εἰ δὲ καὶ τῇ ἀπὸ τῶν ὠδίνων ὀγδόῃ βούλοιτό τις βαπτίζειν, οὐδὲ τοῦτο ἄτοπον. Ὁ γὰρ Δεσπότης ἡμῶν Χριστὸς ἐν ταύτῃ περιτμηθεὶς καὶ τὴν λῆξιν τῇ περιτομῇ ἐπιθείς, παρέσχεν ἀντὶ ταύτης τῷ ζωοποιῷ τελεῖσθαι βαπτίσματι. Ἀλλὰ ταῦτα μέν, εἰ μηδεμία παρέστηκεν ἀνάγκη τὸν θάνατον ἀπειλοῦσα· εἰ δέ τι δεινὸν ἐπιστὰν βιάζεται τὴν ζωήν, πάσῃ σπουδῇ καὶ δυνάμει καὶ τῆς ὀγδόης ἐντὸς δεήσει καταπράξασθαι, μὴ ἀφώτιστον ἀπελθεῖν μηδὲ τοῦ θείου λουτροῦ καὶ τοῦ ἀγαθοῦ ἀμέτοχον τὸ τεχθέν [93].

ΔΙΑΤΑΞΙΣ ΙΗ'.

Περὶ τοῦ ἀπαιτεῖσθαι τὸ γαμικὸν πρόστιμον [94].

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Τὴν τοῦ κρείττονος ἐκλογὴν ἐν πᾶσι καὶ πράγμασι καὶ λόγοις ποιεῖσθαι οὐ νεμεσητόν, καὶ τότε μὴ πρὸς τοὺς πραγματευομένους ἢ λέγοντας, πρὸς δὲ τὴν τῶν πραττομένων καὶ λεγομένων κατάστασιν ἢ ἕπεσθαι ἢ τὴν ἔγκλισιν προστιμᾶν. Διὰ τοῦτο καὶ ἃ τῇ συνηθείᾳ ἤρεσεν ἐν ταῖς τῶν μνηστειῶν ἀθετήσεσιν ἐπικεῖσθαι προστιμήματα τοῖς ὁρμῶσι πρὸς τὴν ἀθέτησιν, καὶ ταῦτα εἰς νόμου καθιστῶμεν τιμήν. Οἶμαι γὰρ τοῦ ἐπὶ ταῖς τοιαύταις πράξεσι κειμένου νόμου μὴ χεῖρον ἔχειν τὸ δεδογμένον τῇ συνηθείᾳ, ἀλλὰ καὶ εἰς τὸ ἄμεινον ἀναφέρειν τὰ πράγματα. Τοῦ γὰρ νόμου ἐν μόνῃ τῇ τοῦ ἀρραβῶνος ἀπωλείᾳ ἢ διπλῇ ἀποδόσει κολάζοντος τὴν πρα-

VARIÆ LECTIONES.

[89] Locus certe mutilus et corruptus. Codd. scribunt ὅπερ; Stephanus et Agylæus ὅπως. [90] Stephanus et Agylæus ἐγκρατές. [91] Zuich. συστελλομένου. [92] Excidit verbum aliquid, forte ἀπείργει. [93] Zuich. et Meerman. cod. τεθέν. [94] Est in Ecl. Nov. 10 et citatur ab Harmenop. IV, 1.

NOTÆ.

(18) Leo monet, non tamen jubet, ad quadragesimum usque diem baptismum differri in infante, nisi mors infanti immineat.

(19) Quadragesimo die partus formatur, ut dixi ed l. 3, in fin. ff. de suis. Adde l. 39, ff. de pœnis, va quadragesimo nono, 3, Gell. 10

(20-21) Exstat Epitome apud Harmenopulum 4, tit. 11, §. 26.

(22) Si ita est, abrogatur, l. 134, ff. de verb. oblig.

(23) Vid. l. 5, C. de sponsalib.

πίστειαν, αὐτὴ ῥητήν τινα καὶ συμπεφωνημένην A βούλεται γίνεσθαι τὴν ἐπὶ τῇ ἀναρμοστίᾳ τῆς μνηστείας ζημίαν, καὶ δοκεῖ μοι, ὥσπερ εἶπον, τοῦτο πλεῖον ἔχειν ἰσχὺν εἰς τὸ μὴ ὡς ἔτυχε πεττεύεσθαι τὰ μνηστεύματα. Ἡ μὲν γὰρ τοῦ ἀῤῥαβῶνος ἀπώλεια, ὥσπερ] ἐπὶ τῷ δόντι εἶτα μὴ στέργοντι τὴν μνηστείαν ὥρισται, καὶ ἡ διπλῆ δὲ ἀπότισις, ἣν ὁ τὸν ἀῤῥαβῶνα λαβὼν εἶτα μὴ ἐπιμένων οἷς ὡμολόγησεν ὑπέχει ζημίαν, τάχα διὰ τὸ κουφότερον προπετέστερον δίδωσι τοῖς βουλομένοις εἰς τὴν ἀθέτησιν ὁρμᾷν τῶν ὁμολογιῶν, ὑπὸ δὲ τῆς συμφωνίας ῥητῆς εἰσπράξεως βαρυτέραν ἀπαντῶσαν αὐτῷ τὴν ζημίαν ὁρῶν ὁ ἀβέβαιος, πάντως ὀκνηρότερος πρὸς τὸ διασπάσαι τὴν μνηστείαν γενήσεται.

Ὅπερ [93] καὶ ἡμεῖς ὁρῶντες τοῖς γαμηλίοις συναλλάγμασι μᾶλλον συμφέρειν, εἰς νομίμην διάταξιν τὸ B ἀπὸ συνηθείας πραττόμενον καθιστῶμεν. Ἐκ μὲν γὰρ τῆς τοῦ ἀῤῥαβῶνος ἀπωλείας ῥᾳδίας [94] ὁρῶ τῶν μνηστειῶν τὰς ἀνατροπὰς, ἐκ δὲ τῆς τοῦ προστίμου καταβολῆς οὐκέτι. Τὸ γὰρ βαρύτερον τῆς ζημίας (βαρύτερον δὲ πάντως τοῦ ἀῤῥαβῶνος τὸ πρόστιμον) καὶ ἄκον [97] ἐπέχον τὸ τῆς γνώμης παλίμβολον [98] στέργειν ἀναγκάσει τὰ περὶ τῶν μνηστευσάντων [99] προδεδογμένα. Οὕτως οὖν καὶ ἀπὸ τοῦ νῦν κελεύσματι νόμου τὸ ἀπὸ [1] τῆς συνηθείας βεβαιωθὲν καὶ κρατείτω καὶ διαιτάτω, καθάπερ ἄχρι [2] τοῦ παρόντος, καὶ προστίμου εἰσπράξει ὁ τὴν μνηστείαν ἀνατρέπων ζημιούσθω.

meritatem puniat, hæc definitum pactoque constitutum in sponsaliorum rescissione subiri damnum vult. Ac sane, ne (ut fieri assolet) sponsalia sursum deorsum ferantur, hoc mihi (quemadmodum dixi) majorem obtinere vim videtur. Solius enim arrhæ perditio, quæ in eum qui dedit, ac deinde sponsalibus non acquiescit, constituta est, ejusque in duplum restitutio, quam mulctam is qui arrham cepit, deindeque in pacto convento non persistit, sustinet, ut propter pœnæ levitatem ad pactorum rescissionem, qui id facere cogitant, facilius ferantur, facit. At ex pacto definitæ pœnæ gravius damnum sibi obvenire videns inconstans ille tardior omnino ad divellenda sponsalia fiet.

Quod sane nos etiam nuptialibus contractibus magis conducibile fore animadvertentes quod ex consuetudine fieri solet, in legitimam constitutionem traducimus. Ex arrhæ siquidem (24-25) perditione faciles sponsaliorum eversiones video : ex pœnæ persolutione non item. Nam gravius dispendium (pacto enim constituta pœna arrha major prorsus atque gravior est) vel invitum inhibens ab animi inconstantiam acquiescere illis, quæ antea de sponsalibus placuerunt, compellet. Sic igitur quod a consuetudine confirmatum est, quemadmodum hactenus, ita deinceps et obtineto, et causas dijudicato : tum etiam qui sponsalia evertit, pœnæ exactione feritor.

ΔΙΑΤΑΞΙΣ ΙΘʹ.

Περὶ συμφώνου πατρῴου τοῦ ἐπ' ἴσης κληρονομεῖν τὸν παῖδα [3]. C

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Ὅπερ καὶ πρόσθεν ἡμῖν εἴρηται, οὐ φαυλίζειν ἑτέρους προαιρούμενοι εἰς ἐπανόρθωσιν τῶν νόμων κατέστημεν, οὐδ' ἵνα δόξαν ἑαυτοῖς περιποιησώμεθα, ἀλλ' ἵνα τὸ ἀσύμφορον ἐκ τοῦ τῶν ὑποχωρίων [4] ἐφ' ὅσον δυνατὸν ἀποσκευασώμεθα βίου, ἐκεῖνο εἰδότες, ὡς πάντων προτιμότερον εἰς κατάστασιν τῆς πολιτείας ἡ τῶν νόμων κατάστασις. Ὀφθαλμοὺς γάρ τις εἰπὼν πολιτείας τοὺς νόμους, οὐκ ἂν, οἶμαι, καλοίη ἔξω τοῦ πρέποντος φάμενος· ὥσπερ γὰρ ζώῳ ἀναγκαιότατόν ἐστι μάλιστα ὀφθαλμὸς οὐ σφαλλόμενος, οὕτω καὶ πολιτείᾳ νόμων εὐθύτης. Διὸ τῆς τούτων εὐθύτητος ποιούμενοι πρόνοιαν, ἐπείπερ ἔγνωμεν ἐν τῇ τοῦ κώδικος ἐκλογῇ κείμενον D νόμον, ὃς διὰ τὸ προφανὲς τῆς ἀτοπίας οὐδαμῶς εὗρε [5] ἀποδοχῆς χώραν ἐν τῇ τῶν ἀνθρώπων προαι-

CONSTITUTIO XIX.

De pacto (26) paterno, ex æquo hæredem futurum filium.

Idem imperator Styliano excellentissimo sacrorum officiorum magistro.

Non contemnendi alios studio (ut et antea a nobis dictum est) neque ut gloriam nobis paremus, ad legum correctionem processimus : sed ut quod conducibile non est, quoad ejus fieri potest, a subditorum consortio removeamus : id scientes, ad moderandam rempublicam legum rectam constitutionem omnium esse præstantissimam. Nam qui leges (27) reipublicæ oculos esse dixerit, is profecto mea sententia illas ita vocans, nihil indecens pronuntiaverit. Quemadmodum enim res maxime necessaria est animali non titubans oculus, ita et reipublicæ legum æquus et rectus status. Hujus ergo nos curam gerentes, posteaquam in selecto (28) codice legem cognovimus (quæ propter evidentem absurditatem in hominum animis neutiquam lo-

VARIÆ LECTIONES.

[93] Hinc incipit Ecl. [94] Ecloga ῥᾳδίους. [97] codd. ἄκοντα. [98] Zuich. et Meerm. παλίμβουλον. [99] Ecloga μνηστευσαμένων. [1] Ecloga ὑπό. [2] Basil. ἄχρι τοῦ νῦν. [3] Est in Eclog. Nov. 11. [4] Sic. codd. Stephanus et Agylæus ὑποχειρίων. [5] codd. εὗγε.

NOTÆ.

(24-25) Hoc innuit, dupli pœnam legibus constitutam non ita astringere, quantum conventa atque pacta. Adde 20 Gell. 1, ubi de pœna injuriæ legib. XII tabularum constituta.

(26) Vid. l. 15, C. de pactis.

(27) Oculi reipublicæ leges : ὀφθαλμοὺς πολιτείας τοὺς νόμους qui dicit, non errat. Persis ὀφθαλμοὶ βασιλέως, oculi regis, dicebantur satrapæ, ut per quos rex omnia spectaret : sicut regis aures delatores, per quos rex audiebat omnia quæ ab unoquoque gerebantur. Suidas ὀφθαλμὸς βασιλέως.

(28) Ἐν τῇ τῶν κωδίκων ἐκλογῇ, hoc est in codice repetitæ prælectionis.

cum invenit, ut susciperetur: neduin vim aliquam et efficaciam. Contraria enim statuit naturali, quæ a parentibus liberis debetur, æquabilitati, adversusque filium patri ad iniquitatem fenestram aperit: quia et parentem ut illi morem gerat obstrictum, mendacio doloque obnoxium facit), posteaquam, inquam, istiusmodi quamdam esse legem animadvertimus, tametsi etiam ante nostram sanctionem ipsam ne susciperetur, excluserit communis hominum voluntas: tamen nos nihilominus omnem illi prorsus functionem et usum decreto adimimus. At quid dicit? Etiamsi, inquit, pater, cum in matrimonium collocaret filium, illum post decessum suum ex æqua parte cum aliis fratribus paternorum bonorum hæredem fore pacto promiserit, in potestate tamen illius, si velit, erit, ut pactum ejusmodi negligat, aliisque liberis amplius attribuat, et illi cui æquam portionem in hæreditate pactum concedebat, minorem assignet. Hoc itaque quanquam alioqui (quomodo diximus) in republica nullum locum habeat, nostro etiam decreto velut in exilium dejectum, omnibus modis in rempublicam ingressu prohibemus.

Statuimus vero, ut parentum (29) nemo jura filiorum, quibus cum reliquis liberis æqualem hæreditatis portionem servatum iri in nuptialibus contractibus spoponderint, innovare tentet. At si quis pactiones suas aspernari, et illius, cui tantumdem, quantum alii fratres habituri sunt, promiserit, portioni detrahere compertus fuerit, sciat is, pœnitentia mutatam voluntatem invalidam atque vanam habendam. Ex æquo enim eum aliis fratribus secundum initum pactum filius in bona succedet. Neque vero mendacium veritati præferri ulla ratio patitur, nec æquum est, neque rationabili animali convenit pacta (30-31) conventa per improbationem adulterari. Atqui si quid aliud, hoc certe hominem decet (32), ut verbis suis fidem præstet, nisi mendaciis veritatem corrumpendo destitutus ratione, eorum albo, quæ ratione prædita sunt excidere velit. Quinimo nec illud consentaneum est, ut parentes iis qui pariter ex ipsis nati sunt, non parem curam exhibeant, neque æquabiliter ipsorum vitæ prospiciant: sed alios quidem uberiores facultates habere, aliis vero nihil parcere, neque illorum misereri, tametsi inopes in miseria victuri sint, velint. Cæterum æquum est ut quemadmodum omnibus liberis ex æquo vitam impertiti sunt, ita etiam ad hanc facultates impertian-

A ρέσει, οὔκουν οὐδὲ τὸ ἐνεργὸν καὶ ἔμπρακτον ἔχει (βούλεται μὲν ἐναντία τῆς φυσικῆς παρὰ γονέων τέκνοις ὀφειλομένης ἰσονομίας, ἀδικίας δὲ θύραν ἀνοίγει [6] κατὰ τοῦ παιδὸς τῷ πατρὶ, οὐ μόνον δὲ ἀλλὰ καὶ τὸν ἐκείνῳ ὑπαχθέντα πεισθῆναι γονέα ψεύδους καὶ ἀπάτης ἐνοχῇ περιβάλλει)· ἀλλὰ γὰρ ἐπεὶ τοιοῦτόν τινα κατενοήσαμεν, εἰ καὶ πρὸ τοῦ ἡμετέρου θεσπίσματος ἀπέκλεισεν [7] αὐτῷ τὴν παραδοχὴν καὶ αὐτὴ τῶν ἀνθρώπων ἡ προαίρεσις, ὅμως καὶ ἡμεῖς δόγματι εἰς παντελῆ αὐτὸν ἀπραξίαν περιιστῶμεν. Τί γάρ φησι; Κἂν συμφωνήσῃ πατὴρ ἐκδιδοὺς πρὸς γάμον παῖδα, ὥστε μετὰ τὴν ἑαυτοῦ ἐξ ἀνθρώπων ἀναχώρησιν ἰσομοιρίᾳ μετὰ τῶν ἄλλων ἀδελφῶν τὴν πατρικὴν διακληροῦσθαι περιουσίαν, κύριός ἐστι βουληθεὶς τὸ τοιοῦτον σύμφωνον B ἀτιμάζειν, καὶ τοῖς μὲν ἄλλοις τῶν παίδων νεῖμαι τὸ πλέον, ἐκείνῳ δὲ ᾧ τὸ ἴσον κληροῦσθαι ἐδίδου [8] τὸ σύμφωνον ἐλάττω ποιῆσαι τὴν μοῖραν. Τούτων μὲν οὖν ὥσπερ ἔφημεν καὶ ἄλλως οὐ πολιτευομένων, καὶ ἡμετέρῳ ἐξοστρακίζοντες [9] δόγματι παντάπασιν αὐτῷ τὴν εἰς τὴν πολιτείαν κωλύομεν πάροδον.

Θεσπίζομεν [10] δὲ μηδένα τῶν γονέων ἐπιχειρεῖν τὰ δίκαια τῶν παίδων καινοτομεῖν, ὅσοις ἂν ἐν τοῖς γαμηλίοις καθωμολόγησαν [11] συμβολαίοις τὸ ἴσον διατηρηθῆναι τοῦ κλήρου πρὸς τοὺς λοιποὺς τῶν παίδων· ὡς εἴ τις ὀφθείη τῶν ἰδίων συνθηκῶν ἀλογήσας, καὶ παρασπῶν πρὸς τὸ ἔλαττον ἐκείνου C τὴν μερίδα, ᾧ καθωμολόγησεν εἰς τὸ ἴσον τοῖς ἄλλοις τὸν ἀδελφὸν [12] ἕξειν, ἴστω, ὡς ἄκυρος αὐτῷ [13] καὶ ματαία ἡ ἐκ μεταμελείας βούλησις· ἐν ἴσῳ γὰρ ὁ παῖς τοῖς ἄλλοις ἀδελφοῖς κατὰ τὸ προλαβὸν σύμφωνον τὴν περιουσίαν διακληρώσεται. Οὐ γὰρ δὴ [14] προτιμότερον τῆς ἀληθείας ποιεῖσθαι. εὔλογον τὸ ψεῦδος, οὐδ' ἔννομον οὐδ' ἁρμόζον λογικῷ ζώῳ τὰς ἰδίας τῶν λόγων ὁμολογίας δι' ἀθετήσεως κιβδηλεύειν· ἀλλ' εἴπερ τι ἄλλο τοῦτο πρέπον ἀνθρώπῳ φυλάττειν λόγου ἀλήθειαν, εἴ γε μὴ μέλλοι ἐν τῷ διαφθείρειν [15] ψεύδει τὸ ἀληθὲς ἔρημος λόγου γινόμενος ἀπὸ [16] λογικῆς ἐκπεσεῖν τάξεως. Οὐ μὴν οὐδ' ἐκεῖνο εἰκὸς τὸ περὶ τοὺς ἴσως ἐκφύντας μὴ ἴσην τοὺς γονέας δείκνυσθαι [17] πρόνοιαν μηδὲ περὶ τῆς ἐκείνων ζωῆς ὁμοίως φροντίζειν, ἀλλὰ τοὺς μὲν ἐθέλειν εὐπορώ- D τερον ἔχειν βίον, τῶν δὲ μὴ φείδεσθαι [18] μηδ' οἰκτείρειν, εἰ ἀπορώτερον διακείμενοι μέλλοιεν ἐν ταλαιπωρίᾳ [19] βιώσειν. Ἀλλὰ δίκαιον, ὥσπερ πᾶσι τοῖς παισὶν ἐπίσης [20] μετέδοσαν βίου, οὕτω καὶ τῆς πρὸς τὸν βίον [21] εὐπορίας μεταδιδόναι, καὶ μὴ

VARIÆ LECTIONES.

[6] codd. ἐνάγει. [7] codd. ἀπέλειεν, melius forte ἀπένευσεν. [8] Zuich. et Meerm. ἐκδίδου. [9] Zuich. et Meerm. ἐξοστρακίζον τῷ δόγματι. [10] Hinc incipit Ecloga. [11] Zuich. et Meerm. καθωμολόγησεν. [12] Stephanus corr. τῶν ἀδελφῶν. [13] Basil. αὐτοῦ. [14] Ecl. δεῖ. [15] Ecloga μέλλει τις διαφέρειν, alii legendum censent διαφεύγειν. [16] Ecloga om. ἀπὸ et addit τῆς. [17] Ecl. ἐπιδείκνυσθαι. [18] Zuich. et Meerm. φειδόμενος, rectius forte scribendum φειδομένους. [19] Ecloga ταλαιπώρως. [20] Ecloga om. ἐπίσης. [21] Deest in editis, sed in Ecloga reperitur.

NOTÆ.

(29) Dixi ad l. 15, C. de pactis.
(30-31) D. 7, §. 7, ff. de pactis.
(32) Est enim grave fidem fallere. l. 1, de constituta.

ωσπερ ἀνίσῳ τῆς γνώμης τὴν τῶν προσόντων ποιεῖσθαι διανομήν.

A tur: nequaquam vero, velut ancipiti libra his levius quiddam, illis vero gravius, pro inæquabilitate animi sui attribuant.

ΔΙΑΤΑΞΙΣ Κ'[22].

Cum eos qui sua industria rem aliquam humanæ vitæ utilem adinvenire student, in commune illam proponere, quam (93) certis hominibus devovere aliosque ejus expertes relinquere decentius sit: tum vero longe magis legum beneficium commune esse convenit. Nam sicut sub principe, virtute, sic sub legibus, quotquot illis paremus atque subditi sumus, illarum beneficio in commune frui debemus. At quid sibi vult hoc prooemium? Quod cum liberorum orbitate infelices liberare infortunio lex vellet, adoptare, et quod a natura accipi non posset, opinione comparare, jubendo non erga omnes similiter servarit propositum: atque viros quidem et mulieres, quas natura postquam matres

A ἄρα οὐχὶ ἡ φύσις, ἀλλὰ ἀνθρώπων ἀδικία τὴν κληρονομίαν ἀφείλετο.

Οὓς ἡ βασιλεία ἡμῶν εὖ ἔχειν ὑπολαμβάνουσα μὴ πρὸς τῇ ζημίᾳ ἣν ἐξ ἀνθρώπων ὑπέστησαν δευτέραν ὑπέχειν [3] διὰ τοῦ νόμου ζημίαν, θεσπίζει [4] βουλομένους υἱοποιεῖσθαι ἀκώλυτον ἔχειν τὴν βούλησιν. Οἶμαι γὰρ ἐκεῖ μᾶλλον ἀναγκαίαν ὁρᾶσθαι τὴν [5] εὐεργεσίαν, οὗ τὸ ἐξ αὐτῆς ὠφέλιμον χρειωδέστερον πέφυκεν. Εὐνούχοις δὲ μάλιστα ἡ ἐκ τοῦ νόμου παιδοποιΐα τοσοῦτον χρειωδεστάτη, ὅσον καὶ μόνον τούτῳ λαμβάνουσι τῷ τρόπῳ τὸ εἶναι πατέρες· καὶ τῆς παρὰ υἱῶν θεραπείας οὕτως αὐτοῖς ἀπολαύσειν ὑπάρξει [6], ἧς οὐκ ἔστι φιλάνθρωπον ὅτι τῶν γονίμων B ἀπεστέρηνται μορίων συναποστερεῖσθαι. Ἀλλ' ὥσπερ ὁ φωνῆς ἀποτετμημένος οὐ κεκώλυται τὰ τῆς γλώττης ἀναπληροῦν διὰ τῆς χειρὸς, οὐδ' ὃς [7] ἀπορεῖ λόγον διὰ χειλέων ἐρεύξασθαι, τοῦτον διὰ τῆς γραφῆς εἰς τὴν περὶ τῶν οἰκείων διάταξιν προάγειν ἀποτρέπεται, οὕτω προσῆκε [8] καὶ τοὺς ἀφαιρέσει τῶν παιδοποιῶν μελῶν τε καὶ μορίων [9] γονῆς ἀποροῦντας μὴ κωλύειν ἑτέρῳ τρόπῳ παραμυθεῖσθαι τὴν ἀπορίαν.

ΔΙΑΤΑΞΙΣ ΚΖ' [10-11]

Περὶ τοῦ ἐπίσης πάντας υἱοθετεῖσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Καὶ καλῶς [12] πρέπον ὑπάρχει τὴν ὠφέλειαν ἐν κοινῷ κατατίθεσθαι τοὺς ὄφελός τι ἐξευρεῖν τῷ βίῳ C σπουδαῖς οἰκείαις προθυμηθέντας, ἢ τὸ βούλεσθαι μέχρις ἐνίων προσώπων περιορίζειν, τοὺς δ' ἄλλους ἀμετόχους ταύτης ἐᾷν, πολὺ δὲ πλέον προσῆκε τὴν ἐκ τῶν νόμων εὐεργεσίαν εἶναι κοινήν. Ὥσπερ γὰρ ἐπὶ ἄρχοντος ἀρετῆς, οὕτω καὶ ἐπὶ νόμων ὀφείλομεν κοινῇ τοῦ ἐκεῖθεν ἀπολαύειν καλοῦ ἅπαν τὸ ἀρχόμενόν τε καὶ ὑποκείμενον. Τί τοῦτο λέγει τὸ προοίμιον; Ὅτι τοῖς ἀτυχοῦσιν ἀπαιδίαν λύειν βουλόμενος τὸ δυστύχημα νόμος ἐν τῷ υἱοθετεῖσθαι προστάσσειν καὶ γνώμῃ ἐκεῖνο κτᾶσθαι ὃ μὴ εὔπορον [13] λαβεῖν παρὰ τῆς φύσεως, οὐ πρὸς πάντας ὁμοίως διέσωσε τὴν προαίρεσιν, ἀλλ' ἀνδράσι μὲν καὶ γυναιξὶν, ἃς ἐγνώ-

VARIÆ LECTIONES.

[3] In Zuich. et Meerm. cod. ἐπέχειν. [4] Hinc incipit Ecl. [5] Ecl. addit πᾶσαν. [6] Ecl. ὑπάρξειν. [7] Codd. ὃ, Ecl. οὐδ' ἂν ἀπορῇ. [8] Ita Ecl. Codd. τὸ προσήκειν vel προσήκει. [9] Ecl. non habet τε καὶ μορίων. [10-11] Est in Ecl. Nov. 18. [12] Stephanus legendum putat ἄλλως; Agylæus legi vult μᾶλλον. [13] Rectius forte εὐποροῦσι.

NOTÆ.

(84-85) Ratio dubitandi sumitur ex § 9. Instit. De adopt. l. 2, § 1, ff. De adopt. Potest sic ea augeri: Hæredem instituere eunuchis non licuit, l. 6, § 1, ff. De liber., vel matrimonium contrahere, l. 39, in fin. ff. De jure dot.; nam quod dicitur, pro morbosis haberi, id levius est, l. 7, ff. De ædilit. Hodie testamentum facere possunt, l. 5, C. Qui testam.

(86) Eunuchi non fiunt natura, ut hic: licet in quibusdam spadonibus contra l. 128, ff. De verb. sig. quibus adoptio permissa l. 40, in fin. ff. De adop. Differunt enim a castratis de quibus hic agitur; dixi ad D. l. 128.

(87) Olim castrati adoptare non poterant, et ita abrogatur § 9, d. t. 1.

D (88) Ratio decidendi satis elegans. Possis et a simili id etiam confirmare: Licet eunuchis testamentum facere, l. 10, C. Qui testamenta, ergo adoptare.

(89) L. 10, ff. Qui testamenta.

(90) Et e contra qui manus amisit, verbis testari potest, l. 60, ff. Qui testamenta.

(91) 2, Harm. 8, § 4.

(92) Etiam feminis quæ nunquam liberos habuerunt, et ita abrogatur § 10. Inst De adop. et l. 5, C. De adopt.

(93) Superflue uni aut paucis scribitur, ubi est causa cunctorum. Salvian. ad eccles. Adde Nov. Just. 60, cap. 1, in fin.

ρισε μὲν ἡ φύσις μητέρας, εἰς ἀπαιδίαν δὲ ἀφαιρέσει τῆς γονῆς περιέστησε [14], τὸ υἱοθέτημα ἐδωρήσατο, εὐνούχους δὲ καὶ γύναια, ὧν οὔπω τῶν κόλπων ὁ τοῦ γένους ἤνθησε στάχυς, οὐκ ἀξίους ἔκρινε τοῦ εὐεργετήματος, οὐχ ὁρῶ τίνα τρόπον οὕτω μικρολογούμενος. Οὐ γὰρ ὅτι ἐζημίωνται τὸ εἶναι φύσει πατέρες εὐνοῦχοι, διὰ τοῦτο νόμῳ τὴν ζημίαν ἐπιτείνειν χρὴ, ἀλλὰ τοὐναντίον μᾶλλον τὸ ἐκεῖθεν ἐνδεὲς ἑτέρῳ τρόπῳ μὴ κωλύειν πορίζεσθαι, καθὼς ἐν ταῖς ἄλλαις κολοβώσεσι τῶν φυσικῶν ἐνεργειῶν, οἷον ἐπὶ χειρῶν καὶ ποδῶν καὶ εἴ τι ἄλλο ἀπεστέρηνται ἄνθρωποι, οὐ κωλύονται τὸν δυνατὸν τρόπον παραμυθεῖσθαι τὴν κολόβωσιν. Καὶ μὴν οὐδὲ γυναῖκας, διότι μὴ ὤφθησαν μητέρες, εὔλογόν ἐστιν ἀποτρέπειν υἱοθετεῖσθαι. Τίς γὰρ ὁ λόγος τοῦ τὰς μὲν, ὅτι ἀφῃρέθησαν τῶν παίδων, φιλοτιμεῖσθαι πάλιν κτήσει τῶν παίδων, τὰς δὲ, ὅτι παντελῶς ἄποροι τοιούτου γεγόνασι κτήματος, διὰ βίου ταύτῃ τῇ ἀπορίᾳ βούλεσθαι ταύτας συζῆν; Εἰ γὰρ τοῦτο μάλιστα τὸ ἀπὸ τῶν παίδων χρήσιμον, λέγω δὴ γηροτροφία, πῶς οὐχὶ καὶ ταύταις κἀκείναις ἐξ ἴσου μετέχειν τῆς εὐεργεσίας ἔπρεπε παρασχεῖν; Οὕτω γὰρ ἂν καὶ ὅσαις ὁ βίος πένης καὶ ἄπορος, κουφοτέρα ὑπῆρξεν ἡ πενία ταῖς παισὶ βοηθουμέναις, καὶ ὅσαι τὸν βίον ἐν ἀφθονίᾳ καὶ πλούτῳ φερόμενον ἔχουσι, καὶ ταύταις υἱοθεσία συμφέρουσα· ὁ γὰρ εἰς τάξιν υἱοῦ προφερόμενος εἰς ἐκεῖνα καὶ ὑπηρετούμενος τῇ μητρὶ καὶ ὑπὲρ αὐτῆς σπουδάζων ἅπερ ἐστὶν εἰκὸς παῖδα φρονεῖν, τήν τε περιουσίαν εἰς τὸ ἀκαινοτόμητον οἰκονομήσαι καὶ τὸ βάρος τῶν φροντίδων συμμεριζόμενος τῇ μητρὶ εὐθυμότερον αὐτὴν βιῶναι παρασκευάσει.

Τοιγαροῦν [15] ἡ ἡμετέρα βασιλεία τοὺς μὴ ἐπιτρέποντας νόμους υἱοθετεῖσθαι ἅπερ ἔφημεν πρόσωπα τῆς ἐπιτροπῆς ἀποχειροτονοῦσα, πᾶσιν ἐκτίθεται νόμον τοῖς βουλομένοις υἱοποιεῖσθαι, ἄν τέ τις τὰ ἀῤῥένων ἀφῄρηται, ἄν τέ τινα οὔπω ἥλιος εἶδε μητέρα, ἄδειαν παρεχόμενον, οὐ μόνον δι' ἅπερ εἶπον καλὰ ἐκ τῆς υἱοθεσίας γινόμενα, ἀλλ' ὅτι καὶ τὸ τῆς παρθενίας σεμνὸν καὶ ἐκ τούτου τιμώμενον καθορῶ. Αἱ γὰρ ὅσαι μᾶλλον γαμικῆς ὁμιλίας τιμῶσι [16] μὲν τὴν παρθενίαν, προτιμῶσαι δὲ ὅμως παίδων ἔρωτι νύττονται, τοῦτο καὶ γαμικῆς ὁμιλίας ἐκτὸς προσγινόμενον αὐταῖς ὁρῶσαι τὸ σεμνὸν τῆς παρθενίας οὐ περιόψονται.

Οὐ γὰρ δὴ ἄξιον, διότι θῆλυ πρόσωπον ὑπεξουσίους ἔχειν παῖδας οὐκ ἐφεῖται, διὰ τοῦτο μὴ ἐξεῖναι υἱοθετεῖσθαι. Πρῶτον μὲν ὅτι εἴ τις τοῦτο συγχωρήσοι, οὐ μόνον τὰς ἀτόκους τῶν γυναικῶν τῆς

A novisset (94) ademptione sobolis ad liberorum orbitatem redegisset, adoptandi jure donarit: eunuchos (95) vero et mulieres, e quarum sinu nondum ullus fetus effloruisset, beneficio indignos censuerit, tam utiliter nescio quomodo ratiocinata. Non enim quia hoc incommodo, ut natura patres esse nequeant, eunuchi affecti sint, continuo idem incommodum lege augeri (96) oportet: sed e diverso ejus rei defectum alio modo compensari non prohibere, longe magis par est: quemadmodum aliis membris, quæ ad actiones naturales requiruntur (ut manibus (97), pedibus) mutilatis, aut si qua alia parte privati sint homines, illi quocunque possunt modo mutilationem sarcire non prohibentur. Jam vero neque mulieres B quia matres non fuerint, ne adoptent coerceri, rationi consentaneum est. Quæ enim ratio est, u illis, quod liberis orbatæ sint, denuo acquirendorum liberorum jus largiare: has vero, quod istiusmodi possessionis prorsus inopes fuerint, per omnem vitam in illa inopia vivere velis? Et certe si hæc præcipua liberorum utilitas est, ut parentes in senio sustentent: quo pacto non tam his quam illis ex æquo ut beneficii participes essent concedere æquum fuit? Sic enim quibus tenues arctæque facultates sunt, filiorum ope et auxilio levior paupertas esset: quæ vero illas omni rerum copia affluentes habent, et his adoptio conduceret. Nam qui in filii locum assumptus esset, is et inserviens matri, et pro illa quæ par est filium facere sedulo C exsequens, cum bona illius, ita ut in suo statu manerent, administraret: tum cum matre curarum onus partitus ut illa tranquillius lætiusque viveret, efficeret.

Nostra itaque imperatoria majestas, iis legibus quæ adoptare his quos diximus non permittunt, administrationem abrogans, evulgat legem, quæ omnibus qui adoptare velint, sive quispiam viri facultate orbatus sit, sive aliquam (98) necdum matrem sol viderit, ejus faciendi potestatem facit: non solum autem ob commoditates quas ex adoptione manare dixi, sed etiam quod inde virginitatis decus cohonestari animadvertam. Si quidem quæ conjugali consuetudini virginitatem anteponunt, interimque liberorum desiderio punguntur, cum id extra matrimonii consuetudinem consequi se posse videbunt, virginitatis honestatem negligere non sustinebunt.

D Neque porro verum est ut, quia mulieri liberos in potestate habere permissum non est, idcirco adoptare illi non liceat. Primum enim quia, si quis hoc admittat, non solum mulieres, quæ nun-

VARIÆ LECTIONES.

[14] Scrimg. παρέστησε. [15] Incipit Ecl. [16] Ecl. προτιμῶσι.

NOTÆ.

(94) Sensus est: Veteri jure feminis (quæ matres fuissent) tantum licuisse adoptare in solatium liberorum amissorum, l. 5, C. De adop.

(95) Eunuchi et mulieres improles adoptare jure veteri non potuerunt. De eunuchis dixi ad Nov. 26, s. eod.

(96) Afflictio nullius augenda, Novell. 40, j. cod.

(97) Qui manus amisit verbis testari potest. d. Nov. 26, et l. 10, ff. qui testam.

(98) Sensus est: Feminas (licet nunquam habuerint liberos) adoptare posse.

quam pepererunt, verum etiam quæ matres exstiterunt, ab adoptione arcet. *Femina* enim (ut lex (99) inquit) *habere in potestate liberos non potest*. Deinde (1-4) quæ hoc sanxit lex, loquitur de illis qui a matribus recedentes seorsum suo arbitratu vivere malunt : non item vero de iis qui materna imperia libenter tolerant ipsarumque præscriptis per omnem vitam parere proposuerunt. Non igitur obedientiam et famulatum voluntarium, quanquam is rarus sit, lex prohibet : sed illic femina potestate privatur, ubi voluntatis assensus ad obedientiam non coit. Nam si hoc ita sit, quomodo multæ matres jam viduæ liberos secum una viventes et subditos ad extremum usque diem habent et animam in illorum manibus exspirantes maternæ benedictionis et suarum facultatum illos relinquunt hæredes ?

Porro et illud etiam imperatoria nostra majestas benigne subditis largitur, *ut non modo ab imperatore* (quemadmodum vetustiores (5) leges præcepere), sed etiam a quocunque, cui cujuscunque loci rectio injuncta erit, qui adoptare volet, id faciendo facultatem accipere possit.

CONSTITUTIO XXVIII.

Quo tempore (6) *et a quibus rerum suarum administratio adultis concedi debeat.*

Idem imp. Styliano excellentiss. sacrorum officiorum magistro.

Quandoquidem hoc etiam legislatoribus recte placuit, ut (7) minoribus curatores præficerentur, qui parentum de illis curam supplentes, et ætatis imbecillitatem curæ haberent, et bona convenienti sollicitudine illæsa conservarent, quod legislationi recte se habenti deest, ex nobis addendum putavimus. At quis ille defectus est ? Quod a solo imperatore, jussis recedere curatoribus, rerum administrationem tradi minoribus : idque cum jam præfinitæ ætatis modum attigerint (quem maribus vicesimus, feminis vero decimus octavus annus tribuit), et tanquam ad hanc ætatem, qua sapere recteque atque utiliter res suas administrare possunt, jam pervenerint, in plenam rerum suarum potestatem collocari velit. Verum quoniam ut sapiant, omnibus non eadem ætate contingit, non ita simpliciter statui, neque ex sola ætate ad rerum suarum gubernationem pariter omnes produci oportebat ; sed erat quam ætatem cujusque eorum qui rerum suarum administrationem suscepturi essent, status requireret, inspiciendum. Quid enim ? an cum hic, postquam eam ætatem egressus

A υἱοθεσίας ἀπείργει [17], ἀλλὰ καὶ τὰς ὀφθείσας μητέρας· *Θῆλυ γὰρ, ὥς φησι, πρόσωπον ὑπεξουσίους οὐ δύναται ἔχειν παῖδας*. Ἔπειτα δὲ ὁ τοῦτο θεσπίζων νόμος περὶ ἐκείνων λέγει, ὅσοι προκρίνουσι τῶν μητέρων διαστάντες ἰδίως ῥυθμιζόμενον ἔχειν βίον, ἀλλ' οὐ περὶ τούτων, ὅσοι τὴν μητρικὴν ἐξουσίαν ἡδέως φέρουσι καὶ διὰ βίου τὴν ὑποταγὴν αὐταῖς σώζειν ἐγνώκασιν. Οὐκοῦν ὁ νόμος τὴν ἀπὸ γνώμης ὑποταγὴν καὶ οἰκείωσιν, ὅπερ καὶ ἐνταῦθα συμβαίνει, οὐκ ἀπαγορεύει, ἀλλ' ἐκεῖ τὸ θῆλυ πρόσωπον ἀφαιρεῖται τὴν ἐξουσίαν, οὗ γνώμης ἑκουσιότης [18] εἰς ὑποταγὴν οὐ συνέρχεται. Ἐπεὶ εἰ τοῦτο, πῶς πολλαὶ τῶν μητέρων κεχηρωμέναι παῖδάς τε συμβιοῦντας καὶ ὑποταττομένους μέχρι τῆς ἐσχάτης ἔχουσιν ἡμέρας, καὶ ἐν χερσὶν αὐτῶν τὴν ζωὴν κα-
B ταλύουσαι τῆς τε μητρικῆς εὐλογίας καὶ τῶν προσόντων καταλιμπάνουσι κληρονόμους ;

Καὶ τοῦτο δὲ ἡ βασιλεία ἡμῶν τὸ ὑποχείριον φιλοτιμεῖται, *ὥστε μὴ μόνον παρὰ βασιλέως* (καθὼς οἱ πρόσθεν ἐπέτρεπον νόμοι) τὸν υἱοθετεῖσθαι βουλόμενον, ἀλλὰ καὶ παρὰ παντὸς τοῦ καθ' ἑκάστην χώραν τὸ ἄρχειν καὶ διέπειν λαχόντος τὴν ἐξουσίαν λαμβάνειν.

ΔΙΑΤΑΞΙΣ ΚΗ'.

Περὶ τοῦ καιροῦ, καθ' ὃν δεῖ τοὺς παῖδας τὴν τῶν οἰκείων διοίκησιν ἐγχειρίζεσθαι, καὶ παρὰ τίνος.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ ὑπερφυεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Ἐπειδὴ καὶ τοῦτο καλῶς τοῖς νομοθέταις ἔδοξε τὸ
C παισὶν ὠρφανισμένοις ἐγκαθιστᾶν ἐπιτρόπους, δι' ὧν ἡ τῶν πατέρων ἀναπληρουμένη αὐτοῖς πρόνοια δι' ἐπιμελείας μὲν τὸ τῆς ἡλικίας ποιεῖται ἁπαλὸν, τὰ ὑπάρχοντα δὲ ταῖς δεούσαις φροντίσιν ἀβλαβῆ συντηρεῖ, τῷ καλῶς διακειμένῳ τῆς νομοθεσίας συνείδομεν ὃ λείπει παρ' ἑαυτῶν προσθεῖναι. Τί οὖν τὸ ἐλλεῖπον ἦν ; Τὸ βούλεσθαι παρὰ μόνου βασιλέως κελεύοντος ἐξίστασθαι τοὺς κουράτωρας τῆς τῶν πραγμάτων διοικήσεως, ἐγχειρίζεσθαι δὲ τοὺς παῖδας αὐτὴν ἀπολαβόντας τῆς ἡλικίας τὸ μέτρον, ὃ τοῖς μὲν ἄρρεσιν ὁ εἰκοστὸς ἀπονέμει χρόνος, ταῖς δὲ θηλείαις ὁ ὄγδοος καὶ δέκατος [19], ὡς εἰς ὥραν ἐλθόντας φρονήσεως καὶ τοῦ τὰ οἰκεῖα δύνασθαι καλῶς καὶ συμφερόντως οἰκονομεῖν ἐπὶ τῆς δεσποτείας καθίστασθαι. Ἀλλ' ἐπεὶ οὐχ ὁμοίως πᾶσι τὸ φρονεῖν πα-
D ραγίνεται, ἔδει [20] μὴ ἁπλῶς οὕτω θεσπίζειν, μηδὲ πάντας ὁμοῦ ὑπὸ μόνου τοῦ καιροῦ εἰς τὴν τῶν οἰκείων ἐξουσίαν προάγεσθαι, ἀλλὰ καθ' ὃν ἀπαιτεῖται καιρὸν τῶν τὴν [21] δεσποτείαν προχειριζομένων κατάστασις. Τί γάρ ; ὁ μὲν εἰ [22] ὑπερελάσας τὸν χρόνον οὔπω εἰς τὸ φρονεῖν ἀφίκετο, τοῦ δεσπόζειν κριθείη

VARIÆ LECTIONES.

[17] Ecl. ἀπείρξει. [18] Sic Ecl. Codd. et editi habent : ὅπερ καὶ καθὰ συμβαίνει ἀπαγορεύει, ἀλλ' ἐκεῖ τὸ θῆλυ πρόσωπον ἀφαιρεῖται τὴν ἐξουσίαν, οὗ γνώμη πλησιότης. [19] Supplendum *καί*. [20] Sic correxit Stephanus. Codd. εἴδει. [21] Præmittendum censeo ἐπί. [22] Codd. εἰ ὁ μὲν, Stephanus εἰ ὃς μὲν καὶ ὑπερελ. — ὃς δέ.

NOTÆ.

(99) Vid. l. 5, C. De adopt. § 10.
(1-4) Inst. De adopt. Ulp. 8, § 9.
(5) d. §. 10.
(6) Etiam ante xx et xviii. Qui non semper anno xx aut xviii.. quod addi oportet legi 2, C. De his qui veniam ætatis.
(7) Inst. De curat.

ἄξιος, ὁ δὲ εἰ τοῦ καιροῦ ἔλαττον ἔχων οὐκ ἐλαττοῦται φρονήσεως καὶ τοῦ ὀρθῶς τὰ πράγματα μεταχειρίζεσθαι, ἀπειρχθήσεται τῆς διοικήσεως; Ἐπεὶ οὖν οὐχ ἧττον κατὰ νοῦν ἢ τὸ σῶμα διαφέρουσιν ἄνθρωποι, καὶ οἱ μὲν εὐσταθέστεροι τὸν λογισμὸν καὶ πρὸ τοῦ νενομισμένου καιροῦ, οἱ δὲ καὶ ὑπερβάλλοντες αὐτὸν ἐν εὐσταθεῖ τὴν διάνοιαν οὐ πεπήγασι, τῷ δὴ ταῦτα βούλεσθαι ἐλλιπῶς ἔχειν τὴν νομοθεσίαν ἐποίει, καὶ ἄλλως δέ πως πρῶτον μὲν, ὅτι μὴ ῥᾴδιον μᾶλλον δὲ παντελῶς ἀδύνατον πρὸς πάντας διαβαίνειν τοῦ νομοθέτου τὸ βούλημα. Πῶς γὰρ οἱ γῆς καὶ θαλάσσης μακροῖς διειργόμενοι διαστήμασιν, ἵνα τὰ ἄλλα δυσχερῆ τοῦ βίου ἐάσω, νόσους καὶ φόβους ἐξ ἐπιβουλῆς ἐχθρῶν καὶ μελῶν πηρώσεις (ὃ πολλάκις οὐδ' ἐπὶ χώρας δίδωσι προϊέναι, μὴ ὅτι γε ὑπερορίους στέλλεσθαι πορείας), πῶς οὐ κωλυόμενοι τούτοις καὶ μυρίοις ἑτέροις, ἃ τὴν ἀνθρωπίνην συνέχει ζωὴν, παρὰ μόνης τῆς βασιλικῆς κατανεύσεως τῶν οἰκείων πραγμάτων ἀξιωθήσονται τῆς ἐπιτροπῆς;

A sit, nondum autem satis sapere cœperit, administratione dignus judicatus fuerit : ille, quanquam etiamnum infra eam ætatem sit, prudentia tamen non destituatur, ut recte res suas administrandas suscipere non possit, ab administratione arcendus erit? Quando igitur non minus animo quam corpore inter sese homines differunt, et alii etiam ante legitimum tempus rationem bene constitutam habent, aliis vero etiam id supergressis mens nondum stabilita est, quod lex hæc ita vellet, ut defectuosa eadem esset, factum est. Quin et alia hujus legislationis incommoda sunt. Ac primum quidem quod difficile, imo vero prorsus impossibile sit, ut ad omnes legislatoris voluntas pertingat. Quomodo namque qui longis terræ marisque distinentur B intervallis (ut interim alias vitæ difficultates, ut morbos, insidiarum hostilium metus, membrorumque mutilationes omittam : quæ persæpe difficultates, ne in ipso quidem domicilii loco prodire, nedum longinquam profectionem suscipere permittunt), quomodo, inquam, hisce sexcentisque, quæ mortalium vitam allidunt rebus aliis adolescentes impediti, rerum suarum administrationem ab unius imperatoris nutu petent?

Ὅπερ οὖν, καθὼς ἔμπροσθεν ἔφημεν, ἐνέδει τῇ νομοθεσίᾳ, προσαναπληροῦντες τοῦτο κελεύομεν, τοῖς ἤδη διαβεβηκόσι τῶν παίδων τὸν ἀτελῆ τῆς ἡλικίας καιρὸν (τουτέστι τοῖς μὲν ἀνδράσι τὸν εἰκοστὸν, ταῖς θηλείαις δὲ τὸν ὀκτωκαιδέκατον), καὶ γνώμης καταστάσει ῥυθμιζομένοις, καὶ φρόνησιν συλλεξαμένοις, ὑφ' ἧς τὸ δεσπόζον ἡνιοχούμενον οὐ λυμανεῖται τοῖς πράγμασιν οὐδ' ἐπιβλαβῶς αὐτοῖς τὸ δεσπόζειν ὀφθείη παρασχεθὲν, τὴν τῶν οἰκείων ἐπιτροπὴν δίδοσθαι· τοίνυν οὗτοι καὶ λαβέτωσαν, καὶ δεσποζέτωσαν. Οἱ δ' ἔτι λογισμοῦ τοῦ κυβερνήσοντος ἐνδεεῖς καὶ διὰ τοῦτο μέλλοντες ἀντὶ τοῦ δεσπόζειν (αὐτοὶ ὑπὸ ἀνοίας δεσποζόμενοι) ἐπιζήμιοι ἑαυτοῖς ὑπάρξειν, κἂν πέρα τοῦ καιροῦ ἥκοντες ὁρῶνται, οὐ λήψονται· εἰ γὰρ ὅπερ ἦν σκοπὸς, τὸ τὰ προσήκοντα καλῶς οἰκονομεῖσθαι, τοῦτο ἔτι οὐκ ἔστιν ἐπίδημον, πῶς κἂν ἐπίδημος ἡ ἡλικία, ἐπισφαλῶς αὐτοῖς ἐμπιστευθείη ἃ τῇ ἐκείνης ἐπιστασίᾳ οὐ καλῶς διοικηθήσεται; Οὕτω δὲ ἄρα καὶ δυνατοὶ ὄντες πράγμασιν ἐπιστατεῖν, κἂν μὴ πρὸς τὸν καιρὸν ἔφθασαν τῆς ἐπιστασίας, οὐ κωλυθήσονται· ἓν γὰρ τὸ ζητούμενον, τὸ μὴ λυμήνασθαι τοῖς ὑπάρχουσιν, οὗ παραστάντος περιττόν ἐστι τὸν[23] καιρὸν ἀναμένειν.

Quod ergo (sicut superius diximus) legislationi deerat, id adimplentes, jubemus, ut (8-10) qui puberes imperfectæ ætatis tempus jam superarunt (mares nempe annum 20, feminæ vero 18) animumque ad res gerendas idoneum habent, ac prudentiam, quæ administratio refrenata res non labefaciet, ut illa nocenter concessa non videatur, collegerunt his plena rerum suarum auctoritas detur. Accipiunto itaque hi, justaque potestate res suas agunto. At C quibus rerum] recte gerendarum judicium adhuc deest, eo quod sibi ipsis (utpote qui cum gubernare debeant, imprudentiæ imperio regantur) damnosi futuri sint, etiamsi id tempus prætergressi fuerint, non percipient. Si quidem, qui propositus finis erat, ut bona recte administrarentur, is necdum præsens sit, qua ratione, quanquam ætas advenerit, cum periculo ipsis committentur, quæ ipsius procuratione non recte administrabuntur? Ad hunc ergo modum qui rebus prudenter præesse poterunt, tametsi (11) ad administrationis tempus haud dum pervenerint, non prohibebuntur. Unum est enim quod requiritur, ne bona labefactentur. Quod cum adsit, supervacaneum est ætatem exspectare.

Καὶ μὴ μόνον δὲ βασιλείαν[24] τὴν τῶν οἰκείων πραγμάτων ἐπιτροπὴν καὶ διοίκησιν ἐγχειρίζειν, ἀλλὰ καὶ τοὺς ἐν ἑκάστῳ ἄρχειν λαχόντας τόπῳ καὶ κρίνειν τὸ ἀκώλυτον ἔχοντας. Οὕτω γὰρ καὶ ἡ τοῦ νομοθέτου πρόνοια πάντας ὀνήσει τοὺς χρῄζοντας, καὶ ὁ νόμος μᾶλλον τὸ οἰκεῖον ἐνεργήσει.

D Et non tantum imperator rerum suarum procurationem administrationemque concedet, verum etiam (12) quibus cujusque loci magistratus obtigerit, plenamque jurisdictionem habent. Ita enim legislatoris providentia omnibus qui indigebunt, utilis erit, atque lex vim suam magis exseret.

VARIÆ LECTIONES.

[23] Codd. et editi τό. [24] Zuich. et Meerm. βασιλέα. Scrimg. βασιλεύειν.

NOTÆ.

(8-10) Vid. C. De his qui veniam ætat. impet.
(11) Idque additur legi 2. C. De his qui veniam ætatis.
(12) Idque additur legi 1, 2, 3, 4. Cod. De his qui veniam ætatis.

CONSTITUTIO XXIX.

Ut ancillarum partus apud alium editus, ad ipsius dominum sequatur.

Idem imperator eidem Styliano.

Quemadmodum hunc sermonem, qui nullam præ se fert mendacii perversitatem, verum esse atque rectum scimus, ita etiam veram legem, quæ iniquitate perverti non deprehenditur. Atque adeo si qua id non observat, ea lex non est, quamvis ea appellatione digna habita sit. Si enim hoc legis est (13), *ut cuique jus suum tribuat*, quomodo quæ hoc non præstat, lex erit? At cum aliæ etiam nomine tenus leges id committere deprehensæ sunt, tum vero illa (14) maxime, quæ partum ancillæ, quæ non apud dominum, sed furto aliove modo subducta, apud alium quempiam peperit, postquam facinus innotuit, non cum matre ad suum dominum abire, sed ab hoc quem alieni mancipii dominum fuisse constat, detineri jubet.

Hoc itaque quia non recte se habere visum est, convenienti medela nos dignati, uti suus matrem partus sequatur, jubemus. Non enim quia fur, quæ lex domino persolvi debere decernit, obtinet, idcirco etiam ille ancillæ suæ partu privari, eumque alius lucrari debet. Ad lucrum autem huic satis sit, quod (15) illa ad ministerium pro arbitrio usus est. At dixerit aliquis : Sed si quid in illam, dum possedit, impenderit, oportet et ipsum ex pretio lucrari: ideoque alienum non est partum apud ipsum permanere. Atqui si quispiam ad detinendum fetum hoc rationem præbere putat, quomodo ut ille matrem sequi debeat, a domino persolutum pretium non majorem præbebit? Quin quomodo convenientius non est, si qui perdidit, indeque dolores in corde pertulit, ex accessione delinimentum sentiat, quam si ille eam habeat, qui præterquam quod nihil amisit (ab illo enim qui furto subductam ancillam ipsi vendidit, pretium recuperare licet), ancillæ etiam ministerium lucratus est? *Neutiquam ergo* (quomodo diximus) *detineatur partus*, sed quemadmodum matrem, sic etiam filium prior dominus habeat. Sive enim qui furtum commisit, dives sit, tumque ipsi quod male accepit, ejus pretium reddat, nihil amplius negotii restet: sive mortuus aut vivus adhuc inopia laboret, ut quæ lex a furibus exigit, exsolvere nequeat, tum vero quoque qui ancillam amisit, ejus calamitatem filii cum matre receptione deliniri æquius sit.

ΔΙΑΤΑΞΙΣ ΚΘ'.

Περὶ τοῦ δεῖν, τεκούσης θεραπαίνης μὴ παρὰ τῷ οἰκείῳ δεσπότῃ, ἀλλὰ παρ' ἑτέρῳ, τὸν τόκον ἅμα τῇ τεκούσῃ πρὸς τὸν οἰκεῖον δεσπότην ἀπέρχεσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ ἀληθῆ καὶ ὀρθὸν λόγον ἴσμεν τὸν ψεύδους διαστροφὴν οὐκ ἐμφαίνοντα, οὕτω καὶ ἀληθῆ νόμον, ὃς μὴ ἐλέγχεται τῷ ἀδίκῳ παρατρεπόμενος· ὡς εἴ γέ τις τοῦτο οὐ διασώζει, οὐκ ἂν εἴη νόμος, κἂν τῆς τοιαύτης προσηγορίας ἠξίωται. Εἰ γὰρ τοῦτο νόμου *τὸ νέμειν ὅπερ ἑκάστῳ ἁρμόδιον*, πῶς ὁ μὴ τοῦτο ποιῶν νόμος ἔσται; Πεφώρανται μὲν δὴ καὶ ἕτεροι καλούμενοι νόμοι τοῦτο παθόντες, οὐχ ἧττον δὲ κἀκεῖνος[25] ὁ τὴν γονὴν τῆς μὴ παρὰ τῷ οἰκείῳ δεσπότῃ, ἀλλὰ παρ' ἑτέρῳ, ἢ συλήσεως τρόπῳ ἢ ἑτέρῳ τινὶ τὰς ὠδῖνας ἀπολυσαμένης θεραπαίνης, ἐπειδὰν τὸ κακούργημα εἰς γνῶσιν ἔλθῃ, παρακελευόμενος μὴ σὺν τῇ μητρὶ πρὸς τὸν οἰκεῖον δεσπότην ἀπέρχεσθαι, ἀλλὰ παρακατέχεσθαι ὑπὸ τούτου, ὃς ἀλλοτρίου κτήματος ὤφθη δεσπότης.

Τοῦτο οὖν ἐπεὶ μὴ καλῶς ἔχειν δοκεῖ, τῆς προσηκούσης θεραπείας ἀξιοῦντες ἡμεῖς παρακελευόμεθα τῇ τεκούσῃ τὸν ἴδιον τόκον ἀκολουθεῖν. Οὐ γὰρ ὅτι ὁ κλέπτης ὑπέχει ἃ διορίζει ὁ νόμος αὐτὸν καταβάλλειν τῷ δεσπότῃ, διὰ τοῦτο ἀποστερήσεται μὲν αὐτὸς τὸν τόκον τῆς οἰκείας θεραπαίνης, κερδήσει δὲ τοῦτον ἄλλος· ἀρκεῖ γὰρ τούτῳ πρὸς κέρδος, ὅσα εἰς ὑπηρεσίαν αὐτῇ ἀπεχρήσατο. Ναὶ[26], φησὶν, ἀλλ' εἰ τιμὴν ὑπὲρ αὐτῆς κατατιθέμενος οὕτως ἐκτήσατο, δεῖ τι καὶ τοῦτον κερδαίνειν ἐκ τοῦ τιμήματος, καὶ διὰ τοῦτο τὸ τεχθὲν οὐκ ἄτοπον παρ' αὐτῷ διαμένειν. Ἀλλ' εἰ τοῦτό τις εὔλογον εἶναι νομίζει εἰς κατάσχεσιν τοῦ κυήματος, πῶς οὐκ εὐλογώτερον εἰς τὸ ἕπεσθαι ἡ τοῦ πρώην δεσπότου τοῦ τιμήματος προλαβοῦσα καταβολή; πῶς δ' οὐκ ἔστιν ἁρμοδιώτερον τὸν ὑποστάντα τὴν ἀπώλειαν καὶ ταῖς ἐκεῖθεν ἀλγηδόσι βεβλημένον τὴν καρδίαν τῷ κέρδει θεραπεύεσθαι, ἀλλὰ μὴ ἐκεῖνον τοῦτο ἔχειν, ὃς πρὸς τῷ μηδὲν ἀπολωλεκέναι (ἔξεστι γὰρ αὐτῷ ἀναλαμβάνειν τὸ τίμημα παρ' οὗ κλαπεῖσα ἡ θεράπαινα ἀπημπόληται) καὶ τὰ ὅσα ὑπηρετήσατο κερδήσας ὁρᾶται; *Οὐδαμῶς οὖν ἐν κατοχῇ ἔσται*, καθὼς ἔφημεν, *τὸ τεχθέν*, ἀλλ' ὥσπερ τὴν μητέρα, οὕτω καὶ τὸ τέκνον ὁ πρότερος ἕξει δεσπότης. Ἄν τε γὰρ ὁ τὴν κλοπὴν ἐργασάμενος τῶν εὐπόρων ᾖ, ἀποδιδόντος αὐτοῦ[27] ἥνπερ κακῶς ἔλαβε τιμὴν, οὐδὲν πλέον πολυπραγμονεῖν ὀφείλει, ἄν τε θανὼν, ἢ ζῶν μὲν, ἀπορῶν δὲ εἰς ἔκτισιν ἃ τοὺς κλέπτοντας ὁ νόμος εἰσπράττεται, καὶ οὕτως δικαιότερον τὸν ἀπολωλεκότα τὴν θεράπαιναν τῇ τοῦ παιδὸς σὺν τῇ μητρὶ ἀναλήψει παραμυθήσασθαι τὴν ἀπώλειαν.

VARIÆ LECTIONES.

[25] Scrimg. δ' ἐκεῖνος. [26] Codd. καί. [27] Scrimg. αὐτῷ.

NOTÆ.

(13) L. 10, ff. De justitia et jure.

(14) L. 10, in fin, l. 33, ff. De usucap. l. 48, § 5, ff. De fur.

(15) Ex hoc loco potest defendi, tutorem pupillæ plenam alimentorum pensionem imputare non posse, si pupillæ ministerio suum ad compendium usus fuerit.

ΔΙΑΤΑΞΙΣ Λ'.

Περὶ γάμου ζῶντος τοῦ προτέρου ἀνδρός.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ τῶν πεφωραμένων νόμων μὴ λυσιτελῶς ἔχειν τῇ πολιτείᾳ ἀναγκαίαν ἐποίει τὴν ἐπὶ τὸ ἄμεινον μετασκευὴν ἡ δικαία τῆς πολιτείας πρόνοια, οὕτω καὶ τοὺς ὀρθῶς ἔχοντας τῶν νόμων καὶ μηδὲν τοὺς πειθομένους παραλυποῦντας τῶν μὴ οὕτως ἐχόντων μηδ' εἰς τὸ ἄλυπον τοὺς ὑπηκόους περιιστάντων τῆς αὐτῆς ἂν εἴη προνοίας ἔργον ἐκλέγεσθαι καὶ προκρίνειν, ἐπειδὰν περὶ τοῦ αὐτοῦ πράγματος δύο ἀλλήλοις μαχόμενοι ὁρίζουσι νόμοι. Πῶς γὰρ ἂν εἴη λόγον ἔχον, στρατηγοὺς μὲν καὶ ἄρχοντας τῶν χειρόνων ἐκλέγεσθαι τοὺς ἀμείνους, καὶ προκρίνειν τούτους, ὧν ἡ ἀρχὴ πρὸς τὸ συμφέρον διαθήσει τὸν βίον τῶν ἀρχομένων (καίτοιγε οὐκ ἀεὶ μέλλουσιν ἄρχειν), νόμων δὲ, οἷς μέχρις ἂν ἡ πολιτεία συνίσταται τὸ ἄρχειν δίδοται, μὴ τοὺς βελτίστους ἀξιοῦν εἰσάγειν εἰς τὴν ἀρχὴν, ἀλλὰ τοὺς τῆς χείρονος μοίρας καὶ οὓς καλὸν ἦν μηδὲ τὸ πρῶτον εἰς γνῶσιν ἐλθεῖν;

Τί δήποτε ταῦθ' ἡμῖν εἴρηται; Ἰουστινιανὸς ἐκεῖνος, οὗ μετὰ τῆς εὐσεβείας καὶ ἡ περὶ τὸ ὑπήκοον φροντὶς ἐσέμνυνε τὸ διάδημα, πρότερον περὶ διαλύσεως γάμων θέσπισμα θέμενος, ὡς εἴπερ γυνὴ ἔτι τοῦ ἀνδρὸς ἐν ζῶσιν ὄντος περὶ γάμων αὐτῆς ἑτέρῳ διαλεγομένη ὀφθείη, μηκέτι ἐξεῖναι αὐτὴν τῷ ἀνδρὶ συνηρμόσθαι ὡς οἰκεῖον μέλος, ἀλλ' ὡς ἐπίβουλον διαῤῥήγνυσθαι, ὕστερον αὐτὸς ἑαυτῷ ἀντιλέγων οὐκ ἐπιτρέπει διὰ ταύτην τὴν αἰτίαν διασπᾷν τὸν γάμον. Ἡμεῖς οὖν μᾶλλον τὴν προτέραν τοῦ ἀνδρὸς γνώμην λυσιτελοῦσαν ὁρῶντες τῷ βίῳ, ὡς δι' ὧν παρακελεύεται ἀσφαλιζομένην καὶ προανακόπτουσαν τὰς κατὰ τῶν γάμων ἐπιβουλὰς, ταύτην δὲ ἄρα πολιτεύεσθαι νόμον ἐκφέροντες, ἣν[28] ἐπιτηρεῖσθαι[29] φέρουσαν παλινῳδίαν ὁ ἀνὴρ ᾖσεν εἰς τὸ τῆς πολιτείας ἡμῶν θέατρον χώραν εὑρίσκειν οὐκ ἐπιτρέπομεν. Εἴ τις οὖν ἔτι τοῦ ἀνδρὸς περιόντος[30] πρὸς γάμους ἑτέρῳ κοινολογουμένη ὀφθείη, οἷα δὴ αὐτὴ ἑαυτὴν μιαρῷ φρονήματι ἀποῤῥηγνῦσα καὶ τῇ τοῦ γάμου διαλύσει τούτου ἀποῤῥαγήσεται, ναὶ δὴ καὶ χρηματικαῖς ὑποβληθήσεται ποιναῖς, αἷς ἐνέχονται αἱ διὰ τοὺς ἄλλους τρόπους τῶν ἀνδρῶν διασπώμεναι. Ἡ γὰρ διὰ τῆς γαμικῆς ἁρμονίας εἰς μίαν μὲν σάρκα τῷ ἀνδρὶ χρηματίσασα, οὐ στέργουσα δὲ, ἀλλ' ὁμοῦ μὲν ἐν τῷ πρὸς ἕτερον βλέπειν τὸν συναρμόσαντα Πλάστην ὑβρίζουσα, ὁμοῦ δὲ καὶ τῷ συζύγῳ ἐχθρὸν φρόνημα φέρουσα, πῶς οὐ δικαίως αὐτὴ ἑαυτὴν προαποτεμοῦσα παντελῶς τῆς ἑνώσεως ἀποκοπήσεται; τί γὰρ ἂν ἔτι ὀφθείη ἐχέγγυον τοῦ

CONSTITUTIO XXX.

De muliere quæ vivo marito alios de matrimonio compellat (16).

Idem imperator eidem Styliano.

Ut cum leges reipublicæ inutiles deprehenduntur, necessario illas justa reipublicæ providentia in melius transformat: ita quoque ejusdem providentiæ munus sit, ut leges recte constitutas nihilque subditos contristantes a male constitutis subditosque contristantibus seligat, hisque illas anteponat: præsertim vero quando eadem de re duæ inter (17) se pugnantes leges statuunt. Quomodo enim ratione fultum sit, si cum duces atque præfecti ex pejoribus præstantiores eligantur, et qui in gubernatione ad subditorum utilitatem omnia facturi putantur, præponantur: non item ex legibus, quibus donec respublica consistet, præesse datur, cum contra temporanea ducum præfectura sit, non præstantissimæ, sed pejoris notæ, quasque neque a principio innotuisse decuisset, ad gubernacula deducantur?

At quorsum hæc a nobis dicta sunt? Justinianus ille cujus diadema præter religionem, subditorum cura etiam decoravit, cum prius (18) de solutione matrimoniorum sanctionem edidisset, ut si mulier marito etiamnum superstite de matrimonio cum altero agat, non amplius illam, ut ipsius membrum ipsi jungi liceat, sed ceu insidiatrix ab ipso avellatur: postmodum (19) sibi ipse contradicens, ob hanc causam dirimi non permittit (20) matrimonium. Nos itaque priorem hominis voluntatem, ut quæ his ipsis quæ statuit roboretur, et adversus matrimonia insidias præcidat, humanæ vitæ conducibiliorem esse intelligentes, eam lege lata in republica observari jubemus: quam vero cantata palinodia evulgavit, eam in reipublicæ nostræ theatro locum invenire non permittimus. Si qua igitur marito adhuc vivo, de contrahendo matrimonio cum altero sermonem habuisse deprehendatur, ut quæ se ipsa nefario proposito abruperit, et matrimonii solutione ab illo abstrahetur, et profecto etiam pecuniariis pœnis, quibus quæ aliis modis a maritis avelluntur, obnoxiæ sunt, subjicietur. Quæ enim matrimonii compage in unam (21) carnem cum marito coiit, non acquiescit autem, sed simul ad alium respiciendo Creatorem qui illam conjunxit, contumelia afficit, simul in maritum hostili animo est, quomodo non juste hæc cum prius se ipsa a conjunctione prorsus abruperit, abscindetur? Et sane quando mulier

VARIÆ LECTIONES.

[28] Codd. ὄν. [29] Codd. ἐπιτηρεῖται. [30] Scrimg. παρόντος.

NOTÆ.

(16) Dimittenda ex Nov. 22, c. 6, § 1, neglecta Nov. 117, c. 8, et ita reducitur ad Nov. 22.

(17) Ἀντινομίαι interdum in jure occurrunt.

(18) Nov. 22, c. 16, § 1.

(19) Nov. 117, c. 8, 3.

(20) Saltem non numeratur inter causas repudiorum.

(21) Gen. II, vers. 24; Matth. XIX, vers. 5; Luc. XVI

protervo proposito oculum (22-23) a membro suo avertens, in alienum respicere gestit: quæ alia signa et testimonia ipsam in maritum hostilia cogitare desideres?

A ἐχθρὰ φρονεῖν τῷ ἀνδρὶ τὴν γυναῖκα, ὁπότε ἀσελγεῖ φρονήματι τοῦ οἰκείου μέλους τὸν ὀφθαλμὸν ἀποστρέφουσα ἀλλοτρίῳ ἐνατενίζειν ἔρωτα φέρει;

CONSTITUTIO XXXI.

Ut (24) quæ mulier mariti odio abortat, repudiari ab illo possit (25).

Idem imperator eidem Styliano.

Qui hominem e (26) terra creavit, costa ipsius in mulierem transformata, adjutricem (27) illi ex ipsius membris conjunxit, quo videlicet suæ creationis causam illa cognoscens, vel hinc discat, qua lege erga conjugem, benevolentiam atque amorem incontaminatum conservet. Quæ igitur ita animata est, benevolentiamque suam marito custodit, revera illa auxiliatrix est, neque Conditoris promissum fallit: quæ vero diverso animo est, non amplius neque hoc esse cognoscitur, neque, quanquam conjugium in unum illam cum marito cogere annisum fuerit, caro ex carne, membrumve ipsius est.

Idcirco eum de muliere, quæ propter inimicitias quas cum marito habet, de industria abortando (28), neque in vitæ lucem fetum producendo, seminis ipsius fructum opprimit, duæ leges latæ sint, quarum una (29) repudiare injuria affectum maritum jubeat, altera (30) vero non permittat: nos, legi divortium suadenti assentientes, illi ut multo utiliori auctoritatem attribuimus. Alienum enim mihi a ratione, prorsusque iniquum videtur, ut quæ tam apertum in maritum odium suscepit, ut ipsius semen disperdat (ut interim omittam, quod communi naturæ insidiata sit), ipsi cohabitet. Nam si qui alicui alii operi damnum inferunt, eos tanquam inimicos aversamur, quomodo eam quæ procreandorum liberorum operi, tum maxime necessario, tum præstantissimo noxam fecit, ipse qui damno affectus est, ut suam apud se habere poterit, nec ut insidiatricem et hostem dimittet? Quod insuper evidentius signum requiras ut mulierem marito inimicam esse cognoscas? Quomodo id inde manifestum non est, quod dum adversus illum hostilia cogitat, in vitam progressu fetum privat? Quomodo igitur dictum est: Lex quæ ipsos separat, obtineto, maritusque secedendi a muliere in hoc facinore deprehensa facultatem habeto. Nam si quæ solum extra (31) ædes mansit, aut cum homi-

ΔΙΑΤΑΞΙΣ ΛΑ'[31].

Περὶ τοῦ τὸν ἄνδρα χωρίζεσθαι τῆς ἑαυτοῦ γυναικός, ὅταν δι' ἀπέχθειαν τὴν πρὸς αὐτὸν ἀμβλώσκουσα φωραθῇ.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ὁ πλάσας ἄνθρωπον ἀπὸ γῆς ἐξ οἰκείων μελῶν βοηθὸν αὐτῷ συνάπτει τὴν πλευρὰν εἰς γυναῖκα διαπλάσας, ἵνα τὴν ἑαυτῆς ἐπισταμένη τῆς πλάσεως αἰτίαν καὶ ἐντεῦθεν παιδεύηται οἱόν τινι νόμῳ τὸ πρὸς τὸν ὁμόζυγον εὔνουν, καὶ σώζῃ αὐτῷ τὸ φίλτρον ἀνόθευτον. Ἡ μὲν οὖν οὕτω φρονοῦσα καὶ γνώ- B μην οἰκείαν τῷ ἀνδρὶ τηροῦσα, βοηθός τέ ἐστιν ἀληθῶς καὶ τὴν τοῦ Πλάσαντος οὐ ψευδομένη ὑπόσχεσιν, ἡ δ' ἐναντίον φρόνημα κτησαμένη οὐκέτι οὔτε τοῦτο γνωρίζεται, οὔτε σὰρξ ἐκ τῆς σαρκὸς ἢ μέλος ἐκείνου καθίσταται, κἂν ἡ συνάφεια πρὸς ἓν ἀγαγεῖν ἔσπευσε.

Διὰ τοῦτο περὶ γυναικὸς δύο κειμένων νόμων, ἣ δι' ἀπέχθειαν τὴν πρὸς τὸν ἄνδρα τῷ ἐκείνου τῆς σπορᾶς καρπῷ λυμαίνεται ἀμβλώσκουσα καὶ πρὸς βίου φῶς οὐκ ἄγουσα τὴν γονὴν ἐχοῦσα, καὶ τοῦ μὲν χωρίζεσθαι τὸν ἀδικούμενον κελεύοντος, τοῦ δὲ οὐκ ἐπιτρέποντος, ἡμεῖς ὡς λυσιτελεστέρῳ κατὰ πολὺ προστιθέμενοι τῷ χωρίζοντι ἐκείνῳ τὸ κῦρος προσνέμομεν. Ἄτοπον γάρ μοι φαίνεται καὶ παντελῶς C ἄδικον, τὴν οὕτω προφανῶς τὴν πρὸς τὸν ἄνδρα δυσμένειαν ἐπανῃρημένην δι' ὧν τῷ ἐκείνου λωβᾶται σπέρματι (ἀφίημι γάρ, ὅτι καὶ τῆς κοινῆς ἐπίβουλος φύσεως) συγκατοικίζειν αὐτῷ. Εἰ γὰρ τοὺς εἴς τι ἕτερον ἔργον βλάβην ποιουμένους ὡς ἐχθροὺς ἀποτρεπόμεθα, πῶς ἂν τὴν εἰς τὸ πάντων ἀναγκαιότατον καὶ τιμιώτατον τῆς παιδοποιίας ἔργον ἀνυστὴν[32] ζημίαν φέρουσαν ὡς οἰκείαν ἕξει ὁ ζημιούμενος παρ' ἑαυτῷ, ἀλλ' οὐκ ἀποπέμψεται ὡς ἐπίβουλον καὶ πολεμίαν; Τί γὰρ ἂν ἐναργέστερον σημεῖον ἐπιζητήσει ἔτι, ὥστε ἰδεῖν ὅτι δύσνους ἡ γυνὴ τῷ ἀνδρί; πῶς δ' οὐχὶ φανερὸν, ὅτι ἐν τῷ κατ' ἐκείνου φρονεῖν τῆς πρὸς τὸ ζῆν παρόδου ἀποστερεῖ τὴν γονήν; Ὥσπερ οὖν εἴρηται, Ὁ διιστῶν αὐτοὺς κρατείτω νόμος, καὶ ἄδειαν ὁ γαμέτης ἐχέτω χωρίζεσθαι D τῆς ἐπὶ τοιούτῳ τολμήματι πεφωραμένης γυναικός. Εἰ γὰρ καὶ μόνον ἔξω μείνασαν τῆς οἰκίας, ἢ συμποσίου μετασχοῦσαν προσώποις οἷς οὐ νενόμισται,

VARIÆ LECTIONES.

[31] Laudatur ab Harmenop. lib. IV, tit. 12, p. 347. [32] Codd. ἂν οὐ τήν. Steph. ἀκροτάτην, Spangenberg ἀνδρὶ τήν legendum censuerunt.

NOTÆ.

(22-23) Tertul. lib. De velandis virginibus ait nuptias de animo et affectu fieri, quemadmodum et stuprum. Adde Matth. V, vers. 28.

(24) Exstat apud 4. Harm. 12, § 6.

(25) Ut Nov. Justin. 22, c. 16, § 1, fuerat constitutum: omissum vero in Nov. 117, c. 8, in fin.

(26) Genes. II.

(27) Mulier ex viro et propter virum. Tertul. 5, adversus Marcionem et lib. De veland. virginib.

(28) De abortu vide l. 8, De sicar. l. 39 ff. De pœnis.

(29) Nov. 22, c. 16, § 1.

(30) Nov. 117, c. 8, in fid.

(31) D. Nov. 117, c. 8, vers. Si nolente viro foris domum manserit.

τῆς γαμικῆς συναφείας ὁ νόμος αυτὴν διιστᾷ (καίτοιγε ἐνταῦθα οὐχ οὕτω περιφανὲς ὁρᾶται μαρτύριον τῆς πρὸς τὸν ἄνδρα δυσμενείας, συνενεχθῆναι[32] τοῦτο αὐτῇ τοιοῦτον εἰκὸς καὶ μηδενὸς ἀδικήματος τῷ γάμῳ συμβαίνοντος), τίνα λόγον ἕξει, τὴν εἰς τοσοῦτον μὲν ἐλάσασαν μίσους, οὕτω δὲ ἄδικον καὶ περὶ τὸν ἄνδρα καὶ περὶ τὴν φύσιν μὴ διαζευγνύειν, εἰ τοῦτο δοκεῖ τῷ ἀνδρὶ, ἀλλ' ἐπιτρέπειν σύνοικον ἔχειν, ἢ ἐφεδρεύει τῇ ἐκείνου ζωῇ;

A nibus cum quibus non deceret convivata (32-33) est, hanc lex a nexu matrimoniali separat (cum tamen hic in maritum odii nullum tam evidens testimonium sit, et accidisse id illi citra matrimonii injuriam videri etiam possit), cujus rationis erit, eam quæ tantum tamque in maritum et naturam injurium odium conceperit, non disjungere, si ita marito videatur, et jubere ipsum uxorem habere, quæ ipsius vitæ insidietur ?

ΔΙΑΤΑΞΙΣ ΛΒ'.

Περὶ τοῦ ἐπ' αὐτοφώρῳ ἁλόντος μοιχοῦ ἢ μοιχαλίδος.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Τὸ τῆς μοιχείας ἄγος εἴπερ τι ἄλλο τῶν ἀνοσιουργημάτων βαρεῖαν καὶ φοβερὰν ἀπαιτεῖ τὴν ποινὴν καὶ, οἶμαι, μὴ ἀνδροφονίας ἐλαττουμένην· ὁ μὲν γὰρ τῆς μιαιφονίας ἐργάτης ἑνός τινος πολλάκις τῇ μιαιφόνῳ χειρὶ ἀνατρέπει τὸν βίον, ὁ δὲ μιαρὸς τῆς μοιχείας ἐργάτης πλείστων ὅσων ἀνέτρεψε βίους, ἀνδρὸς, παίδων, συγγενῶν ἄλλων, μιᾷ πληγῇ πάντας τῇ τῶν γάμων ἀνατρέπων διασπαράξει[34]. Πλὴν ἀλλ' ἐπεὶ πάλαι φόνῳ τιμωμένης[35] τῆς ἀνοσιουργίας ἔδοξε τοῖς μετὰ ταῦτα φιλανθρωποτέραν ἐκφέρειν ψῆφον, ἀεὶ δέ πως ἡμᾶς ἡ φιλανθρωποτέρα ἐφέλκεται γνώμη, ἣν ἐκεῖνοι ὥρισαν[36] τιμωρίαν (φημὶ δὴ τῆς[37] ῥινὸς ἐκτομῇ ἀμφοτέρους τοὺς ἐναγεῖς ὑποβάλλεσθαι), τοῦτο καὶ ἡμεῖς ὁρίζομεν. Ἀλλὰ τοῦ μὲν ἀνοσιουργήματος ἔστω τοῦτο ποινή.

Ἐπεὶ[38] δὲ καὶ τὸν ἄνδρα χρὴ ἀντὶ τῆς τοσαύτης ἀδικίας μὴ ἀπαραμύθητον[39] ἔχειν, ἐχέτω παραμύθιον ἐκ τοῦ τὴν προῖκα λαμβάνειν τῆς ὀφθείσης ἀδίκου περὶ τὰ γαμικὰ δίκαια γυναικός. Αὐτὴν δὲ μηδαμῶς ἀφίεσθαι τῶν γάμων κατορχεῖσθαι, μηδ' ὥσπερ ἆθλον λαμβάνειν[40] ἐν τῇ τῶν ῥινῶν ἐκτομῇ ἀδεῶς τὸ λοιπὸν τοῖς ἀκολάστοις συμπλέκεσθαι, ἀλλ' ἐν μοναστηρίῳ περιορίζεσθαι ὑπὲρ ἧς παρανομίας τετόλμηκεν, ἐν συντριβῇ τῆς ψυχῆς εὐμενεστέραν ἑαυτῇ τὴν ἐκεῖθεν καθιστῶσα δίκην, καὶ πρὸς ἔρωτα μὲν τοῦ μονήρους βίου καταστάσης αὐτῆς καὶ τοῦτον ἐπανελομένης, τὴν περιουσίαν ὅση κεχώρισται τῆς προικὸς τούς τε παῖδας καὶ τὸ μοναστήριον συνδιανείμασθαι, εἰ δὲ μὴ παῖδας παρεῖεν, ἀντ' ἐκείνων εἰς τὴν διανομὴν ἐσάγεσθαι[41] τοὺς γονέας, εἰ δὲ καὶ

CONSTITUTIO XXXII (34).

De adulteris manifesto (35) deprehensis (36).

Idem imperator eidem Styliano.

Adulterii scelus si quod aliud gravem horrendamque pœnam exigit, et (ut puto) homicidii
B pœna non minorem. Homicida enim persæpe unius tantum sanguinaria manu vitam evertit : scelestus vero adulterii perpetrator quam plurimos fere de medio tollit, maritum, liberos, cognatos, aliosque, dum uno vulnere dilacerato matrimonio omnes prosternit. Verumtamen quia, cum olim id facinus morte (37-39) puniretur, visum est posterioribus mitiorem proferre sententiam, ac vero semper nos fere ad benigniora trahimur, quam illi constituerunt pœnam, ut nempe nasus (40) detestandis illis ambobus abscindatur, hanc et nos statuimus. Atque hæc quidem nefarii istius sceleris esto pœna.

Ac quoniam maritum pro tanta injuria citra con-
C solationem relinqui non oportet, in matrimonii jus injuriæ mulieris (41) dotem percipiendo se consolator. Insuper mulieri ad alteras nuptias prosultare, neque, quasi in nasi abscissione præmium acceperit, libere in posterum se cum libidinosis commiscere, nequaquam permittitor : sed ob scelus commissum, in monasterium (ubi in contritione animæ leviorem sibi pœnam faciat) velut in exsilium detruditor. Et, si monasticæ vitæ desiderio correpta, illam susceperit, quæcunque ipsius bona a dote separata sunt, ea liberi et monasterium inter se distribuunto : si liberi nulli supersint, pro illis parentes, et si neque hi sunt, alii cognati ad divisionem adducuntor.
D Quod si in profano habitu e vita excedat, cum

VARIÆ LECTIONES.

[32] Steph. ἐπεὶ συνεν. vel συνεν. γὰρ, Agyl. καὶ συνεν. [34] Ecl. διαπράξει. [35] Cod. unus τιμωρουμένης. [36] Ecl. ὡρίσαντο. [37] Ecl. φημὶ δὲ τῇ. [38] Scring. ἐπειδή. [39] Ecl. ἀπαραμυθήτως. [40] Agyl. vult λαμβάνουσαν. Sed ἆθλον λαμβάνειν τὸ συμπλέκεσθαι recte habet : τὸ enim non ad λοιπὸν sed ad verbum συμπλ. pertinet. [41] Ecl. εἰς τὴν νομὴν εἰσάγεσθαι.

NOTÆ.

(32-33) Nov. 22, c. 15, § 2, Nov. 117, c. 8, § 4, c. Ibi si cum viris extraneis nolente marito convivatur.

(34) Decima nona dicitur ab Harm. 6, tit. 2.

(35) Ἐπ' αὐτοφώρῳ dixi ad l. 23, ff. de adult. in flagranti delicto deprehensis. Gal. *trouves sur le faict.*

(36) Et eorum nova pœna : quippe nasus præcidi adulteris jubetur hac constitutione, quod veteribus legibus non erat.

(37-39) Adulterium olim morte puniebatur, vid. l. 30, in fin. ff. ad l. Jul. de adult.

(40) Harmenopulus d. loco. Sic manus furibus præciduntur in Longobard. l. De latronib. l. Si quis latro de furtis in Longobard. et in patriam conspirantibus l. De conspiratoribus, De aggressionib. in via factis in leg. Longob. Nov. 134, cap. 13, vers. Si vero criminis qualitas, ubi de pedis, manus, aurium et narium amputatione dixi, et excæcatione.

(41) Vid. Nov. 134, c. 10; et Nov. 117, c. 8.

testamenti factionem habeat, prout illa constitue- A tuerit, quæ bona extra dotem habuit, dispensabuntur.

CONSTITUTIO XXXIII.

Ne (42) captivorum uxoribus aliis nubere liceat (43).

Idem imperator eidem Styliano.

Si qui olim leges tractarunt, eo fuisse animo, ut prorsus sua, quanquam in illis correctione nonnulla indigerent, corrigi tamen nollent, suspicatus essem, fortasse nunquam hoc consilium suscepissem, uti leges, quæ sese recte non haberent, corrigere tentarem, et tametsi arcta reipublicæ cura, quo videlicet recte illa administraretur, necessario correctionem injunxisset, ut ne tamen primos le- B gislatores contristare videremur, qui nos in hoc impetus ferret, inhibuissemus. At quoniam illis quoque ipsis, si etiamnum in vivis essent, non modo illorum institutum, qui corrigere conantur, non displiciturum, sed eosdem etiam qui ita faciendum censerent, his gratias acturos arbitror, (non enim gloriæ causa, sed quod reipublicæ commoda curæ haberent leges edidere), age quæ reipublicæ conducant, neque illis ipsis veteribus legislatoribus displiceant, facientes, exactiore consideratione, ceu medicamento quodam Pæonio (44), legum morbos propitio Deo curemus. Supra cætera etiam ubi de captivis sanxerunt, hoc caput, in quo de matrimonii dissolutione statuerunt, valde rationi esse dissentaneum videtur. Sic autem et in C hæc verba aiunt (45), sive marito captivitatis infortunium accidat, manente uxore in civitate, sive cum uxor in jus captivitatis pervenit, maritus in civitate permaneat, exquisita quidem et subtilis ratio distrahit matrimonium. Semel enim servitute alteri superveniente, conditionis inæqualitas æqualitatem, quæ in nuptiis spectatur, permanere non patitur. Nos tamen humanius talia contemplantes, donec certum est superesse maritum vel uxorem, pro non solutis matrimonia haberi sinimus : neque ad alias migrabunt nuptias vel mariti vel uxores nisi petulanter id egisse videri velint, et in pœnas incidere, ille quidem exactionis donationis ante nuptias, hæc vero dotis. » Hi ergo istiusmodi de D captivorum matrimonio pronuntiarunt sententiam. Nobis autem neque causa, quam exquisita (ut ipsi loquuntur) subtilisque ratio suppeditat, rationi esse consentanea, neque humanitas, quæ dirimendi matrimonii facultatem præbet, dum ipsos damno subjicit, sincera videtur. Si enim (quemadmodum

A τούτων ἔρημος εἴη, τοὺς ἄλλους τῶν συγγενῶν· ἐν λαϊκῷ δὲ [62] τῷ σχήματι ἀφανισθείσης τοῦ βίου, πάντως κυρίας οὔσης διατίθεσθαι [63], κατὰ [64] τὴν ἐκείνης διάταξιν τὰ προσόντα οἰκονομηθήσεται.

ΔΙΑΤΑΞΙΣ ΛΓ΄ [65].

Περὶ τοῦ μὴ ἐξεῖναι τὰς τῶν αἰχμαλώτων γαμετὰς ἑτέροις συνάπτεσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Εἰ μὲν τοὺς πάλαι περὶ νόμων διαλαβόντας τοῦτο φρονεῖν ὑπελάμβανον, μηδαμῶς βούλεσθαι τὰ οἰκεῖα ἐπανορθοῦσθαι, κἂν τι ἐν αὐτοῖς τοιοῦτον οἷον προσδεῖσθαι διορθώσεως, ἴσως οὐκ ἂν ἐπὶ ταύτην ἦλθον τὴν γνώμην, φημὶ δὴ τοῦ πειρᾶσθαι τοὺς μὴ τῶν νόμων ὑγιῶς ἔχοντας ἐπανορθοῦν· εἰ γὰρ καὶ οὕτως ἡ περὶ τὸ ὑπήκοον ἀναγκαία φροντὶς, τοῦτο πῶς [66] B ἂν εὖ πολιτεύοιτο, ἀναγκαίως ἐπέτρεπε τὴν διόρθωσιν, ἀλλ' οὖν ἵνα μὴ δόξωμεν τοὺς ἐξ ἀρχῆς νομοθέτας λυπεῖν, καὶ [67] ἐπέχωμεν τὴν ἐπὶ τούτῳ ὁρμήν. Ἐπεὶ δὲ καὶ αὐτοῖς ἐκείνοις, εἴπερ ἔτι ἐν ἀνθρώποις ἐστρέφοντο, οὐκ ἂν οἶμαι τὴν προαίρεσιν ἀπαρέσκειν τῶν διορθοῦν ἐπιχειρούντων, ἀλλὰ καὶ χάριν ὁμολογῆσαι τοῖς οὕτω διεγνωκόσιν (οὐ γὰρ φιλοτιμίας ἕνεκεν, τὸ δὲ συμφέρον τῇ πολιτείᾳ προνοούμενοι τὴν τῶν νόμων ἔκθεσιν ἐποιήσαντο), φέρε δὴ καὶ τῇ πολιτείᾳ συμφέροντα καὶ αὐτοῖς ἐκείνοις τοῖς πάλαι νομοθέταις οὐκ ἀπὸ γνώμης ποιοῦντες, καθάπερ τινὶ Παιωνίῳ φαρμάκῳ τῇ ἀκριβεστέρᾳ διασκέψει τὴν τῶν [68] νόμων ἀῤῥωστίαν ἐν [69] Θεῷ ἐξιώμεθα. Ἐπὶ τοῖς ἄλλοις, οἷς περὶ τῶν αἰχμαλώτων νενομοθετήκασι, κἀκεῖνο τὸ μέρος, ἐν ᾧ περὶ τῆς γάμων διαλύ- C σεως ὡρίσαντο, πάνυ δοκεῖ ἀτόπως ἔχειν. Φασὶ δὲ οὕτως ἐπ' αὐτοῖς ῥήμασι [70]· «Εἴτε ἀνδρὶ συμβαίη τὸ τῆς αἰχμαλωσίας ἀτύχημα, τῆς γυναικὸς ἐν τῇ πολιτείᾳ μενούσης, εἴτε αὖθις γυνὴ μὲν εἰς αἰχμαλωσίαν ἀπίοι, μένοι δὲ ὁ ἀνὴρ ἐν τῇ πολιτείᾳ, ὁ μὲν ἀκριβὴς καὶ λεπτὸς λόγος διαλύει τὸν γάμον· δουλείας γὰρ ἅπαξ ἐπιγενομένης θατέρῳ, ἡ τῆς τύχης ἀνισότης τὴν ἐκ τῶν γάμων ἰσότητα [71] μένειν οὐ συγχωρεῖ. Πλὴν ἀλλὰ φιλανθρωπότερον τὰ τοιαῦτα θεωροῦντες, ἕως μὲν ἐστι φανερὸν ἢ τὸν ἄνδρα περιεῖναι ἢ τὴν γαμετὴν, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι, καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ D μὲν τῆς πρὸ γάμου δωρεᾶς τῇ ἐκτίσει, ἡ δὲ τῆς προικός. » Οἱ μὲν οὖν προφθάσαντες τοιαύτην περὶ τοῦ γάμου τῶν αἰχμαλώτων ἐξέφηναν γνώμην. Ἡμῖν δὲ οὔθ' ἡ αἰτία εὔλογος, ἣν ὁ ἀκριβὴς, ὡς αὐτοί φασι, καὶ λεπτὸς λόγος δίδωσιν, οὔτε ἡ φιλανθρωπία ἐστὶ καθαρὰ, ἡ ἄδειαν λελύσθαι παρεχομένη τὸν γάμον ἐν τῷ ὑποβαλεῖν αὐτοὺς τῇ ζημίᾳ. Εἰ γὰρ, ὥσπερ

VARIÆ LECTIONES.

[62] Ecl. addit τυχόν. Non male. [63] Ecl. παντὸς κυρ. οὐσ. διαθέσθαι. [64] Sic Ecl. Codd. καὶ κατά. [65] Ecl. Nov. 20 et laudatur apud Harmenop. lib. IV, tit. 12, p. 346. [66] Stephanus τοῦ ὅπως, Osenbrüggen τοῦτο ὅπως. [67] Zuich. et Meerm. κἄν. [68] Steph. περὶ τῶν legi vult. [69] Rectius forte σὺν Θεῷ. [70] Justiniani Nov. 22 c. 7. [71] Ita Steph. Codd. τὴν ἐκ τοῦ γάμου ἀνισότητα.

NOTÆ.

(42) Exstat. 4. Harmenop. 12, §. 4.

(43) Etiam post quinquennium, et ita abrogatur Novell. 22, c. 7, vers. Si vero incertum. Nov. 117, c. 12.

(44) Fuit Pæon medicus deorum. Suidas in Παιώνος.

(45) Nov. 22, c. 7, in princ.

λέγουσι, τῆς τύχης ἡ ἀνισότης οὐ συγχωρεῖ μένειν τὸν γάμον, πῶς εἰ πρὸς ἐλευθερίαν ἐπανακληθείη ὁ αἰχμάλωτος, μετὰ τὴν τοῦ γάμου διάλυσιν πρὸς τὸ ἴσον ἐπανελθούσης τῆς τύχης καὶ ἀμφοτέρων ἐλευθερίως βιούντων, οὐχ εἰς τὸ ἴσον ὁ γάμος πάλιν ἐπανελεύσεται; Ποῦ δὲ τὸ φιλάνθρωπον καθαρὸν, ζημιοῦν μὲν τῇ τῶν οἰκειοτάτων μελῶν ἀφαιρέσει, πειρᾶσθαι δὲ τὴν ζημίαν παραμυθεῖσθαι ἀντεισαγωγῇ τῶν ἄλλων κτημάτων; Πῶς δὲ μέχρι καὶ τῶν φαυλοτάτων αὐτῆς περιουσίας τῶν αἰχμαλώτων λογίζεται [52] φυλαττομένων αὐτοῖς τῶν δικαίων, οὐχὶ πάνδεινον [53] τῷ μείζονι μέρει (φημὶ δὴ τῇ τοῦ οἰκείου μέλους συντηρήσει) κινδυνεύειν αὐτοὺς μὴ [54] ὁμοίως ἀξιοῦσθαι τῶν δικαίων, ἀλλ' εἶναι ἀνεπίσχετον τὴν ζημίαν, εἰ τοῦτο ἐπὶ γνώμην ἥκοι θατέρῳ μέρει ἀλογῆσαι τοῦ οἰκείου μέλους; Τί οὖν φημι ἐγώ; Ἐάν περ τοῦ ἑνὸς μέρους ἐν αἰχμαλωσίᾳ ὄντος, τὸ ἀπείρατον διαμεμενηκὸς τῆς αἰχμαλωσίας ἑτέρου πρὸς συνάφειαν ἴδοι, ἐπανέλθοι δὲ τῆς αἰχμαλωσίας τὸ ἐν ταύτῃ κατεσχημένον, ἄδειαν εἶναι αὐτῷ [55] τὸ οἰκεῖον, εἰ βούλοιτο, ἐπαναλαμβάνειν μέλος, καὶ μηδαμῶς διότι ἑτέρῳ συνήφθη τοὺς ἐξ ἀρχῆς καινοτομεῖσθαι γάμους. Εἰ γὰρ ἡ γενομένη πρὸς ἕτερον ὕστερον συνάφεια δόξει τισὶν ἀδιάλυτος ἂν διαμεῖναι, πῶς οὐ δικαιότερον ἡ ἀρχῆθεν τῶν γάμων συνάφεια πρὸς τὴν οἰκείαν κατάστασιν ἐπανελεύσεται; καὶ εἰ, διότι ἀλλοτρίῳ μέρει συνῆπται, οὐκ ἐπιτρέπει τις διασπᾶν, πῶς οὐκ εὔλογον, διότι τοῦ οἰκείου ἀπεῤῥάγη μέρους [56], τοῦτο πρὸς τὴν ἰδίαν οἰκειότητα συναρμόζειν; Καί [57] φησιν, Ἀλλὰ κέρδος γίνεται τῶν αἰχμαλώτων ἐκ τῆς κατὰ προπέτειαν τῶν δευτέρων γάμων ὁμιλίας ἡ ἀντεισαγωγὴ τῆς ἐκτίσεως. Ἀλλ' οὗτος ὁ λόγος ἄμεινον [58] ἦν μὴ ὅτι γε χειλέων προελθεῖν, ἀλλὰ μηδ' ἐπὶ διάνοιαν τῶν ταῦτα πεφρονηκότων ἀναβεβηκέναι. Πῶς γὰρ οὐκ ἐσχάτως εἰς φρένα δυστυχὴς καὶ ἄπορος, ὃς τοῦ οἰκείου μέλους ἀλλάττεται χρήματα;

Θεσπίζομεν [59] οὖν, μηδαμῶς ἔτι πρὸς συνάφειαν ἑτέρου τὸν ἀπείρατον μεμενηκότα τῆς αἰχμαλωσίας ἔρχεσθαι, ἀλλ' ὅσοις ἂν δήποτε χρόνοις ἐν αἰχμαλωσίᾳ ᾖ [60] τὸ ἐκεῖ ταλαιπωρούμενον, περιμένειν τὸ ἕτερον, κἂν μήτε ἔγγραφος δήλωσις μήτε ἄγραφος ἐκεῖθεν καταλαμβάνῃ. Εἰ δὲ παρὰ τόνδε τὸν νόμον βουληθεῖέν τινες τῇ πρὸς δευτέρους γάμους ὁμιλίᾳ τῶν προτέρων διαῤῥήγνυσθαι καὶ οὐχὶ κατὰ τὴν παρατήρησιν τὴν ἐν τῇ ριζ' νεαρᾷ [61] περὶ τῶν γυναικῶν τῶν ἐν ἐξπεδίτοις ὄντων κειμένην, ἴστωσαν ὡς ταῖς ποιναῖς ὑποκείσονται ταῖς ἐν τῇ εἰρημένῃ διατάξει τεταγμένων, δηλονότι ἀδείας οὔσης, ὡς ἔφαμεν, εἰ ἀναῤῥυσθείη τῆς αἰχμαλωσίας τὸ ἐκεῖ

A aiunt) durare matrimonium fortunæ non (46) permittit inæqualitas, quomodo si ad libertatem revocetur captivus, cum post matrimonii dissolutionem ad æquabilitatem fortuna redeat, amboque in libertate vivant, ad æqualitatem matrimonium non redibit? Quæ vero illa sincera humanitas, quæ amicissimorum membrorum subtractione damnum inferre, aliorumque substitutione id quasi sarcire conatur? Quomodo item, et si usque ad vilissima quæque captivorum substantia jure statuque ipsorum integro taxetur, illos non ita præstantiore parte (sui nempe membri conservatione) atque rerum suarum jure periclitari velle, immensumque damnum fore, si altera pars membrum suum negligere in animum inducat, non perquam est manifestum? B Quid igitur ego? Si cum altera pars in captivitate sit, altera quæ a captivitate libera mansit, ad alterius conjugium respexerit, postliminio vero revertatur quæ in captivitate detenta fuit: ut illi (47) si velit, suum membrum recipiendi facultas sit, ac nequaquam quod alteri conjunctum fuerit, prius matrimonium innovetur. Si enim conjugium cum altero postmodum initum videbitur aliquibus dissolvi non oportere, quomodo non æquius fuerit, si primus matrimonii nexus in suum statum revertatur? Et si eo quod alienæ parti conjunctum sit, id quispiam avelli non permittat: quomodo quod a sua parte abruptum sit, id in suum locum restitui, rationi non fuerit consentaneum? At dixerit C aliquis: Sed in lucrum captivis cedit quod propter alterum temeritate contractum matrimonium, per compensationem pœnæ nomine introductum est. Verum hunc sermonem non dico non labris exprimi, sed ne in mentem quidem auctoribus ejus venire melius fuerit. Nam quomodo ille, qui membrum suum pecuniis commutat, non extrema mentis infelicitate et penuria laborat?

Sancimus itaque, ut nequaquam amplius quæ pars a servitute intacta mansit, ad alterius conjugium procedat: sed quotcunque annis altera in servitutis miseria detinebitur, tametsi (48) inde nullam neque de scripto, neque citra scriptum significationem accipiat, illam exspectet. Et quod si D præter hanc legem alterius matrimonii commercio a priore abrumpi aliqui velint, idque non secundum observationem in Novella centesima decima septima de uxoribus eorum, qui in expeditione sunt relata, fiat: sciunto illi, quod positis in dicta constitutione pœnis subjacebunt. Insuper etiam (quemadmodum diximus) ut si qui servitutis ærum-

VARIÆ LECTIONES.

[52] Locus corruptus. Stephanus, quocum Agylæus facit: πῶς δὲ εἰ μέχρι καὶ τῶν φαυλ. αὐτῆς ἡ περιουσία. Rectius forte: πῶς δ' εἰ μέχρι καὶ τῶν φαυλοτάτων αὐτῶν περιουσία, κτλ. [53] Agyl. πάνδηλον. Minus recte. [54] Forte præmittendum καί. [55] Scrimg. αὐτῇ. [56] Legerim, μέλους. [57] Steph. ναί. [58] Steph. corr. ἀμείνων. [59] Ecl. incip. [60] Ita Ecl. Codd. ἦν. [61] Justiniani Nov. 117, c. 11.

NOTÆ.

(46) L. 45, ff. De ritu; l. 1, ff. De divor.; l. 19, l. 56, ff. Soluto, l. 12, § 4, ff. De captivis.

(47) Novell. 117, cap. 11.

(48) Quod exigebatur d. c. 11.

nas sustinet, liberetur, suum si velit membrum recipiat, licebit.

CONSTITUTIO XXXIV.

De tutore qui pupillam suam (49) vitiat.

Idem imperator eidem Styliano.

Nefaria res est, si illi, de quibus ea exspectatio fuerat quasi probi futuri essent, cum ab illis qui talem de ipsis opinionem conceperant, jam aliqua fide digni habiti sint, pro bonis atque fidis inimicos et infidos se exhibeant. In illis autem quibus pupillorum obvenit cura, si cum pupillis salutariter prospicere debeant, ipsorum eversores exsistant, tanto id scelus gravius (51) est, quanto illorum fides ab iis, qui id ipsis injunxerunt, major judicata est. Constat enim, quod parens persuasum habens, quos pupillaris ætatis relinquit liberos, ab eo cui cura committenda est, paternum patrocinium sensuros, eam cui ita fidit, demandat. Recte igitur superiores fecere, qui pro patre conservatoreque pupillæ deprehensum vitiatorem punierunt. Deportationi (52) enim hunc subjiciunt, ac bonorum privatione multant. Verum in decora specie decorum non servarunt, neque ullam injuria affectæ graviaque passæ puellæ, ut illius infortunio succurrerent, suscepisse curam videntur, dum vitiatoris bona in fiscum statuunt esse inferenda, non animadvertentes hinc fieri, ut ulcisci quidem injuriam velle, sed in proposito non persistere existimentur. Ubi enim injuriæ ultio, quando injuria affecto damnum injuria datum non resarcitur, neque qua tenetur calamitatem legis auxilio effugit? Quale autem calamitatis puellæ est effugium, quando non modo infortunii compensationem non invenit, sed lucrum (53) etiam progressu ætatis ex suo dedecore atque infamia paratum esse videt?

Ut igitur hoc lege, tanquam (54) probrum aliquod reprehensione affricatum purgemus, ut vitiatoris bona in fiscum deferantur, abrogamus: jubemus autem, ut eo concedant, quo ipsorum dominus injuriam et infortunium projecerit.

CONSTITUTIO XXXV.

De raptoris virginis, eorumque qui in raptu adfuerunt, pœna (55).

Idem imperator eidem Styliano.

Neque quod ecclesiasticæ legi rebellemus, neque

A ταλαιπωρούμενον, το οἰκεῖον, εἰ βούλοιτο, ἐπαναλαμβάνειν μέλος.

ΔΙΑΤΑΞΙΣ ΛΔ' [62].

Περὶ ἐπιτρόπου φθείροντος τὴν ἐπιτροπευομένην παῖδα [63].

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Δεινὸν μὲν τοὺς ὅσοι χρηστοὶ προσδοκηθέντες ἔσεσθαι ὑπὸ τῶν προσδοκησάντων πίστεως ἠξιωμένοι τινὸς, ἀντὶ τοῦ ἀγαθοὺς καὶ πιστοὺς ὀφθῆναι, ἐχθροὺς ἀποφανθῆναι καὶ ἀπίστους. Τοσοῦτον δὲ ὑπέρδεινον τὸ κακὸν ἐπὶ τῶν λαχόντων ὀρφανικῶν παίδων ἐπιτροπὴν, εἶτα [64] ἀντὶ τοῦ σωτήριον πρόνοιαν τῶν ἐπιτροπευομένων σχεῖν αὐτοὺς ὀφθῆναι τούτων λυμαντικοὺς, ὅσῳ [65] καὶ μείζονος ἠξιώθησαν πίστεως παρὰ τῶν εἰς τοῦτο καταστησάντων αὐτούς.
B Δῆλον γὰρ, ὡς πεπεισμένος ὁ γονεὺς οὓς καταλείπει παῖδας ὀρφανικοὺς πατρικῆς ἀπολαύσειν προστασίας παρὰ τοῦ τὴν ἐπιτροπὴν ἐγχειριζομένου, δίδωσι ταύτην αὐτῷ. Καλῶς οὖν οἱ πρὸ ἡμῶν τιμωρούμενοι τὸν ἀντὶ πατρὸς, ἀντὶ σωτῆρος παιδὸς ὀρφανικῆς δεδειγμένον φθορέα (ἐξορίᾳ γὰρ τοῦτον ὑποβάλλουσι, καὶ τῶν προσόντων ζημιοῦσι τῇ ἀφαιρέσει), οὐκ ἐφύλαξαν [66] ἐπὶ καλοῦ σχήματος τὸ καλὸν, οὐδ' ἥντινα περὶ τοῦ ὑβρισμένου καὶ δεινὰ παθόντος γυναίου ὑπὲρ τοῦ βοηθεῖν [67] τῇ ταύτης δυστυχίᾳ λαμβάνοντες ὁρῶνται πρόνοιαν, ἐν τῷ διορίζεσθαι τὴν τοῦ φθορέως ὕπαρξιν πρὸς τὸ δημόσιον ἄγεσθαι, οὐ συνιδόντες [68], ὡς ἐκ τούτου γίνεται αὐτοῖς νομίζειν ἀδικίαν ἀμύνασθαι, μὴ μέντοι σώζειν τὸ βούλημα. Ποῦ γὰρ ἀδικίας ἄμυνα, μὴ τοῦ ἀδικη-
C θέντος ἀπολαμβάνοντος τὸ ἀδίκημα μηδὲ τὴν κατασχοῦσαν αὐτὸν συμφορὰν διὰ τῆς τοῦ νόμου ἐπικουρίας ἀποφυγόντος; Ποία δ' ἀποφυγὴ τῷ γυναίῳ τῆς συμφορᾶς, ὅτε οὐ μόνον οὐ [69] παραμύθιον εὑρίσκει τῆς δυστυχίας, ἀλλὰ καὶ ποριζόμενον ἑτέρῳ [70] κέρδος ὁρᾷ ἐκ τῆς ἰδίας ὕβρεως καὶ [71] αἰσχύνης;

Ἵνα οὖν ὥσπερ κηλῖδα μῶμόν [72] τινα τῷ νόμῳ προστριβομένην καθάρωμεν, τὸ προσφέρεσθαι τῷ δημοσίῳ τὴν ὕπαρξιν τοῦ φθορέως ἀποθεσπίζομεν, κελεύομεν δὲ ἐκεῖ ταύτην ἀπιέναι, οὗ τὴν ἀδικίαν καὶ τὸ δυστύχημα ὁ τῆς ὑπάρξεως κύριος κατεβάλετο.

ΔΙΑΤΑΞΙΣ ΛΕ' [73].

Περὶ ἁρπαγῆς καὶ βίας γυναικός.

D Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Οὔτε πρὸς τὸν ἐκκλησιαστικὸν ἀπαυθαδιαζόμενοι

VARIÆ LECTIONES.

[62] Ecl. Nov. 21. [63] Ecl. φθείραντος. [64] Scrimg. omittit εἶτα. [65] Ecl. ὅσον. [66] Scrimg. ἐφύλ. δέ. [67] Codd. μὴ βοηθεῖν. [68] Ecl. συνειδότες. [69] Negatio supplenda erat. [70] Codd. ὕστερον ἔτεσιν. Ecl. ἕτερον. [71] καὶ deest in Codd., habetur in Ecloga. [72] Ita Ecl. Codd. μώμῳ τινά. Forte μωμητήν. [73] Ecl. Nov. 22 et citatur apud Bals. ad Photii Nomocanonem, tit. IX, c. 29.

NOTÆ.

(49) Id est, cujus tutelam vel curam gerit, vel gessit. Et ita communiter intelligi tradit.

(50) Clarus 5, sent. § Fornicatio, vers. Cum pupillis.

(51) Ejusque bonis pupillæ vim passæ addicendis, non fisco, ut olim leg. un. C. Si quis eam cujus tutor fuerit, corruperit. Duci proditori comparatur violator pupillæ tutor. Quintilianus declamat. 284.

(52) D. l. un.

(53) Ποριζόμενον ἕτερον ἔτεσιν κέρδος ὁρᾷ Scrimg ποριζόμενον ἕτερον κέρδος. Cujac. 17, observ. 32.

(54) Ὥσπερ κηλίδα μώμῳ. Scrimger. ὥσπερ κηλῖδα μῶμον, Cujac. d. l.

(55) Mutatur lex unica C. De raptu virgin. adde

νόμον, οὔτε τὸν τῆς πολιτείας ἁπλῶς συγκροτοῦντες A τὴν περὶ τοῦ χορικοῦ ἅρπαγος γνώμην ἐκφέρομεν, ἀλλ' οἷον ὁδόν τινα τοῦ βίου τοῖς πράγμασι τὴν συμφέρουσαν κατανοήσαντες, ἐπείπερ εἴδομεν τῇ τοῦ ἱεροῦ συμπαθείᾳ νόμου ὥσπερ ἀναιδευόμενον τὸ κακὸν, τῇ δὲ τοῦ πολιτικοῦ νόμου αὐστηρίᾳ καταστελλόμενον, διὰ τοῦτο τῆς μᾶλλον ἐπαμυνούσης τῇ καταστάσει τῶν πραγμάτων ἐγενόμεθα προνοίας. Βούλεται μὲν γὰρ ὁ πολιτικὸς νόμος οὐ μόνον τὸν δι' ἁρπαγῆς καὶ βίας φθορέα γεγονότα κόρης θανάτῳ ὑπαγορευθῆναι [74], ἔτι δὲ καὶ πρὸς τῇ τοῦ θανάτου δίκῃ καὶ τὴν ὕπαρξιν ἀφαιρεῖσθαι, ὅταν εὐγενεῖς ὦσιν αἱ φθειρόμεναι, ἀλλὰ κἀκείνους, οἳ συναντιλήπτορες ὤφθησαν τοῦ ἀνοσιουργήματος, τὴν αὐτὴν ὑφίστασθαι ποινὴν καὶ ζημίαν, καὶ τοῦτο γίνεσθαι [75] οὕτως, κἂν ἑαυτὴν ἐκοῦσα ἡ γυνὴ τῷ ἅρπαγι ἐν- B εχείρισεν. Οὐ μὴν ἀλλὰ καὶ τὸν ταύτης πατέρα ἐν συνειδήσει καταστάντα τῆς πράξεως ὑπερορίᾳ κολάζει· καὶ οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ εἰ μὴ παρὰ τὸν καιρὸν, καθ' ὃν ἡ ἁρπαγὴ τετόλμηται, συνειδὼς [76] ἐλέγχεται, ὅμως δὲ ὀλιγωρίᾳ διδοὺς τὴν τοῦ θυγατρίου διαφθορὰν καὶ ἀφεὶς τῆς δίκης τὸν ἔνοχον, ἢ τὸν τοιοῦτον γάμον ἀποδεχόμενος, ποινὴν ὑπέχει τῆς ὀλιγωρίας φυγὴν ὑπερόριον. Ταῦτα μὲν ἐδόκει τοῖς πάλαι.

quod civilem simpliciter collidamus, hanc adversus virginis raptorem sententiam proferimus: sed posteaquam velut via quadam rebus humanis conducibili investigata, commiseratione sacræ legis id malum quasi insolescere, civilis vero legis austeritate supprimi, cognovimus, in eam sententiam, unde rerum statui plus subsidii esset, inclinavimus. Vult autem civilis lex (56), ut non solum qui per raptum et vim virginem ingenuam stupravit, morti addicatur, insuperque supra mortis adjudicationem bonis privetur, verum etiam qui in scelere adjumento fuerunt eamdem et pœnam et multam sustineant: idque tum etiam, cum voluntarie se mulier raptori dedidit. Quin et ejus patrem, si facti conscius fuerit, deportatione punit. Neque vero tunc solum, sed etiam, si cum quo tempore raptus committeretur, ejus rei ignarus fuerit, filiolæ vitiationem postmodum parvi pendat, reoque judicium remittat, aut istiusmodi matrimonium approbet, in incuriæ pœnam deportationem sustineat. Atque hæc quidem veteribus placuere.

Ὁ δ' ἀείμνηστος ἡμῶν πατὴρ οὐκ εἰς μόνην τὴν ἁρπαγὴν τοῦ γυναίου ἀποσκοπήσας, ἀλλὰ καὶ πρὸς τὰ ἄλλα παρακολουθήματα, πρὸς ἐκεῖνα τὴν ψῆφον ἐναρμόζεται, καὶ θεσπίζει, μετὰ μὲν ὅπλων ἤτοι ξιφῶν ἢ ἄλλων τινῶν ἄνευ ξίφους ἀναιρετικῶν τῆς ἁρπαγῆς γεγενημένης, ξίφει τιμωρεῖσθαι τὸν βια- C σάμενον, ὡς δι' ὧν μεθ' ὅπλων ἐπὶ τὴν πρᾶξιν ἐχώρησεν, οὐκ ὄντος αὐτοῦ καὶ μιαιφονίας ἀθώου· τοὺς δὲ συνεπειλημμένους ἢ συνειδότας [76] ἢ συνεισάγοντας [77] σπουδὴν ῥινὸς ἐκτομῇ καὶ μάστιξι καὶ κουρείᾳ τῇ ἐν χρῷ τιμωρεῖσθαι· ὅπλων δὲ μὴ συμπαρόντων τῇ βίᾳ, μὴ [78] μέχρι φόνου τὴν δίκην ὁρᾶν, ὡς οὐδὲ τῆς μιαιφονίας χώραν ἐχούσης, ἀλλὰ τὸν μὲν αὐθέντην τῆς ἁρπαγῆς εἰς χειρὸς κινδυνεύειν ἀποκοπὴν, τοὺς δὲ συνυπουργησαμένους ἢ κοινωνήσαντας ἄλλως μάστιξι καὶ κουρείᾳ καὶ ὑπερορίᾳ τὴν δίκην εἰσπράττεσθαι. Περὶ μὲν οὖν τῆς εἰς τὸ σῶμα ζημίας οὗτος ὅρος· ἃ δ' εἰς χρήματα ἀφορᾷ, ταῦτα τὸ ἀμεταποίητον καὶ ἐνεργὸν συγκεχώρηται φέρειν τῆς ἀρχῆθεν νομοθεσίας. Ἀλλὰ ταῦτα μὲν ὁ ἡμέτερος ἀποθεσπίζει πατήρ· οἷς σύμψηφον γνώμην D καὶ ἡμεῖς ἀναδεχόμενοι τήν τε ἐν τῷ παρόντι καιρῷ καὶ τῷ ἔπειτα [79] τιμήν τε καὶ ἐνέργειαν τῇ νομοθεσίᾳ ἐπισφραγιζόμεθα.

Verum sempiternæ memoriæ pater noster non tantum in mulieris raptum, verum etiam in circumstantias oculos dirigens, ad illam sententiam accommodat ac sancit, ut si cum armis, sive gladiis aliisve nonnullis præter gladium letalibus raptus commissus sit, qui raptum fecit, gladio puniatur, utpote qui eo quod cum armis ad id factum processerit, neque ab homicidio immunis sit: qui vero suppetias tulerint, factive perpetratores susceperint, naso mutilentur, verberentur, et cute tenus tondeantur. Quando autem arma violentiæ adhibita non essent, ut mortem sententia non spectet, quod nempe tunc homicidium locum non habuerit: sed raptus auctor manus (57-60) mutilatione periclitetur; qui vero ministerium præbuerint, alioquive se isti rei immiscuerint, verberibus, tonsura et deportatione pœnas pendant. Ac sane corporalis pœnæ hæc est descriptio: quod vero ad pecuniariam attinet, ne a primitiva legislatione mutetur, ejusque effectum retineat, permittitur (61). Atque hæc quidem pater noster sancit, quorum et nos approbatricem sententiam suscipientes, legislationem illam et in præsens et in futurum auctoritate et effectu obsignavimus.

VARIÆ LECTIONES.

[74] Zuich. et Meerm. ὑπάγεσθαι. [75] Scrimg. γενέσθαι. [76] Codd. συνειδότος. [77] Ita Ecl. Codd. συνεισόντας ἀγαγόντας. [78] Ecl. μηδέ. [79] Ita Ecl. Codd. τῷ εἰς ἔπειτα.

NOTÆ.

Novell. 143 et 150, De ea quæ raptori suo nubit, 5, Harm. 7, Clar. 5, sent. § Raptus.

(56) D. l. un.

(57-60) De manus mutilatione ad Nov. 134, c. 13.

(61) Eaque in re nihil mutatur d. l. unica.

CONSTITUTIO XXXVI.

Ut captivi filius (63) *hæres sit* (64).

Idem imperator eidem Styliano.

Si reipubl. sustentaculum (65) atque fundamentum sunt leges, certe ut illa in tuto sit, sanitatem leges conservent oportet. Legis autem sanitatem quid aliud quam æquitatem quis dicat? Circa hanc itaque, quo leges, quæ rempublicam nostram gubernant, æquabiliter sese habeant, cogitationes nostras obvertentes legem (66) illam, quæ eum qui ex duobus captivis natus est hæredem bonorum ejus parentis qui apud hostes mansit, fieri non vult: hanc, inquam, legem, ne legum sanitate (quæ æquitas est) privetur, periclitari animadvertentes, illam ad sanitatem transformare voluimus. Nam quod injuste istud statuat, non difficile cognitu est. Quam enim vim locorum natura ad adscribendam filio hæreditatem habet? Neque vero hoc quisquam objiciat, quod cum parens servus sit, propter servilem conditionem filius exhæres erit. Quomodo enim civilis lex, quæ, si captivum liberari contigisset, illum liberum agnosceret, ex eo natum liberum hæredem esse non permittet, sed qui apud hostes est, servo bonorum administrationem dabit. Tum etiam ad quem captivi bona aliquis pertinere putabit? Ad cognatosne? Atquomodo servitus obsistens his ad hæreditatem introitum non præcludit? Aut quomodo, quibus permissum est, non longe prius hæredes esse licebit? An vero fisco danda erunt? Verum quomodo manifesta illa injuria non est? Si etenim rationi consonum est, ut captivorum liberi e publico subsidium sentiant: quomodo captivi filium bonis privari, illaque fisco attribui, non perquam evidens injuria est? Quodsi sæpenumero, cum nonnulli parentes graviter conscientia abusi, atque ideo pœnis subjecti, acerbeque e vivis sublati sunt, liberi eorum substantiæ domini esse lege non (67-68) prohibentur: quæ ratio est, quamobrem quando pium propositum parentes decorat (et quidem in fidei testimonium effusus sanguis, ut eximius ipsorum animus magnusque spiritus ipsis etiam impiis miraculo esset, persæpe effecit) liberi facultatum ipsorum domini esse non permittantur? Nequaquam itaque constitutio (69) illa sana esse nostræ majestati videtur.

Eaque propter sancimus, uti deinceps, sive cum captivitatis caligine circumfusi parentes essent, in lucem prodiit filius, sive etiam in libertatis splen-

A

ΔΙΑΤΑΞΙΣ ΛϚ' [80].

Περὶ τοῦ κληρονομεῖν τὸν τοῦ αἰχμαλώτου παῖδα.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Εἰ τῆς πολιτείας ἐρείσματα καὶ κρηπῖδες οἱ νόμοι, εἴ γε μέλλοι αὐτὴ [81] ἐν τῷ ἀσφαλεῖ εἶναι, τοὺς νόμους χρὴ τὸ ὑγιὲς διασώζειν. Νόμου δὲ ὑγείαν τί ἄν τις ἄλλο ἢ τὸ δίκαιον φαίη; Περὶ τούτου [82] οὖν, ὥστε δικαίως διακεῖσθαι τοὺς οἳ τὴν ἡμετέραν ἄγουσι πολιτείαν νόμους, ἀεὶ στρέφοντες τὴν διάνοιαν, καὶ τὸν νόμον ἐκεῖνον, ὃς βούλεται τὸν ἐκ δύο αἰχμαλώτων [83] μηδὲ κληρονομεῖν τῶν διαφερόντων τοῦ ἐν τοῖς πολεμίοις μεμενηκότος, τοῦτον οὖν κατανοήσαντες κινδυνεύοντα τῆς τῶν νόμων ὑγείας (ἤπερ [84] ἐστὶ τὸ δίκαιον) ἀποστερεῖσθαι μετασκευάζειν αὐτὸν πρὸς τὸ ὑγιὲς προεθυμήθημεν. Ὅτι γὰρ

B οὐκ ἐνδίκως ταῦτα ὁρίζει, οὐ χαλεπὸν συνιδεῖν. Τίνα γὰρ ἰσχὺν ἡ τῶν τόπων ἰδιότης ἔχει ὁρίζειν τῷ παιδὶ τὴν κληρονομίαν; οὐ γὰρ δὴ ἐκεῖνό τις ἀνθυποφέρει, ὡς δούλου χρηματίζοντος τοῦ γονέως διὰ τὸ δουλικὸν σχῆμα ὁ παῖς ἀπόκληρος ἔσται. Πῶς γὰρ ὁ νόμος τῆς πολιτείας, ὃς εἰ τῷ αἰχμαλώτῳ λύσις ἐγεγόνει τῆς αἰχμαλωσίας, ἐλεύθερον τοῦτον ἐγνώριζεν, οὐ συγχωρήσει τῷ ἐξ ἐκείνου φύντι ἐλευθέρῳ κληρονομεῖν, ἀλλὰ τῇ ἐν τοῖς πολέμοις [85] δουλείᾳ τὴν περὶ τούτου ἐπιτροπὴν δώσει; Τίνι δὲ καὶ διαφέρειν οἰήσεταί τις τὰ τοῦ αἰχμαλώτου; Τοῖς συγγενέσι; Καὶ πῶς οὐκ ἀπαντῶσα ἡ δουλεία τούτοις εἰς τὴν κληρονομίαν τὴν εἴσοδον ἀποκλείει; ἢ πῶς οὐ πολὺ πρότερον ἐξέσται κληρονομεῖν συγκεχώρηται [86].

C Ἀλλὰ τῷ δημοσίῳ δοθήσεται; Καὶ πῶς οὐ περιφανὲς τὸ ἀδίκημα; Εἰ γὰρ ἐκ τοῦ δημοσίου εὔλογόν ἐστι τοὺς αἰχμαλώτων ἐκφύντας βοηθείας τυγχάνειν, πῶς οὐχὶ περιφανὴς ἀδικία, τὸν τοῦ αἰχμαλώτου μὲν παῖδα τῆς περιουσίας ἀποστερεῖν, προσνέμειν δὲ ταύτην τῷ δημοσίῳ; Εἰ δὲ καὶ πολλάκις ἐνίων γονέων πονηρῷ [87] ἀποχρησαμένων συνειδότι, καὶ διὰ τοῦτο τιμωρίαις ὑποβεβλημένων καὶ πικρῶς ἐξ ἀνθρώπων ἠφανισμένων, οἱ παῖδες οὐ κωλύονται νόμῳ κύριοι τῆς περιουσίας καθίστασθαι, τίνα λόγον ἔχει, διότι προαίρεσις εὐσεβὴς σεμνύνει τοὺς γονέας (πολλάκις δὲ καὶ μαρτυρίου αἷμα τὸ λαμπρὸν τοῦ φρονήματος αὐτῶν καὶ ἐν αὐτοῖς θαυμαστωθῆναι τοῖς ἀσεβέσι πεποίηκε), μὴ συγχωρεῖν τοῖς ἐξ ἐκείνων φυεῖσι κυρίους [88] εἶναι τῶν ὑπαρχόντων;

D Οὐδαμῶς οὖν τῷ ἡμετέρῳ κράτει ὑγιῶς ἔχουσα ἡ διάταξις φαίνεται.

Διὰ [89] τοῦτο θεσπίζομεν ἀπὸ τοῦ νῦν, ἄν τε τοῦ τῆς αἰχμαλωσίας ζόφου περικεχυμένου τοῖς γονεῦσι πρὸς αὐγὰς ἡλίου ἦλθεν ὁ παῖς, ἄν τε ὑπὸ φωτὶ

VARIÆ LECTIONES

[80] Ecl. Nov. 23. [81] Zuich. et Meerm. αὕτη. [82] Steph. et Agyl. corr. τοῦτο. [83] Codd. αἰχμαλωσίαν. [84] Zuich. et Meerm. εἴπερ. [85] Scrimg. τούτων. Sed de tutela liberorum nequaquam agitur. [86] Locus corruptus. Steph. et Agyl. οἷς συγκεχώρηται legendum conjiciunt: Beck οἷς πολὺ πρότ. Rectius fortasse ἐξωτικῷ pro ἐξέσται legendum. [87] Scrimg. πονηρῶς. [88] Forte κυρίοις. [89] Inc. Ecl.

NOTÆ.

(62-63) Id est, captivo natus.

(64) Olim hæres non erat nisi ambo parentes postliminio rediissent, et ita abrogatur l. 1, C. De postl. rever.

(65) Adde .. 2, ff. De legib. Novell. Just. 163.

(66) D. l. 2.

(67-68) Vid. l. 6, ff. De bon. damnat.

(69) L. 1.

ἐλευθερίας τὰς ὠδῖνας ἀπέλυσε [90]; τὰ τῶν γονέων A κληρονομείτω, κἄν τε ἀμφοτέροις τοῖς γονεῦσι τῶν τῆς αἰχμαλωσίας δεσμῶν ἡ λύσις περιέσται ἢ μή, κἄν τε ἑνὸς τετυχηκότος [91] τῆς λύσεως θάτερος ἐν τοῖς δεσμοῖς τῆς συμφορᾶς καταστρέψει τὸν βίον, κἄν τε ἀμφότεροι οἱ γονεῖς ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσωσιν· εἰ μὴ ἄρα γε τὴν τελευτὴν προφθάσῃ διαθέμενος· τότε γὰρ ἐκεῖνα κληρονομήσει, ἃ ἐν τῇ βουλῇ τοῦ διαθεμένου γονέως κεῖται, φυλαττομένης τῷ παιδὶ τῆς ἐκ τοῦ νόμου τετραουγκίου βοηθείας.

ΔΙΑΤΑΞΙΣ ΛΖ'.

Περὶ τοῦ τὸν ἐλευθερωθέντα δοῦλον οὐ μόνον κατὰ τὰ ἄλλα διάγειν ἐλευθέρως, ἀλλὰ καὶ περὶ τῶν οἰκείων ἐπ' ἀδείας ἔχειν διατίθεσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Καὶ τῷ παρόντι νόμῳ ἐλλείποντι πρὸς τελείαν κατάστασιν B ὅπερ ἐνδεῖ τούτου τῇ προσθήκῃ τὸ πρέπον αὐτῷ ἀποδιδόαμεν σχῆμα. Φησὶ τοίνυν περὶ οἰκέτου ἐν δεσποτικῇ αὐτοῦ διατυπώσει ὁρισθέντος ἐλευθερίας ἀξιωθῆναι, ἀγνοοῦντος δὲ τὸ διάταγμα καὶ διὰ τοῦτο λογισμοῖς ἀμφιβόλοις ἐλευθερίας ἀντεχομένου, τέως μὲν μηδαμῶς αὐτὸν διὰ τὴν ἄγνοιαν τῆς ἐλευθερίας ἀποστερεῖσθαι, ἀλλὰ διάγειν αὐτὸν ἐλευθέρως, διατίθεσθαι δὲ αὐτὸν ὡς ἐλεύθερον ἐπ' ἀδείας μὴ ἔχειν· οἷον μεταγνοὺς μέχρι τέλους ἣν δίδωσιν ἐλευθερίαν αὐτῷ παρεῖναι. Μὴ γὰρ οὔσης ἐξουσίας ὡς ἐλευθέρῳ διατίθεσθαι τὰ οἰκεῖα, πῶς οὐχὶ πάλιν πρὸς τὴν προτέραν ἐπανήξει δουλείαν;

Ἡμεῖς οὖν φαμεν, ἐπειδήπερ τάξιν καὶ διαγωγὴν ἐλευθέραν παρέσχεν ὁ νόμος, καὶ τὰ ἄλλα παρέξειν ἃ τῇ ἐλευθερίᾳ συνέπεται. Εἰ γὰρ κωλύειν αὐτὸν ἔδει τὰ τῶν ἐλευθέρων πράττειν, τί τὴν ἐλευθερίαν [92] C οὐκ ἐκώλυσεν; Ἀλλὰ τούτων ἄξιον κρίνων [93], πῶς οὐχὶ κἀκείνων ἀξιώσει τῶν πραγμάτων, ἃ ποιεῖν κυρίως [94] ἔχει τὸ τῆς ἐλευθερίας ἀξίωμα; Ἔστω τοιγαροῦν ὁ ἠλευθερωμένος ἀληθῶς ἐλεύθερος, καὶ διατιθέσθω περὶ τῶν οἰκείων, ὅσα δεσποτικὴ γνώμη ἔδωκεν αὐτῷ ἀναφαίρετα, ὡς ἂν βούλοιτο διατίθεσθαι. Οὐ γὰρ πρέπον ἐν τῷ φανερῷ τιμὴν τῆς ἐλευθερίας λαβόντα δι' ὑπόληψιν ἄδηλον ἀτιμάζεσθαι καὶ τοῦ διατιθέναι ἀπείργεσθαι.

ΔΙΑΤΑΞΙΣ ΛΗ'.

Περὶ τοῦ τοὺς βασιλέως οἰκέτας περὶ τῶν οἰκείων ὡς ἂν βούλωνται ὁρίζειν, ζῶντάς τε καὶ τὸν βίον καταλύοντας.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ. D

Ἐμοὶ δοκεῖ καὶ τοῦτο πλεονεξία τις εἶναι, εἰ καὶ τὸ πρᾶγμα σχῆμα εὐπρόσωπον ὑποδύεται τὴν ἐκ τοῦ νόμου διάταξιν, λέγω δὴ τὸ μὴ τοῖς οἰκέταις παραχωρεῖν περὶ τῶν οἰκείων πραγμάτων διατίθεσθαι,

dore ipsum mater peperit, parentum substantiæ hæres sit : idque sive ambobus parentibus e captivitatis vinculis liberari continget, aut non : sive (70) cum unus eorum libertatem nactus sit, alter in calamitatis vinculis vitam finiet : sive denique uterque parens in captivitate morietur, extra quam si mortem testamento condendo præveniant. Tunc enim illi quos testator voluerit, hæredes erunt : tamen ut trientis legitimum subsidium filio servetur.

CONSTITUTIO XXXVII.

Ut domini testamento manumissus, si illum decessisse aditamque jus hæreditatem esse ignoret, testari possit (71).

Idem imperator eidem Styliano.

Præsenti etiam legi plena absolutione deficienti, ejus quod deest additione decoram formam imponimus. Ait autem (72), servum qui cum domini sui testamento liber esse jussus sit, id ignorat, ideoque incertis rationibus libertatem obtinet, interea nequaquam propter ignorantiam libertate privari, sed in libertate vivere : ut autem tanquam liber testetur, ipsum potestatem non habere : quasi videlicet illam pœniteat, quam libertatem dedit, hanc ipsi perpetuo competere. Cum enim illi ut libero de rebus suis testandi facultas non sit, quomodo non ad pristinam servitutem redit?

Nos itaque dicimus, posteaquam gradum statumque vitæ liberum præbuit lex, illam etiam (73) alia quæ libertatem comitantur, præbituram. Nam si ipsum facere quæ hominibus liberis duntaxat licent, prohibere oportebat, ipsa vero id non prohibuit, sed dignum illum qui isthæc faciat judicavit : quare item istis actionibus quæ proprie libertatis dignitati competunt, illum non dignabitur? Esto igitur libertate donatus, revera liber, statuitoque de rebus quas illi dominus eximias dedit, quomodocunque visum sit. Non decet enim, ut qui libertatis dignitatem manifeste accepit, ob (74) incertam suspicionem ignominia afficiatur, atque a testando arceatur.

CONSTITUTIO XXXVIII.

Ut imperatoris (75) *servi de rebus suis quomodo velint, statuere possint.*

Idem imperator eidem Styliano.

Hoc quoque, quanquam plausibilem præ se speciem (legalem nempe ordinationem) ferat, æquitatem mihi tamen excedere videtur; dico autem, quod servis de rebus suis statuere non permittitur;

VARIÆ LECTIONES.

[90] Steph. et Agyl., supplent, ἡ μήτηρ. [91] Ecl. ἐντυχηκότος. [92] Verba τί τὴν ἐλευθ. apud Scrimg. exciderunt. [93] Codd. κρίνειν. Beck : κρίνων. Alii κρίνει vel ἔκρινε. [94] Zuich. et Meerm. κῦρος. Haud inepte.

NOTÆ.

(70) Et hoc adjicitur d. l. 1, Cod. De postlim. rever.

(71) Et ita abrogatur l. 14, ff. Qui test.

(72) D. l. 1.

(73) Data libertate, quæ necessario consequuntur libertatem, data etiam videntur, arg. l. 2, ff. De jurisdict.

(74) Ea fuit ratio decidendi veteribus, de qua vid. l. 4, in fin, l. 15, ff. Qui testamenta : l. 1, ff. De legat. 5; Ulpian. 20, § 11.

(75) Ad eumdem modum olim servis populi Romani testari licuit. Ulp. 20, in fin. servis privatorum aut civitatis non licuit, l. 16, l. 17, ff. Qui testamenta.

sed quæ laboribus suis arduisque (ut conjicere licet) A molestiis quæsierint, ea cujusque domini manus colligunt. Ac sane mirari subit, quomodo ab initio lata lex nihil moderationis neque æquitatis huic rei attribuerit. Verumtamen ii e quibus nata ista lex est, atque adeo lex ipsa ab aliis, ut cujusque voluntas fert, approbantor. Ego autem nequaquam illos probo, neque illud placitum in servis (76) meis obtinere sinam : sed contra, plenam ipsis administrandarum rerum suarum potestatem facio.

Ex hoc itaque tempore in omnem posteritatem imperatoris servi rerum suarum revera domini sunto : ita sane, ut sive sani sint, sive ægroti mortem imminere putent, de rebus suis pro arbitrio statuendi potestate non priventur, neque B servitutis nomine ex rerum quas possederint dominio expellantur. De imperatoris igitur servis hæc noviter lata lex esto, vigoremque habeto. Magistratibus autem reliquæque promiscuæ plebi, si huic nostro placito acquiescere nolint, ad veterem de servilibus bonis legem respicere fas esto.

ἀλλὰ τῶν καμάτων αὐτῶν καὶ τῶν, ὡς εἰκὸς, πολυπόνων μόχθων τὴν κτῆσιν τὴν ἑκάστου δεσποτικὴν χεῖρα συλλέγειν · καὶ θαυμάζω τὸν ἐξ ἀρχῆς θέμενον τὸν νόμον, πῶς οὐδέν τι μέτριον καὶ ἐπιεικὲς τούτῳ προσένειμε. Πλὴν ἀλλ' οἵ τε πατέρες τοῦ τοιούτου νόμου καὶ ὁ νόμος ἐχέτωσαν παρὰ τοῖς ἄλλοις τὸ ἀποδεκτὸν, ὡς ἡ ἑκάστου φέρει γνώμη. ἐγὼ δὲ τούτοις οὐδαμῶς ἀπονέμω χώραν ἀποδοχῆς, οὐδ' ἐπὶ τοῖς ἐμοῖς οἰκέταις συγχωρήσω κεῖσθαι τὸ δόγμα, πᾶσαν ἄδειαν περὶ τῆς τῶν πραγμάτων διοικήσεως τούτοις παρεχόμενος [95].

Τοιγαροῦν ἀπὸ τοῦ νῦν καὶ πρὸς τὸν μετέπειτα βίον ἔστωσαν οἱ βασιλέως οἰκέται τὰ οἰκεῖα πράγματα ἀληθῶς οἰκεῖα κεκτημένοι, ἐν τῷ μὴ τὴν ἐξουσίαν ἀφαιρεῖσθαι ὡς ἂν βούλωνται περὶ αὐτῶν ὁρίζειν, ἄν τε πρὸς ἡλίου αὐγὰς περιστρέφωνται, ἄν τε τὸν βίον ὦσι καταλύοντες, μηδ' ἕνεκα τῆς δουλείας ὧν ὑπῆρχον κύριοι πραγμάτων ἐξωθούμενοι τῆς κυριότητος. Περὶ μὲν οὖν βασιλέως οἰκετῶν οὗτος κεκαινίσθω καὶ κρατείτω νόμος, τοῖς δ' ἄρχουσι καὶ τῷ ἄλλῳ τῆς πολιτείας πληρώματι, εἴ γε μὴ βούλοιντο πρὸς τὴν ἡμετέραν γνώμην ἀφορᾷν, ἐξέσται πρὸς τὸν ἀρχαῖον περὶ τῶν δουλικῶν πραγμάτων νόμον ὁρᾷν.

CONSTITUTIO XXXIX.

Ut prodigus quæ ex re ipsius sint (77) facere (78) possit.

Idem imperator eidem Styliano.

Mortalium nemo ad eam absolutionem pervenit, ut non obnoxie aliquando res suas gerat; neque C quisquam (ni fallor) ita desipit, quin crebro sibi utilis esse possit. Neque enim qui in omnibus prudentiæ suæ fidit, hunc omnia irreprehensibiliter facere sinit Deus : neque idem, cum creator creaturæque suæ curator sit, mentis inopem per omnia ex imprudentia frustrari permittit. Præfatus hoc sum propter illam legem (79), quæ prodigum de rebus suis quidquam aut velle aut statuere omnibus modis prohibet. Quam quidem legem, conjectis in res gestas oculis, pro illarum ratione, non autem ita simpliciter sancire, et si quid inutiliter gestum esset, non admittere, in quo vero aliqua utilitas verteretur, id suscipere oportebat. Nunc vero nihil istiusmodi præscribit, sed in universum prodigo de rebus suis consultandi potestatem adi- D mit.

Id nos recto judicio non convenire suspicati, legem illam relaxantes, statuimus, ut quæ judicium erroneum quodque prodigum designet, dictet, neque approbatione, neque confirmatione digna habeantur,

ΔΙΑΤΑΞΙΣ ΛΘ' [96].

Περὶ τοῦ τὸν ἄσωτον τὰ συμφέροντα διοικεῖν.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Οὐδεὶς ἐν ἀνθρώποις οὕτως εἰς ἄκρον κατήντησε τελειότητος, ὡς μηδέποτε ἀσύμφορόν τι ἑαυτῷ πραγματεύεσθαι, καὶ οὐδεὶς οὕτως οἶμαι δυστυχὴς ἄκρως εἰς φρένας, ὡς μὴ πολλάκις ἑαυτῷ χρήσιμος γενέσθαι. Οὔτε γὰρ τὸν πάντη τῇ ἑαυτοῦ συνέσει θαῤῥοῦντα πάντα πράττειν ἀνεμεσήτως ἐᾷ τὸ Θεῖον, οὔτε τὸν ἐνδεᾶ συνέσεως πλάστης ὢν καὶ τοῦ ἰδίου πλάσματος κηδεμὼν διὰ παντὸς ἀφίησι τῇ ἀσυνεσίᾳ σφάλλεσθαι. Τοῦτο ἐπροοιμιασάμην δι' ἐκεῖνον τὸν νόμον, ὃς παντάπασιν ἀποκωλύει τὸν ἄσωτον περὶ τῶν οἰκείων ἢ βούλεσθαί τι ἢ διατίθεσθαι. Καίτοιγε ἐχρῆν ἐνορῶντα εἰς τὰ οἰκονομούμενα πρὸς τὴν ἐκείνων θεσπίζειν κατάστασιν, ἀλλὰ μὴ οὕτως ἁπλῶς, καὶ εἰ μὲν [97] ἀσύμφορόν τι διῳκονόμητο, μὴ δέχεσθαι, εἰ δὲ λυσιτελὲς, καταδέχεσθαι · νῦν δὲ οὐδὲν τοιοῦτον διορίζει, ἀλλὰ καθάπαξ ἀποκλείει τῷ ἀσώτῳ τὴν περὶ τῶν οἰκείων βουλήν.

Τοῦτο ἡμεῖς ὀρθῇ ψήφῳ μὴ προσήκειν ὑπολαμβάνοντες διαστειλάμενοι θεσπίζομεν [98], ἃ μὲν κρίσις ἐσφαλμένη καὶ τὸν ἄσωτον χαρακτηρίζουσα λέγει, μήτε ἀποδοχῆς μήτε κυρώσεως ἀξιούσθωσαν, ἃ

VARIÆ LECTIONES.

[95] Codd. ἄδειαν παρεχόμενον περὶ τῆς — τούτοις παρέχομαι. [96] Ecl. Nov. 24. [97] Ita corr. Stephanus; Codd. κἂν μή. [98] Incipit Ecl.

NOTÆ.

(76) Lex est specialis, quæ ad omnes servos non porrigitur : interdum tamen humaniores domini servis testari permittebant; sed inter domesticos tantum. Vid. Plin. 8, c. 16.

(77) Τὰ συμφέροντα, et ita abrogatur § 2 Inst. Quib. non est permiss. facit l. 1, ff. De curatoribus; vid l. 18, ff. Qui testam.

(78) Tum inter vivos, tum mortis causa j. eod.

(79) D. § 2; d. l. 1; d. l. 18.

δὲ πρὸς τὸ λυσιτελὲς ὁρᾷ, μηδαμῶς ἀναπόδεκτα A τυγχάνειν μηδ' ἀθετεῖσθαι [99]. Τί γάρ, εἰ ὁ ἄσωτος κλῆρον τοῖς οἰκείοις ἐβουλήθη καταλιπεῖν, ἢ πένησι τὰ ἑαυτοῦ διανεῖμαι, ἢ οἰκετῶν τὸν βαρὺν τῆς δουλείας ἀπαυχενίσαι κλοιόν, ἆρ' ὅτι ἄσωτος, διὰ τοῦτο μὴ ἐξεῖναι [1] αὐτῷ τοιαῦτα βούλεσθαι [2]; Τί δέ, εἰ χωρίον ἔχων ἑαυτῷ ἐπιζήμιον, ἄλλος δέ τις τῶν δυναμένων θεραπεῦσαι τὴν ζημίαν, βουληθεὶς αὐτοῦ ἐν κτήσει γενέσθαι, πλέον ἢ ὅσου ἄξιον τὸ χωρίον ἀντιδιδοὺς ἐκείνῳ τὴν ζημίαν κουφίζει, ἆρ' ἡ ἀσωτεία τὴν ἐκείνῳ συμφέρουσαν καὶ βουλὴν καὶ πραγματείαν κωλύει; ἀλλ' οὐχ ὁρῶ τὸν τρόπον. Ὅπερ οὖν ἔφην, τῶν πραγμάτων τηρείσθωσαν αἱ καταστάσεις· κἂν μὲν ἐκεῖναι οὐδέν τι τοῦ ἀσώτου τρόπου ὀφθείησαν ἔχουσαι, εἶναι βεβαίους τὰς διατάξεις, εἰ δ' ἁμαρτάνουσαι B τοῦ σώφρονος λογισμοῦ φαίνοιντο, μήτ' ἀποδοχῆς μήτε βεβαιώσεως ἀξιούσθωσαν.

ΔΙΑΤΑΞΙΣ Μ' [3].

Περὶ τοῦ τοὺς ἐν αἰχμαλωσίᾳ διατίθεσθαι καὶ περὶ τοῦ μὴ εἰσκομίζεσθαι τοὺς οἰκέτας τῶν ἀδιαθέτων καὶ ἀκληρονομήτων τελευτώντων [4].

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Οἱ πάλαι τῆς τῶν νόμων ἐκθέσεως πεποιημένοι τὴν πρόνοιαν πολλὰ τῶν τοῦ βίου πρὸς κατάστασιν ἀγαγόντες, καὶ μαρτύριον ἱκανὸν τῆς αὐτῶν φιλανθρώπου γνώμης τοὺς νόμους καθ' οὓς ἡ πολιτεία διευθετεῖται καταλελοιπότες, οὐκ οἶδα ὅπως τὸ περὶ τῶν αἰχμαλώτων μέρος, οἷς οὐ διδόασι κυριότητα περὶ τῶν ἰδίων πραγμάτων διατίθεσθαι, οὐχ ὁμοίως τῇ ἄλλῃ τούτων ὁμολογεῖν πεποιήκασι φιλανθρωπίᾳ. C Ἃ μὲν γὰρ περὶ διαθηκῶν αὐτοῖς ἡ νομοθεσία περιέχει, λίαν φιλανθρώπως νενομοθέτηται. Τὸ γὰρ *ἐνίοτε μαρτύρων καταλαμβανούσης ἀπορίας ὁρίσαι καὶ ἀριθμῷ ἐλάττονι μαρτύρων ἐπισφραγίζεσθαι τὰ διατετυπωμένα, οὐ μὴν ἀλλὰ καὶ ἀμαρτύρους πολλάκις οὔσας κυροῦσθαι τὰς διατάξεις* (ὥσπερ ἐπὶ τῶν ἐν παρατάξει πιπτόντων ὡρίσατο), μεγάλη τῆς φιλανθρωπίας ἀπόδειξις· ἡ δὲ περὶ τῶν αἰχμαλώτων νομοθεσία οὐκέτι ἀδελφὴ οὖσα τῶν εἰρημένων ὁρᾶται, οὐδὲ τῆς αὐτῆς ἀποχυθεῖσα φιλανθρωπίας. Οἷς [5] γὰρ οὐ παραχωροῦσιν αὐτοῖς περὶ τῶν οἰκείων διατάττεσθαι, οὐ μόνον οὐχὶ φιλάνθρωπόν τι περὶ αὐτῶν ἐγνώκασιν ἀλλὰ καὶ τρόπον

A quæ vero ad utilitatem spectant, suscipiantur, atque nequaquam reprobentur. Quid enim, si (80) prodigus aut hæreditatem necessariis suis relinquere, aut pauperibus sua distribuere, aut denique gravem servitutis torquem servorum cervicibus adimere velit? An ideo quod prodigus est, id illi non licere velle dicendum? Quid si, cum prædium damnosum habeat, alter quispiam, qui vitio mederi possit, majore pretio quam quanti prædium sit, id emere, ipsumque damno levare velit? An prodigalitas, quo minus ille sibi consulat, utiliter negotietur, impediet? At rationem non video. Quod itaque dixi, rerum gestarum conditio observator: et si in ea prodigi (81) mores non conspiciuntur, quod actum est ratum esto: si vero a prudenti rerum gestione B aberratum esse appareat, id neque approbatione neque confirmatione dignum habetor.

CONSTITUTIO XL.

Ut (81-82) *captivi testamenti factionem habeant* (83).

Idem imperator eidem Styliano.

Qui olim edendis legibus operam navavere, cum multa ad res humanas recte moderandas in medium protulerint, locuplesque benignitatis suæ testimonium (leges nempe, secundum quas respublica concinno in statu conservatur) reliquerint: tum haud scio qua ratione fecerint, ut de captivis tractatus, quibus de rebus suis statuendi potesta- C tem non faciunt, reliquæ ipsorum benignitati non responderet. Quæ enim de testamentis ipsorum legislatio complectitur, valde comiter ac benigne constituta sunt. Nam quod statuerunt, *ut interdum quando* (84) *inopia testium laboraretur, a minore etiam testium numero testamentum obsignaretur: quin et nullis* (85) *adhibitis testibus, persæpe tamen testamentum ratum haberetur*, quemadmodum de (86) iis qui in acie occumbunt constitutum est: permagnum sane benignitatis est argumentum. At de captivis placitum jam dictorum non esse simile, neque ex eadem benignitate prognatum videtur. Quod namque de rebus suis constituere illis non permittunt, non solum non benignum aliquid de

VARIÆ LECTIONES.

[99] Ecl. ἀπαιτεῖσθαι. [1] Steph. ἐξῆν, Spanz. ἐξέσται vult legi, Agyl. λεκτέον supplet. [2] Ecl. βουλεύεσθαι. Non male. [3] Ecl. Nov. 25, 26, citatur apud Harmen. lib. V, tit. 1, p. 355. [4] Codex Eclogæ Paris., 1355 in margine notat: ἄδεκτος. [5] Fortasse εἰ vel ἐν οἷς legendum.

NOTÆ.

(80) Prodigus non censetur bonis male uti, quoties hæreditatem necessariis personis relinquit, et pauperibus bona distribuit, aut servos libertate donat. Sic Tuditarii notæ insaniæ hominis et populo nummos spargentis, et togam velut tragicam vestem in foro trahentis testamentum (quo filiam instituit hæredem) centumviri probarunt. Magis enim quid scriptum in tabulis esset, quam quis eas scripsisset, considerandum existimaverunt. Tullius Philippic. 3, et Academicar et 7; Valer. 8, el 2, Lact. 23.

(81-82) Exstat epitome 5, Harmen. 1, § 30.

(83) Et ita abrogatur § ult. inst. Quibus non est D permiss. l. 8, ff. Qui testam.; l. 10, ff. De test. milit. Paul. 3; sentent. 4, § 8.

(84) L. ult. vers. in illis vero locis C. De test.

(85) Imo milites convocatis ad hoc hominibus testari debent, § 1, vers. Si ergo miles inst. De militari testamento; l. 24, ff. De testam. milit. vid. Nov. 41.

(86) Puto intelligi l. 15, in fin. C. De testam. milit.; vult enim valere militibus voluntatem, si quid in vagina aut clypeo litteris sanguine suo rutilantibus adnotaverit, aut in pulvere inscripserit gladio, sub ipso tempore quo in prælio vitæ sortem derelinquit.

ipsis decreverunt, verum etiam (87) ipsam captivitatem alio modo intendunt. Quomodo enim rursum illos in captivitatem non ducunt? aut quomodo malum irrecreabilisque tristitia non adaugetur, et morte acerbiorem in corde captivus circumferens aculeum, rebus excedit humanis, quando non solum in captivitate vitam finit, verum etiam si qua apud contribules bona habet, de his illi constituendi potestas non est, sed suis rebus tanquam alienis expellitur : et quæ suis laboribus quæsierit, proque quibus suscepto periculo in captivorum infortunium incidit, ab horum dispensatione ejicitur? Quomodo item, si quos necessarios captivus habet ut liberos, uxorem, fratres, aut alios, quos ad ipsius hæreditatem lex vocat, ii non similiter omnes obversis in hæreditatem ab intestato ad se devolvendam oculis, curam liberandi captivi, illius consequendæ spe sua omittent? Novimus siquidem res humanas, ut pauci admodum verum amorem conservent, ejusque unius gratia ad opitulandum calamitate implicitis paucorum animus excitetur. At qui spe nanciscendæ cujusdam remunerationis ad ferendum indigentibus auxilium procedant, horum sane longe maximus est numerus. Qua re itaque moti cognatus aliusque quispiam captivorum suscipiant curam? Si quidem statuendi facultas de rebus suis ipsis esset, nonnulli laborem damnosum sibi non futurum reputantes, non segniter illum suscepturi essent. Cogitarent etenim (ut verisimile est) si aut conatus ipsorum ad finem deduceretur, captivique libertatem consequerentur, se munus aliquod esse pro opera sua et labore accepturos, aut etiam si conatus finem mors præveniens, captivum de medio tolleret, illum in testamento suo eum qui ipsius curam habuisset, majore portione quam illos qui ipsum neglexissent dignaturum. Non enim immemorem fore ipsum, neque labores nihili facturum arbitrarentur. Hac igitur ratione (quemadmodum dixi) futurum esset, uti aliqui non indiligenter ad liberandorum captivorum curam sese erigerent. Nunc vero cum hi testari probibeantur, illi autem ab intestato hæredes in bona concedant, haud scio, si, qui pro liberatione labores suscipiat, quisquam inveniri possit. Successionis enim ab intestato spes metusque ne in vanum laboretur, si forte liberationem mors prævertat, captivumque rebus humanis eximat, homines tardiores (ut ne prorsus animo alienos dicam) ad aggrediendum facit. Quod sane non itidem contingeret, si lex illorum testamenta irrita non faceret. Jam vero si liberandæ animæ pretium propriæ cujusque facultates sunt, quomodo non in hoc etiam captivi injuriam longe maximam sustinent, quod dum non sinuntur a lege de rebus suis statuere, etiamsi

A ἕτερον τὴν αἰχμαλωσίαν ἐπιτείνουσι. Πῶς γὰρ οὐχὶ τούτους πάλιν αἰχμαλωτίζουσιν; ἢ πῶς οὐκ αὔξεται τὸ δεινὸν καὶ ἄλγος ἀπαραμύθητον, καὶ τοῦ θανάτου κέντρον ἐπωδυνότερον κατὰ τῆς καρδίας αἰχμάλωτος φέρων ἄπεισι τῶν ἀνθρωπίνων, ὅταν οὐ μόνον ἐν αἰχμαλωσίᾳ καταστρέφῃ τὸν βίον, ἀλλὰ καὶ εἴ τινα ἐν τοῖς ὁμοφύλοις οἶδεν ἑαυτῷ προσοῦσαν ὕπαρξιν, περὶ ταύτης οὐκ ἔστι βουλεύεσθαι κύριος, ἀλλ' ἐξωθεῖται τῶν οἰκείων ὡς ἀλλοτρίων, καὶ τῶν πόνοις οἰκείοις κτηθέντων τῆς οἰκονομίας ἐκβάλλεται, ὧν ἐκεῖνος προκινδυνεύων εἰς τὰ τῶν δορυλήπτων κατέστη δεινά; Πῶς δὲ, εἴ τινές εἰσι τῷ αἰχμαλώτῳ κατὰ γένος διαφέροντες, ἢ τέκνα ἢ γυνὴ ἢ ἀδελφὴ ἢ ἕτεροι οὓς ἐπικλήρους οἶδεν ὁ νόμος, οὐχὶ πάντες ὁμοίως πρὸς τὴν ἐξ B ἀδιαθέτου ἐρχομένην αὐτοῖς κληρονομίαν ἀποβλέψαντες τῇ ταύτης ἐλπίδι τὴν περὶ τοῦ συγγενοῦς αἰχμαλώτου τῆς ἐλευθερίας παρήσουσιν ἐπιμέλειαν; Ἴσμεν γὰρ τὸ ἀνθρώπινον, ὡς εὐαρίθμητοι λίαν φίλτρον ἀληθινὸν διασώζουσι, καὶ τούτου μόνου ἕνεκα πρὸς βοήθειαν τῶν ἀλγεινοῖς περιστοιχιζομένων ἡ γνώμη αὐτοῖς ἐπεγείρεται, οἱ πλεῖστοι δὲ προσδοκίᾳ τοῦ τυχεῖν τινος χάριτος ἐπὶ βοήθειαν χωροῦσι τῶν χρῃζόντων τῆς βοηθείας. Πόθεν οὖν ὑπὲρ τῶν αἰχμαλώτων ἢ τῶν συγγενῶν τις ἢ ἕτερος [6] ἀναλάβοι φροντίδα; Εἰ μὲν γὰρ ἦν ἐπ' ἀδείας αὐτοῖς περὶ τῶν οἰκείων βουλεύσασθαι, ἔμελλόν τινες ἀναλογιζόμενοι ὡς οὐκ ἀκερδὴς αὐτοῖς ἔσται ὁ πόνος, μὴ ῥαθύμως αὐτὸν ἀναδέχεσθαι· ἐνενόουν γὰρ, ὡς εἰκὸς, ὡς ἢ τῆς σπουδῆς αὐτῶν C εἰς πέρας διεξελθούσης καὶ τῶν αἰχμαλώτων ἐλευθερίας τυχόντων [7] ἕξουσί τινα χάριν ὑπὲρ ὧν διεσπούδασαν, ἢ κἂν τὴν ἐκείνων σπουδὴν ὁ θάνατος προφθάσας ἐν δεσμοῖς ὄντα λάβοι τὸν ἄνθρωπον, ἐν τῇ περὶ τῶν οἰκείων διατάξει ἔσται τινὸς πλείονος ἀξιῶν μερίδος τὸν ὑπὲρ αὐτοῦ πεφροντικότα τῶν ἄλλως [8] ἠμεληκότων· οὐ γὰρ ἀμνημονήσειν αὐτὸν καὶ παρὰ φαῦλον τοὺς πόνους ποιήσεσθαι ὑπελάμβανον. Τούτοις οὖν, ὥσπερ ἔφην, τοῖς λογισμοῖς ἔμελλόν τινες οὐ ῥαθύμως εἰς τὴν ὑπὲρ ἐλευθερίας τῶν αἰχμαλώτων σπουδὴν διανίστασθαι· νῦν δὲ, τῶν μὲν κωλυομένων διατάττεσθαι, τῶν δὲ ἐξ ἀδιαθέτου κληρονόμων εἰς τὴν ὕπαρξιν ἐμβαινόντων, οὐκ οἶδα εἴ τις εὑρεθείη τοὺς ὑπὲρ D τῆς ἀναρρύσεως πόνους ἀναδεξόμενος. Ἥ τε γὰρ ἐλπὶς τῆς ἐξ ἀδιαθέτου κληρονομίας, καὶ ἡ ἐνθύμησις τοῦ μή ποτε διὰ κενῆς κάμοι, τὰς ἑαυτοῦ [9] σπουδὰς τοῦ θανάτου προλαβόντος καὶ τὸν αἰχμάλωτον ἐξ ἀνθρώπων ἀφανίσαντος, ὀκνηρότερον (ἵνα μὴ λέγω παντελῶς ἀπρόθυμον) ποιεῖ πρὸς τὴν ἐπιχείρησιν, ὅπερ οὐκέτι ὁμοίως συνέβαινεν, εἰ μὴ ἄκυρον αὐτοῖς ἡ νομοθεσία εἰργάζετο τὴν διάταξιν. Εἰ δὲ γὰρ λύτρον ψυχῆς ἡ ἰδία κτῆσις, πῶς οὐχὶ καὶ κατὰ τοῦτο ἀδικίαν ἀκροτάτην ὑπο-

VARIÆ LECTIONES.

[6] Steph. vult ἑταῖρος. [7] Zuich. et Meerm. τοῦ αἰχμαλώτου ἐλ. τυχόντος. [8] Melius ἄλλων. [9] Sic corr. Stephanus et Agylæus. Codd. εἰς ἑαυτοῦ.

NOTÆ.

(87) Afflicti sublevandi sunt, non onerandi Nov. 26, infra eod.

μένουσιν οἱ αἰχμάλωτοι, οὐκ ἐώμενοι παρὰ τοῦ νόμου περὶ τῶν προσόντων ὁρίζειν, ἂν τοῦτο βούλωνται, ὑπὲρ ψυχῆς αὐτῶν τινα διανενεμῆσθαι τῶν πραγμάτων; Ἔτι γε μὴν καὶ τὰ περὶ ἐλευθερίας ἀτόπως ἐκ τούτου διακείμενα, καὶ τὸ μᾶλλον ἀτοπώτατον, ὅτι μὴ διδομένης ἀδείας τοῖς αἰχμαλώτοις διαθέσθαι ἀνακύπτουσι πολλάκις τῆς ὑπάρξεως κτήτορες, οὓς ἡ τῶν ἐχθίστων εἶχε μοῖρα καὶ οὐδ' ἐνορᾷν αὐτοὺς ἐν ζῶσιν ὄντες ἠνείχοντο, οὗ τί ἂν εἴη φαυλότερον; Τοῦτο οὖν οὕτως ἔχον οὐκ ἔδοξε τῇ βασιλείᾳ ἡμῶν δίκαιον παριδεῖν, ἀλλ' ὥσπερ ἐν τοῖς ἄλλοις κατὰ δύναμιν τὴν παρὰ τοῦ κρείττονος διδομένην ὥστε τὴν ἡμετέραν πολιτείαν εὖ διοικονομεῖσθαι πεφροντίκαμεν, οὕτω πρὸς τὸ ἄμεινον καὶ τὰ περὶ τῶν αἰχμαλώτων ἐπανορθοῦν διεγνώκαμεν.

Θεσπίζομεν [9*] τοίνυν, ἀπὸ τοῦ παρόντος μηδαμῶς τοὺς ἐν αἰχμαλωσίᾳ τῷ ἀπείργοντι αὐτοὺς διατίθεσθαι νόμῳ ὥσπερ καὶ τὸ πρότερον ὑποκεῖσθαι, ἀλλ' ἐξεῖναι τούτοις, εἰ μὲν οἷόν τε παρουσίᾳ πέντε μαρτύρων, εἰ δὲ μὴ τριῶν, εἴτε γραφῇ παραδοῦναι τὴν βούλησιν εἴτε ἀγράφῳ διατάξει ἐκτίθεσθαι, δηλονότι ὅρκῳ βεβαιούντων τῶν εἰς τὴν μαρτυρίαν παραληφθέντων τὸ ἀπαραποίητον τῇ τοῦ τελευτήσαντος διατυπώσει, ἄν τε παίδων ὄντων ἐκείνους καταλείποιτο [10] τῆς περιουσίας κυρίους, ἄν τε μὴ παῖδας ἔχων ἑτέρους εἰς τὸν κλῆρον εἰσάγῃ. Οὐ γὰρ δίκαιον ἡγούμεθα, τοὺς ἐπίσης [11] μετέχοντας τοῦ κοινοῦ τῆς πολιτείας ὀνόματος μὴ ἴσῃ μοίρᾳ τῶν τοῦ νόμου δικαίων τιμᾶσθαι, καθ' οὓς τὸ ὁμόφυλον πολιτεύεται, ἀλλὰ τοὺς μὲν ἀπειράτους αἰχμαλωσίας ἔχειν ἐξουσίαν ὡς αὐτοῖς δοκεῖ περὶ τῶν ἰδίων βουλεύεσθαι, τοὺς δὲ μή, ὥσπερ ἔγκλημα ἔχοντας ὅτι προπολεμοῦντες τῶν ὁμοφύλων εἰς πεῖραν ἁλώσεως ἦλθον. Εἰ μέντοιγέ τις τῶν δορυαλώτων ἢ ἐθελοντὴς ἢ ὑφ' ὧν κατέχεται [12] βίαν ὑπομένων ἐπὶ ταύτην ἔλθοι τὴν γνώμην, ὥστε τὰ αὐτοῦ πράγματα εἰς τοὺς πολεμίους χωρεῖν διατυπῶσαι, τότε οὐδαμῶς τὰ δεδογμένα βέβαια ἔσται [13], ἀλλ' ὡς μὴ κατὰ τὸ πρέπον τῷ Χριστιανῶν [14] πολιτεύματι γεγενημένη ἐκπεσεῖται ἡ διάταξις [15].

Ταῦτα μὲν διωρίσθω περὶ τῶν διαθήκῃ τὸ τῆς ζωῆς τέλος προφθάσαι [16] διανοηθέντων. Εἰ δ' ἡ τέλειος ἐπιστᾶσα τοῦ βίου ἡμέρα ἐξ ἀνθρώπων ἀδιάθετον ἀφανίσοι τὸν ἄνθρωπον, παρόντων μέν τινων οἷς ὁ κλῆρος διαφέρει ἀνιόντων ἢ κατιόντων, πρὸς αὐτοὺς ἡ περιουσία πορεύσεται, μὴ ὄντων, δέ τινων

velint pro animabus suis nihil rerum suarum erogare possent? Ad hæc porro cum liberationis ratio hinc absurditatem contrahat, tum vero multo absurdissimum est, quod dum testandi facultas captivis non datur, frequenter illi qui inimicissimi (88) fuissent, quosque ipsi, si viverent, ne aspicere quidem sustinerent, illorum facultatem domini exsistant. Qua, quæso, te quid possit esse turpius? Hoc igitur cum hunc ad modum sese habeat, non negligi debere majestati nostræ visum est: sed quemadmodum in aliis pro viribus divinitus nobis datis, ut recte respublica nostra gubernetur sollicite egimus; sic et de captivis tractatum in melius corrigere decrevimus.

Sancimus autem *ut dehinc captivi*, quæ ipsos a testando arcet, legi neutiquam obnoxii sint: sed ut ipsis (si possibile sit) quinque, sin minus, tribus testibus præsentibus (89), extremam voluntatem, sive litteris commendare, sive (90) sine scripto pronuntiare liceat: tamen ut qui ad testimonium assumpti sunt, revera illam defuncti voluntatem esse jurejurando affirment: idque sive cum liberi subsint, illos bonorum suorum hæredes relinquant, sive cum liberos non habeant, alios in hæreditatem introducant. Æquum enim non putamus ut qui communis reipublicæ nominis æqualiter participes sunt, ejusdemque esse gentis censentur: non æquabili ex lege jure honorentur: ut videlicet qui liberi a servitute sunt, statuendi de rebus suis, ut visum est, potestatem habeant: quibus vero illa manus intulit quasi culpam commiserint, quod pro tribulibus propugnando in captivitatis necessitatem devenerint, non item (91). Cæterum si captivorum quispiam aut sua sponte aut eorum quorum in potestate est, vi adactus, hoc in animum inducat, uti res suas ad hostes concedere testamento jubeat: nequaquam tunc placitum ipsius ratum sit: quasique non pro (92) decoro reipublicæ Christianæ testamentum factum sit, in irritum concidat.

Atque hæc quidem de iis qui vitæ finem testamento anteverterunt sancita sunto. *Si vero ultimus* vitæ dies subito illi supervenerit, atque intestatus (93) de medio sublatus sit: tum si qui, ad quos hæreditas pertinet, sive ascendentes, sive descendentes supersint, ad hos illa se conferet;

VARIÆ LECTIONES.

[9*] Incipit Ecl. Nov. 25. [10] Ecl. καταλίποι. [11] Zuich. et Meerm. ἐπίσως [12] Ecl. addit πολεμίων. [13] Scrimg. ἐστίν. [14] Sic Ecl. Codd.: κατὰ τὸν πρέποντα χριστιανῷ. [15] Scrimg. διάθεσις. [16] Ita Ecl. Scrimg.: περὶ τὴν διαθήκην — προφθάσει, quæ corrigenda esse etiam Steph. et Agyl. notarunt.

NOTÆ.

(88) Durum videtur captivis adimi testandi potestatem, ne alioquin ad eorum inimicos eorum bona deferantur.

(89) Captivi testamentum facere debent testibus præsentibus.

(90) Captivi testamentum facere possunt scripto vel verbis coram quinque vel tribus testibus, nisi inviti sua bona ad hostes ipsos transmitti voluerint, 5, Harmenop. 1.

(91) Captivi testari possunt, sive liberos habuerint, sive non habuerint.

(92) Κατὰ τὸν πρέποντ, Scrimger. κατὰ τὸ πρέπον. Cujacius 7, obs. 32.

si vero nulli sint ad quos bonorum defuncti captivi successio spectet (dico quos neque ascendentes neque descendentes defuncti familia agnoscit), primum considerari an aliquibus debeat, deindeque deducto ære alieno reliqua bifariam in trientem et bessem dividi, ac trientem demum in erogationem pro anima faciendam separari, alteram autem partem in fiscum recipi jubemus tamen ut servi his non immisceantur. Hos enim, nisi æs alienum exsolvi non possit, omnes libertate honorari volumus.

προσώπων πρὸς οὓς ἡ κληρονομία ὁρᾷ τῶν τοῦ ἐξ ἀνθρώπων ἀφανισθέντος αἰχμαλώτου πραγμάτων (φημὶ δὴ μήτε οὓς ἀνιόντας μήτε οὓς κατιόντας οἰκειοῦται τὸ τοῦ τεθνηκότος γένος), πρότερον σκοπεῖν[17] μὲν κελεύομεν, εἴ τισιν ὑπόχρεως ἦν, καὶ τῶν χρεῶν ὑπεξαιρουμένων τὰ περιλειπόμενα πράγματα διχῇ διαιρεῖσθαι, εἴς τε τρίτον καὶ δίμοιρον, καὶ τὸ μὲν τρίτον εἰς τὴν ὑπὲρ ψυχῆς διανομὴν ἀφορίζειν[18], τοῦ δὲ ἑτέρου μέρους ἐν τοῖς βασιλείοις ταμείοις γίνεσθαι τὴν ἀνάληψιν, ἄνευ μέντοιγε τῶν οἰκετῶν. Ταῦτα γὰρ, εἰ μὴ τῶν χρεῶν ἡ ἐκπλήρωσις ἐκποδὼν σταίη, πάντα ἐλευθερίᾳ τετιμῆσθαι βουλόμεθα. Τὸν[19] αὐτὸν δὲ τύπον τηρεῖσθαι τῆς τῶν πραγμάτων διοικήσεως καὶ ἀφ' ὧν οὐ πάρεισι χρέα, ὅταν, ὡς εἴρηται, κληρονόμων ἄπορος ἀπίοι τοῦ βίου ὁ τῇ αἰχμαλωσίᾳ κάτοχος.

Quæ eadem rerum disponendarum forma custodienda erit, quando nihil æris alieni fuerit, servitutique obnoxius (quemadmodum dictum est) sine hæredibus decesserit. Quæ itaque nobis ejus legislationis, quæ captivos contristabat, in mentem correctio venit, per sacram hanc exposita est legem. Tua autem magnificentia sanctionem subditis notam facito: quo cum innotuerit, omnes de rebus suis, etiam quos captivitas detinet, quocunque modo velint, statuant.

Ἡ μὲν οὖν εἰς ἐπίνοιαν ἡμῶν ἥκουσα περὶ τῆς νομοθεσίας ἢ τοὺς αἰχμαλώτους ἐλύπει[20] διόρθωσις, διὰ τοῦδε τοῦ θείου ἡμῶν νόμου ἐκτέθειται, ἡ δὲ σὴ μεγαλοπρέπεια τὸ θέσπισμα[21] τοῖς ὑπὸ χεῖρα ἐγνωσμένον καταστησάτω, ὡς ἂν δήλου πᾶσι γεγονότος, ἅπαντες περὶ τῶν οἰκείων, καὶ οὓς ἡ αἰχμαλωσία ἔχει, ὡς ἂν ἐθέλωσι διορίζωνται.

CONSTITUTIO XLI.

Ut in civitatibus quinque (93-94), *in itineribus vero et agris tres* (95) *testes ad testamentorum fidem sufficiant.*

Idem imperator eidem Styliano.

Cum omnibus humanæ vitæ negotiis, quæ testium fidem requirunt, inde robur adesse oporteat: tunc vero maxime quæ ultimi vitæ nostræ diei contemplatione dispositiones fiunt, istiusmodi corroboratione indigent. Nullus enim reliquus mo-

ΔΙΑΤΑΞΙΣ ΜΑ'.

Περὶ τοῦ ἐν μὲν ταῖς πόλεσι διὰ πέντε μαρτύρων κυροῦσθαι τὰς διαθήκας, ἐν ὁδοιπορίαις δὲ καὶ ἀγροῖς εὐαπόδεκτον εἶναι καὶ τὴν διὰ τριῶν κύρωσιν.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἐν πᾶσι μὲν τοῖς κατὰ τὸν βίον πράγμασιν, ὅσα τὴν διὰ μαρτύρων ἀπαιτεῖ πίστιν, ὀφειλόμενόν ἐστι προσεῖναι τὴν διὰ τούτων[22] βεβαίωσιν, μάλιστα δὲ χρῄζουσι διατάξεις[23], αἳ γίνονται πρὸς τὴν τελείαν ἡμῶν τῆς ζωῆς ἡμέραν ἀποβλεπόντων, τῆς τοιαύτης

VARIÆ LECTIONES.

[17] Ecl. πρῶτον μὲν σκοπεῖν. [18] Ecl. ἀφορίζεσθαι. [19] Inc. Ecl. Nov. 26. [20] Sic Ec. Codd.: ἐλύσει. [21] Ecloga non habet θέσπισμα. [22] Scring. τοῦτο. [23] Codd. διατάξεων, quod Agyl. corr. in ἐκεῖναι τῶν διατάξεων.

NOTÆ.

(93-94) Quinque in urbano; tres, in rustico testamento testes sufficiunt ex hac Novella. Quinarius numerus lege XII tabularum videtur introductus § 1. Instit. De testam. ordinand. 20. Ulp. 2, et reductus a Basilio Macedone Leonis hujus parente vers. Cum enim J. eod. Septem postea adhibiti ex constitutionibus, § 3. Instit. De test. ordin. specialius dicendum est. In militari testamento expeditionis tempore, l. 17, C. De test. milit. (Miles enim citra tempus expeditionis domi, testatus septem testes adhibet arg. De l. 17.) Testes requiruntur ad minimum duo l. 24, l. 40, ff. De testam. milit. § 1. Instit. De milit. test. vel ut ibid. in princ. 1, tit. scribit Theophilus, unus sufficit; et si Leoni credimus Novell. quadragesima in princ. s. eod., nullis testibus adhibitis miles testari potuit, quamvis Plutarchus in Coriolano scribat in testamento procincto tres aut quatuor adhibitos; et hæc de militari testamento. In pagani vero testamento variatur numerus. In testamento inter liberos duo vel tres l. 11, § 1. Cod. De testament. cæci testamento vel octo requiruntur; vel septem testes et unus tabularius l. 8. Cod. Qui testam. In reliquis, septem; si testamentum in scriptis fiat § 3. Inst. De testament. ordinan. Quid si nuncupativum fiat testamentum? Ruri sufficiunt quinque testes l. ult. Cod. De testam. ut et in codicillis leg. ult. C. De codicillis l. 28, in fin. C. De testam. In urbe septem requiruntur, si extranei instituantur hæredes l. 21, § 2. C. De testam.; sin filii, duo sufficiunt, d. l. 21, § 1. Si liberis mixti extranei, quod ad extraneos septem requiruntur; quod ad liberos duo sufficiunt d. § 1. Hoc addendum est, unicum testem sufficere, si testamentum fiat coram principe, hoc est, ipsum principem pro omni alio teste sufficere l. 19, in fin. Cod. De testam.; quod non admitto, et alia videtur ejus legis 19, sententia ut ibidem scripsi. Sed et illud tenendum: jure canonico valere testamentum factum coram presbytero et duobus testibus, c. Cum esses, 10, De testam. Quin eodem jure ultimam voluntatem ad pias causas valere coram duobus testibus c. Relatum 11, De test. ad hæc jure civili plures quam septem adhibitos non nocere. Superflua namque prosunt, nunquam nocent. Paul. 3, sent. 4, § 10. Quin sufficere ad bonorum possessiones omnibus locis petendas, ut solemnis testium numerus adhibitus fuerit, quo loco testamentum factum esse dicetur l. ult. Cod. De testam. Idque communiter observari refert Ferrariensis. In formula libelli quo petitur hæreditas ex testamento 48, in verbo Vallarum 6, n. 4 et 5, Harm. 1, § 11 et 12.

(95) Nov. 43.

βεβαιώσεως. Οὐ γάρ ἐστι περιλειπόμενος τρόπος, δι' οὗ ὀρθῶς αὐταῖς διαιτήσει, εἰ μὴ τὸ ἐκ τῶν μαρτύρων πρόσεστιν ἀσφαλές. Ἔδει οὖν, ὅσον ἀναγκαῖον τυγχάνει, βεβαίας εἶναι τὰς ὑπὸ [24] τῶν ἐκ τοῦ ζῆν ἀπιόντων ἀνθρώπων πραγματευομένας [25] διατυπώσεις, τοσοῦτον αὐτὰς ἀσφαλίζεσθαι διὰ τῆς μαρτυρίας. Ἀλλ' ἐπεὶ ὁρῶμεν πολλάκις ὑπὸ τῆς ἀπορίας τῆς ἣν ἐπιζητεῖ ἀκριβείας τὰ πράγματα πρὸς τὴν ἐνδεχομένην κατάστασιν μὴ καθιστάμενα (μὴ γὰρ παρόντας χρῆσθαι τῇ ἀκριβείᾳ, ἀνάγκη [26] χρῆσθαι καθὼς ἄν τις εὔπορος ᾖ), οὐκ ἔξω προνοίας ἡμῖν ἐφάνη καὶ περὶ τοῦ ἀριθμοῦ τῶν ταῖς διαθήκαις ὀφειλόντων μαρτύρων παρεῖναι διορίσασθαι. Τοῦτο μὲν οὖν εἰς νοῦν ἦλθε καὶ τῷ ἀειμνήστῳ ἡμῶν πατρὶ διαιτῆσαι, πλὴν ἔοικεν οὐ πάνυ τι ἀκριβῶς ἔχειν τὸ δοκιμασθέν. Τῶν γὰρ πρὸ αὐτοῦ νομοθετῶν οἱ μὲν ἑπτὰ παραλαμβάνεσθαι μάρτυρας, οἱ δὲ πέντε γνώμην ἐξενηνοχότων (ἑπτὰ μὲν ἐν πόλεσιν ὡς εἰκὸς πολυανδρουμένας μὴ ἀπορίαν ἔχειν [27], πέντε δὲ ἐν ταῖς ἀγροῖς καὶ ὁδοιπορίαις διὰ τὴν πολλάκις φθάνουσαν τῶν εἰς πίστιν ἀξίων περιτυγχανόντων ὀλιγότητα), τούτων οὕτως ἐπ' [28] ἐκείνων διακριθέντων, καὶ ὁ ἡμέτερος πατὴρ τὸν ὑπερέχοντα ἀριθμὸν παριδὼν ἔν τε πόλεσιν ὁμοίως καὶ ἀγροῖς καὶ ὁδοιπορίαις ἀπένειμε τὴν διὰ πέντε μαρτύρων ταῖς διαθήκαις βεβαίωσιν, πρὸς τὴν νῦν κατασχοῦσαν τὸν βίον ἔνδειαν τῆς ἀρετῆς, ὥς ἐμοί γε δοκεῖ, ἀπιδών. Ὅμως, ὅπερ εἴρηται, οὐ πάνυ τις ἀκρίβεια τῷ δόγματι πρόσεστι. Τάχα γάρ τις ἐρεῖ, ὡς οὐκ ἴσον ἐχρῆν ἀπονεῖμαι τὸν ἀριθμόν, ἀλλ' εἰς τὸ βραχύτερον συστεῖλαι τὴν ἐν ἀγροῖς καὶ ὁδοιπορίαις γινομένην μαρτυρίαν.

Ὃ οὖν ἐκεῖνος παρεῖδεν, τοῦτο ἡμεῖς οὐ παριδόντες, θεσπίζομεν, ἐν μὲν ταῖς πόλεσι τὴν διὰ πέντε μαρτύρων χορηγουμένην ταῖς διατάξεσι κύρωσιν τυγχάνειν ἀποδοχῆς, ἐν ὁδοιπορίαις δὲ καὶ ἀγροῖς καὶ ταῖς ἄλλαις ὀλιγανδρούσαις χώραις εὐαπόδεκτον εἶναι καὶ τὴν διὰ τριῶν.

(30) Eodem modo Justinianus Nov. 123, c. 6; vetat episcopum et clericum μισθωτὴν τελῶν ἢ ἀλλοτρίων κτήσεων εἶναι. Can. 3, can. 4, synodi Chalcedonensis : c. 16 synod. sept. Carthaginensis.

(31) *Sæcularibus* canon. 6 apost., *publicis administrationibus*, canon. 80 apost.

(32) Διὰ συνηγορίας, adde Photium, 8 Nomocan. 13.

deinceps mundos conservaturos, ad sacra tractanda denuo introducantur: et si iterum iisdem rebus se polluere deprehendantur, omnimodo ut profani et indigni a sacris functionibus abstineant.

CONSTITUTIO LXXXVII.

De ecclesiasticorum alea (33) *ludentium pœna* (34).

Idem imperator eidem Styliano.

Jam vero qui sacri ordinis homines aleæ (35) vacant, neque hi rem modica aliqua pœna dignam audent. Quid ita? Nam cum tranquilla mente animoque a contemplandis rebus divinis immoto, quantum humanæ naturæ possibile est, summo isti bono inhærescere deberent: e contrario ad juveniles lusus deproperant. Quos etiam a sacerdotio succidi, secundum divinum sacrosanctorum apostolorum (36) decretum, par est.

Verum quoniam id, ipsum etiam præscriptum mitigat, ut qui non desistunt, pœnam subituros addat: statuimus nos quoque, *ut qui* aleæ lusu sacram sortem contaminant, in monasteria relegentur (quam tamen relegationem triennale (37) tempus finiat) *et quando* delictum satis expiatum videbitur, in pristinum statum restituantur. At si rursum in fritillo vane tempus terere instituant, tanquam piaculares ex sacrosancto ecclesiastico statu omnino exturbentur, ab eoque profligentur.

CONSTITUTIO LXXXVIII.

Celebribus quibusdam in ecclesia viris festi dies constituuntur (38).

Idem imperator eidem Styliano.

Venerabili sacrosanctorum apostolorum decreto (39) (quod promulgatum est ad gloriam et honorem sacratissimorum dierum, quibus omnium Domino feriamur, et illorum qui horum ipsorum celebrium legislatorum aliorumque victoriosorum pugilum, qui morte sua impietatem in fugam verterunt, consecrationem significant), cum hoc quod conjungatur dignum sit, ut nempe horum diviniloquorum virorum etiam, qui post illos in Ecclesia claruerunt, luminariumque instar Ecclesiæ firmamentum rebus gestis atque documentis illustrarunt, memoria solemniter celebretur: nos quod deest, adimplentes, sancimus: Ut horum etiam sacri consecrationis dies convenientibus honoribus co-

αὐτοῖς φωραθεῖεν καταχραινόμενοι, τέλεον ὡς ἀνίεροι καὶ ἀνάξιοι τῆς ἱερᾶς ἐνεργείας ἀποπαυέσθωσαν

ΔΙΑΤΑΞΙΣ ΠΖʹ.

Περὶ τῆς τῶν κύβοις σχολαζόντων ἱερέων κολάσεως.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Οὐδ᾽ ὅσοι τῆς ἱερᾶς τάξεως κύβοις σχολάζουσιν, οὐδ᾽ οὗτοι πρᾶγμα τολμῶσι μετρίας τινὸς ἄξιον δίκης. Πῶς γάρ; Οἵ γε ὀφείλοντες συντεταγμένῃ διανοίᾳ καὶ ἀμετακινήτῳ νοῒ τῆς πρὸς τὸ Θεῖον ἐνατενίσεως ὅσον ἀνθρωπίνῃ δυνατὸν φύσει ἀχώριστοι τοῦ ἀγαθοῦ διαμένειν· οἱ δὲ ἀντὶ τούτου καὶ μειρακιώδεις ἐπείγονται[88] παιδίας. Καὶ τούτους οὖν κατὰ τὸ θεόκριτον τῶν θείων ἀποστόλων ψήφισμα ἔνδικον τῆς ἱερατείας ἀποτέμνεσθαι.

Πλὴν ἐπείπερ κἀκεῖνο φιλανθρώπως κελεύει προσδιορισάμενον μὴ παυομένους ὑφίστασθαι τὴν ποινήν, ὁρίζομεν καὶ ἡμεῖς, τοὺς ἐν τῷ κυβεύειν τὴν ἱερὰν λῆξιν κιβδηλεύοντας ἐν μοναστηρίοις περιορίζεσθαι (τὴν δὲ τοιαύτην περιόρισιν ὁ τριετὴς ἐκμετρείτω χρόνος), καὶ ἀποχρώσης τῷ πταίσματι ὀφθείσης τῆς θεραπείας ἀποδίδοσθαι καὶ τούτοις τὴν προτέραν χώραν· εἰ δ᾽ αὖθις ἐν τοῖς παικτοῖς[89] ἀγαπῷεν ἐμματαιάζειν, οἷα δὴ ἀθύρματα[90] τῆς παναγοῦς τῆς ἐκκλησιαστικῆς καταστάσεως παντελῶς ἐξωθεῖσθαι καὶ ἀποβάλλεσθαι.

ΔΙΑΤΑΞΙΣ ΠΗʹ.

Περὶ τοῦ τιμᾶσθαι τὰς ἱερὰς τῆς τελειώσεως ἡμέρας τινῶν τῶν ὕστερον ἐν τῇ Ἐκκλησίᾳ διαλαμψάντων.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Τῷ σεβασμίῳ τῶν σεπτῶν ἀποστόλων θεσπίσματι[91] πρὸς δόξαν καὶ τιμὴν ἐκπεφωνημένῳ τῶν τε ἱερωτάτων ἡμερῶν, αἳ τὸ ἑορτάζειν ἡμῶν τῷ τῶν ὅλων Δεσπότῃ κομίζουσι, κἀκείνων δὲ, ὅσαι τάς τε αὐτῶν τούτων τῶν ἀοιδίμων νομογράφων καὶ τῶν ἄλλων καλλινίκων ἀγωνιστῶν οἳ σφαγαῖς οἰκείαις τὴν δυσσέβειαν ἐτροπώσαντο τὰς τελειώσεις μηνύουσιν, ἀξίου τυγχάνοντος καὶ τούτου συνεπισυνῆφθαι, ὥστε καὶ τῶν μετ᾽ ἐκείνους ἐν τῇ Ἐκκλησίᾳ διαλαμψάντων θεηγόρων ἀνδρῶν καὶ φωστήρων δίκην τὸ τῆς Ἐκκλησίας στερέωμα πράξεσι καὶ διδάγμασι καταπυρσευσάντων μὴ ἀγεράστους μηδ᾽ ἀνεόρτους εἶναι τὰς μνήμας, τὸ λεῖπον προσαναπληροῦντες θεσπίζομεν, καὶ τούτων τὰς ἱερὰς τῆς τελειώσεως ἡμέρας

VARIÆ LECTIONES.

[88] Steph. aut ἐπάγονται aut εἰς μειρ. legendum esse censet. Fortassé pro καὶ reponendum est κατά. [89] Vulgo παχτοῖς. Emendavit Cotelerius. [90] Steph, et Agyl. καθάρματα scribi volunt. [91] Apost. c. 66.

NOTÆ.

(33) Dixi ad l. 25, l. ult. § 1, 3, ibi, aut cubicare c. De episc. aud. l. 3, C. De aleatoribus, Novell. Justin. 123, c. 10; adde 3, Ecl. 1, c. περὶ ταβλιζόντων ἐκκλησιαστικῶν προσώπων. adde Photium 9, Nomoc. 27.

(34) Emendat canonem 41 apostol., quo aleatores episcopi, aut presbyteri penitus deponuntur. Depositionis enim loco triennalis infligitur in monasterium relegatio.

(35) Adde dict. § 3, ibi aut cubicare.

(36) Canon. 41, 42, apost.

(37) Ut Nov. 76, supra eod.

(38) Adde Nov. Emmanuelis Comneni c. 2, infra Balsamonem ad 7 Photii 1.

(39) De die Dominico vid. can. apostol. 65; Paschatis c. 7; Pentecostes c. 36; Festis c. 1, num. 52, 67, 70.

τιμαῖς ἱεροπρεπέσι κατασεμνύνεσθαι. Ὧν ἐστί γε τὰ ὀνόματα· Ἀθανάσιος, ὁ ἐν ἀρχιερεῦσι Θεοῦ περιώνυμος· Βασίλειος, ἡ βασίλειος τῆς Ἐκκλησίας σεμνότης· Γρηγόριος, ὁ τῆς θεολογίας ἐπώνυμος· Γρηγόριος, ὁ γλυκὺς τῆς Ἐκκλησίας ποταμὸς καὶ ὑπέρλαμπρος· Ἰωάννης, τὸ πάγχρυσον στόμα τοῦ Πνεύματος· καὶ σὺν τούτοις Κύριλλος καὶ Ἐπιφάνιος, ὧν καὶ τὰ κατορθώματα καὶ τὸ κλέος τοῖς εἰρημένοις ἐφάμιλλον.

A lantur, quorum hæc sunt nomina : Athanasius (40), inclyti ille in principibus Dei sacerdotibus nominis · Basilius (41), regium illud Ecclesiæ decus : Gregorius, cognomine Theologus : Gregorius (42) dulcis ille et illustris Ecclesiæ fons : Joannes prorsus illud spiritus aureum (43) os : unaque cum iis Cyrillus (44) et Epiphanius (45), qui præclaris facinoribus gloriaque illis pares sunt.

ΔΙΑΤΑΞΙΣ ΠΘ'.

Περὶ τοῦ τὰ συνοικέσια ἄνευ τῆς ἱερᾶς εὐλογίας μὴ ἐῤῥῶσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ὥσπερ τὰ τῆς υἱοθετήσεως πράγματα πρὸς τὸ ἀδιάφορον διακείμενα παρεῖδεν ἡ ἀρχαιότης, ἣν χωρὶς εὐχῶν καὶ τελετῆς ἱερᾶς τελεῖσθαι νομίζουσα οὐδὲν ἐδόκει ὀλιγωρεῖν, οὕτως ἔοικε καὶ τὴν ἀκριβῆ τῶν συνοικεσίων παρεωρακέναι κατάστασιν καὶ δίχα τῆς νενομισμένης εὐλογίας αὐτὰ συγχωρεῖν. Ἀλλὰ τοῖς μὲν ἀρχαίοις ἴσως ἂν πρόφασίς τις εὑρεθείη προαιρέσεως, ἡμῖν δὲ θείᾳ χάριτι πρὸς κοσμιωτέραν πολλῷ καὶ ἱερωτέραν ἐπίδοσιν τοῦ βίου καθεστηκότων τῶν πραγμάτων οὐδ' ἕτερον ἄξιον τῶν εἰρημένων παροφθῆναι.

Τοιγαροῦν καθάπερ ἐπὶ τέκνων εἰσποιήσεως ἱεραῖς ἐπικλήσεσι τὴν εἰσποίησιν προβαίνειν διωρισάμεθα [88], οὕτω δὴ καὶ τὰ συνοικέσια τῇ μαρτυρίᾳ τῆς ἱερᾶς εὐλογίας ἐῤῥῶσθαι κελεύομεν, ὡς ἔνθα γε μὴ ὁρῷτο τοῖς συνοικεῖν βουλομένοις τοιαύτη διαιτῶσα ἁρμογή, οὐδὲ τὴν ἀρχὴν ῥηθήσεται συνοικέσιον, οὐδ' ἐπιτεύ-

CONSTITUTIO LXXXIX.

Ne matrimonia citra (46) sacram benedictionem confirmentur.

Idem imperator eidem Styliano.

Quemadmodum adoptionem promiscue habitam neglexit vetustas, quam tametsi sine (47) precibus B sacrisque ceremoniis peragi lege permitteret, non tamen illam se parvi pendere putabat : ita et absolutam matrimonii constitutionem, dum id citra (48) jam receptam (49) benedictionem iniri sineret, neglexisse videtur. Sed veteribus istius voluntatis fortasse ratio inveniri possit : a nobis vero, cum divina gratia ad honestius multo sanctiusque vitæ institutum jam res comparatæ sint, neutrum dictorum negligi convenit.


Itaque *quemadmodum* adhibitis sacris deprecationibus adoptionem perfici præcipimus (50-51) : sic sane etiam sacræ benedictionis (52) testimonio matrimonia confirmari jubemus Adeo ut, si qui citra hanc matrimonium incant, id ne ab initio quidem ita dici, neque illos in vitæ illa con-

VARIÆ LECTIONES.

[88] Scil. Constit. XXIV,

NOTÆ.

(40) Alexandrinus, cujus exstat symbolum.
(41) Archiepiscopus Cæsareæ Cappadociæ.
(42) Nyssenus forte ; fuit et alius cognomento Thaumaturgus, item et alius Damascenus.
(43) Τὸ πάγχρυσον στόμα. Intelligit Chrysostomum.
(44) Alexandrinus, l. 3 § 3, C. De summa Trinitate.
(45) Episcopus Constantiæ, provinciæ Cypri.
(46) Adde 4, Harmen. 4 Nov. Alexii Comneni c. 9.
(47) Adde Nov. 24, supra eod. Nov. 98, in pr. infra eod.
(48) Imo, non citra benedictionem, vid. quæ dixi Nov. Just. 74, c. 4, § 1, ibi : *Ille autem adhibens tres aut quatuor exinde reverendissimorum clericorum, attestationem conficiat.*
(49) Usu scilicet.
(50-51) Nov. 74, supra.
(52) Jubet Leo benedictionem nuptiis adhiberi : quem ritum probat ex adoptionis solemnibus d. Nov. 24. Illud constat, apud ethnicos sacramenta ignis et aquæ nuptiis adhibita, l. pen. in fin. ff. De don. inter virum. Apud Christianos Deus nuptiarum conciliator creditur Marc. x ; conjugia precibus et benedictione confirmata fuisse apud veteres innuit historia Tobiæ v, vii, viii, et Evaristus refert 58, q. 5, c. 1, Non aliter legitimum conjugium esse, quam si suo tempore sacerdotaliter, ut mos est, cum precibus et oblationibus a sacerdote factis benedicatur ; et Tertull. 2, *ad uxorem*, « Unde suf- C ficiam, inquit, ad enarrandam tantam felicitatem matrimonii, quod Ecclesia conciliat, et confirmat oblatio, et obsignatum angeli renuntiant ? » Concilio Carthaginensi 4, c. 13, constitutum, ut sponsus et sponsa in templum deducantur ad benedictionem sacerdotis recipiendam. Ambrosius 9, epist. 70, « Ipsum, inquit, conjugium velamine sacerdotali et benedictione sanctificari oportet. » Scholiast. Harmenop. 4, tit. 4, negat nudo consensu matrimonium contrahi : ita ut nisi sacrum Dei verbum fuerit recitatum, neque nuptiæ consistant, neque prohibeantur contrahentes a se mutuo separari. Idem probatur ab Innocentio III, c. 4, extra de sponsalibus. Illud notandum est, proclamationes (quas Banna Longobardico vocabulo appellat c. 27, extra De sponsalib. c. ult. De clandestin. De sponsa c. ult. Qui matrimonium accusare) in ecclesiis fieri solitas. Pompam quidem non requirit in nuptiis l. 22, C. De nupt., sed tamen eodem tit. l. 24, dicitur, D non aliter conditio nuptiarum evenisse, quam si nuptiarum accesserit festivitas. Tridentina synodus sessione pen. requirit præsentiam parochi et duorum vel trium testium. Rogerius rex in Neapolit. const. 22, matrimonia sine sacerdotali benedictione publica (maxime inter nobiles) vult esse clandestina et illicita : nec ullo casu testamento vel intestato, nuptias hujusmodi contrahentibus, succedi : mulieres ipsas dotes amittere, nisi viduæ sint et nubant. Adde De clandestinis matrimoniis Extr. De clandestinis nuptiis dicam ad l. 7 C. De nupt.



suetudine matrimonii jure potiri volimus. Nihil in- A ter enim cœlibatum et matrimonium, quod reprehendi non debeat, medium invenias. Conjugalis vitæ desiderio teneris? Conjugii leges serves necesse est. Displicent matrimonii molestiæ? Cœlebs vivas, neque matrimonium adulteres, neque falso cœlibatus nomine culpam prætexas.

CONSTITUTIO XC.

Ut qui tertium (53-55) *matrimonium contrahunt, sacri canonis* (56) *pœnæ* (57) *obnoxii sint.*

Idem imperator eidem Styliano.

Oportebat nos, cum divina manu formati menteque ac ratione præditi simus, quorumdam brutorum præstantiæ non cedere. Non enim illa imbecillitas reprehensione vacat, neque a justis vituperationibus libera est: sed tanto obnoxior, quan- B tum brutali naturæ rationabilis prudentia antecellit. Oportebat, inquam, homines cum in aliis, tum præcipue in castitate matrimoniali a brutis (58) non vinci. Multa autem brutorum animantium genera (59), conjuge mortuo, perpetuam viduitatem amplectuntur, alterisque nuptiis priores velut congesta terra obtegere nolunt. Verum quoniam hanc imbecillitatem turpem non esse (quanquam turpissima sit) existimans natura, primo matrimonio contenta non est, sed nullo pudore tacta ad secundum etiam procedit: quin cum illam hic saltem sistere deberet, non tamen id facit: et, quanquam per sacram legem non liceat, a secundo matrimonio ad tertium prorumpit: haud dubie con- C stitutam in tertium matrimonium pœnam, quod non exerceatur, contemptui habens: idque eo etiam magis quod civilis lex, qua nescio de causa, Spiritus pœnam constituentis decreto non consentiat, sed hos a reprehensione porro liberat, qui post alterum matrimoniale consortium a matrimoniis abstinere nolint: idcirco nos quæ Spiritui placent sequentes, statuimus, *ut qui* ad tertium matrimonium pervenerint, pœnæ quam in ipsos sacer canon (60) promulgavit, obnoxii sint.

CONSTITUTIO XCI.

Ut concubinam habere non liceat (61).

Idem imperator eidem Styliano.

A ξεται τῶν τοιούτου[93] δικαίων ἡ τοιαύτη συμβίωσις. Μεταξὺ γὰρ ἀγαμίας καὶ γάμου οὐκ ἔστιν εὑρεῖν ἀκατηγόρητον τὸ γινόμενον. Ἔστι σοι γαμικῆς πολιτείας ἔφεσις; Ἀνάγκη τὰ τοῦ γάμου τηρεῖν· ἀλλ' ἀπαρέσκει τοῦ γάμου τὰ πράγματα· διοικείτω σε ἀγαμία· καὶ μήτε γάμον κιβδηλεύσῃς, μήτε ψεῦδος[94] τὴν ἀγαμίαν ὑποκορίζῃ[95].

ΔΙΑΤΑΞΙΣ Ϟ'.

Περὶ τοῦ τοὺς εἰς τριγαμίαν καταστάντας τῇ ἐκ τοῦ ἱεροῦ κανόνος ὑποκεῖσθαι ποινῇ.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἔδει δὴ[96] πλάσμα τῆς θείας ἡμᾶς παλάμης καὶ νῷ καὶ λόγῳ τετιμημένους μὴ τῆς προσούσης ἔν τισιν ἀλόγοις ἀρετῆς ἡττᾶσθαι· οὐ γὰρ ἔξω κατηγορίας τὸ ἥττημα, οὐδὲ μώμων δικαίων ἐλεύθερον, ἀλλὰ B τοσοῦτον ὑπόδικον, ὅσον τῆς ἀλόγου φύσεως ἡ λογικὴ περὶ τὸ ἄμεινον[97]. Ἔδει οὖν τά τε ἄλλα καὶ ἐν τοῖς γαμικοῖς μὴ τὸ ἔλαττον τῆς ἐν αὐτοῖς σωφροσύνης προσεῖναι ἀνθρώποις. Πολλὰ γὰρ τῶν ἀλόγων τοῦ ὁμοζύγου προαποφθαρέντος διὰ βίου τὴν χηρείαν ἀνασπάζεται[98], καὶ δευτέροις οὐκ ἐθέλει γάμοις τὸν πρῶτον ὥσπερ καταχωννύειν. Ἐπεὶ δὲ τὴν τοιαύτην ἧτταν ἡ φύσις οὐ βαρεῖαν νομίζουσα, καίτοι βαρυτάτην, τῇ πρώτῃ οὐκ ἀρκεῖται γαμικῇ ὁμιλίᾳ, ἀλλὰ καὶ πρὸς δευτέραν οὐδὲν αἰδουμένη χωρεῖ, καὶ μέχρι τούτου τὸ ἑαυτῆς ὤφειλεν ὁρίζειν ἐλάττωμα· ἀλλ' οὐχ οὕτω ποιεῖ, ἀλλ' οὔτε συγγνώμην ἐξ ἱεροῦ νόμου ἐπὶ τῷ ἐλαττώματι λαμβάνει, καὶ πρὸς τρίτον γάμον ἐκ τοῦ δευτέρου προάγεται, τῷ μὴ δίκην ἐν τούτῳ C ἀπαιτηθῆναι, καὶ τῆς κειμένης ἐπὶ τῷ τρίτῳ ἐπιτιμήσεως[99] καταφρονήσασα, μάλιστά γε καὶ πολιτικοῦ νόμου (οὐκ οἶδ' ὅπως) μὴ συμφωνεῖν ἐθελήσαντος τῷ δόγματι τοῦ Πνεύματος, ἀλλὰ μέμψεως ἀφιέντος τοὺς μέχρι τῆς δευτέρας γαμικῆς μὴ στέρξαντας κοινωνίας· τοιγαροῦν ἡμεῖς τοῖς τῷ Πνεύματι δοκοῦσιν ἑπόμενοι ὁρίζομεν, τοὺς εἰς τριγαμίαν καταστάντας ὑποκεῖσθαι τῇ δίκῃ, ἥνπερ αὐτῶν[1] ὁ ἱερὸς κανὼν ἐξενήνοχεν.

ΔΙΑΤΑΞΙΣ ϞΑ'.

Περὶ τοῦ μὴ συμφθείρεσθαι παλλακαῖς.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

VARIÆ LECTIONES.

[93] Steph. conj. τούτου. [94] Steph. ψευδῶς. [95] Sic Stephan. Codd. ὑποκορίζοι σοι. [96] Conj. Steph. — Codd. Ἐπειδή. [97] Steph. περὶ τὸ φρονεῖν ἄμεινον. [98] Steph. conj. ἀντασπάζεται. [99] Syn. Neocæs. c, 3. S. Basilii c. 4, 50, 80. [1] Malim αὐτοῖς.

NOTÆ.

(53-55) De tertiis nuptiis, vide constitutionem D Porphyrogenetæ Nov. 1, c. 2, vers. Ut autem.

(56) Sc. Neocæsariensis.

(57) Tempus aliquod pœnitendi bigamis et trigamis imponitur. Illud adjiciendum d. c. 2 et c. 7, ejusdem synodi, vetari presbyteros interesse nuptiis ejus, quæ secundo nubit. Privabant enim nonnulli benedictione secundas nuptias, vide Aug. ser. 243, Ambros. in cap. VII 1 Ad Corinth. et in III cap. primæ ad Corinth., concilium Lateranense sub Alexandro III, tit. De secund. nupt. c. 1.

(58) Hinc illud Nazianzeni, τὸ πρῶτον συνοικέσιον νόμον· τὸ δεύτερον συγχώρησις, τὸ τρίτον παρανομία, τὸ τέταρτον χοιρώδης βίος.

(59) Ut turtures.

(60) Canon. 3, 7. Neocæsariens. synod. l. 31, q. 2, c. De his qui; Basilius c. 4 ad Amphilochium, ubi vide Balsamonem.

(61) Concubinam habere non licet, ut hic, et ita abrogatur tit. ff. De adult. et similes. Olim quidem constante matrimonio, concubinam habere non licuit. Nov. 18, c. 5, Nov. 89, c. 12, § 5. Cæterum concubina a meretrice discrepat: concubina unius tantum consuetudine utitur: meretrix vero plurium. Concubina cum uno tantum peccat, meretrix cum pluribus. Balsamon ad canon. 26 epist. Basilii ad Amphilochium. GOTH.

Ἀπὸ τῆς αὐτῆς ἀδιαφορίας καὶ τὴν περὶ παλλακῆς κρίσιν ὁρᾶται ποιούμενος ὁ τοῖς οὕτως ἐπιψόγως συμφθείρεσθαι παλλακαῖς οὐκ αἰδουμένοις συγχωρῶν νόμος. A

Οὐκοῦν οὐδὲ ταύτην τοῦ νομοθέτου τὴν διαμαρτίαν ὑβρίζειν τὴν ἡμετέραν πολιτείαν ἐῶμεν, ἀλλ' ὁ μὲν ἀΐδιον ἐχέτω σιγὴν, ἡμῖν δ' ἀπαγορεύεται κατὰ τὰ θεῖα καὶ πρέποντα Χριστιανοῖς ἐντάλματα ἡ τοιαύτη ὕβρις οὐ μόνον τῆς πίστεως ἀλλὰ καὶ τῆς φύσεως. Εἰ μὲν γὰρ κατὰ τὸ λόγιον οἰκεία ὑπάρχει πηγὴ, ἐκ τῶν οἰκείων ἀπαρύου σωφρόνως (ὅθεν ἐξὸν καθαρῶν ἀπογεύεσθαι[a] ναμάτων, σὺ προκρίνεις τὸν βόρβορον)· εἰ δ' οὐχ ὑπάρχει, ἀλλ' οὐκ ἔστι τῶν ἀποῤῥήτων ἡ κτῆσις, οὐ χαλεπὸν δὲ τὴν κοινωνὸν τοῦ βίου εὑρεῖν.

Neque minus ea lex (62) quæ probrose cum concubinis immisceri non erubescentibus id permittendum judicavit, honestatem susque deque habuit.

Ne ergo hoc legislatoris reatum dedecore nostram rempublicam afficere sinamus. Itaque lex illa in æternum sileto. Ab illa enim non modo religionis (63), verum etiam naturæ injuria secundum divina Christianisque convenientia præcepta prohibemur. Et quidem si cum fontem habeas, sobrie inde haurire divino præcepto moneare: qua ratione, cum puras aquas haurire liceat, lutum tu mavis? Tum tametsi fontem non habeas, rebus tamen vetitis uti non potes. Cæterum vitæ consortem invenire difficile non est.

B

ΔΙΑΤΑΞΙΣ ϞΒ'[b].

Περὶ τοῦ ἐκτυφλώσαντος ἑκόντι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Εἰ καὶ ἄλλως ἡμῖν περὶ τοῦ τοὺς ὀφθαλμοὺς χερσὶ βιαιοτάταις ἐξορύξαντος τῷ πρὸς ἀμφισβήτησιν αὐτῷ καθισταμένῳ ἡ κρίσις ἐξηνέχθη, ἢ ὡς οἱ παλαιοὶ νόμοι θεσπίζουσιν, ἀλλ' οὐκ ἦλθεν κατὰ διάνοιαν εἰς νόμον τὴν τοιαύτην διατυπῶσαι κρίσιν. Ἐκρίθη μὲν γὰρ ἡμῖν, ὥσπερ καὶ ἐκρίθη, συμπαθέστερόν πως ἐπὶ τῷ πάθει διατεθειμένοις, καὶ ἐπειδήπερ οὐκ ἐνῆν ἀνακαλεῖσθαι τὴν ζημίαν τῶν ὀφθαλμῶν τῷ τούτους ἀπολωλεκότι, ἔγνων μὴ τὸν ζημιώσαντα, κἂν δίκαιος ὑποσχεῖν τὴν αὐτὴν ζημίαν, τῷ ὁμοίῳ σκότει περιβαλεῖν, ἀλλ' ἐπὶ τοσοῦτον ὁρίσαι τὴν εἴσπραξιν, ὥστε καὶ τὸν πράξαντα φέρειν σημεῖα[c] τῆς τιμωρίας, καὶ τὸν παθόντα παραμύθιόν τι, ὡς ἐν τοιαύτῃ συμφορᾷ καὶ βαθεῖ οὕτω σκότει ἐκ τῶν πόνων κεκτῆσθαι τοῦ τὸ σκότος αὐτῷ δημιουργήσαντος. Ἀλλὰ γὰρ εἰ καὶ οὕτω κέκριται, οὐκ ἦν, ὥσπερ εἶπον, γνώμη τὸ κριθὲν ποιεῖν νομοθέτημα. Ἐπειδὴ δὲ ὁ τῶν ἐν τοῖς θείοις ἡμῶν ἀποφερόμενος[d] (οὗ ἐγὼ πῶς ἂν ἀποπέμψαιμι τὴν ἀξίωσιν;) εἰς νόμους ἀξιοῖ[e] τὴν τοιαύτην κρίσιν διασκευασθῆναι διὰ τὸ τῆς διαθέσεως φιλάνθρωπον, ὡς ἂν ἀπό γε τοῦ νῦν εἴ ποτέ τι συμπέσοι τοιοῦτον τοιαύτης ἐπιτεύξηται διακρίσεως, οἷα κἂν τῷ παρόντι τῷ ἀδικήσαντι ὥρισται ἡ ζημία, πειθόμεθά τε τῇ προτροπῇ, καὶ τὸ δόγμα ὁρίζομεν. C

Τοιγαροῦν[f] εἰ[g] τίς ποτε εἰς ὀφθαλμὸν[h] ἐπενέγκοι τινὶ ζημίαν, τοῦτον κελεύομεν, εἰ μὲν ἕνα, τῷ ἑνὶ καὶ αὐτὸν[i] ζημιοῦσθαι τὴν ἴσην ὑπέχοντα δίκην. Εἰ δὲ κατὰ τῶν δύο τὰς κακούργους ἐπιβάλῃ[j] χεῖρας, D

CONSTITUTIO XCII.

De pœna ejus qui aliquem dedita opera excæcavit (64).

Idem imperator eidem Styliano.

Tametsi aliter quam veteres leges (65) sanciant, de eo qui alteri violentis manibus oculos effodisset, cum ipse judicio interesset, a nobis sententia lata sit: nunquam tamen in legem illam transformare animus fuit. Nonnihil enim misericordia moti (id quod ipsa res etiam indicat) tunc ita judicavimus: quoniam oculi, ei qui illos amisisset, restitui non possent, cum qui id damni dedisset, quanquam qui idem pateretur, dignus esset, in eamdem esse cæcitatem conjiciendum non putavi. Interim tamen tantam pœnam constitui, ut qui oculos eruit, ejus signa ferat: et cui eruti sunt, in tanta calamitate adeoque profunda cæcitate, ex laboribus ejus, qui illa ipsum affecit, aliquam consolationem habeat. Verumtamen licet ita judicatum esset ex re judicata legem facere (quemadmodum dixi) non tamen animus erat. Sed quoniam qui (66) inter sacra nostra officia relatus est (cujus ego qua ratione postulationem rejiciam?) illam sententiam, quod mitis sit, inter leges collocari petit, quo deinceps, si quando tale quidpiam incidat, qualiter in præsenti in injurium pœna constituta est, taliter ea res dijudicetur: postulato paremus, judicialeque decretum legis auctoritate donamus.

Si quis ergo cujusquam visum læserit, hunc, si unum oculum ademerit, uno similiter eodemque privari, ac talionis pœnam subire jubemus. Si vero ambobus oculis maleficas manus injecerit, quo-

VARIÆ LECTIONES.

[a] Sic Zuich. et Meerm. Scrimg. ἀπαγορεύεσθαι. Steph. conjecerat ἀπαρύεσθαι. [b] Est in Ecl., Nov. 43 et citatur lib. VI, tit. 1, pag. 4. [c] Zuich. et Meerm. τὰ σημεῖα. [d] Hæc corrupta esse patet. [e] Zuich. et Meerm. ἀξιοῦν. [f] Cod. d. εἰ γὰρ οὖν. Emendavit Steph. [g] Inc. Ecloga. [h] Ecl. ὀφθαλμούς. [i] Scrimg. αὐτῷ. [j] Ecl. modo ἐπιβάλοι, modo ἐπιλάβῃ.

NOTÆ.

(62) Vid. Goedd. ad l. 144. ff. De V. significat. Ans.

(63) Concubinatus jure divino reprobatur, adde Clar. 5, sent. § fornicatio. Vid. et in pr.

(64) Exstat epitome apud Harmenopulum 6, tit. 2. § 6. Explicare videtur pœnam talionis, de qua Exod. xxi.

(65) Mosis forte, Exod. xxi, aut XII tabular, de qua ad easdem dixi.

(66) Forte intelligit sacrorum officiorum magistrum.

niam hic pœnæ æqualitas, neque cui nocitum est, A prosit (quæ (67) enim in hoc cæco utilitas est, si alius etiam cæcus sit), neque pœnæ obnoxio, tametsi non immerito, tamen acerbius quam par sit (cum cæcis nihil miserius sit) inferatur : jubemus, ne æquabiliter, sed diverso modo pœna procedat : ita ut et maleficus puniatur, et qui læsus est, utilitatis quiddam sentiat. Hunc autem in modum legem concipimus. Quicunque amborum oculorum jacturam alicui intulerit, quo sceleris sui notam ferat, ipse uno (68-69) orbator. Et quoniam scelerata manu mutilari ipsum æquum esset, pro manus amissione besse bonorum suorum mulctator : eumque in acerbæ vitæ consolationem, cui eruti sunt oculi, accipito. Atque sic cæcus quidem inde quod ad sustentandam vitam sumptus accipiat, modicum quodpiam calamitatis lenimentum sentito : illi vero in B facinoris sui pœnam, ut dictum est, tum altero oculo, tum bonis privator, pro manuum mutilatione. Et hunc quidem ad modum, si reus dives sit, pœna procedito. At si omnino pauper sit, atque in angustiis vitam agitet, neque quidquam illi qui ipsius violentia in miserias conjectus est, in compensationem dare possit : similis tum calamitatis et socius et particeps esto, orbatusque utroque (70-71) lumine cæcus vivito. Si qui vero in scelere malefico opem tulerint, si quidem manus rei admoverint, simulque oculos effoderint, eumdem ad modum et ipsi puniuntor : at si ne una manus in oculos conjicerent, caverint, aliud autem quodpiam auxilium in facinus contulerint : his ad corporis verberationem, cute tenus tonsionem, trientisque bonorum mulctam pœna sistitor. Qui vero cæcitatis C auctores sunt, prædictis pœnis subduntor.

ἐπειδήπερ ἐνταῦθα τὸ ἴσον τῆς ζημίας οὔτε τῷ ἀδικηθέντι προσόνησιν[11] (τίς γὰρ ὄνησις τῷ ἐν[12] σκότει ζῶντι, εἰ καὶ ἄλλον τὸ ἴσον ἔχοι σκότος;) καὶ τῷ ἐνόχῳ τῆς δίκης, εἰ καὶ μὴ ἀδίκως, ἀλλ' ὅμως ὁ βίος ἀβίωτος· ἐπειδὴ ταῦτα οὕτω, κελεύομεν μὴ κατὰ τὸν ἴσον λόγον, ἀλλ' ἑτέρως προέρχεσθαι τὴν ἐκδίκησιν, δι' ὧν ὅ τε πεπονηρευμένος τιμωρηθήσεται, καὶ ὀνήσεταί τι ὃν ἡ πονηρία λελώβηκε[13]. Νομίζομεν[14] δὲ οὕτως· Ὁ ἀμφοτέρων ὀφθαλμῶν τινι τὴν ζημίαν ἐπενεγκὼν θατέρου μὲν τῶν ὀφθαλμῶν καὶ αὐτὸς ἀποστερείσθω, ὡς ἂν εἴη σημεῖον φέρων τοῦ οἰκείου πονηρεύματος· ἐπεὶ[15] δὲ καὶ χειρὸς ὀφείλει τῆς ἀνοσίου τὴν ἐκτομήν, ἀντὶ τῆς ζημίας τῆς χειρὸς τῶν ὑπαρχόντων ζημιούσθω τὴν διμοιρίαν, καὶ ταῦτα εἰς παραμύθιον τοῦ βίου ὁ ὑπ' αὐτοῦ ἐκκοπεὶς τοὺς ὀφθαλμοὺς λαμβανέτω. Καὶ ἔσται ὁ μὲν ἀντὶ τοῦ ἐν σκότει βίου ἐξ ὧν τὴν πρὸς τὸν βίον λαμβάνει χορηγίαν βραχεῖάν τινα τῆς συμφορᾶς ἀποφερόμενος ἄνεσιν, ὁ δὲ, ὥσπερ εἴρηται, δίκην τῆς πονηρίας τήν τε θατέρου ὀφθαλμοῦ[17] ἐκκοπὴν καὶ τὴν τῶν προσόντων ἀφαίρεσιν ἀντὶ τῆς τῶν χειρῶν ὑπεχέτω[18] ἀφαιρέσεως. Ἀλλ' εἰ μὲν τῶν εὐπόρων εἴη, οὕτως ἡ ζημία προβαινέτω· εἰ δ' ὡς εἰκὸς τῶν ἀπόρων καὶ ἐν στενῷ τὸν βίον σαλεύων καὶ μηδεμίαν δεδυνημένος τῆς συμφορᾶς ἀντισήκωσιν παρασχεῖν τῷ διὰ τῆς ἐκείνου βιαιότητος ὑπ' αὐτῆς περιεστοιχισμένῳ, γινέσθω καὶ οὗτος[19] τῆς παραπλησίου συμφορᾶς καὶ κοινωνὸς καὶ μεριστὴς[20], καὶ τὸν βίον ἐχέτω ἐν σκότει τῇ ἀμφοτέρων τῶν ὀφθαλμῶν ἐκκοπῇ. Καὶ εἴ τινες δὲ τῷ[21] κακουργήσαντι καὶ[22] πρὸς τὴν πρᾶξιν συνήραντο, εἰ μὲν αὐτόχειρες γεγόνασι τοῦ κακοῦ συνεξορύξαντες τοὺς ὀφθαλμοὺς, παραπλησίως καὶ αὐτοὶ κολαζέσθωσαν· εἰ δ' ἀπέσχοντο μὲν τοῦ τὰς χεῖρας τοῖς ὀφθαλμοῖς συνεπιβαλεῖν, ἄλλην δέ τινα συνέργειαν παρέσχον τῷ πανουργεύματι[23], τοῖς μὲν ὁρίζεσθαι τὴν ποινὴν μέχρι τῶν εἰς τὸ σῶμα πληγῶν καὶ τῆς ἐν χρῷ κουρείας, καὶ τῷ τρίτῳ μέρει τῆς τῶν ὑπαρχόντων ζημίας, τοὺς δ' αὐτουργοὺς τῆς[24] τυφλώσεως τοῖς προειρημένοις ὑπάγεσθαι.

CONSTITUTIO XCIII.

Ut si sponsa ex alio gravida (72-73) deprehendatur, sponsalia rescindi possint (74).

Idem imperator eidem Styliano.

Quandoquidem veteres qui de sponsalibus trac- D

ΔΙΑΤΑΞΙΣ ϞΓ'.

Περὶ τοῦ λύεσθαι τῆς μνηστείας τῷ τὴν μεμνηστευμένην προσενδιαφθαρεῖσαν ἑτέρῳ ἐλέγχεσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδὴ τοῖς ἀρχαίοις τὰ περὶ μνηστείας διορι-

VARIÆ LECTIONES.

[11] Vulgo πρὸς ὄνησιν, quibus χωρεῖ addendum censet Agyl. [12] Ecl. ἐπί. [13] Ecl. λελώβηται. [14] Ecl. πῶς οὖν; νομίζομεν οὕτως. Steph. ὁρίζομεν. [15] Ecl. ἐπειδή. [17] Ecl. ὀφθαλμῶν. [18] Ecl. ὑπέσχετο ὀφαιρ. [19] Scrinig. οὕτως. [20] Codd. μεριστής. Steph. μετριστὴς legentis conjectura confirmatur Ecloga. [21] Codd. τῷ κακουργήσαντι. Agyl. τῷ τὸ κακούργημα κακουργ. Sed Ecl. cum Stephan. facit, qui κακουργήματι delendum censet. [22] Ecl. καὶ non habet. [23] Ecl. πονηρεύματι, fortasse rectius. [24] Codd. καὶ τῆς, quod ex Ecl. correxi.

NOTÆ.

(67) Ut desit utilitas excæcato, interest tamen excæcantem alium, pœnam gravissimam talionis pati, ut cæteri ab hujusmodi petulantia, metu gravissimæ pœnæ deterreantur.

(68-69) Sic unus oculus pro primo furto eruebatur apud Langobardos, l. Si quis latro, de latronibus in legibus Langobardorum.

(70-71) Eadem olim pœna plectebantur sacril gi, l 11, in fin. ff. ad l. Jul. pec. Wisigothorum lex statuerat, oculos erui patri vel matri, qui ab ortu necem gestati uteri procurasset, l. ult. De exc. hom. pa., l. 6 C. Wisigoth. tit. 3. Locrensium quoque lege lata a Zaleuco adulterum utroque oculo privari oportebat 5, Val. 6. Exempla regum et principum excæcatorum pete ex historicis.

(72-73) Adde 5, Harmenop. 1, § 27.

(74) Videtur reduci quodammodo versiculus 13, 14 et seq. Deut. xxii. Severior tamen fuit lex Mosis,

σαμένοις οὐκ οἶδ' ὃν τινα τρόπον οὐκ εἰς τὸ ἀκριβὲς[25] ἔχει τὰ διωρισμένα (εἴτε μὴ βουληθέντων συμπεριλαβεῖν καὶ τοῦτο περὶ οὗ νῦν μέλλομεν θεσπίζειν ἐν τοῖς περὶ μνηστείας διαλύσεως, ἢ μὴ γεγενημένης περιπετείας τοιαύτης ὁποία νῦν ἐν τῷ παρόντι φανεῖσα τοῦ νόμου τὴν ἔκθεσιν ἀπαιτεῖ), ἡμεῖς καὶ τούτῳ τῷ μέρει τὸ λεῖπον ἀναπληροῦντες ἐν τῷ ἀκριβεῖ τὰ περὶ μνηστείας καθίσταμεν. Ἡ μὲν οὖν ἀρχαία διάταξις λύει τὴν μνηστείαν διαφόροις αἰτίαις (φημὶ δὲ τῷ ἑτεροδόξῳ τοῦ σεβάσματος, καὶ εἰ φρένες εἶεν μανιώδει πάθει περιπετεῖς, ἔτι δὲ καὶ ἄλλαις τισί· τούτων γὰρ ὁποτέρου[26] αἰτίαν ἔχοντος τοῦ ἑνὸς τῶν συνελθόντων εἰς τὴν μνηστείαν μέρους, κελεύει τὴν ἑνότητα ῥήγνυσθαι), ὃ δὲ νῦν παρ' ἡμῶν ἐπισκέψεως ἠξίωται, ἢ μὴ γεγενημένον, ὥσπερ ἔφημεν, κατ' ἐκεῖνο καιροῦ, ἢ μὴ ἂν οἰηθὲν τῶν[27] ἔσεσθαι, ἢ διὰ ποίαν ἄλλην αἰτίαν οὐ τέθειται[28] μετὰ τῶν μνήμης ἠξιωμένων. Ἔστι δὲ τοιοῦτον· μεμνηστευμένη ἔλεγχον δίδωσι προελθοῦσης ἤδη τῆς μνηστείας ἀλλοτρίων σπερμάτων ὑποκλόπιος οὖσα, τὴν νυμφικὴν ὑποκρινομένη καθαρότητα.

A tarunt, quo nescio modo ea de re non absolute præceperunt (sive quod hoc de quo nunc sancituri sumus, inter causas dissolvendorum sponsaliorum comprehendere noluerint, sive quod tale quiddam quale impræsentiarum exortum legis promulgationem requirit, tum nondum inciderit) nos, quod hac in parte deest, adimplentes, sponsaliorum tractatum ad justam absolutionem deducimus. Vetus autem constitutio (75) sponsalia dirimit, aliis atque aliis de causis : ob diversam videlicet de religione opinionem, etsi alter insaniæ morbo capiatur, ac insuper ob nonnullas alias, atque harum utramlibet utercunque desponsatorum haberet, sponsalia divelli jubet. Quod vero nunc in considerationem nostram venit, sive tunc temporis, uti diximus, nondum (76) evenerit, sive legislatores non eventurum arbitrati sint, sive qua alia causa B ejus silentio prætereundi fuerit, inter dictas causas non commemoratur. Est autem istiusmodi : sponsam quamdam furtivis complexibus ab alio esse gravidatam, cum illa interim sponsalem præ se castimoniam ferret, sponsaliorum tempore compertum est. Atque hoc quidem illud est quod veteribus legibus comprehensum non est.

Τὸ μὲν οὖν τοῖς ἀρχαίοις νόμοις ἀπερίληπτον τοῦτό ἐστι, ἡμεῖς δὲ τὸ ἐνδεὲς προστιθέντες ψηφιζόμεθα, μὴ μόνον τῷ κατὰ πίστιν ἑτέρῳ[29], μηδὲ τῇ τῶν φρενῶν ἐκστάσει ἢ ταῖς ἄλλαις αἰτίαις, ἀλλὰ καὶ τούτῳ μηδὲν[30] ἔλαττον, εἰ μὴ μᾶλλον, ἐναντιουμένῳ τῇ συνοικεσίᾳ διαζεύγνυσθαι οὓς ἡ δοκοῦσα, μὴ οὖσα δὲ, συνῆψε μνηστεία. Ποῦ γὰρ μνηστεία ἀληθὴς, ἔνθα τὸ ταύτης ἀληθὲς οὐχ ὁρᾶται; ποῦ δὲ γαμικὴ ὁμόνοια, ποῦ δὲ στοργὴ καθαρὰ καὶ νυμφικὴ, ἔνθα πορνικὸν ἄγος καὶ διαστάσεως ἀφορμὴ καὶ μίσους ὑπόθεσις[31] καὶ ἀλλοτριότης; πάντα γὰρ ταῦτά ἐστιν ἐν τῇ τῶν νόθων καὶ ἀλλοτρίων σπερμάτων ὑποδοχῇ[32]. Οὐ μὴν οὐδὲ λόγον ἔχει τὴν ἑτέρου σπορὰν ἑαυτῷ ὑποβάλλεσθαι ἕτερον, οὐδέ γε ἄξιον, τὸν μὲν[33] γαμέτην ἐλπίδι καθαρᾶς ἀπολαύσεως τῆς ἐκ τῶν[34] καθαρῶν παραγινομένης γάμων ἣν ὑπέλαβεν νύμφην εἰσοικίσασθαι, τὴν δὲ κατορχησαμένην τῶν γαμηλίων θεσμῶν, καὶ τὴν ἐλπίδα τῆς εὐφροσύνης δείξασαν τέφραν αὐτῷ ἐκ τοῦ ἑτέρου συνδιαφθαρῆναι, μετὰ τοῦ πορνικοῦ ἀγωγίμου γνωρίζεσθαι σύνοικον.

Nos igitur quod deest adjicientes, decernimus, ut *non modo* propter diversitatem religionis, neque propter mentis emotionem, aut alias ob causas (77) : verum etiam propter hoc, quo nihil magis matrimonio adversatur, quos sponsaliorum opinio, non veritas copulavit, disjungantur. Quomodo enim vera sponsalia sunt, in quibus nihil verum neque genuinum conspicitur ? ubi meretricium (78) se offert scelus, ubi causæ sunt dissidiorum et odii, ubi animorum alienatio (quæ mala acervatim omnia pariter cum peregrino, alienoque semine suscipiuntur) : quomodo ibi matrimonialis concordia, quomodo purus sponsalisque est amor ? Quin ut quispiam alterius fetum sibi subjiciat, id vero ratio non patitur. Neque item justum est, ut qui spe honestæ casti matrimonii oblectationis sponsam in domicilium suum recipere constituerit, si illa matrimonii legibus insultet, et cum (79) aliis lasciviendo, oblectationis spem evanidam ipsi reddat, in meretricia illa facilitate ipsam uxorem agnoscere debeat.

VARIÆ LECTIONES.

[25] Sic corr. Stephanus ; Codd. ἀκριβὸν. [26] Steph. et Agyl. conj. ὁποτερανοῦν. [27] Vulgo οἰηθέντων. [28] Scrimg. τίθεται. [29] Steph. conj. ἑτεροδόξῳ. [30] Codd. εἰ ante μηδὲν habent : expunxit. Steph. [31] Scrimg. ὑποθέσεως. [32] Idem ἀποδ. [33] Codd. addunt γὰρ, quod delendum esse vidit Agyl. [34] Codd. ἐκ τῆς τῶν. Sed τῆς abundat.

NOTÆ.

ut quæ sponsam stupri compertam lapidibus vellet obrui : sed tamen hæc constitutio pertinet ad sponsam non tantum stupri, sed gravidam compertam. Vid. Harmenop. 5, tit. 2, περὶ λύσεως μνηστείας, adde quæ scripsi ad l. 11, § 1, ff. De cont. emp. L. 11, § Si quis virginem 5, ff. De act. emp.

(75) L. 5, § 1, C. De sponsalib.

(76) Hujus Novellæ casum admodum specialem esse collige.

(77) Quod erat constitutum d. § 1.

(78) Hinc colligere possis, cum meretrice, nisi resipiscat, connubium non esse, c. 1, c. Non est culpandus 32, q. 1, cap. Inter opera De sponsalibus c. ult. De condit. apposit.

(79) Facit Nov. 31, supra eod. ; Nov. Justin. 22, cap. 15, § 2, Nov. 117, cap. 8.

CONSTITUTIO XCIV.

Legis (80) *quæ de consulatu* (81) *agit, abrogatio* (82).

Idem imperator eidem Styliano.

Quoniam nostra legum repurgatio (83) hunc sibi propositum finem habet, ut non modo illa quæ subinde rerum statum labefactant, verum etiam quæ longo tempore silentio obruta, inutilia prorsus, et tanquam propter cariem publico usu non contrectata esse videntur, e legali solo deleat; consequens est, ut et quæ de consulatu tractat legem (84), tanquam nihil in præsenti ad rempublicam pertinentem, cum aliis inutilibus legali corpori eximat. Olim quidem consularis dignitas veneranda erat, venerandosque qui ipsam subirent, et magnificentia præstantes efficiebat, ac idcirco quibus consulatum gerere obtingeret, pro honore quem ex dignitate perciperent, remunerari rempublicam volentes, liberalia (85) promiscuæ plebi munera elargiebantur. Ac initi quidem, quantam munificentiam faceret, cujusque arbitrio permittebatur: postmodum autem ac certum modum decreto legali circumscribi illam placuit. Atque hoc quidem donec consularis dignitatis in republica majestas floruit, observatum esse apparet. Nunc vero, cum qui omnia mutat, temporis cursus, hanc etiam consularem magnificentiam e pristina gloria et amplitudine in abjectam speciem transformarit: ac vero qui ad illam procedunt, interdum sibi non sufficere, nedum aliis erogare quidquam possint: illam de consulatu legem, quam propterea altum silentium occuparit, cum aliis inutilibus, ut dixi, frustra legalibus constitutionibus immistam, decreto majestatis nostræ illinc eximimus.

A

ΔΙΑΤΑΞΙΣ ϞΔ'.

Περὶ τοῦ ἀθετεῖσθαι τὸν περὶ τῆς ὑπατείας νόμον.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδήπερ σκοπὸν ἡμῖν ἡ τῶν νόμων ἀνακάθαρσις ἔχει οὐ μόνον ἐκεῖνα τοῦ νομίμου ἐξαλείφειν ἐδάφους, ὧν ἡ γραφὴ [35] πολλάκις τῇ τῶν πραγμάτων καταστάσει διελυμαίνετο, ἀλλὰ καὶ ὅσα τῷ μακρῷ κατασιγασθέντα χρόνῳ ἀργὰ παντελῶς καὶ ὥσπερ διὰ σαπρίαν ἄψαυστα ὑπὸ χρείας πολιτικῆς ὁρᾶται κείμενα, ἀκόλουθόν ἐστι καὶ τὸν περὶ τῆς ὑπατείας νόμον [36], ὡς κατὰ μηδὲν ἐν τῷ παρόντι τῇ πολιτείᾳ προσήκοντα, σὺν τοῖς ἄλλοις ἀχρήστοις τῆς νομικῆς ἐξελεῖν καταστάσεως. Πάλαι μὲν γὰρ τὸ ὑπατικὸν ἀξίωμα σεμνόν τε ἦν, καὶ τους ὑποδυομένους αὐτὸ σεμνούς τε ἐδείκνυ καὶ τῷ μεγαλοπρεπεῖ

B

διαφέροντας. Διὰ τοῦτο ἄρα καὶ ὅσοι εἰς τὸ ὑπατεύειν καθίσταντο, ἣν ἐκ τοῦ ἀξιώματος αὐτοὶ προσελάβον φιλοτιμίαν ἀντιδωρεῖσθαι τῇ πολιτείᾳ ἀξιοῦντες, φιλοτίμους δωρεὰς τοῖς πλήθεσι καθυπάτευον. Ἀλλὰ πρὶν μὲν τῇ ἑκάστου προαιρέσει ἀνεῖτο τῆς φιλοτιμίας τὸ μέγεθος καὶ ἡ ἐλάττωσις, ὕστερον δὲ δόξαν οὕτω ῥητῷ μέτρῳ ψήφισμα νόμου τὸ φιλότιμον περιορίζειν. Ἀλλὰ γὰρ τοῦτο μὲν ἕως τὸ σεμνὸν τοῦ ὑπατικοῦ ἀξιώματος ἐν τῇ πολιτείᾳ διέπρεπεν ὡρᾶτο γινόμενον. Νῦν δὲ τῆς πάντα [37] κινουμένης τοῦ [38] χρόνου φορᾶς καὶ ταύτην τὴν ὑπατικὴν μεγαλοπρέπειαν ἐκ τῆς πρὶν δόξης καὶ μεγαλότητος πρὸς ταπεινὸν μεταστησαμένης σχῆμα, καὶ τῶν εἰς τοῦτο προϊόντων οὐχ ὅπως [39] ἑτέροις ἱκανῶν ὄντων, ἀλλὰ

C

μηδ' ἑαυτοῖς ἐνίοτε ἀρκεῖν δυναμένων, ἐπεὶ διὰ τοῦτο σιγὴ βαθεῖα τὸν περὶ τῆς ὑπατείας νόμον κατέσχε, καὶ τοῦτον [40] ἤδη μετὰ τῶν ἄλλων ἀχρήστων, ὡς ἔφην, εἰκῇ ταῖς νομικαῖς διατάξεσιν ἐγκαταμιγνύμενον δόγματι τοῦ ἡμετέρου κράτους ἐκεῖθεν ἐκφέρομεν.

CONSTITUTIO XCV (86-87).

De avulsa terræ crusta (88).

Idem imperator eidem Styliano.

Antiquioribus, quæque ante natæ sunt legibus ortus causam rerum usus præbuit. Legislatores enim quæ in communem vitam incidunt, singulatim accurate excutientes, pro illorum natura leges condunt. Quoniam ergo ex communis vitæ ne-

ΔΙΑΤΑΞΙΣ ϞΕ' [41].

Περὶ τοῦ ἀποσπασθέντος [42] *ὑπεργείου* [43] *τόπου* [44].

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Καὶ τοῖς ἀρχαιοτέροις καὶ προλαβοῦσι τὴν γένεσιν νόμοις αἱ τῶν πραγμάτων χρεῖαι παρέσχον ὑπόστασιν. Πρὸς γὰρ τὰ κατὰ τὸν βίον συμπίπτοντα ἡ τῶν ἑκάστοτε νομοθετῶν διαβλέψασα γνώμη πρὸς τὴν τούτων [45] φύσιν καὶ τὰ νομοθετήματα τίθεται. Ἐπεὶ

VARIÆ LECTIONES.

[35] Zuich. et Meerm. ἐγγραφή. [36] Nov. Justiniani 105. [37] Scrimg. πάντων. Emend. Agyl. [38] Scrimg. non habet τοῦ. [39] Forte ὅλως. [40] Scrimg. τοῦ τάν, Zuich. et Meerm. τοῦτο. [41] Ecloga Nov. 44, exstat apud Harm, lib. II, tit. IV, pag. 186. [42] Meerm. et plerique Codd. Ecl. ὑποσπ. [43] Legendum videtur ὑπερκειμένου. [44] In nonnullis Eclogæ Codd. additur: ἤτοι περὶ κατασπασμοῦ καὶ συγχώσεως γῆς καὶ ὕλης καὶ τὰ τούτων τίνι ὀφείλεται. [45] Ita Ecl. Codd. τούτου, quod emendaverat Steph.

NOTÆ.

(80) Nov. Just. 105.

(81) Et missilibus.

(82) Adde Nov. 47, et 78.

(83) Ἀνακάθαρσις hoc satis innuit, Leonem auctorem esse τῶν βασιλικῶν repetitæ prælectionis, seu ἀνακαθάρσεως. Vid. Cujac. 6, obs. 9.

(84) D. Novell. 105, et similes.

(85) Φιλοτίμους δωρεὰς missilia intelligit.

D

(86-87) Hæc Novella laudatur ab Harmenop. 46, Leonis. Vid. Harm. 4. § 152.

(88) Ὑπέργειος τόπος, qui et ὑπερκειμένη χώρα, et ὑπερκείμενος ἀγρός. Ὑπερκείμενος ἀγρός, locus est sive ager superior, cui ὑποκείμενος opponitur, de quo lex 1, § 22, § 22; ff. De aqua et aqua pluvia. Reducitur ergo dicta lex 7, 8 et 9, in pr. § 1 et § 2, ff. De damno.

οὖν ἐκ τῶν ἐν βίῳ πραγμάτων, ὥσπερ ἔφημεν, τοῖς νόμοις ἡ ἀφορμὴ τῆς γενέσεως, χρείαν καινὴν [46] ὁρῶντες ἡμεῖς διά τινος καινότητα πράγματος καὶ ἣν οὐκ ἔνι πρὸς ἀρχαίαν ψῆφον ἀναφέρειν [47] νόμου γενέσεως, ὡς ἄν, εἴποτε καὶ ἄλλοτε τοιοῦτό τι συμβαίη, ἔχῃ [48] τὸ συμβὰν νομίμως γε [49] διακρίνεσθαι, ἐκτιθέμεθα νόμον πρὸς τὴν τοῦ πράγματος σύμβασιν.

Τίς οὖν ὁ νόμος; Ἀγρῶν ἀλλήλοις διαφόρου δεσποτείας παρακειμένων, καὶ τοῦ μὲν ὑπερκειμένην ἔχοντος χώραν, τοῦ δὲ ὑποκειμένου ὄντος καὶ ἐν ἐπιπέδῳ ὁριζομένου, ἐὰν ὁ ὑπερκείμενος ἀγρὸς μέρει τινὶ συγκατασπασθεὶς ἢ σὺν φυτοῖς [50] ἢ τούτων χωρὶς τὸν ὑποκείμενον τὸ ῥῆγμα δεξάμενον ἐπικαλύψῃ, μὴ ἁπλῶς ἔχειν ἄδειαν μήτε τὸν δεσπότην τοῦ ὑποδεδηκότος ἀγροῦ ὡς ἰδίας ἀντιποιεῖσθαι τῆς κατασπασθείσης ὕλης, ὅτι ἐν τοῖς αὐτοῦ ὁρίοις ἐπίκειται, μήτε μὴν τὸν τοῦ ὑπερκειμένου κύριον καὶ τὴν ῥῆξιν πεπονθότα κἀκεῖνον [51] προσφιλονεικεῖν τῶν ὁρίων κυριεύειν, ἃ τὸ ῥῆγμα ἐπιπεπτωκὸς ὑποδέδεκται, ἀλλὰ τὸν μὲν τοῦ ὑποκειμένου ἀγροῦ κύριον παραχωρεῖν τῷ τοῦ ὑπερτεθειμένου [52] ἀγροῦ κυρίῳ, εἰ βούλοιτο, τὴν συγκατασπασθεῖσαν [53] ὕλην, εἴτε σύμφυτος εἴη εἴτε φυτῶν ἔρημος [54], ἀναλαβεῖν καὶ ἀνακομίζεσθαι, τὸν δὲ τῶν δύο αἱρεῖσθαι τὸ ἕτερον, ἢ τὴν ὕλην λαβόντα καθὼς ἐξ ἀρχῆς δεσπόζειν αὐτῆς κειμένης ἐν τοῖς ἰδίοις ὁρίοις, ἤ, εἰ τοῦτο μὴ βούλοιτο, ἀπέχεσθαι παντελῶς αὐτὸν μετὰ τῆς ὕλης καὶ τῶν δεξαμένων ταύτην ὁρίων, καὶ μὴ παρέχειν πράγματα τῷ τοῦ ὑποδεξαμένου ἀγροῦ τὰ συγκατασπασθέντα δεσπόζοντι. Ὥσπερ γὰρ οἰκιῶν παρακειμένων ἀλλήλαις, καὶ τῆς μὲν ἐχούσης ὑπερανέχουσαν τὴν κατασκευήν, τῆς δὲ ὑποκειμένην, εἰ συμβαίη τῆς ἄνωθεν καταπεσούσης οἰκίας ἢ τὴν κατενεχθεῖσαν ὕλην λαβεῖν [55], ἤ, εἰ μὴ προαιροῖτο λαβεῖν, ἐξίστασθαι καθάπαξ, καὶ μηδὲν ὅλως παρενοχλεῖν ἐκείνῳ τῷ μέρει, ὃ τὸ σύμπτωμα ὑπεδέξατο, οὕτω δὴ καὶ ἐνταῦθα προσῆκε [56] τὴν αὐτὴν ἀκολουθίαν καὶ τηρεῖσθαι καὶ φυλάττεσθαι.

A gotiis (quemadmodum diximus) legibus nascendi occasio exsistit, et vero propter novam quampiam rem, quæ ad veterem aliquam legem referri non potest, lege (89-90) opus esse videmus, quo videlicet si alias quoque istiusmodi aliquid contingat, id legitime dijudicari possit: legem pro conditione rei in rerum naturam producimus.

At quæ illa lex? Quando diversi domini agri sibi invicem adjacent, et alter superiore loco, alter autem depresso et campestri situs est, si superioris et impendentis agri pars aliqua cum arboribus aut sine his prærupta, subjacentem agrum, qui ruinam excepit, obtegat, ne simpliciter, neque inferioris agri dominus avulsam materiam tanquam suam B vindicet: neque superioris dominus, qui avulsionem passus est, de finium qui ruinam incidentem exceperunt, dominio, illi litem moveat: sed inferioris agri dominus superioris agri domino, si avulsam materiam (sive arboribus consita sit, sive illis vacet) recipere et apportare velit, id permittat: ille autem optionem habeat utrum receptam, suisque finibus restitutam materiam, quemadmodum solet obtinere: an vero (si illam asportare nolit) prorsus tum a materia, tum a finibus qui illam exceperunt, abstinere, neque agri qui divulsa suscepit, domino negotium facessere velit. Quemadmodum enim cum domus sibi invicem adjacent, et alterius structura supereminet, alterius humilis et C pressa est, si eminentiorem domum in humilem collabi contingat, dominus ejus aut (91) delapsam materiam recipere, aut, si id nolit, illa prorsus cedere: neque domus quæ casum excepit, dominum inquietare debet, ita hic quoque eo ad consequentiam et exemplum tracto, idem custodiri et observari convenit.

ΔΙΑΤΑΞΙΣ ϞϚʹ.

Περὶ τῆς τῶν διερευνωμένων τὰς τῶν ἀποβιούντων θήκας κολάσεως.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἔστιν ἀσύγγνωστα τῶν ἁμαρτημάτων καὶ εἰς ποινῆς ἐπιφορὰν ἀπαραίτητα, ὅσα μόνην κακίαν ἔχει τῆς γνώμης, καὶ φυσικῆς ἀνάγκης ἀπολογίας ἡ πρᾶξις ἐστέρηται. Ἃ δὲ μὴ ὁλοτελῶς ἐστι τῆς πονηρίας, ἀλλ' ἔχει καί τινα μῖξιν φυσικῆς τυραννίδος, ταῦτα τοῖς κατὰ μέτρον τῆς ἐν τῇ φύσει δυνάμεως κρίνειν προαιρουμένοις συγγνώμης οὐκ ἀποτεύξεται. Ἐκ

CONSTITUTIO XCVI.

De sepulcro violato (92).

Idem imperator eidem Styliano.

Quæ delicta sola animi nequitia committuntur, nullaque naturali necessitate excusari possunt, his neque venia tribuenda neque inferendæ pœnæ effugium concedendum est. Quæ vero non omnino a malitia procedunt, sed mixtam naturæ violentiam D habent, his utique ab illis, qui proposita sibi naturæ vi judicare volent, venia non denegabitur. Ex

VARIÆ LECTIONES.

[46] Codd. καὶ νῦν. [47] Codd. ἀναφαίνειν. [48] Ecl. ἔχοι. [49] Ecl. καί. [50] Zaich. et Meerm. Ecl. συμφύτοις. [51] Videtur legendum κἀκείνων, ut habet unus ex Ecl. Codd. [52] Scrimg. et Zaich. ὑπερτιθεμ. [53] Ecl. κατασπ. [54] Vulgo ἐρήμη. Ecl. ἔρημος. [55] Agyl. ὀφείλει suppleri vult. [56] Vulgo προσήκει. Sed cum Ecl. προσῆκε scribendum fuit propter συμβαίη.

NOTÆ.

(89-90) Videtur Leo ignorasse legem 9, § 2, ibi: Si ex fundo tuo crusta lapsa sit in meum fundum ff. De damno.

(91) L. 7, § ult. l. 9, ff. De damno infect.

(92) Et ejus delicti pœna in tonsuram et fustuarium mutata, cum olim criminaliter et pecunialiter de eo ageretur, l. 8, l. 9, ff. De sepul. viol.

hac ego ratione civile sacrumque decretum, dum de sepulcrorum perscrutatoribus statuunt, sibi mutuo non contradicere conjicio. Civilis namque lex (93-94), malam voluntatem tantummodo intuens, negata prorsus venia, id delictum punit (95) : sacra (96) vero (ad paupertatem, quæ humanam vitam misere vexat, sæpeque pressos non audenda audere cogit, ni fallor, respiciens) pœnam in deprehensos non constituit.

Nos itaque ad utrumque decretum nos accommodantes, ac, quoad fieri potest, pœnam atque veniam inter sese conjungentes, sancimus, ut qui semel duntaxat id ausi fuerint, leni misericordique sententia feriantur : qui vero ex clementia illa iterum peccandi occasionem rapiunt, nec inde prudentiores facti a malitia desistunt, nullis precibus admissis pœnam sustineant. Illa autem in dorsi verberatione (97-98) criniumque (99) tonsione consistet.

CONSTITUTIO XCVII.

Ut in (1) contestatione litis, et magistratuum (2) initio juretur (3).

Idem imperator eidem Styliano.

Tametsi lex, quæ in magistratuum initio, litiumque contestatione jurandum præcipit, divino jussui qui jusjurandum prorsus evitandum præscribit, aliquo modo contradicere videatur : tamen si quis verborum mentem perspicit, non in contrarium illam rogatam esse, sed e diverso jurisjurandi susceptione idem quod ejus prohibitione sacra lex (4-5), efficere conati deprehendat. Etenim hæc quidem, quo mendacio prorsus viam præcludat, in universum (6) jurare vetat : illa (7) vero, dum hoc ipsum vult, ad fugandum mendacium jusjurandum in auxilium assumit. Quapropter nobis non in verborum formam, sed propositum illorum finem cogitationes adigentibus, non aspernari civile decretum, tanquam cum divino et Domini nostri mandato pugnet : sed tanquam eodem vergat, illi honorem conservare visum est. Cæteroquin etiam hoc sentimus, Domini jussum non simpliciter ad moderanda communis vitæ negotia, sed ad constituendum illis, qui ad beatam illam sublimitatem ascendere desiderant, in perfectiorem

A ταύτης ἐγὼ τῆς γνώμης στοχάζομαι τό τε πολιτικὸν καὶ ἱερὸν ψήφισμα πρὸς ἀντιλογίαν ἀλλήλων ἰδεῖν, ἐν ὅσῳ περὶ τῶν διερευνωμένων τὰς τῶν ἀποβιούντων θήκας ψηφίζονται. Ὁ μὲν γὰρ πολιτικὸς νόμος πρὸς μόνην τὴν δύστροπον ἀποσκοπήσας προαίρεσιν τὴν τοιαύτην ἁμαρτίαν κολάζει συγγνώμης ἀποστερῶν, ὁ δ' ἱερὸς (οἶμαι πρὸς τὴν διοχλοῦσαν τῷ βίῳ πενίαν ἰδὼν, ἣ τοὺς στενοχωρουμένους πολλάκις τολμᾷν προάγει ἀτόλμητα) τιμωρίαν τοῖς ἁλοῦσιν οὐκ ἔταξεν.

Ἡμεῖς οὖν πρὸς τὴν ἑκατέρου ψηφίσματος συγγνώμην ἁρμοζόμενοι καὶ καθ' ὅσον οἷόν τε ἦν δίκην καὶ συγγνώμην εἰς ἓν συνάπτοντες, τοὺς μὲν ἅπαξ τοῦτο τολμήσαντας θεσπίζομεν εὐμενοῦς καὶ μακροθυμούσης πρὸς τὸ τιμωρεῖσθαι τυγχάνειν τῆς δίκης, B τοὺς δὲ τὸ συμπαθὲς ἀφορμὴν ποιησαμένους δευτέρου τολμήματος, ἀλλὰ μὴ νοῦν [57] λαβόντας ἐκ τούτου εἰς ἀναχώρησιν τῆς πονηρίας, ἀπαραιτήτως τὴν τιμωρίαν ὑφίστασθαι. Αὕτη μάστιξι ταῖς κατὰ νώτου καὶ τριχῶν ὁρισθήσεται κουρείᾳ.

ΔΙΑΤΑΞΙΣ ϞΖ' [58].

Περὶ τοῦ ὀμνύειν τὸν κριτὴν ἐν ἀρχῇ τῆς δίκης καὶ εἰς τὸ [59] προβληθῆναι ἄρχοντα.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Εἰ καὶ δοκεῖ πως ἐναντιολογεῖσθαι τὸ παντελῶς ἐκκλίνειν τῷ [60] προστάσσοντι θείῳ κελεύσματι τὸ ὀμνύναι ὁ ἐπ' ἀρχῶν προβολαῖς καὶ δίκης συστάσει ὁρίζων ὀμνύειν νόμος [61], ἀλλ' εἰ τὴν γνώμην τῶν λόγων τις διασκέψαιτο, οὐκ εἰς ἐναντιότητα γνοίη τοῦτον ἀποκεχριμένον, τοὐναντίον δὲ ἐκεῖνο σπουδὴν C ποιούμενον καταπράττειν διὰ τῆς τοῦ ὅρκου παραλήψεως, ὅπερ ὁ θεῖος βούλεται νόμος ἐν τῇ τοῦ μὴ ὀμνύειν ἐπιτροπῇ ἐξανύειν. Καὶ γὰρ ὁ μὲν τῷ ψεύδει καθάπαξ ἀποκλείων τὴν πάροδον ἀπαγορεύει τέλεον ὀμνύεσθαι, ὁ δὲ τὸ αὐτὸ τοῦτο βουλόμενος εἰς δίωξιν ψεύδους τὸν ὅρκον σύμμαχον παραλαμβάνει. Ὥστε καὶ ἡμῖν οὐ πρὸς τὸ σχῆμα τῶν ῥημάτων, ἀλλὰ πρὸς τὸν ἐγκείμενον σκοπὸν ἀπερείδουσι τὴν διάνοιαν, ἔδοξεν οὐχ ὡς μαχομένην τῷ θείῳ καὶ Δεσποτικῷ παραγγέλματι τὴν πολιτικὴν ἀτιμάζειν ψῆφον, ἀλλ' ὡς πρὸς τὸ αὐτὸ φερούσης συντηρεῖν αὐτῆς [62] τὴν τιμήν. Ἄλλως τε δὲ καὶ τοῦτο συνείδομεν, ὡς τὸ Δεσποτικὸν παρακέλευσμα οὐχ ἁπλῶς οὐδὲ πρὸς βιωτικῶν πραγμάτων ἐξηνέχθη κατάστασιν, D ἀλλὰ πρὸς τελειοτέρας πολιτείας τοῖς ἀνιέναι

VARIÆ LECTIONES.

[57] Codd. μὴν οὖν. Emendavit Steph. [58] Ecl. Nov. 45. [59] Forte ἐν τῷ. [60] Melius τῷ παντ. ἐκκλ. προστ. [61] Novv. Justiniani 8, c. 7 et 49 c. 3. [62] Codd. αὐτήν. Agyl. αὐτῇ.

NOTÆ.

(93-94) L. 8, l. 9, ff. De sep. viol.

(95) Criminaliter et pecuniaria pœna, d. l. 9, Phot. Nomocan. 27, et 13, c. 23, ubi Balsamon hujus constitutionis mentionem facit.

(96) Vid. Petrum Greg. 33, synt. 14, 15, 16.

(97-98) Sepulcri violator per fustuarium et tonsuram punitur, ut hic, Balsamon 13, Nomocan. 23, Basil. epist. ad Amphiloc. 66, undecim annis privat communione : adde Nyssenum epist. ad Lytoium episcopum Mitylenes, c. 6, 7, 8.

(99) Καὶ τριχῶν ὁρισθήσεται κουρείᾳ, adde Nov. 96, supra eod. et 105, infra eod.

(1) Ἐν ἀρχῇ τῆς δίκης, eadem vocat, δίκης σύστασιν, infra eod. vid. Nov. 49, c. 3.

(2) Καὶ εἰς τὸ προβληθῆναι, sic infra ἐπ' ἀρχῶν προβολῆς.

(3) Et ita conservatur titulus Codicis de jurejurando propter calumniam, Nov. 49, c. 3.

(4-5) Matth. v, v. 34.

(6) Ibid.

(7) Civilis sc.

πρὸς τὸ μακάριον ἐκεῖνο ὕψος ποθοῦσιν ἀνάβασιν, ὥσπερ καὶ τὰ ἄλλα, οἷον τό, *Μὴ μεριμνήσητε τῇ ψυχῇ τί φάγητε*· καί, *Μὴ θησαυρίζετε θησαυροὺς ἐπὶ τῆς γῆς*, καὶ ὅσα ὁμοδύναμα. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἀφωρισμένοις τοῖς τελειοτέροις φέρει τὴν γνώμην.

Διὰ [63] τοῦτο δὴ τὴν ἰσχὺν οἰκείαν [64] ἀμείωτον, ὥσπερ ἔφην, τῷ πολίτῃ [65] συντηροῦντες νόμῳ θεσπίζομεν καὶ ἡμεῖς, τούς τε καθισταμένους εἰς ἀρχῆς προβολὴν καὶ εἰς κρίσιν ἀμφισβητουμένου πράγματος εἰσιόντας δι' ὅρκων πιστοῦσθαι, ὡς τὸ ἀληθὲς πρὸ τοῦ ψεύδους τιμήσουσι, καὶ οὐδαμῶς τῆς εὐθείας ἐκτραπέντες ἐπὶ τὴν σκολιὰν τῆς ἀπάτης τρίβον χωρήσουσιν.

A rempublicam gradum esse promulgatum. Cujus sane generis nonnulla etiam alia sunt, ut hoc (8-9): *Ne solliciti sitis animæ vestræ, quid manducetis*, et, *Ne reponatis thesauros in terra*, etc., quæ eodem dicta sunt. Hæc enim et similia seorsum perfectioribus demandantur.

Ea propter nos civili legi suam vim (quomodo diximus) imminutam conservantes, sancimus ut qui magistratum ineunt, litemve contestantur (10), severitatem mendacio prælaturos, nec ullo modo recta via declinata, in obliquam fraudis semitam concessuros, jurejurando affirment.

ΔΙΑΤΑΞΙΣ ϞΗ' [66].

Περὶ τοῦ μὴ εὐνούχους ἐγγαμίζεσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἡ τῶν νόμων γένεσις καὶ κατάστασιν τῆς πολιτείας σκοπὸν ὑποβάλλεται [67] καὶ [68] τῇ φύσει ἐνίοτε ἀδικουμένῃ βοηθεῖν ἐπαγγέλλεται. Οὐκοῦν δίκαιον καὶ νῦν περὶ τῆς ζητουμένης ὑποθέσεως (ἡ δέ ἐστιν, εἰ ἔξεστιν εὐνούχοις πρὸς γάμον συνάπτεσθαι) νόμον τυχεῖν γενέσεως. Ἀλλὰ πρὸ τῆς τοῦ νόμου ἐκθέσεως ἄξιον πρὸς ἐξέτασιν καταστῆναι τοῦ πράγματος, καὶ συνιδεῖν, εἰ δυνατὸν τὴν τοιαύτην συνάφειαν ἀποφέρεσθαι γάμου κλῆσιν, μᾶλλον δὲ εἰ ὅλως ἐπ' αὐτῇ θέμις τελεῖσθαι, ἃ τῷ γάμῳ τελεῖται, οἷον εὐχὴν ἱερὰν ἢ τελετὴν ἢ ἀνθρωπίνην τινὰ τέρψιν καὶ θυμηδίαν, καὶ ὅσα ἐπὶ μνηστείᾳ γίνεται. Ὁ μὲν γὰρ ἱερεὺς κατὰ μίμησιν τῆς ἄνωθεν παρὰ τοῦ C πλάσαντος εὐλογίας τοῦ πρὸς αὔξησιν τὰ γένη συναρμόσαντος ἕστηκεν ἱερολογῶν, ἡ δὲ ἐξ ἀνθρώπων προϊοῦσα θυμηδία καὶ ἀγαλλίασις πρὸς τὸ τῆς γεναρχίας [69] τέλος ἀφορῶσα καὶ τοῦ γένους ἑκάστου τὴν βλάστην [70] λαμβάνει τὴν πρόοδον· οἵ τε γὰρ τῶν νυμφίων γεννήτορες, ἐν ἐλπίσιν ὄντες τοῦ γονὴν ἐπόψεσθαι τῶν οἰκείων σπλάγχνων, οἵ τε νυμφαγωγούμενοι τοῦ δοῦναι τῷ βίῳ γένους διαδοχήν, τῆς περισταζούσης αὐτοὺς ἀπολαύουσιν ἡδονῆς. Ὧ δὲ

B

CONSTITUTIO XCVIII.

De pœna eunuchorum, si uxores ducant.

Idem imperator eidem Styliano.

Legum ortus, tum ut republica recte constituatur, hunc sibi finem proponit, tum interdum naturæ injuria affectæ auxilium offert. Justum est ergo, ut nunc etiam de hac specie, an eunuchos in matrimonium conjungi liceat, in quæstionem ducta, lex enascatur. Sed priusquam illa proponatur, rem examinare, et an istiusmodi conjunctio matrimonium appellari possit, imo an omnino quæ in matrimonio peraguntur (quæ sunt sacræ (11) preces, sacrificium, carnalis oblectatio ac voluptas, et quæcunque in matrimonio fiunt), fas sit in illa perfici. Sacerdos igitur ad imitationem cœlestis a conditore (qui sexus ad (12-13) multiplicationem copulavit) pronuntiare benedictionis (14) verba sacra effatur. Humani autem ingenii voluptas et lætitia ad geniales complexus, et (15) utriusque sexus fetum respiciens, progressum facit. Sponsorum enim parentes, dum se viscerum suorum visuros fetum, et sponsi ipsi, dum se in lucem edituros generis successores sperant, multiplici voluptate perfunduntur. At hic nihil tale subest. Quale enim cum oblatione illi (16-17) conve-

VARIÆ LECTIONES.

Ea propter et nostra majestas legem quamdam rebus humanis multo quondam utilissimam, nunc vero velut senio confectam, et ne prorsus inutilis fiat periclitantem, ad pristinum robur reducens, senii incommodum quasi abradit, et ad primitivum ipsius usum, reique publicæ utilitatem renovat. Lex autem de illis, qui actionem movent, agit, ut hi priusquam ad rei disquisitionem deveniatur, de suo instituto judici fidem faciant, scripto complexi, se nullo dolo malo adversarium inquietare, neque alio judicio condemnatos esse, neque in præsens scire se nullum ad tribunal aditum habere, et maligno consilio negotium facessere, neque denique mendaciis veritatem intervertere conaturos esse. Atque hæc quidem legis præscripta sunt : quæ sane recte sese habent, eaque qui transgrederetur, huic pœna infligebatur. Neque vero huic soli, sed causarum etiam patronos iisdem dicta lex adjudicabat. Itaque hanc (quemadmodum dixi) ceu deperditam (91) prorsusque inutilem redditam, imperatoria nostra majestas, tum ad pristinas vires reducit, tum in rem publicam reditu donat. Ac vero sancimus, ut qui dehinc in judicium procedere volent, ante introitum quæ a lege præscribuntur, exhibeant.

ΔΙΑΤΑΞΙΣ ΡΗ' [38].

Περὶ τοῦ μετὰ τὴν πρώτην ἔκκλησιν μὴ πρὸς τὸ κριτήριον ἀπαντήσαντος.

Οὐδὲ τοῦτο τὸ καταπεφρονημένον καὶ διὰ παροράσεως γεγονὸς καταλειφθῆναι θέμις ἀνεπανόρθωτον, ἀλλ' ἄξιον αὐτὸ [39] τῆς προσηκούσης βοηθείας τυχεῖν, ὡς ἐν τοῖς τοῦ βίου πράγμασι πολλὴν παρεχόμενον τὴν ὠφέλειαν.

Οὐκοῦν ὁμοίως καὶ τοῦτο πρὸς καινισμὸν καθιστῶντες, ὥσπερ ἐκεῖνο τὸ μέρος ὃ περὶ τοῦ [40] εἰσιέναι

CONSTITUTIO CVIII.

De eo, qui ad primam denuntiationem judicio se non sistit (92).

Neque vero hoc, tametsi neglectum hactenus contemptuique habitum sit, incorrectum relinqui fas est, potiusque ut convenienti auxilio potiatur, convenit : utpote quod humanis rebus multam de se utilitatem præbeat.

Nos itaque quemadmodum istractatus, qui litem instituere volentibus formam præscribit, innovatus

VARIÆ LECTIONES.

[28] Ecl. Nov. 54. [29] Malim παραμεληθὲν πως. [31] Inc. Ecloga. [32] Vulgo ἐπανάγων, sed rectius nonnulli Eclogæ Codices ἐπανάγον scil. τὸ ἡμέτερον κράτος. [33] Osenbruggen διορίζει addendum censet. cf. Justiniani Nov. 49 c. 3, et l. 2. C. [34] Ecl. προσάγ. [35] Codd. habent γάρ. [36] Ecl. ἀποφθινόμενον. [37] Codd. προτιθέντα διοριζόμενα. Ecl. προτιθέναι διοριζόμεθα. [38] Ecl. Nov. 55. [39] Steph. conj. καὶ αὐτό. [40] Codd. τῶν. Pluralem tamen servare vult Steph., addito participio βουλομένων vel μελλόντων.

NOTÆ.

(89) Novell. 97. s. eod.
(90) Id est, juret, reducitur Nov. 49, Justin. c. 3.
(91) Nov. Just. 47, cap. 3.
(92) In usum revocatur Nov. Justin. 69, c. 3, Novell. 112, cap. 3, I Harm § 6, in fin.

est, ad consimilem etiam modum hoc innovantes, sancimus, ut qui semel judiciali citatione in jus (93) vocatus, neque ipse paret, neque alium qui pro ipso in judicio se offerat, mittit, iterum judicii denuntiatione impetatur: cui si similiter non obtemperet, neque tertia denuntiatione indignus censeatur: et si quidem, cum tam patienter judicialis clementia ipsum exspectet, ipse nihilominus tertiam citationem contemnens (cum nulla justa causa comparitionem ejus impediat) neque per se, neque per alium judicio sistat: tunc omnino etiam absens condemnetur, et nequaquam deinceps, vel quæstionem movere, vel condemnationem subterfugere ipsi permittatur.

Atque hoc in utrumque ligatorem decernimus, sive quis in jus vocatus comparere negligat: sive quis actione instituta, adversarioque in judicium producto, deinde ipsi molestias protelationesque litis machinans ab intenta actione dolo malo desistat. Etenim hic quoque, ubi ter a judice citatus non apparuerit, absens condemnabitur, iis tamen (quemadmodum dixi) si nulla causa, quæ illum, qui se in judicio non obtulit, verisimiliter purget, ad justam excusationem subsit.

A πρὸς δίκην τύπον ἐκφέρει, θεσπίζομεν [61], τὸν ἅπαξ ὑπὸ δικαστικῆς προσκλήσεως ἐπὶ τὴν κρίσιν κληθέντα, καὶ μήτ' αὐτὸν ὑπακούσαντα μήθ' ἕτερον πρόσωπον ἀντ' αὐτοῦ [62] πρὸς τὴν κρίσιν ἀπαντῆσαι διαποστείλαντα, πάλιν δευτέρας ἀξιοῦσθαι δηλώσεως, ἀπειθήσαντα δὲ καὶ [63] ταύτῃ, μηδὲ τῆς τρίτης ἀνάξιον κρίνεσθαι, καὶ μέχρι τοσούτου τῆς δικαστικῆς ἐπιεικείας αὐτὸν ὑπομενούσης εἴπερ καταφρονῶν ὀφθῇ [64] καὶ τοῦ τρίτου μηνύματος [65], καὶ μηδεμιᾶς εὐλόγου προφάσεως τὴν ἀπάντησιν κωλυούσης οὔτε δι' ἑαυτοῦ οὔτε δι' ἑτέρου προσώπου τῷ δικαστικῷ βήματι παραστῇ, τότε δὴ τότε καὶ μὴ παρόντι τὴν καταδικάζουσαν ψῆφον αὐτῷ [66] λαγχάνειν, καὶ μηκέτι ἐξὸν εἶναι καθ' οἷον δή τινα τρόπον μήτ' ἀμφισβητεῖν μήτε τὴν κατάκρισιν ἀποδύεσθαι.

B Ταύτην δὲ τὴν ψῆφον ὁρίζομεν ἐφ' ἑκατέρου προσώπου, εἴτε τις προσκληθεὶς [67] κατολιγωρήσει τῆς ἀπαντήσεως, εἴτε τις ἔγκλησιν ποιήσει καὶ τῷ βήματι παραστήσει τὸ διαμφισβητοῦν μέρος, εἶτα μετὰ τὴν προβολὴν τοῦ ἐγκλήματος κακομηχάνως ἀποστῇ, ταλαιπωρίαν ἐκ τούτου τῷ ἀντικρινομένῳ περινοῶν καὶ ἀναβολὴν τοῦ πέρατος τοῦ ζητήματος. Καὶ οὗτος γὰρ παρὰ τοῦ δικαστοῦ προσκαλούμενος ἄχρι τρίτου καὶ μὴ πειθαρχῶν κατακεκρίσεται καὶ μὴ παρών, μηδεμιᾶς ἄλλης, ὥσπερ εἶπον, ἀφορμῆς εἰς δικαίαν ὑπούσης παραίτησιν, ἣ δυνήσεται ὑπὲρ τοῦ μὴ ἀπαντήσαντος τὰ εἰκότα διαπολογήσασθαι.

CONSTITUTIO CIX.

Ne intra (94) septimum (95) ætatis annum sponsalia ineantur, neque ante decimum quintum maribus, aut decimum tertium feminis matrimonium consecretur.

Cum suum cuique rei tempus esse sapiens (96) tradat, idque communis omnium, qui modo mentis compotes sunt, sententia tum amplectatur, tum probet: in omni actione tempus observare, longe pulcherrimum fuerit. Quod si fortasse alibi, in contrahendis certe matrimoniis negligi non debet. Oportet enim, ut quo ea res in communi vita magis necessaria est, eo prudentius cautiusque ad illam procedatur.

Quam sane nos ob causam secundum veteres (97-98) qui recte hac de re lege lata statuerunt, sancimus ne quo modo ante septimum ætatis annum sponsalia constituantur, neque matrimonium (99-1), sponsa duodecim, sponso vero quatuordecim annis minore, sacris ceremoniis confirmetur. Atque hoc quidem, quantum ad communem publi-

ΔΙΑΤΑΞΙΣ ΡΘ' [68-80].

C *Περὶ τοῦ μὴ γίνεσθαι μνηστείαν ἔνδοθεν τῶν ἑπτὰ ἐτῶν, εἴτε ἱερολογίαν ἔνδοθεν τοῦ τεσσαρεσκαιδεκαστοῦς [69] χρόνου, καὶ τοῦ τρισκαιδεκάτου ἐπὶ γυναικῶν.*

Τοῦ σοφοῦ παραινοῦντος, *Καιρὸς τῷ παντὶ πράγματι*, καὶ τῆς κοινῆς παρὰ πᾶσιν ὅσοι φρενὸς εὐτυχοῦσιν ὑπολήψεως τοῦτο καὶ τιμώσης καὶ συνομολογούσης, καλῶς ἔχει μάλιστα μὲν ἐν πάσῃ πράξει τηρεῖν τὸν καιρόν, εἰ δ' οὖν ἀλλ' ἔν γε τῇ κατὰ γάμον συναρμοστίᾳ τοῦτον μὴ παρορᾶν· δεῖ γάρ, ὅσον ἐν τοῖς κατὰ τὸν βίον πράγμασιν ἀναγκαιοτέρα ἡ ἐπιχείρησις, τοσοῦτον μετὰ γνώμης ἀσφαλεστέρας ἐπὶ ταύτην χωρεῖν.

Τούτου δὴ ἕνεκεν κατὰ τοὺς πάλαι καλῶς συνειδότας περὶ τούτου καὶ νόμον θεμένους ἡμεῖς [61] θεσπίζομεν, μηδαμῶς συνίστασθαι μνηστείαν ἐπὶ χρόνοις ἐλάττοσι τῶν ἑπτά, μήτε μὴν ἱεροτελεστίαις βεβαιοῦσθαι D τὴν μνηστείαν τοῦ τρισκαιδεκάτου ἔτους ἐνδεούσης τῆς νύμφης, τοῦ δὲ νυμφίου τὸν τεσσαρεσκαιδέκατον μὴ διαμετροῦντος· ἀλλὰ τοῦτο μὲν ἀπηγόρευται

VARIÆ LECTIONES.

[61] Ecl. incipit. [62] Ecl. ἑαυτοῦ. [63] Ita Ecl. Codd. ἀπειθ. δὲ ταύτην. [64] Ecl. ὀφθείη. [65] Ita nonnulli Eclogæ codices. Codices. Recte. Vulgo μένοντος. [66] Nonnulli Eclog codd. παρόντα—αὐτόν. [67] Ita Ecl. Vulgo προκλ. [68-80] Est in Ecl. Nov. 56; exstat apud Harm. lib. IV, tit. 1, pag. 282. [69] Ita ex Ecl. do. Scrimg. δεκαστοῦς. [61] Ecl. incipit.

NOTÆ.

(93) Vid. tit. ff. De in jus vocat.

(94) Et ita reducitur l. 14, ff. De sponsal. August. antea constituerat, ne minor x annis sponsa haberetur. Vid. Dion. Zonar. Exstat vero hæc Novella apud Harmenop. 4, tit. 1, § 11.

(95) Infantia his annis desinit, d. l. 14, l. 1, ff. De administ. tut. l. 3, C. qui admin. l. 18, C. De jure lib.

(96) Eccles. III.

(96-98) D. l. 14, intelligit.

(99-1) Matrimonium feminæ ante 12 annum non contrahunt, masculi ante 14, l. 9. ff. De spons.

A πρὸς τὴν κοινὴν καὶ δημοσίαν τοῦ πολιτεύματος χρῆσιν. Εἰ δὲ βασιλεὺς (οἷα πολλὰ συμβαίνει) πράττων οἰκονομίαν τινὰ καὶ μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις ἔνδον τῶν διορισθέντων ἐτῶν ἐπιψηφίζεται, τοῦτο πρὸς τὸν νόμον οὐδὲν ἀντικείσεται· ἔξεστι γὰρ τοῖς ἐκ Θεοῦ τὴν οἰκονομίαν τῶν κοσμικῶν ἐγκεχειρισμένοις πραγμάτων ὑπέρτερον ἢ κατὰ νόμον οἰκονομεῖν, ὃς ἄγει τοὺς ὑπηκόους.

ΔΙΑΤΑΞΙΣ ΡΙ'[42].

Περὶ τοῦ τὴν γυναῖκα ἀπογραφὴν ποιεῖσθαι τῆς τε οἰκείας προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς ἄλλης ἁπάσης ἀνδρῴας ὑποστάσεως, ἐπειδὰν τὸν γάμον λυθῆναι συμβαίη, καὶ τῇ προσενέξει τῆς ἀπογραφῆς ἐπιζητεῖν εἴ τινα λέγοι παρὰ τοῦ ἰδίου[43] ἀνδρὸς ὑποστῆναι καινο- B *τομίαν εἰς τὰ ἀνήκοντα αὐτῇ, χωρὶς δὲ ἀπογραφῆς εἴτ' οὖν[44] ἐναργοῦς ἀποδείξεως μηδὲν ζητεῖν, μήτε ζητοῦσαν ἀπολαμβάνειν[45].*

Μετὰ τῶν ἄλλων, ὅσα περὶ τοὺς γάμους εὐαγῶς τοῖς ἀρχαίοις προνενόηται, καὶ τούτου δεούσης προνοίας τυχόντος τοῦ μέρους (φημὶ δὴ τοῦ μετὰ τὴν γαμικὴν διάλυσιν μὴ τὴν γυναῖκα ὅπως ἔτυχεν ἀντιποιεῖσθαι τῆς τῶν ἀνδρῴων πραγμάτων λήψεώς τε καὶ κατασχέσεως· ἀλλ' εἰ περὶ τούτων ἀμφισβητοίη, πρότερον δημοσίᾳ τῆς τε οἰκείας προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς ἄλλης ἁπάσης ἀνδρῴας περιουσίας τὴν μετὰ θάνατον τοῦ ἀνδρὸς γεγενημένην ἀπογραφὴν ἐξενεγκεῖν, καὶ εἴ τι ἐν ταύτῃ διαγινώσκοιτο παρὰ τοῦ γαμέτου ἀνηλωμένον, τούτου τὴν ἀναπλήρωσιν ἐκ τῶν ἐκείνου ζητεῖν πραγμάτων), C καὶ τούτου δὴ καθάπερ ἦν θεμιτὸν τοῖς ἀρχαίοις διωρισμένου, νυνὶ δ' ὀλιγωρίᾳ παραδοθέντος, ἐπειδὴ τῆς τῶν ἀρχαίων προνοίας τὸ χρήσιμον συνείδομεν ἄξιον σώζεσθαι, τὸ ἐκείνων ἀνανεούμενοι θέσπισμα ὁρίζομεν, ἀπό γε τοῦ παρόντος ἀπογραφὰς τῆς τε προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς ἄλλης ἁπάσης τοῦ ἀνδρὸς περιουσίας ἐκ παντὸς τρόπου παρὰ ταῖς γυναιξὶ σπουδάζεσθαι· ὡς, ἐάν ποτε γυνὴ πρὸς τοιαύτην φιλονεικίας ὑπόθεσιν καταστῇ καὶ πρὸς τὴν ἀνδρῴαν χωρεῖν ὕπαρξιν ἀντὶ τῶν καταστάντων εἰς μείωσιν οἰκείων ἀξιοῖ, ἐξ ἐκείνης τῆς ἀπογραφῆς ἤτοι ἀποδείξεως τὸ δίκαιον τῶν λόγων γνωρίζεσθαι κατὰ τρόπον ἀντιποιουμένης τῶν τοῦ συζύγου πραγμάτων, εἴ γε παρ' ἐκείνου φαίνοιτο τῶν ἐν τῇ ἀπογραφῇ κειμένων ἀνάλωσις γεγενημένη. D Ἄνευ δὲ τῆς ἐκεῖθεν μαρτυρίας, μήτε τὴν ζήτησιν χώραν εὑρίσκειν, μήτε ζητούσης φιλονείκως ἢ ἀκροάσεως τυγχάνειν ἤ τι τῶν ἐπιζητουμένων λαμβάνειν·

A cunique reipublicæ usum attinet, ita vetitum sit. Verum si imperator (2) (ut sæpe accidit) novam familiam conficiens, et sponsalia, et consecratione peragendam conjunctionem intra præstituros annos desponsandis decreto permittat, id nihil legi adversabitur. Licitum enim est, ut quibus Deus universi terrarum orbis, tanquam familiæ cujuspiam administrationem demandavit, hi secus quam lex quæ subditos devincit, præscribat, familias cogant.

CONSTITUTIO CX.

Ut (3-4) mulier soluto matrimonio dotem suam propterque nuptias donationem, et reliquam omnem mariti substantiam in commentarium (5) conscribat (6) ac eo prolato resarciri sibi postulet, si quid damni in rebus suis a marito se passam dicat, B *citra commentarium autem evidentemve probationem nihil petat, aut petendo accipiat.*

Cum præter alia, quæ sancte a veteribus (7) de matrimonii rebus tractata sunt, huic quoque tractatui satis prospectum sit: ut nempe mulier soluto matrimonio non quoquo modo res maritales percipiendas et detinendas vindicet; sed si de illis controversia moveatur, confectum post mortem mariti de dote sua et donatione propter nuptias, reliquisque maritalibus facultatibus commentarium publice prius exhibeat: et si quid ex dote a marito consumptum esse appareat, id ex ipsius bonis repetat, cum hoc, inquam, quomodo C jus atque æquitas postulat, a veteribus constitutum sit, ac vero nunc ejus nulla ratio habeatur: quoniam veterum prudentiæ utilitatem conservandam ducimus, illorum sanctionem renovantes statuimus ut dehinc omnibus modis de dote, propterque nuptias donatione, et aliis quibuscunque maritalibus rebus a mulieribus commentarius conficiatur: quo si quando, ad istiusmodi controversiæ speciem adigantur, et ad res maritales, pro eo quantum ipsarum res deteriores redditæ sunt, procedere velint: ex eo commentario aut probatione petitionis æquitas cognoscatur, utrum recte res maritorum vindicent, quando commentario comprehensa ab illis insumpta esse constabit. Citra commentarii autem testimonium, neque D petitio locum inveniat, neque illa contentiose petentes aut audiantur, aut quidquam eorum quæ petunt consequantur. Porro commentarii conficiendi tempus statuimus: ut intra tres (8) men-

VARIÆ LECTIONES.

[42] Exstat in codd. Synopseos Bieneriano, Paris. gr. 1351 et 1357 A, et Vat. 852. [43] Verbum ἰδίου in cod. syn. Paris. 1351 deest. [44] Sic cod. Paris. 1351. Scrimg. εἶτα οὖν. [45] Ita Paris. 1351. Vulgo λαμβ.

NOTÆ.

(2) Vid. Nov. Isaaci Angeli c. 2, inf.

(3-4) Exstat apud Harmenopulum lib. 1, tit. 13, § 37.

(5) Ἀπογραφήν, nota de inventario rerum dotalium.

(6) Intra tres menses, ut infra eod.

(7) Jurisconsultis et imperatoribus adde Photium 9, Nomocan. 28, 29 et seq.

(8) Idem temporis spatium inventario bonorum defuncti faciendo præstituit lex ult. § 2, C. De jure delib. et inventario bonorum pupilli, 5 Harmenop. 11, c. περὶ κεκωλυμένων ἐπιτροπεύειν, quod Accursius non probat in l. 24, C. De administ. tut,



ses fiat : et cujusmodi multa veteribus in tutores constituta est, talis etiam hic procedat.

A τὸν δὲ χρόνον τῆς ἀπογραφῆς ὁρίζομεν εἴσω τριῶν μηνῶν γίνεσθαι, καὶ τὰ ἐπιτίμια προβαίνειν, οἷα δὴ καὶ περὶ τῶν ἐπιτρόπων τοῖς παλαιοῖς νενομοθέτηται[46],

CONSTITUTIO CXI.

Ut si uxor (9) mente capiatur idque neque dolo mariti, neque ipso conscio, aliorum maleficio fiat, et ultra tres (10) annos id malum duret : matrimonium dirimatur, alteramque uxorem ducere marito liceat (11).

Idem imperator eidem Styliano.

Nihil adeo ad conservandum genus humanum esse necessarium, atque quod (12) e costa viro attributum est subsidium, cum artifex ille qui istud condidit, docet, tum ipsa natura divino documento attestatur. Quod cum ita sit, par atque conveniens erat, legis providentiam, et si qua aliunde cura mortalium rebus succurrit, istiusmodi de re illa commentari et statuere, quæ per omnem vitam illis qui conjugii nexu uniti sunt, auxilio gaudioque sint : quæ initio propositum conjugii finem confirment, non vero contra affligant, et miseriam perpetuumque mœrorem afferant. Si ergo conjugium tale esse oporteat (quemadmodum certe oportet) non sane suscipienda mihi illa lex (13) videtur, quæ si post initum matrimonium furore uxor corripiatur, maritum illam perpetuo retinere, et furoris incommodum semper ferre cogit. Ubi enim approbetur, ubi rationi consentaneum, aut matrimonialis convictus sollicitudine dignum videatur, ut per totam vitam maritus insanienti uxori alligetur, ejusque fœditatibus conficiatur ? Si enim nullus adeo truculentus est, ut vel momento quemquam cum feris in eumdem locum includere sustineat : quomodo legis benignitate prædita illa lex est (14) quæ perpetuo efferatæ furore conjugi cohabitare maritum jubet ? Sed per conjugium, inquiunt, in unum (15-16) corpus coierunt, oporteique membrum alterum alterius morbos perpeti : et divinum præceptum (17) est, quos Deus junxerit, ne separentur. Præclara

ΔΙΑΤΑΞΙΣ ΡΙΑ'[47].

Περὶ τοῦ γυναικὸς εἰς μανίαν περιπεσούσης μὴ κατ' ἐπιβουλὴν τοῦ οἰκείου ἀνδρὸς, μήτε μὴν συνειδότος αὐτοῦ τὴν κακουργίαν, εἰ παρ' ἄλλων τινῶν ἡ μανία κεκακούργηται, μέχρι τρίτου ἔτους διαμένειν τὸν γάμον ἄλυτον, καὶ εἰ ἔτι τὰ τῆς μανίας λυπεῖ, τέμνεσθαι τὴν συνάφειαν καὶ μνηστεύεσθαι τὸν ἄνδρα σὺν ἀδείᾳ[48] ἣν ἂν ἕληται.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ὡς μὲν οὐδὲν οὕτω πρὸς βίον ἀνθρώπῳ[49] καθέστηκεν ἀναγκαῖον, ὡς ἡ παρὰ τῆς πλευρᾶς κεχαρισμένη ἀνδρὶ βοήθεια, καὶ ὁ ἐξ ἀρχῆς ὑποστησάμενος
B τὴν πλάσιν τεχνίτης ἐδίδαξε, καὶ ἡ φύσις αὐτὴ τῷ θείῳ διδάγματι προσμαρτυρεῖ. Τούτου δ' οὕτως ἀναγκαίου τυγχάνοντος, ἔπρεπε καὶ τὴν τοῦ νόμου πρόνοιαν, καὶ εἴ τις ἑτέρωθεν φροντὶς συνεπιλαμβάνεται, τὰ τοιαῦτα περὶ τοῦ πράγματος καὶ πεφροντικέναι καὶ διορίζεσθαι, οἷα τῇ πάσῃ ζωῇ τῶν διὰ τῆς συζυγίας ἡνωμένων[50] εἰς βοήθειαν ὑπάρξει καὶ ἀγαλλίασιν καὶ τὸν ἀπ' ἀρχῆς σκοπὸν βεβαιώσει τῆς νυμφεύσεως, ἀλλὰ μὴ τοὐναντίον εἰς κατατριβὴν καὶ ταλαιπωρίαν καὶ διὰ βίου μὴ ἀνιεῖσαν κατήφειαν. Εἰ οὖν τοιαύτην δεῖ γενέσθαι τὴν συζυγίαν, ὥσπερ καὶ δεῖ, οὐ δοκεῖ μοι χώραν ἔχειν ἀποδοχῆς ἐκεῖνος ὁ νόμος, ὃς μετὰ τὴν μνηστείαν εἰς μανίαν τῆς μεμνηστευμένης περιπεσούσης, βιάζεται τὸν γαμέτην διὰ παντὸς τοιούτῳ συνεζεῦχθαι κακῷ, καὶ τῇ συμ-
C φορᾷ τῆς μανίας ἀεὶ περιστοιχίζεσθαι. Ποῦ γὰρ ἀποδοχὴ[51], ποῦ δ' εὔλογον ἢ τῶν περὶ συμβιώσεως ἄξιον φροντίδων, τὸ προσδεδέσθαι διὰ βίου τὸν ἄνδρα μανείσῃ τῇ γυναικὶ καὶ τοῖς ἐκεῖθεν ἀνιαροῖς κατατρύχεσθαι; Εἰ γὰρ οὐδεὶς οὕτως ἀφιλάνθρωπος, ὃς κἂν ἐπὶ βραχὺ θηρίῳ συγκαθειργνύειν ἄνθρωπον ἀξιοῖ, πῶς ἔχει νόμου φιλανθρωπίαν ὁ προστάσσων νόμος δι' αἰῶνος ὑπὸ τῆς μανίας τεθηριωμένῃ τῇ ἀνθρώπῳ συνοικεῖν τὸν μνηστευσάμενον; Ἀλλὰ, φασὶν, ὡς διὰ τῆς συναφείας ἓν γεγόνασι μέλος, καὶ ἀνάγκη τὴν τοῦ μέλους ὑφίστασθαι νόσον, καὶ ὡς θεῖον βούλεται κέλευσμα, μὴ χωρίζεσθαι τοὺς ὑπὸ Θεοῦ συζευχθέν-

VARIÆ LECTIONES.

[46] Codices Synopseos subjiciunt hæc : Ἡ ἀγωγὴ τῆς ἐχούσης προῖκα μετὰ θάνατον τοῦ ἀνδρὸς, εἰ χρεεσιν ὑπόκειται, ἔχει προνόμιον ποιεῖν ἀπογραφὴν, εἰ μὲν ἔστιν ἔσωθεν τῆς πόλεως, μέχρι τριῶν μηνῶν, καὶ παραγράφεται τοὺς δανειστὰς λαμβάνουσα τὴν ἰδίαν προῖκα καὶ τὰ βοηθοῦντα αὐτῇ· εἰ δὲ ἔξωθεν τῆς πόλεως ἐπὶ θέματος, ἔχει ἐξουσίαν ποιεῖν ἴμβεντον μέχρι μηνῶν δώδεκα. Εἰ δὲ ἴμβεντον οὐ ποιήσει ἐμπροθέσμως, βοηθοῦνται οἱ δανεισταί. [47] Laudatur a Bals. ad Phot. XIII, 30, XIV. [48] Zuich. et Meerm. συναδεῖσθαι. [49] Scrimg. ἀνθρώπων. [50] Zuich. et Meerm. ἑνουμένων. [51] Steph. conj. ἀποδοχῆς ἄξιον.

NOTÆ.

(9) De viro, Nov. infra eod.

(10) Novella Nicephori Botoniatæ c. 1, idem confirmat, et Photius 13 Nomocanon. 30, quo loco Balsamon hujusce Nov. mentionem facit, ut et Harm. 4, tit. 1, c. περὶ μανίας.

(11) Et ita abrogatur lex 16, in fin. ff. De ritu, quæ generaliter vetabat matrimonium ob furorem dissolvi, reducta distinctione legis 22, § 7, ff. soluto; sed tamen Photius dicto hoc loco negat hanc Novellam Leonis usitatam, stari potius juri civili et Novellæ Justiniani 22, c. 15, Nov. 17, c. 8, 9, quæ inter causas divortii hanc non enumeral.

(12) Gen. II, 22.

(13) D. l. 16, in fin. l. 8, De his qui sunt, v. l. 4, ff. De divort.

(14) Hinc satis perspicuum est, non intelligi hoc loco d. § 7.

(15-16) Ἓν μέλος, sic alibi σάρκα μίαν. Matth. XIX, vers. 5.

(17) Matth. XIX, v. 6.

τας. Καλὰ μὲν ταῦτα, ἃ θεῖα παρὰ[52] Θεοῦ εἴρηται, οὐ καλῶς δ' αὐτὰ οὐδὲ κατὰ τὸν θεῖον σκοπὸν οἱ προτεινόμενοι ἐνταῦθα τὴν τούτων ποιοῦνται πρότασιν. Εἰ μὲν γὰρ ἡ μνηστεία τοιαύτην σώζει τὴν κατάστασιν ὁποίαν ἐξ ἀρχῆς ἡ νυμφοστόλος παρέσχεν, ἄδικος ὁ χωρίζων, καὶ τὴν μέμψιν οὐ φεύξεται· εἰ δ' ὑπὸ τῆς μανίας οὐδὲ φθογγῆς ἔστιν ἀνθρωπίνης ἀκούειν τῆς ἀνθρώπου, μὴ ὅτι γε ἄλλου τινὸς τυχεῖν τῶν ὅσα μνηστεία πρὸς ἱλαρίαν χαρίζεται, τίς οὐκ ἐθελήσει διαλύειν τὴν οὕτω πικρὰν καὶ φευκτὴν συζυγίαν;

Διὰ τοῦτο θεσπίζομεν, ὡς, εἴ ποτε μετὰ τὴν κοινωνίαν τοῦ γάμου πρὸς μανίαν ἡ γυνὴ περιπέσοι, μέχρι τρίτου ἔτους φέρειν τὴν δυστυχίαν τὸν ἄνδρα καὶ τῆς κατηφείας ἀπολαύειν, καὶ εἴ γε μὴ ἐν χρόνῳ τοσούτῳ λύσις εἴη τοῦ κακοῦ, μηδὲ πρὸς τὰς οἰκείας ἐπανέλθοι φρένας ἡ τὴν μανίαν νοσοῦσα, τηνικαῦτα διασπᾶσθαι τὴν κοινωνίαν καὶ τῆς ἀνυποίστου συμφορᾶς ἐλευθεροῦσθαι τὸν ἄνδρα. Τοσοῦτον προσδιοριζομένου τοῦ θεσπίσματος, ὥστε δι' ἐρεύνης τὴν μανίαν καὶ ἐξετάσεως γίνεσθαι, μήποτε κατ' ἐπιβουλὴν ὤφθη συστᾶσα ἢ αὐτοῦ γε τοῦ ἀνδρὸς ἢ τῶν ἐκείνῳ κατ' οἰκειότητα συναπτομένων ἢ τινων ἑτέρων· ὡς εἴ γε[53] τοιοῦτόν τι φωραθείη, εἰ ἐκ κακουργίας τοῦ ἀνδρὸς, τοῦτον ὁρίζομεν τιμωρίαν τῆς ἰδίας ὑποσχεῖν κακίας τὸν εἰς τὸν μονήρη βίον μετασχηματισμὸν, καὶ ἄκοντος αὐτοῦ μοναστηρίῳ περιοριζομένου καὶ τῇ ἐκ τῶν ἱερῶν κανόνων ὑποβαλλομένου τῆς ψυχῆς θεραπείᾳ· εἰ δ' ἐκ τῶν συγγενῶν ἦλθεν ἡ βλάβη ἢ ἑτέρωθέν ποθεν καὶ αὐτοῦ συνειδότος τοῦ ἀνδρὸς[54], τοὺς μὲν αὐτουργοὺς τῆς πονηρίας ταῖς ἐκ τῶν νόμων ὑπάγεσθαι κελεύομεν τιμωρίαις, τιμωρεῖσθαι δὲ καὶ τὸν ἄνδρα τῇ τῶν οἰκείων ἀφαιρέσει πραγμάτων, ἃ δεήσει πρὸς παραμύθιον ζωῆς τῆς ἐπιβεβουλευμένης ἀφωρίσθαι, διαμένειν δὲ αὐτὸν[55] καὶ διὰ βίου ἑτέρου γάμου ἀκοινώνητον· εἰ δὲ καὶ τολμήσει πρὸς κοινωνίαν καταστῆναι, καὶ ἄκοντα πρὸς τὸν μονάδα μετασχηματίζεσθαι βίον. Τῶν μέντοιγε τὴν κακουργίαν πεποιημένων ἀμέτοχος καθάπαξ ὑπάρχων, καὶ μηδὲν πρὸς τὴν τῆς γυναικὸς ἐπιβουλὴν ἢ αὐτουργήσας ἢ ἄλλοις πονηρευομένοις συνδιεγνωκὼς, κρείττων ἔσται καὶ τιμωρίας καὶ ζημίας[56], καὶ μετὰ παραδρομὴν τοῦ τρίτου ἔτους λυθείσης τῆς συζυγίας, ἀκωλύτως πρὸς γάμον ἄλλον συναπτέσθω. Λήψεται δὲ τὸ τῶν τριῶν ἐτῶν τοιαύτην τινὰ τῷ παραμένοντι ἀνδρὶ τὴν κατάστασιν. Τὸ μὲν οὖν ἓν ἔτος[57] συνδιαιτῶν καὶ συνοικῶν καὶ συνδιαταλαιπωρούμενος καὶ τὴν ὀφειλομένην ἴασιν πρὸς ἴασιν τοῦ οἰκείου πάσῃ

A quidem hæc et divina, utpote quæ a Deo pronuntiata sint: verum non recte, neque secundum divinum propositum hic in medium afferuntur. Si enim matrimonium talem statum conservaret, qualem ejus in principio pronuba exhibuisset, quisquis separaret, improbus profecto esset, neque reprehensionem effugeret; jam vero cum præ furore ne vocem quidem humanam a muliere audias, nedum aliud quidquam eorum, quæ ad oblectamentum et hilaritatem matrimonium largitur, ab illa obtineas, quis adeo acerbum horrendumque matrimonium dirimere nolit?

Ea propter sancimus, ut, si quando post initum matrimonium mulier in furorem incidat, ad tres annos infortunium maritus ferat, mœstitiamque B toleret: et nisi interea temporis ab isto malo illa liberetur, neque ad mentem redeat, tunc matrimonium divellatur, maritusque ab intolerabili illa calamitate exoneretur. Cui sanctioni hoc adjicimus ut furoris causa investigetur, in eamque inquiratur, num forte mariti, aut ipso conscio familiarium ejus aliorumve quorumlibet technis atque dolo sit conflatus. Quod si sic esse deprehendatur, et quidem maritus (18-21) maleficii arguatur: ut hic in monachum transformatus, nolensque volens monasterio inclusus, nequitiæ suæ pœnas luat, manantique ex sacris canonibus animæ curationi subjectus sit, decernimus. At si a cognatis ipsius, aut aliunde ipso conscio noxa orta sit, maleficos C pœnis legalibus subjici jubemus, maritumque ipsum rei familiaris administratione privari, ut insidiarum quas alienæ vitæ struxit, det pœnas, ita ut per reliquam vitam connubio se abstineat, et ubi contraire ausus fuerit, ad cœlibem vitam vel invitus redigatur. Sin autem sceleris commissi particeps non est, si uxoris vitæ nihil insidiatus est, neque iis qui ei insidias pararunt, conscius est, pœnam patietur nullam, imo post tertium inde a soluto matrimonio annum novo se matrimonio jungere impune poterit. Trium proinde illorum annorum hæc erit ratio. Primo quidem anno vivet et habitabit cum conjuge misera, ita quidem ut nihil intentatum relinquat quod ad ipsius sanationem conferre possit. Biennio sequenti, si morbus medicorum D arti resistit, conjugem poterit deserere, cœlibem vitam acturus. Ubi autem tertio quoque anno morbus non cessarit, ad secundas pergere nuptias poterit. Et hæc quidem de divortio alterisque nuptiis. Quod si mulier furiosa parentes habeat consobrinosve, ad hosce perducetur utpote ejus tutores

VARIÆ LECTIONES.

[52] Zuich. Meerm. καὶ παρά. Haud inepte [53] Agyl. εἰ μέν vult legi. [54] Apud Scrimg. sequentia desunt. Supplentur ex Zuich. et Meerm., qui ea perperam Spangenbergio teste intercalant Novellæ sequenti. [55] Codd. δυνατόν. [56] Codd τιμωρίαν καὶ ζημίαν. [57] Forte ἔσται.

NOTÆ.

(18-21) Adde Nov. 22, c. 15, § 1, 3, l. ff. ad l. Corn. De Sicariis.

a natura ipsa constitutos quibus istius cura rerumque tali modo neglectarum administratio incumbit. Ubi autem parentum aut cognatorum nullum ei erit refugium, episcopus regionis humanissimus miseram in monasterio aliquo collocabit, cujus abbatissa, re cognita, curam aget omnium quæ illius salutem remque familiarem spectant, donec aut furoris aut vitæ finis appropinquarit. Liberi, si qui superstites sunt, cum patre convivent, in matris emortuæ bona secundum leges successuri.

A σπουδῇ καὶ δυνάμει συνάγων μέλους· τὰ δύο δὲ, εἴ γε θεραπείας κρείττων εἴη ἡ νόσος, χωρισθήσεται μὲν τῆς συνταλαιπωρίας, διακαρτερήσει δὲ, καθάπερ εἴρηται, ἄζυγος καὶ ἀμνήστευτος [58]· καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρίτου τῆς μανίας οὐ ληγούσης πρὸς κοινωνίαν ἑτέρου καταστήσεται γάμου. Ἀλλὰ ταῦτα μὲν περὶ τῆς διαζεύξεως καὶ τῆς τοῦ ἀνδρὸς πρὸς ἄλλην γαμετὴν συναρμόσεως. Τῇ δὲ πρὸς τὸ διαζύγιον ὑπὸ τῆς μανίας καταστάσῃ εἰ μέν τινες εἶεν συγγενεῖς ἢ γονεῖς, πρὸς αὐτοὺς ἐπιτρέπεται ἡ ἄφιξις, ὡς ἐκείνων δικαίων ὑπαρχόντων παντὸς ἄλλου περὶ τῆς ζωῆς αὐτῆς ἀναδέξασθαι μέριμναν, δηλονότι καὶ τῶν κατὰ νόμον εἰς τὴν αὐτῆς ἐξουσίαν ὁρώντων πραγμάτων ἐκεῖ συναπερχομένων· εἰ δὲ τῆς κατὰ συγγένειαν προνοίας ἐρημία παρῆν, θεσπίζομεν τὸν κατὰ χώραν θεοφιλέστατον ἐπίσκοπον εἴς τι σεμνεῖον παραδοῦναι ταύτην, οὗ προηγουμένη ἀρίστη τὰ πάντα γνωρίζεται, καὶ ταύτῃ [59] τὴν διοίκησιν αὐτῆς ἀναθεῖναι· καὶ τὴν τῆς ὑπάρξεως οἰκονομίαν τε καὶ ἐγχείρησιν καὶ τὴν ὀφειλομένην πρόνοιαν ὑπὸ τῆς τοιαύτης προηγουμένης γίνεσθαι τοῦ τε βίου καὶ τῶν πραγμάτων τῆς ἀνατεθειμένης, μέχρις ἂν ἡ τῆς μανίας ἢ τοῦ βίου πρὸς ἀπαλλαγὴν κάταστῇ. Παρόντων δὲ καὶ παίδων σὺν τῷ πατρὶ τούτοις ἔσται μὲν ἡ βίωσις καὶ ἡ διαγωγή· ἀποφθαρείσης δὲ τῆς μητρὸς τὸν ἐκ τοῦ νόμου κλῆρον τῆς ὑπάρξεως αὐτῆς ὑπελεύσονται.

CONSTITUTIO CXII.

Ut si maritus (22) per matrimonii tempus in furorem incidat, intra quinquennium (23) matrimonium solvi nequeat: eo autem elapso, si furor eum adhuc occupet, solvi possit.

Veterum (24) jurisconsultorum sententiam, qua furorem matrimonium impedire, jam initum autem non infirmare constituitur, neque convellere, neque reprehendere est animus: illosque ipsos ad judicium suum, quo ad id decernendum commoti sunt, expendendum remitto: ut tamen illam aut approbem aut confirmem quod id mihi approbatione indignum videatur induci nequeo. Nam cum matrimonium, si furor præveniat, impediatur: at si vero inito jam matrimonio furor superveniat, illud nihil lædi dicatur, quomodo hinc ad comprobandum illectemur? Si enim hoc in matrimonio spectatur, ut cum utriusque conjugis commodo contrahatur: quomodo, qui ne id ab initio tanquam inutile consistat, suadet, si postquam initum erit, eadem calamitas exsistat, non idem ejus compagem tanquam inutilem dissuadebit? An operam dari oportet, ne quis omnino in mali cujusquam periculum incidat: qui vero jam inciderit, hic sine omni ope relinquendus, ipsiusque calamitatum non miserescendum est?

B

ΔΙΑΤΑΞΙΣ ΡΙΒ'.

Περὶ τοῦ εἰ μετὰ τὴν γαμήλιον κοινωνίαν εἰς μανίαν ὁ μνηστὴρ περιπέσοι, ἐφ' ὅλοις ἔτεσι πέντε διατελεῖν τὸν γάμον ἄλυτον, τούτων δὲ παρελασάντων καὶ τῆς μανίας τῆς ἐπισχέσεως ἔτι προσμενούσης τὴν ὁμοζυγίαν [60] ἀφαρμόζεσθαι.

Τῶν μὲν πάλαι νομοθετησάντων τὴν γνώμην, ὑφ' ἧς ὁ τῆς μανίας καιρὸς διορίζεται ὃς αὐταῖς [61] δοκεῖ ταῖς μνηστείαις ἐναντιοῦσθαι [62], καὶ μὴ διασύρειν καὶ μέμψει καθυποβάλλειν οὐκ ἔχω (ἀφίημι γὰρ αὐτοὺς ἐκείνους τοὺς ταῦτα νενομοθετηκότας τὴν οἰκείαν εἰδέναι κρίσιν, μεθ' ἧς ἐπὶ τὸ δόγμα κατέστησαν), πρὸς δὲ τὸ συναιρεῖν καὶ κατατίθεσθαι ὅ τι μὴ συγκαταθέσεως ἐμοὶ ἄξιον ἂν ἀπέφηνεν [63] ὁ νόμος, οὐ προάγομαι. Τὸ γὰρ κωλύειν μὲν διὰ [64] προλαβοῦσαν C ἤδη μανίαν τὸν γάμον, φάσκειν δὲ μηδὲν αὐτὸν ἀδικεῖσθαι μεταγενεστέρας τοῦ γάμου τῆς μανίας ἀποφανθείσης, πῶς οὐκ αὐτόθεν [65] ἡμᾶς πρὸς τὴν συγκατάθεσιν ἀναπείθει; Εἰ γὰρ ὁ γάμος ἐπὶ κοινῇ τῶν συναπτομένων ὠφελείᾳ συνίστασθαι βούλεται, πῶς ὁ τὴν ἀρχὴν ὡς ἀσύμφορον ἀποτρέπων συστῆναι, τοῦ αὐτοῦ ἐναντιώματος μετὰ τὴν συνάφειαν ἀνακύψαντος οὐκ ἀποτρέψει τὴν σύστασιν ὡς μὴ συμφέρουσαν; ἢ βοηθεῖν μὲν χρὴ, ὅπως μὴ τὴν ἀρχὴν ὀφθείη τις εἰς κακοῦ πεῖραν καταστὰς, περιπεσόντα δὲ τῷ κακῷ καταλιμπάνειν ἀβοήθητον

VARIÆ LECTIONES.

[58] Codd. ἀμνημόνευτος. [59] Codd. ταύτην. [60] Ita Zuich. et Meerm. Scring. ἁρμοζυγίαν. [61] Melius αὐτοῖς, et Agyl. vertit quasi ita scriptum sit. [62] Hæc omnino corrupta sunt. Forte ἐναντιοῦσθαι καὶ μόνον, διασύρειν. [63] Vulgo: ὅτι συγκαταθ. ἐμοὶ ἄξιος ἀναπέφηνεν. Quæ et sensu carebant. [64] Apud Scring. διά deest. [65] Agyl. πῶς αὐτὸ ἡμᾶς legendum censet.

NOTÆ.

(22) De mulieris furore dictum est Nov. 111, supra cod. Ex his apparet ob triennalem furorem uxoris, matrimonium dissolvi posse: ut ob quinquennalem mariti.

(23) IV, Harm. 2, Nov. Nicephori Phocæ; sed Photius 3 Nom. 30, negat hanc Novellam Leonis observari, cum furor inter justas divortii causas non numeretur in Novella Justin. 22, c. 15, 8, 9.

(24) Vid. l. 8, in fin. ff. De his qui sunt sui, l. 16 in fin. ff. De ritu.

καὶ μὴ τῆς ταλαιπωρίας οἰκτείρειν αὐτόν; ὥσπερ εἴ A τις καὶ πρὸ μὲν τοῦ νόσῳ ληφθῆναί τινα δεῖν οἴεται προσάγειν την ἐπιμέλειαν, κατασχεθέντα δὲ θνήσκειν ἐᾷν, ἀπαγορεύσας τὴν θεραπείαν. Ἀλλὰ γὰρ, ὅπερ εἶπον, ἐπιμέμφεσθαι μὲν τοῖς νομοθέταις οὐκ ἔχω, σύμψηφος δὲ τούτοις εἶναι πολλοῦ γε καὶ δέω, καὶ μάλιστα πολλῶν ἑτέρων τρόπων πρὸς μνηστείας λύσιν διατεταγμένων, ὧν οὐδεὶς πρὸς τὸ χαλεπὸν τῆς μανίας εἰς σύγκρισιν ἱκανὸς [66] παρελθεῖν. Τὸ γὰρ διὰ τὴν τοῦ μνηστῆρος ἀσωτείαν, ἢ διὰ τὸ κατὰ τὴν πίστιν διάφορον, ἢ διὰ τὸ πρὸς ὁμιλίαν τὴν φυσικὴν ἄπορον καὶ ἀνεπιτήδειον, καὶ εἴ τι ἕτερον τούτοις συναριθμεῖται κεκτημένον ἰσχὺν πρὸς γάμου διάζευξιν, οἷον εἰ [67] δουλικῆς ἀναφαίνοιτο τύχης ὁ μνηστευόμενος, εἰ τῶν ὑπεσχημένων ἐν τοῖς γαμικοῖς συμφώνοις ἐξ ἀπορίας μὴ πρόεισιν ἡ τελείωσις, B ταῦτα οὖν καὶ τὰ παραπλήσια, ἃ [68] διανενόμισται τὴν γαμικὴν κοινωνίαν διαλύειν, ποῦ πρὸς τὴν συμφορὰν τῆς μανίας ὅλως τὴν σύγκρισιν ἀναδέχεται;

Τοιγαροῦν θεσπίζομεν ἡμεῖς περὶ τῆς μετὰ τὸν γάμον ἐπελθούσης μανίας, ὥστε ἐφ' ὅλοις ἔτεσι πέντε τοὺς συναπτομένους μὴ διαζεύγνυσθαι· καὶ γὰρ ὥσπερ τὸ μὴ διὰ βίου θεραπευομένης τῆς μανίας ἄλυτον εἶναι τὸν γάμον βίαιον ὤφθη, οὕτω καὶ ἡ ἐν τοσούτῳ χρόνῳ ἀναμονὴ καὶ προσκαρτέρησις ἀναγκαία ἐστίν· εἰ δὲ μετὰ τὴν τοῦ τοσούτου χρόνου περίοδον μὴ γένηταί τις ἀπαλλαγὴ τῆς δυστυχίας, μηδὲ πρὸς ἀνασωφρόνησιν ὁ μεμηνὼς καταστaίη, τηνικαῦτα διατέμνεσθαι τὴν γαμήλιον κοινωνίαν, C μηδεμιᾶς μηδ' ἑτέρῳ μέρει προσγινομένης καινοτομίας. Καὶ ταῦτα μὲν διορίζομεν οὐ πρὸς διαβολὴν τῶν πρὸ ἡμῶν νομοθετησάντων, ἀλλ' εἰς ἀποπλήρωσιν τῆς περὶ τὸ ὑπήκοον ὀφειλομένης ἡμῖν προνοίας. Ἡ δέ γε κατ' αὐτὴν ἐπιγνωσθεῖσα τὴν τοῦ γάμου ἡμέραν μανία οὐδὲν ὑπεναντιούμενον ἔχει πρὸς τὴν αὐτίκα διάλυσιν, εἰ καὶ προῆλθεν [69] ἡ νενομισμένη αὐτοῖς ἱερολογία, ἀλλ' ὁμοίως τῇ πρὸ τῆς μνηστείας ἐγνωσμένῃ πρὸς τὸ ἀκοινώνητον καταστήσεται καὶ ἀνάρμοστον. Ἴσως μὲν οὖν τισι δόξει τὸ μετὰ τὴν ἱερολογίαν διαζεύγνυσθαι κρίσεως ὀρθῆς ἀπολείπεσθαι, ὡς δέον, ἐπεὶ διὰ τῆς συναρμοστικῆς τελετῆς ἓν σῶμα γεγόνασι, μὴ διατέμνειν αὐτοὺς, ἀλλ' ἡνωμένους ἐᾷν, καὶ μάλιστά γε κυριωτέρου μέλους καὶ κεφαλῆς ὑπάρχοντος τοῦ ἀνδρός. Οὐδὲ γὰρ D ἐν σώματι τὰ τῶν μελῶν κυριώτερα ὑπό τινος κατεσχημένα πάθους ἐκκόπτεται. Ἀλλ' οὗτος ὁ λόγος δοκῶν ὑπὲρ τῆς ἑνώσεως ἵστασθαι, ἀγνοεῖν ἔοικε τῆς ἱερολογίας τὸ βούλημα. Ἡ μὲν γὰρ, τὰ κάλλιστα

Quod perinde (25) sit, atque si quis, priusquam morbo quispiam corripiatur, adhibendum remedium existimet, at jam correptum negato remedio mori sinat. Verumtamen id, quod dixi, reprehendere jurisconsultos non est animus : ut tamen ipsis adstipuler, permultum abest. Præsertim vero cum multi alii modi ad solvendum matrimonium constituti sint, quorum nullus (26) cum furoris malo conferri recte possit. Quomodo (27) namque mariti prodigalitas, aut religionis (28) diversitas, aut in naturali consuetudine impotentia et imbecillitas, aut si quid aliud his connumeratur, quod ad dissolvendum matrimonium valeat (cujusmodi est, si servilis conditionis conjugem esse appareat, et si quæ (29) in pactionibus nuptialibus promissa sunt, propter paupertatem plene præstari nequeant), hæc, inquam, et similia, quibus matrimonia dissolvere lege tributum est, quomodo tandem cum furoris calamitate comparari possunt?

Nos itaque sancimus, ut si furor post initum matrimonium superveniat, ne intra quinque annos conjuges disjungantur. Etiam quemadmodum quando per omnem vitam furor duraret, nec tamen matrimonium dirimi posset, id durum et acerbum esse visum est : ita tantopere exspectare et perseverare necesse est. At si postquam tantum temporis decurrerit, malum se non remiserit, neque furiosus resipuerit : cum neutrius commodo aut incommodo conjugium dirimatur. Atque hæc quidem statuimus, non quo superioribus legislatoribus obtrectemus : sed ut quam subditis curam debemus, adimpleamus. Jam vero si furor ipse nuptiarum die animadvertatur, quominus confestim matrimonium, tametsi sacro ritu confirmatum sit, dissolvatur, nihil obstiterit : perindeque ac si ante nuptias furor animadversus esset, matrimonium in irritum recidet, atque distrahetur. Sed quod post consecrationem disjungendos esse conjuges dicitur, fortasse id nonnullis recto judicio destitui videbitur : quasi, posteaquam sacrificio juncti in unum corpus coierunt, non dirimi illos, sed unitos sint oporteat. Et præsertim quidem cum præstantius membrum, adeoque caput (30-31) maritus sit; neque præcipua corporis membra, si morbo aliquo occupentur, amputari soleant. Atqui hæc ratio, dum a conjunctione stare, atque illam defendere se putat, quid sibi benedictio velit ignorare videtur. Hæc enim præstantissima quæque connubio

VARIÆ LECTIONES.

[66] Zuich. et Meerm. ἱκανῶς. [67] Iidem illi εἰ omittunt. [68] Iidem ἃ non habent. [69] Codd. προσῆλθεν.

NOTÆ.

(25) Argumentum satis firmum ad hujus Novellæ confirmationem observa.

(26) Argumentum aliud firmum satis observa.

(27) Vid. Nov. 22, cap. 15, Nov. 117, c. 8, 9.

(28) Vid. l. 2, in fin. C. De sponsalibus, adde Phot. 1, 2. Nomocanon. 13.

(29) Vid. Nov. 22, c. 18.

(30-31) Caput uxoris maritus I Cor. II, vers. 13.

largiri cogitans, pudicitiam indissolubilique quodam amoris vinculo conjuges devinciens, propagationem generis, et si quid aliud matrimonium jucundum reddit, consecrat. At furori, quæso, quomodo cum hoc sacrificii proposito conveniat? Ubi enim pudicitiæ integritas, quando mens seipsam non novit, miserabilisque ignorantiæ infortunio premitur? Unde vero propagatio generis speretur, cum furor spectaculum solo aspectu horrendum miseræ uxori miseriorem maritum exhibet, nedum ipsi cum illo consuetudinem habere permittit? Quali porro amoris vinculo colligentur, cum morbus universum hominem efferat, et ut quidvis potius quam homo videatur, efficit. Ac profecto si forte ex tam infortunato connubio fetus (32-33) in lucem prodeat, cum natura fructus rebus ut plurimum assimilare soleat, quomodo non hic ipse fetus humano generi commune detrimentum afferet? Mihi igitur propter hæc etiam, matrimonium post furoris correptionem solvendum esse constituere, justum rationique esse consentaneum, neque ad reprobationem matrimonialis benedictionis, neque ad aliud quodpiam crimen vergere visum est. Quod si quis sanctionem a crimine non liberet, hic apud se furiosi matrimonii utilitate expensa, quantum momenti judicium suum habeat, cognoscet.

A τῇ μνηστείᾳ χαρίζεσθαι διανοουμένη, σωφροσύνην [70], ἀρρήκτῳ τινὶ δεσμῷ φίλτρου συνδέουσα ἀμφοτέρους, γένους διαδοχὴν καὶ εἴ τι ἕτερον ἡδύνει τὸν γάμον τελεῖται· μανία δὲ πῶς ἂν τῷ σκοπῷ συνδράμοι τῆς τοιαύτης τελετῆς; Ποῦ γὰρ σωφροσύνης τὸ καθαρὸν, μὴ τοῦ νοῦ γινώσκοντος ἑαυτὸν, ἀλλ' ἄγνοιαν ἐλεεινὴν δυστυχοῦντος; Γένους δὲ πόθεν ἡ διαδοχὴ, φρικτὸν θέαμα καὶ μόνον ἰδεῖν τῇ ἀθλίᾳ μνηστῇ τὸν ἀθλιώτερον μνηστῆρα τῆς μανίας παρεσκευαζούσης, μὴ ὅτι γε συνελθεῖν αὐτῷ πρὸς ὁμιλίαν προτρεπομένης; Ποίῳ δ' ἂν φίλτρου δεσμῷ συνδεθεῖεν, τοῦ πάθους ὅλον ἀποθηριοῦντος τὸν ἄνθρωπον, καὶ πάντα μᾶλλον ἢ ἄνθρωπον ἐπιγινώσκεσθαι διατιθέντος; Εἰ δ' ἄρα ποτὲ καὶ γονὴν ἐξ οὕτω γάμου δυστυχοῦς ὄψεται ἥλιος, πῶς οὐ κοινὴ βλάβη τῷ ἀνθρωπίνῳ B βίῳ ἡ τοιαύτη γονή; διότι συνεξομοιοῦν οἶδεν ἡ φύσις τοῖς πράγμασιν ὡς ἐπὶ πολὺ τοὺς καρπούς. Ἐμοὶ μὲν οὖν καὶ διὰ ταῦτα δίκαιον ἐλογίσθη καὶ εὔλογον, καὶ οὔτε πρὸς ἀθέτησιν τῆς συναπτηρίου εὐλογίας οὔτε πρὸς ἄλλο τι ἔγκλημα, τὸ θεσπίσαι τὴν τοῦ γάμου μετὰ τὴν τῆς μανίας λῆψιν διάλυσιν. Εἰ δέ τις αἰτίας οὐκ ἀπολύει τὸ θέσπισμα, οὗτος καθ' ἑαυτὸν ἐπιστήσας, καὶ τὴν ἐκ τοῦ μεμηνότος γάμου κατανοήσας ὠφέλειαν, εἴσεται τὴν οἰκείαν κρίσιν ὁποίας τιμῆς ἀξία καθέστηκεν.

CONSTITUTIO CXIII.

Ut quemadmodum in aliis structuris lege cautum est: ita etiam subdialium ambulacrorum structuræ, quæ solaria (34) appellantur, decem pedibus a vicinorum ædificiis distent.

Quæ veteres de domuum et alioqui parietum structuris tractavere, perbelle illa se habent, et vicina ædificia decem (35) inter se pedibus distare debere, ab iisdem recte constitutum est. Verum quoniam de subdialibus deambulationibus, et quomodo aliquis fortasse vocet prosceniis spectatoriis, quæ ad apricandi usum, et eum quidem solum excogitata sunt, atque a sole nomen acceperunt (solaria enim appellantur) in lege nulla mentio facta, nihilque constitutum est: decreto quod de illis statuat, quæque subinde, ut verisimile est, de iisdem contentiones emergunt, dirimat, opus est.

Decernimus igitur, ut et in his structuris, solariorum nempe, inter vicinos tantum interstitium servetur, quantum in aliis constitutum est. Etenim quemadmodum in illis conspectus prohibendi causa decem (36) pedum interstitium statutum est: ita hic

ΔΙΑΤΑΞΙΣ ΡΙΓ'.

Περὶ τοῦ καὶ ἐν τοῖς προσκηνίοις κατασκευάσμασιν, ἃ τὴν τῶν ἡλιακῶν ἐπωνυμίαν φέρει, τὴν τῶν δέκα ποδῶν ἐκ τοῦ γείτονος μέρους C παρατηρεῖσθαι διάστασιν, καθάπερ καὶ ἐπὶ τῶν οἰκοδομημάτων νενόμισται.

Ἃ μὲν περὶ οἰκοδομίας οἷον οἰκημάτων καὶ τειχίων ἄλλως τοῖς παλαιοῖς ἐπεσκέφθη, καλῶς ἡ ἐπίσκεψις ἔχει καὶ καλῶς ἐπ' αὐτῶν ἡ διάστασις τοῖς γειτονεύουσι διατέτακται μέρεσιν, ἐν ὅλοις ποσὶ δέκα λαχοῦσα τὴν διαμέτρησιν. Τὰ δὲ περὶ τῶν ὑπαίθρων καὶ ὡς ἄν τις εἴποι, προσκηνίων θεατηρίων, ἃ καὶ πρὸς μόνην καὶ ὑπαέριον ἀπόλαυσιν ἐπινενόηται καὶ τὴν ἐπωνυμίαν ἐκ τοῦ ἡλίου εἴληφεν ἡλιακὰ προσαγορευόμενα, ταῦτα δὲ ἄρα τῆς ἐκ τοῦ [71] νόμου μνήμης οὐ τυχόντα καὶ διορίσεως, νῦν εἰς χρείαν καθέστηκεν ψήφου περὶ αὐτῶν ὁριζούσης καὶ τὴν φιλονεικίαν τὴν, ὡς εἰκὸς, ἐπ' αὐτοῖς ἐνίοτε προβαίνουσαν διαλυούσης.

Ὁρίζομεν οὖν, καὶ ἐπὶ τούτων τῶν κατασκευα- D σμάτων, τουτέστι τῶν ἡλιακῶν, ἐκεῖνο τὸ μέτρον σώζειν τὸ μεταξὺ διάστημα τῶν ἐχόντων τὴν γειτονίαν προσώπων, ὃ καὶ ἐπὶ τῶν οἰκοδομημάτων ἀπονενέμηται. Καὶ γὰρ ὥσπερ ἐπ' ἐκείνων ἡ τῆς

VARIÆ LECTIONES.

[70] Scrimg. σωφροσύνη. Emend. Agyl. [71] Verba ἐκ τοῦ apposui ex Zuich. ex Meerm. Apud Scrimg. desunt.

NOTÆ.

(32-33) Hoc vult, sanum ex furioso concubitu nasci non posse.

(34) Ἃ τὴν τῶν ἡλιακῶν ἐπωνυμίαν φέρει. Scrimg. adde 2, Harm. 4, c. περὶ ἡλιακοῦ ἤτοι ἐξόστου, etc. περὶ Σολαρίων. Eadem Meniana et τειχιόστας appellant, l. 11, C. De ædificiis priv. adde l. pen. § 5, C. De ædificiis.

(35) Harm. 4, cap. περὶ οἰκοδομῆς. Imo duodecim, idem 2, tit. 4, περὶ ἀνανεώσεως οἴκου παλαιοῦ, l. 12, § 2, C. De ædific. privat.

(36) L. 11, C. De ædificiis privatis.

κατοπτεύσεως αἰτία τῶν δέκα ποδῶν ὥριζε τὸ διάστημα, οὕτω κἀνταῦθα διὰ τὴν αὐτὴν αἰτίαν τὸ ἴσον εὐλόγως διορισθήσεται μέτρον, καίτοιγε ἡ αἰτία τῆς κατοπτεύσεως πλέονα ἀπαιτεῖν δοκεῖ τὴν ἀπόστασιν. Εἰ γὰρ διὰ τὸ μὴ κατοπτεύειν ἀλλήλους τὰ γειτονεύοντα μέρη τὴν τῶν δέκα ποδῶν ποιεῖται ἀπόκλισιν [72], ἐνταῦθα τοσοῦτον ὀφείλει μᾶλλον ἀφίστασθαι, ὅσῳ καὶ μᾶλλον ἐπιτηδείως ἔχουσιν αἱ τοιαῦται κατασκευαὶ πρὸς κατόπτευσιν. Δῆλον γάρ, ὡς ἐν οἰκίᾳ τις καθεζόμενος ἤ τι πράττων οὐκ ἂν οὕτω κατοπτευθῇ, πολλῶν ὑπαρχόντων ἀντιφραγμάτων· ἐν δὲ τοῖς περὶ ὧν ὁ λόγος προσκηνίοις ἔργοις, ἢ ὡς ἂν οἱ πολλοὶ φαῖεν ἐξωσταρίοις, οὐδὲν εἰς περιωπὴν ἕστηκεν ἀντιφράττον.

B Διὰ τοῦτο θεσπίζομεν, μὴ ἑτέρως ἐξεῖναί τινι τοιοῦτον κατασκεύασμα τεκταίνειν, εἰ μὴ πόδες δέκα τὴν ἐκ τοῦ γείτονος μέρους ἀποχώρησιν διαμετρήσουσιν. Ὁμοίως δὲ καὶ εἴ τις ὀροφὴν τῆς οἰκίας ἀμεῖψαι βουλόμενος μαρμάρων πλάκας περιθείη, καὶ οὗτος μὴ πρὶν τοῦτο πράττοι, πρὶν τὸ εἰρημένον διάστημα τῶν δέκα ποδῶν ἀπομακρύνων τοῦ γείτονος ᾖ [73]. Ἑτέρου δέ τινος εἰς βοήθειαν ἀνακύπτοντος τρόπου, λέγω δὴ χρόνου μακροτέρου παραδρομῆς ὑπερβαινούσης τὴν νομικὴν περὶ χρόνων διάταξιν, ἀφ' οὗ τὸ ἔργον τὴν ὕπαρξιν ἔλαβεν, ἢ ἐὰν φιλικῇ [74] τινι συμφωνίᾳ δωρησαμένῃ τὴν ἄδειαν ὁ ταύτην λαβὼν εἰς τὸ ἐργάζεσθαι προελήλυθε, κελεύομεν ἐπὶ τοῦ οἰκείου σχήματος τὸ ἔργον μένειν, τῆς τῶν δέκα ποδῶν μὴ παραιτουμένης ἀποστάσεως [75].

C ΔΙΑΤΑΞΙΣ ΡΙΔ' [76].

Θέσπισμα τοῦ ἀοιδίμου [77] βασιλέως κυροῦ Λέοντος.

Ἔξεστι τῷ κατέχοντι ἀκίνητον διαπιπράσκειν πρὸς ὃ ἄρα βούλεται πρόσωπον ἀνεπικωλύτως τε καὶ ἀνεπιφωνήτως. Πᾶν γὰρ ἀκίνητον ὑποδημόσιον ἐν ἐκχωρεῖ ἡ βασιλεία μου τῷ τὴν καταβολὴν [78] ποιουμένῳ τῶν δημοσιακῶν βαρῶν ἐξωνεῖσθαι, τῶν γειτνιαζόντων μὴ κωλυόντων τὴν ἐκποίησιν. Εἰ γὰρ ὁ πένης καὶ πτωχὸς καὶ πράγματος μὴ εὐπορῶν, βουλόμενος τὸ οἰκεῖον ἐκποιήσασθαι ἀκίνητον, οἱ πλησιάζοντες δὲ ὑπούλως τὰ σήμερον καὶ αὔριον ἐκδεχόμενοι τῷ πτωχῷ καὶ πένητι τὸ οἰκεῖον καταλίποιεν ἀκίνητον, εἰ οὐδὲν ὁ πλησιάζων ἀναλάβηται, πάνυ τῇ βασιλείᾳ μου λογίζεται ἄδικον. Διὸ καὶ D διορίζεται πᾶσι τοῖς ἀπόροις καὶ πτωχοῖς, τὰ μὴ δυνάμενα κατέχειν ἀκίνητα ἐκποιεῖσθαι ἀποτιμώμενα, καὶ τὸν ἐξωνούμενον [79] καλῶς κατέχειν τὸ ἐξωνηθέν· μέχρις γὰρ τοῦ ἑξαμήνου τοῦ πρώτου χρόνου ἔκκλητον ποιεῖν τοὺς γειτνιῶντας καὶ οὕτως ἀντιστρεφομένης τῆς τιμῆς τῷ ἐξωνησαμένῳ λαβεῖν

A quoque merito idem (37) spatium eadem de causa præscribetur: præsertim vero, cum conspectus majorem etiam distantiam hic requirere videatur. Nam si ne se invicem vicini conspiciant, inter alia ædificia decem pedum intercapedo relinquitur: hic tanto id magis fieri debet, quanto hujusmodi structuræ conspectui magis sunt expositæ. Constat enim sedentem quidpiamve facientem in ædibus aliquem quod multa septorum obstacula intersint, non ita facile posse conspici. In proscenioram vero de quibus agitur operibus, aut (quomodo multi dicere malint) menianis, quominus in quamcunque partem circumspectus nihil obstet.

B Ea propter sancimus, ne aliter cuiquam talem structuram fabricari liceat, quam si decem pedibus a vicinorum structuris abstineat. Similiter si quis ædium suarum fastigium mutans, marmoreas crustas obducat: hic etiam non aliter id faciat, quam si dictum decem pedum interstitium inter se et vicinum relinquat. Alio autem quopiam modo intercedente: longi temporis præscriptione, nempe si ex quo opus constitit, a legibus præfinitum tempus decurrerit, aut pactum asservetur, ex quo quis facultate accepta ad ædificandum accesserit: jubemus, ut in suo statu structura maneat, tametsi a vicini structura decem pedibus non distet.

C CONSTITUTIO CXIV.

De alienatione rerum immobilium et retractu decretum præclari imperatoris domini Leonis.

Licet possidenti rem immobilem vendere cui libuerit personæ absque impedimento et prohibitione. Omnem enim rem immobilem quæ publica sit, permittit mea regia potestas ei qui publicorum onerum solutionem fecerit, emere, modo vicini alienationem non impediverint. Si enim cum pauper et mendicus et rem nullam possidens voluerit rem propriam immobilem alienare, propinqui autem fraudulenter uno et altero die substituti pauperi et mendico rem propriam donaverint immobilem, quum nihil propinquus acceperit, omnino, mea regia potestate reputatur injustum. Ideo et statui- D tur egentibus et mendicis res quæ non possunt immobiles exsistere post æstimationem alienare, et emptorem bene possidere quod emit; usque ad sex menses a primo tempore appellationem facere vicinos posse, et sic æstimatione mutata ab emptore tollere rem istam immobilem; hoc autem

VARIÆ LECTIONES.

[72] Scrimg. ὑπόκλ. [73] Codd. ἤ. [74] Codd. φυλακῇ. [75] Hactenus interpretationem Agylæi secuti sumus: quæ sequuntur Constitutiones Latinitate donavimus. EDIT. [76] Hæc Constit. servata est in codd. Paris. Gr. 1346 fol. 253, Vind. Jurid. Gr. 5 fol. 377, Laurent. LXXX, 6 fol. 230. [77] Vindob. Νεαρὰ τοῦ εὐσεβεστάτου κτλ. [78] Paris κατοχήν, quod emendandum erat. [79] Paris. ὁ ἐξωνούμενος.

NOTÆ.

37) Decem pedum scil. ut supra eod. et ad l. 11, C. De ædific. privatis, nisi publicum solum sit vicinum; spatium enim quindecim pedum relinquendum. Harmen. d. c. περὶ οἰκοδομῆς.

tempore elapso ita et vicini excluduntur, dum attribuitur emptori possessio rei immobilis.

CONSTITUTIO CXV.

De Tabulariis.

Edictorum circa politica objecta imperatoris domini Leonis primum de tabulariis;

Cujus caput primum dicit : Qui admittendus est tabularius debet suffragio et examini primicerii et eorum qui cum illo sunt tabulariorum submitti, ita ut cognitionem et scientiam legum habeat, et manus scriptura cæteris præstet, nec garrulus aut pervicax aut vitæ dissolutæ exsistat, sed potius moribus conspicuus et prudentia irreprehensus, sapiens et intelligens, et ad loquendum solers et ad ratiocinandum aptus, ut non facile hinc et inde circumferatur per falsariorum scripturas et astutorum argumenta; ita ut si quis fortasse talia extra legem et conventiones et quæ scribi mandata fuerint inveniatur machinans, cum probitate acturum hunc isti testificentur.

In 2° Capite dicit : Qui admittendus est debet ad manum habere 40 titulos enchiridii legum, et 60 librorum cognitionem, universas doctrinas didicisse, ne mendam admittat in scripturis, aut in vocibus æquivocationem patiatur habere etiam tempus plenissimum ut clare examinetur, mente et corpore. Manus vero scripturæ incumbat in concilio, neque ex improviso exerceat; si vero deprehendatur, a gradu decidat.

In 3° capite dicit : Oportet admitti illum sic: Post testificationem et inquisitionem, præsentem fieri cum concilio tabulariorum et primicerio coram illustrissimo urbis præfecto, toga indutum, istis jurantibus per Deum et imperatorum salutem se non ob ullam gratiam aut favorem aut propinquitatem aut amicitiam hunc ad gradum promovere, sed ob virtutem, scientiam et prudentiam, et hunc aptum esse in omnibus; et post juramentorum affirmationem sigillo hunc admitti in præfectorali officina ab eo qui directionem habet; deinde ita collocari in concilio et adnumerari tabulariis; deinde in templum, prope quod habitationem habet, ingredi, omnibus tabulariis toga indutis, et consecrari per orationem sacerdotis toga exutum et albo vestimento opertum, et circumdatum tabulariis omnibus toga indutis, primicerio thuribulum tenente et ad hunc bonum odorem emittente, dum manibus legem præfert, ad dirigendum ejus vias per thuribulum significati, ut incensum coram Domino; ita igitur gloriose in cathedra collocari quam sortitus est; deinde domum redire cum suæ dignitatis apparatu, convi-

A τὸ τοιοῦτον ἀκίνητον· τούτου δὲ παραδραμόντος καὶ οὕτως[80] οἱ γειτνιῶντες ἀποκλείονται, προσκυρουμένης τῷ ἐξωνησαμένῳ τῆς νομῆς τοῦ ἀκινήτου.

ΔΙΑΤΑΞΙΣ ΡΙΕ'.

Τῶν περὶ πολιτικῶν σωματείων διατάξεων τοῦ βασιλέως κυροῦ Λέοντος πρώτη περὶ ταβουλλαρίων[81].

Ἧς ἐν τῷ α' κεφ. φησίν· Ὁ μέλλων προχειρισθῆναι ταβουλλάριος ὀφείλει ψήφῳ καὶ διαγνώσει τοῦ τε πριμμικηρίου καὶ τῶν σὺν αὐτῷ ὄντων ταβουλλαρίων ἐγγίνεσθαι, ὡσὰν καὶ γνῶσιν καὶ νόμων εἴδησιν ἔχοι, καὶ χειρὸς γραφῇ τῶν λοιπῶν πρωτερεύοι, καὶ μὴ στωμύλος ἢ αὐθάδης ἢ βίου διεφθαρμένου τυγχάνοι, ἀλλὰ μᾶλλον σεμνὸς τὸ ἦθος καὶ τῇ φρονήσει ἀκέραιος, λόγιός τε καὶ συνετὸς καὶ περὶ τὴν λέξιν B εὔστροφος καὶ περὶ τὸν λόγον εὐάρμοστος τοῦ μὴ ῥᾷστα ὧδε κἀκεῖσε περιφέρεσθαι εἴς τε[82] τὰς τῶν φαλσαμάτων γραφὰς καὶ τὰς τῶν δελεασμάτων παραγραφὰς, ὡς[83] εἴ γέ ποτε τοιαῦτά τις παρὰ τὸν νόμον καὶ τὰ συμβιβασθέντα καὶ γραφῆναι ὁρισθέντα εὑρεθείη διαπραττόμενος, ὑπ' εὐθύνην ἔσεσθαι καὶ τοὺς αὐτὸν μαρτυρήσαντας.

Ἐν δὲ τῷ β' κεφ. φησίν· Ὁ προχειρισθησόμενος ὀφείλει ἐπὶ στόματος ἔχειν τοὺς μ' τίτλους τοῦ ἐγχειριδίου νομίμου καὶ τῶν ξ' βιβλίων τὴν γνῶσιν, παιδευθῆναι δὲ καὶ τὴν ἐγκύκλιον παίδευσιν, ὡς μὴ διαμαρτάνειν ἐν ταῖς ἐκδόσεσιν ἢ διολισθαίνειν περὶ τὴν λέξιν, ἔχειν δὲ καὶ τὸν χρόνον πληρέστατον τοῦ διατρανοῦσθαι καὶ τῷ νῷ καὶ τῷ σώματι· χειρὸς δὲ γραφῇ ἐκτυπούτω ἐν τῷ συλλόγῳ, μήτι τῶν ἀδοκήτων C διαπράττεσθαι· εἰ δὲ φωραθείη, ἐκπίπτειν τοῦ βαθμοῦ.

Ἐν δὲ τῷ γ' κεφ. φησίν· Δεῖ προχειρίζεσθαι τοῦτον οὑτωσί· μετὰ τὴν διαμαρτυρίαν καὶ τὴν ἔρευναν ἐμφανίζεσθαι μετὰ τοῦ συλλόγου τῶν ταβουλλαρίων καὶ τοῦ πριμμικηρίου τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς πόλεως, ἐφεστρίδα ἠμφιεσμένον, ἐπομνυμένων ἐκείνων εἰς Θεὸν καὶ τὰς σωτηρίας τῶν βασιλέων, μὴ διά τινα χάριν ἢ παράκλησιν ἢ συγγένειαν ἢ φιλίαν τοῦτον τῷ βαθμῷ ἐντάττεσθαι, ἀλλὰ δι' ἀρετὴν καὶ γνῶσιν καὶ σύνεσιν καὶ τὸ ἱκανὸν εἶναι ἐν πᾶσι· καὶ μετὰ τὴν τῶν ὅρκων βεβαίωσιν σφραγῖδι αὐτὸν προχειρίζεσθαι ἐν τῷ ἐπαρχικῷ σεκρέτῳ παρὰ τοῦ τὴν ἡγεμονίαν ἔχοντος, εἶθ' οὕτως ἐντάττεσθαι τῷ D συλλόγῳ καὶ συναριθμεῖσθαι τοῖς ταβουλλαρίοις· ἔπειτα ἐν ναῷ, οὗ πλησίον τὴν κατοίκησιν ἔχει, ἀφικνεῖσθαι, πάντων τῶν ταβουλλαρίων ἐφεστρίδας ἠμφιεσμένων, καὶ τελεῖσθαι δι' εὐχῆς τοῦ ἱερέως τὴν ἐφεστρίδα ἀποβαλλόμενον καὶ λευκὸν φελόνιον ἐνδιδυσκόμενον, καὶ προπεμπόμενον παρὰ τῶν ταβουλλαρίων πάντων τὰς ἐφεστρίδας ἠμφιεσμένων, τοῦ πριμμικηρίου θυμιατήριον ἔχοντος καὶ πρὸς αὐτὸν τὴν εὐωδίαν ἐκπέμποντος, ἐν ταῖς χερσὶ τὸν νόμον ἐπιφερόμενον, τοῦ κατευθῦναι τὰς ὁδοὺς αὐτοῦ διὰ τοῦ θυμιατηρίου σημαινομένου, ὡς θυμίαμα

VARIÆ LECTIONES.

[80] Malim ὅλως. [81] Exstat in codice τῆς μονῆς τῶν Ἰβήρων in monte Athone sitæ, necnon in cod. Paris. Gr 1351 fol. 292. et 1357 A. [82] Cod. δέ. [83] ὡς delenda esse videtur.

ἐνώπιον Κυρίου. Οὕτως οὖν ἐνδόξως παραγίνεσθαι ἐν τῇ καθέδρᾳ, ἐν ᾗ ἐκληρώθη· εἶτα οἴκοι ἐπαναστρέφειν μετὰ τῆς ἑαυτοῦ δόξης, συμποσιάζειν τε τὸ τηνικαῦτα μετὰ τῶν συμπαρόντων καὶ συνευφραίνεσθαι.

A vari confestim cum adstantibus et gratulationes excipere

CONSTITUTIO CXVI.

De archiepiscopatu Patrensi bulla aurea[84].

[Non exstat.]

ΔΙΑΤΑΞΙΣ ΡΙΖ'.

Νεαρὰ νομοθεσία Λέοντος καὶ Ἀλεξάνδρου περὶ[85] *τοῦ ἀπὸ πρώτου γίνεσθαι πάσας τὰς ἐκδόσεις. Γέγονε δὲ αὕτη ἐν ἔτει ‚ϛυκζ'*[86]. *Ἐναπετέθη ἐν τῷ ὀρφανοτροφείῳ*[87].

ζ'. Αἱ δὲ εἰς τοὺς πολεμίους τέλειαι παρασκευασίαι δύο εἰσίν· ἡ μὲν κατὰ γῆν πεζική, ἡ δὲ κατὰ θάλασσαν ναυτική. Περὶ μὲν οὖν τῆς ναυτικῆς ὕστερον ἐροῦμεν. Τῶν δὲ κατὰ γῆν ἐπὶ πολέμους ἀθροιζομένων ἀνδρῶν τὸ πλῆθος τὸ μέν ἐστι μάχιμον, ἤγουν πολεμικόν· τὸ δὲ διὰ τὰς τούτου χρείας συνερχόμενον ἄμαχον. Καὶ πολεμικὸν μὲν, τὸ παρατασσόμενον πρὸς τοὺς πολεμίους στρατιωτικόν. Ἄμαχον
C δὲ τὸ λοιπὸν, οἷοι ἰατροὶ, δοῦλοι, ἔμποροι, καὶ ἄλλοι ὅσοι διὰ τὰς ὑπηρεσίας ἐπακολουθοῦσι. Τοῦ δὲ μαχίμου μέρους, ἤγουν πολεμικοῦ στρατοῦ, τὸ μέν ἐστι πεζικὸν, τὸ δὲ καβαλλαρικόν. Καὶ τὸ μὲν ἰδίως πεζικὸν τὸ ἐπὶ γῆς ἱστάμενον, τὸ δὲ καβαλλαρικὸν τὸ ἐπὶ τῶν ἵππων ὀχούμενον. Ἦν δέ ποτε καὶ ἐπὶ ἁρμάτων δρεπανηφόρων, καὶ ἐπὶ ἐλεφάντων πύργους φερόντων πλήρεις ἀνδρῶν. Ἀλλὰ τούτων οὐδεὶς ἡμῖν λόγος νῦν διά τε τὴν ἀχρηστίαν, καὶ τὴν παντελῆ ἀργίαν τῶν τοιούτων παρασκευῶν.

η'. Τῆς οὖν τακτικῆς μετρίως πως οὕτως ὑπογραφείσης, δεῖ καὶ τὸν στρατηγὸν ἀναδειθῆναι (8), τί τέ ἐστιν, καὶ τίς ὁ τῆς τοιαύτης ἐγχειρήσεως ἄξιος.

θ'. Στρατηγὸς τοίνυν ἐστὶν ὁ τῆς ὑπ' αὐτὸν ἁπάσης
D ὑπαρχίας μείζονα πάντων ἐξουσίαν ἔχων μετὰ τὸν βασιλέα.

ι'. Στρατηγός ἐστιν ὁ τοῦ ὑπὸ χεῖρα στρατιωτικοῦ θέματος κορυφαῖος ἄρχων, ἐκ βασιλέως μὲν προχειριζόμενος, τοὺς δὲ ὑπ' αὐτὸν ἄρχοντας τοὺς μὲν ψήφῳ τῇ αὐτοῦ ἐκ βασιλέως δὲ καταπεμπόμενος, τοὺς δὲ ἐξουσίᾳ ἰδίᾳ προβαλλόμενος.

ια'. Ἴδιον δὲ στρατηγοῦ τὸ κρείττω πάντων εἶναι τῶν ὑπὸ χεῖρα φρονήσει, καὶ ἀνδρείᾳ, καὶ δικαιοσύνῃ, καὶ σωφροσύνῃ.

ιβ'. Τὸ εἰς αὐτὸν ἀναφέρεσθαι τῆς κατὰ αὐτὸν ἐπαρχίας τὰς διοικήσεις, ὅσαι τε στρατιωτικαὶ, καὶ ὅσαι ἰδιωτικαὶ, καὶ δημόσιοι.

NOTÆ.

(8) Ἀναδειθῆναι. Scribe, ἀναδειχθῆναι.

ιγ'. Τὸ παραλαβόντα στρατὸν ἄτακτον ἐκτάξαι δεόντως κατὰ τὴν ἁρμόζουσαν τῷ καιρῷ τακτικὴν διάταξιν.

ιδ'. Σκοπὸς τῷ στρατηγῷ τὸ μὲν ὑπ' αὐτὸν θέμα αὐξῆσαι, καὶ ἀβλαβὲς ἀπό τε πολεμίων καὶ τῶν ἄλλων ἀδικημάτων καὶ ἀταξιῶν καὶ στάσεων διαφυλάξαι. Τοὺς δὲ πολεμίους παντὶ τρόπῳ ἢ πολέμῳ ἢ ἐφόδοις ἀδοκήτοις ταπεινῶσαι, καὶ ἅπερ ποιήσει κατὰ τῶν ἐχθρῶν, ταῦτα φυλάξασθαι μὴ παθεῖν ἀπ' αὐτῶν.

ιε'. Τέλος τῷ στρατηγῷ τῷ εὐδοκιμήσαντα (9) διὰ πάντων τῆς τε θείας καὶ βασιλικῆς ἀπολαύειν εὐνοίας, ἢ κατολιγωρήσαντα τῶν πρεπόντων καὶ ἁρμοζόντων πραγμάτων τάξασθαι τῶν ἐναντίων. Οὕτως τοίνυν καὶ τῆς τοῦ στρατηγοῦ προτυπωθείσης εἰκόνος, δεῖ καθάπερ διὰ χρημάτων (10) ἡμᾶς ἀναζωγραφῆσαι τὴν τούτου ποιότητα, καὶ δεῖξαι φανερῶς τίς καὶ ποταπὸς εἶναι ὀφείλει εἰς τὴν τοιαύτην ἐξουσίαν προχειριζόμενος ἄρχων.

ΔΙΑΤΑΞΙΣ Β'.

Περὶ τοῦ οἷον εἶναι δεῖ τὸν στρατηγόν.

α'. Κελεύομεν τοίνυν εἶναι τὸν στρατηγὸν σώφρονα περὶ τὸ σῶμα, περὶ τὴν δίαιταν ἐγκρατῆ, νηφάλιον καὶ ἐγρήγορον, λιτὸν καὶ ἀπέριττον περὶ τὰς χρείας, ὑπομένοντα τοὺς πόνους, νοήμονα καὶ φρόνιμον, μισοῦντα φιλαργυρίαν, ἔνδοξον, μήτε νέον, μήτε γέροντα, ἱκανὸν δὲ καὶ πρὸς τὸ λέγειν ἀπὸ στόματος ἐν μέσῳ λαοῦ, ἂν τύχῃ δὲ καὶ πραπαῖδον (11), μὴ ἐμπορίαν φιλοῦντα, ἢ τοιοῦτον, μηδὲ μικρόψυχον, ὡς καὶ τῶν μικρῶν πραγμάτων ἐπιθυμεῖν, καὶ ἁπλῶς εὐγενῆ τὴν ψυχήν, εἰ δυνατόν, καὶ τὸ σῶμα, καὶ ἐν πᾶσι μεγαλόψυχον.

β'. Σώφρονα, ἵνα μὴ ταῖς τῆς φύσεως κατασυρόμενος ἡδοναῖς ἀπολείπῃ τὴν περὶ τῶν ἀναγκαίων φροντίδα καὶ ἐπιμέλειαν.

γ'. Ἐγκρατῆ δὲ, ἐπειδὴ τηλικαύτης ἀρχῆς μέλλει τυγχάνειν. Αἱ γὰρ ἀκρατεῖς καὶ ἀκόλαστοι ὁρμαί, ὅταν προσλάβωσι δύναμιν κατὰ ἐξουσίαν τοῦ ποιεῖν ἃ βούλονται, ἀκράτητοι γίνονται πρὸς τὰς ἐπιθυμίας.

δ'. Νηφάλιον δὲ καὶ ἐγρήγορον, ὅπως ἐπαγρυπνῇ ἐν ταῖς μεγίσταις πράξεσιν. Ἐν νυκτὶ γὰρ, ὅταν ἡ ψυχὴ ἠρεμῇ μάλιστα, πολλάκις ἡ τοῦ στρατηγοῦ γνώμη καὶ ἀπευθύνεται καὶ τελειοῦται.

ε'. Λιτὸν δὲ, ἀπέριττον περὶ τὰς χρείας· καὶ γὰρ καταδαπανῶσιν αἱ πολυτελεῖς καὶ πολλαὶ θεραπεῖαι, καὶ χρόνον ἄπρακτον καὶ ἀναγκαίας ἐξόδους εἰς τὴν τῶν ἀρχόντων τρυφήν.

ς'. Ὑπομένοντα τοὺς πόνους, ἵνα μὴ πρῶτος τῶν στρατευομένων τὰς ἀναπαύσεις ἐπιζητῇ, ἀλλὰ γίνηται αὐτοῖς μᾶλλον εἰκὼν πρὸς τὸ γενναίως ὑποφέρειν τοὺς πόνους.

13. Exercitum inordinatum idonea atque opportuna in acie collocare.

14. Propositum hoc est imperatori, ut multitudinem suam amplificet, et sine omni offensione, ab hostibus reliquisque injuriis, a perturbationibus et seditionibus solutos conservet, hostes omnibus modis vel bello vel incursionibus inopinatis labefactet, et quæ inferre hostibus molitur, circumspiciat ne eadem ab illis patiatur.

15. Finis imperatoris est maximam gloriam habere, in omnibus Dei et regis benevolentiam consequi: sin quod idoneum officioque suo conjunctum est neglexerit, ut e contrario illi accidat. Ita igitur imperatoris imagine informata, quasi coloribus quibusdam exprimendæ dotes ejus sunt, demonstrandumque est quis et qualis esse debeat qui in hoc dignitatis gradu collocandus sit.

CONSTITUTIO II.

Qualem esse oporteat imperatorem.

1. Mandamus igitur ut imperator sit corpore continens, victu temperans, sobrius, vigilans, frugi et in rebus necessariis minime profusus, in laboriosis negotiis assiduus, circumspectus et prudens, pecuniæ despiciens, famæ commendatione honestus, neque juvenis, neque ætate ingravescens, habilis ad dicendum ex tempore in media frequentia hominum, liberorum, si ita usus ferat, parens, non ad mercaturam faciendam, aut ad hujusmodi lucrum intentus, non parvi animi, et minutas res expetens, denique generoso tum animo tum corpore, quoad ejus fieri potest, et in omnibus magnanimus.

2. Continentem esse imperatorem oportet, ne voluptatibus nimis diffluens, rerum necessariarum curam ac provisionem abjiciat.

3. Temperantem vero, quoniam tale imperium suscepturus est. Intemperantes enim et libidinosæ animi appetitiones, siquando vires ceperint, propter quidvis agendi licentiam in omnes cupiditates infrenate ruunt.

4. Sobrium autem et vigilantem ut in maximo acierum apparatu animo quasi excubet. Nocte enim quando animus maxime requiescit, imperatoris sæpe sententia versando mutatur, sæpe cogitando confirmatur.

5. Frugi et in usibus necessariis non nimis profusum. Sumptuosi enim et ingentes famulatus, tempus ut inaniter transigatur faciunt, et quod ad necessarias expeditionum expensas conferendum fuit, ad delicias luxumque præfectorum assumunt.

6. Industrium autem, ut ne primus militum otium sectetur, sed exemplum potius fiat ad labores alacriter suscipiendos.

NOTÆ.

(9) *Τῷ εὐδοκιμήσαντα.* Scribe τὸ εὐδ.
(10) *Χρημάτων.* Scribe χρωμάτων.

(11) *Πραπαῖδον.* Scribe πατέρα παίδων.



7. **Circumspectum et prudentem.** Solertem enim oportet esse imperatorem, in omnes partes cogitationem animi quadam celeritate versantem: perturbationes enim inopinatæ cum incidunt, confestim præsentis auxilii excogitationem requirunt.

8. **Pecuniæ despicientem.** Etenim pecuniæ despicientia in imperatore cernitur, quando abstinenter et magnifice rebus gerendis præest, et honores bellicos virtutis mercedem suis proponit. Multi enim et animo forti sunt, et corpore adversus hostes robusto: sed quando in aurum intuentur, mentem occæcatam cupiditate atque obscuratam habent: gravia enim arma sunt hæ pecuniarum cupiditates, et ad oppugnandos atque evertendos homines efficacia.

9. Neque juvenem neque ætate ingravescentem; quoniam juvenis propter ætatem, inconstantem et flexibilem habet mentem: senex autem imbecillo est corpore, et nullus ex illis pene firmus exsistit: et ille quidem ut ne propter inconsideratam temeritatem quasi audax labatur, hic vero ne propter naturalem imbecillitatem corporis, quæ facto opus sunt prætermittere cogatur. Optime igitur electio est constantis et mediæ ætatis, non juvenis aut ætatis ingravescentis.

10. Etenim vis et robur est in eo, qui nondum consenuit, prudentia autem et stabilitas in eo, qui ex adolescentia excessit. Namque qui robur corporis sine prudentia animi admirantur, vel contra animam prudentem absque corporis viribus extollunt, ad nullum bonum exitum perveniunt. Prudentia enim si viribus deficiatur, nihil pulchrum; vires vero prudentia destitutæ nihil prorsus efficiunt.

11. Charum subjectis suis imperatorem, longe nobiliorem scimus esse, hocque magnopere subjectis adjumento est. Quem homines diligunt, illi imperanti facile obtemperant, dicenti et paciscenti non resistunt, periclitanti succurrunt. Tanta res est amor, ut pro eo, quem charum quis habet, vitam profundat.

12. Pater liberorum anteponendus est effeto atque orbo. Neque vero orbum liberis repudiamus, si bonus sit. Nam qui liberos habet imperator, si infantes fuerint, longe ardentior propter liberorum amorem ad studium rerum agendarum suscipiendum erit. Si vero constanti jam et matura ætate fuerint, consiliarii, et laboris imperatorii participes et fideles administri, res pro communi salute susceptas promovebunt. Itaque hac de causa pater orbo videtur anteponendus.

13. Ad dicendum et perorandum habilem: puto enim hoc maxime exercitum adjuvare. Nam instructum ad pugnam exercitum imperator cohortatione sua ad periculorum mortisque contemptionem, et ad rerum honestarum suaviumque

ζ'. **Νοήμονα δὲ καὶ φρόνιμον.** Ὀξὺν γὰρ εἶναι δεῖ τὸν στρατηγὸν πανταχοῦ περιφέροντα τὸν σκοπὸν διὰ ταχύτητα ψυχῆς· πολλάκις γὰρ ἀνυπονόητοι ταραχαὶ προσπεσοῦσαι παρ' εὐθὺ τὸ συμφέρον ἐπινοεῖν ἀναγκάζουσιν.

η'. **Ἀφιλάργυρον δέ.** Καὶ γὰρ ἡ ἀφιλαργυρία τοῦ στρατηγοῦ δοκιμάζεται, ὅταν ἀδωροδοκήτως καὶ μεγαλοφρόνως προΐσταται τῶν πραγμάτων, καὶ δι' ἀρετὴν μόνην δωρεὰν προβάλλεται τὰς ἀρχὰς τοῦ ὑπ' αὐτὸν θέματος. Πολλοὶ γὰρ καὶ ἀνδρεῖοί εἰσι τῇ ψυχῇ, καὶ ῥωμαλέοι τῷ σώματι κατὰ τῶν ἐχθρῶν, ἀλλ' ὅταν ἀντιβλέψωσι πρὸς χρυσὸν, ἀμαυροῦνται καὶ σκοτίζονται. Δεινὸν γὰρ ὅπλον στρατηγοῦ φιλαργυρία, καὶ ἐνεργέστατον εἰς τὸ νικῆσαι τοῦτον καὶ καταβαλεῖν.

θ'. Οὔτε δὲ νέον εἶναι, οὔτε γέροντα· ἐπειδὴ ὁ μὲν νέος ἄπιστον ἔχει καὶ ἄστατον φρόνημα διὰ τὴν νεότητα, ὁ δὲ γέρων ἀσθενής ἐστι τῷ σώματι καὶ οὐδεὶς αὐτῶν ἀσφαλής· ὁ μὲν, ἵνα μὴ πταίσῃ διὰ τὴν ἀλόγιστον τόλμαν ὥσπερ θρασὺς, ὁ δὲ γέρων, ἵνα μὴ διὰ τὴν φυσικὴν ἀσθένειαν ἐλλείπῃ εἰς τὰ δέοντα τῶν πραγμάτων. Καλλίστη δὲ ἐκλογὴ τοῦ μέσου, μήτε νέου ὄντος, μήτε γέροντος.

ι'. Καὶ γὰρ τὸ δυνατὸν καὶ ῥωμαλέον ἐν τῷ μήπω γεγηρακότι, τὸ δὲ φρόνιμον καὶ σταθηρὸν ἐν τῷ μὴ πάνυ νεάζοντι. Καὶ μέντοι οἵτινες ἰσχὺν σώματος ἄνευ φρονήσεως θαυμάζουσι ψυχικῆς, ἢ πάλιν ψυχὴν φρόνιμον ἄνευ σωματικῆς δυνάμεως, οὐδὲν ἐνόησαν τέλος ἀγαθόν. Καὶ γὰρ ἡ φρόνησις ὑστερήσασα δυνάμεως οὐδὲν ὠφέλησεν, δύναμις στερηθεῖσα φρονήσεως οὐδὲν ἐτελείωσε.

ια'. Ἀγαπώμενον δὲ παρὰ τῶν ὑπηκόων τὸν στρατηγὸν εὐδοκιμώτερον ἴσμεν γίνεσθαι· καὶ γὰρ μεγάλα τοὺς ἀρχομένους ὠφελήσει. Ὄντινα γὰρ ἄνθρωποι φιλοῦσι, τούτῳ ἐπιτάττοντι μὲν ταχὺ πείθονται, λέγοντι δὲ καὶ ὑπισχνουμένῳ οὐκ ἀπιστοῦσι, κινδυνεύοντι δὲ συναγωνίζονται. Τοιοῦτον γὰρ ἡ ἀγάπη, τὸ τιθέναι τὴν ψυχὴν ὑπὲρ τοῦ φιλουμένου.

ιβ'. Πατέρα δὲ παίδων προκρίνομεν μᾶλλον, ἢ ἄπαιδα, οὐδὲ τὸν μὴ ἔχοντα παῖδας παραιτούμενοι, ἐάν ἐστι ἀγαθός. Καὶ γὰρ ὁ παῖδας ἔχων στρατηγὸς, εἰ μὲν νηπίους, θερμότερος γίνεται περὶ τὴν σπουδὴν τῶν ἐν τῷ βίῳ πραγμάτων, ὑπὲρ τῆς τῶν παίδων φιλίας καὶ εὐπραγίας ἀγωνιζόμενος. Εἰ δὲ τέλειοι τὴν ἡλικίαν, σύμβουλοι καὶ συστρατηγοὶ καὶ πιστοὶ ὑπηρέται γενόμενοι συγκατορθοῦσι τῷ πατρὶ τὰ μεταχειριζόμενα ὑπὲρ κοινῆς σωτηρίας πράγματα. Δι' ὃ μᾶλλον δοκεῖ τοῦ ἄπαιδος ὁ παῖδας ἔχων προτιμότερος εἶναι.

ιγ'. Λέγειν δὲ καὶ δημηγορεῖν ἱκανόν· ἡγοῦμαι γὰρ τὰ μέγιστα ὠφελεῖν διὰ τούτου τὸ στράτευμα. Ἐάν τε γὰρ παρατάσσηται πρὸς μάχην στρατηγὸς διὰ τῆς τοῦ πύργου παρακελεύσεως, τῶν μὲν γὰρ δεινὸν (12), πολλάκις καὶ αὐτοῦ τοῦ θανάτου ποιεῖ καταφρονεῖν,

NOTÆ.

(12) *Δεινόν*. Scribe δεινῶν.

τῶν δὲ καλῶν καὶ γλυκέων ἐπιθυμεῖν. Οὐχ οὕτως γὰρ ἐνηχοῦσα σάλπιγξ ταῖς ἀκοαῖς ἐξεγείρει τὰς ψυχὰς εἰς μάχην, ὡς λόγος μετὰ φρονήσεως λεγόμενος προτρέπεται εἰς ἀρετὴν, καὶ ἐναγωνίους ποιεῖ τοὺς ἀκούοντας, καὶ ἐξανιστᾷ πρὸς τὰ δεινὰ τὴν ἔννοιαν.

ιδ'. Ἐὰν δὲ συμβῇ πταῖσμα περὶ τὸ στρατόπεδον, ἡ τοῦ λόγου παρηγορία τὰς ψυχὰς ἀναῤῥωννύει. Καὶ πολὺ χρησιμώτερός ἐστι στρατηγοῦ λόγος δυνατὸς ὥστε παραμυθήσασθαι στρατοπέδου συμφορὰς, μᾶλλον τῶν ἐπιμελουμένων τὰ πράγματα (13) ἰατρῶν. Οἱ μὲν γὰρ ἐκείνους μόνους τοὺς τραυματισθέντας θεραπεύουσι ταῖς ἰατρείαις, καὶ διὰ χρόνου τάχα πλείονος, ὁ δὲ παρ' εὐθὺ καὶ τοὺς πονοῦντας καὶ τοὺς καμόντας εὐθυμοτέρους ποιεῖ, καὶ τοὺς ἰσχυροὺς ἀνιστᾷ πρὸς ἀνδρείαν καὶ εὐψυχίαν.

ιε'. Ἔνδοξον δὲ λέγομεν, ἐπειδὴ ἀγανακτεῖ τὸ πλῆθος τοῖς ἀδόξοις ὑποτασσόμενον. Οὐδεὶς γὰρ θέλων ὑπομένει τὸν χείρονα κύριον αὐτοῦ ἀναδέχεσθαι καὶ ἡγεμόνα.

ιϛ'. Δοκεῖ δέ μοι ὅτι πᾶσα ἀνάγκη τὸν τοῦτον εὑρισκόμενον στρατηγὸν, ὥστε ἔχειν ἀρετὰς ὅσας εἰρήκαμεν, καὶ ἔνδοξον εἶναι. Ἡ γὰρ τοσαύτη ἀρετὴ ἄγνωστον τὸν ἄνθρωπον διαμένειν ἐπιπολὺ οὐ καταλαμβάνει.

ιζ'. Λέγομεν δὲ μήτε πλούσιον προχειρίζεσθαι στρατηγὸν διὰ τὰ χρήματα, ἐὰν μὴ ἔχῃ ταύτας τὰς ἀρετὰς, μήτε πένητα παρατηρεῖσθαι (14) διὰ τὴν πενίαν, ἐὰν ᾖ ἀγαθός. Οὐκ ἀποβαλλόμεθα δὲ οὔτε τὸν πλούσιον ἕνεκεν τοῦ πλούτου αὐτοῦ, ἀλλ' ἐὰν τὰς τῷ στρατηγῷ πρεπούσας μὴ κέκτηται ἀρετάς. Οὐδὲ τὸν πένητα προκρίνομεν ὅτι ἐστὶ πένης, ἀλλ' ὅτι στρατιωτικήν τε καὶ γενναίαν ἔχει ψυχήν. Οὐδένα γὰρ διὰ τὴν τύχην ἀποδοκιμάζομεν, ἀλλὰ μᾶλλον διὰ τῶν τρόπων ἀμφοτέρους προβαλλόμεθα.

ιη'. Ὁ δὲ πλούσιος ἀγαθὸς ὢν τοσοῦτον διαφέρει γενναίου πένητος, ὅσον αἱ ἐπάργυροι καὶ κατάχρυσοι πανοπλίαι τῶν καταχάλκων καὶ σιδηρῶν· αἱ μὲν γὰρ τῷ λαμπρῷ κόσμῳ πλεονεκτοῦσιν, αἱ δὲ ἐν αὐτῷ τῷ δραστηρίῳ διαγωνίζονται.

ιθ'. Πένητα δὲ λέγω γενναῖον, ἐὰν μὴ χρηματιστής ἐστι καὶ δωρολήπτης· τὸν γὰρ χρηματιστὴν, οὐδ' ἂν πλουσιώτατος ὢν τύχῃ συμφέρει ποτὲ προχειρίζεσθαι στρατηγόν.

κ'. Ἀλλὰ μηδὲ μικρολόγον τινὰ καὶ ὁμολόγον περὶ τὰ κέρδη, ἢ ἔμπορον, ἢ παραπλήσιόν τι τοιοῦτον πράττοντα· ἀνάγκη γὰρ τοὺς τοιούτους μικρόφρονας εἶναι, καὶ περὶ τὸ κέρδος ἐπτοημένους, καὶ μεμεριμνημένους περὶ τὴν συλλογὴν τῶν χρημάτων, καὶ μηδὲν ἔχοντας τῶν καλῶν ἐπιτηδευμάτων.

κα'. Ἐὰν δὲ προγόνων ἐστὶ λαμπρῶν καὶ περιδόξων ἀπόγονος, ἀγαπᾷν μὲν δεῖ τοῦτο, οὐ μὲν δὲ πάντως ἐπιζητεῖν τὴν τοιαύτην εὐγένειαν, ἀποῦσαν, οὐδὲ διὰ ταύτην κρίνειν ἄξιον τὸν στρατηγὸν, ἐὰν τὸ στρατηγεῖν καλῶς κέκτηται.

A studium adducet. Tuba enim in auribus hominum personans non tantum animos nostros ad motus bellicos excitat, quantum oratio sapientia quadam adjuncta ad virtutem vocat, et paratos ad dimicandum auditores facit, et ad pericula suscipienda animos impellit.

14. Si vero ulla in exercitu contingat offensio, aliqua tum illos cohortatio permulcet, et longe utilior est imperatoris oratio, ad res afflictas exercitus levandas, quam medici vulnera curantes: illi enim saucios solos die ac tempore tandem fortasse sanant, hic autem confestim fessos ac lassatos alacriores facit, et ad omnem animi magnitudinem præstantiamque satis robustos.

B

15. Nobilem et celebrem virum diximus esse oportere, quia semper hæsitat animo et excruciatur vulgus, cum obscuris viris atque ignobilibus subjectum est. Nemo enim libens patitur eum imperatorem eligi, quem deteriorem seipso putat.

16. Mihi pernecessarium sane videtur, ut imperator designatus si has, quas nuper commemoravi virtutes imperatorias habeat, nobilis statim sit: talis enim virtus obscurum diu hominem manere non sinit.

17. Dicimus autem ne divitem quidem, nisi virtutes imperatorias habeat, pecuniarum causa imperatorem designari debere: nec pauperem contra, si bonus fuerit, paupertatis ac tenuitatis causa repellendum. Nec vero divitem divitiarum gratia repellimus, sed si virtutes imperatore dignas non habeat: nec pauperem, quia pauper est, designamus, sed quia fortem atque imperatorium habeat animum. Neutrum propter fortunam repudiamus, sed utrosque propter mores asciscimus. C

18. Dives bonus tantum præstat generoso pauperi, quantum aurea atque argentea arma æreis ferreisque antecedunt: hæc enim in bello æque efficacia sunt, illa vero præter efficacitatem etiam ornamentum afferunt.

19. Pauperem generosum voco, qui munerum abstinens est, et minime quæstuosus: quæstuosum enim virum, ne si ditissimus quidem fuerit, utile est imperatorem eligi. D

20. Imo vero neque parcum aliquem aut sordidum, ad rem faciendam venalitium, aut aliquid ejus generis molientem: necesse est enim tales perparcos esse, et ad aviditatem pecuniarum inexplebiles, et ad cumulandas opes nimium intentos, et ab honestis actionibus longe abhorrentes.

21. Si claris et nobilibus majoribus fuerit, aliquam hoc commendationem habeat: hanc tamen generis nobilitatem, si absit, non admodum requirenius, neque tantummodo propter hanc unam, si alias laudabiliter artem imperatoriam teneat, dignus hoc munere habeatur

NOTÆ.

(13) *Τὰ πράγματα*. Scribe. τὰ τραύματα.

(14) *Παρατηρεῖσθαι*. Scribe παραιτεῖσθαι.

22. Quemadmodum enim animantia omnia ex moribus illorum et actionibus exquirimus utrum generosa an inertia sint, sic et hominum nobilitatem non ex majorum laude, sed ex suis ipsorum actionibus et rebus gestis æstimare oportet. Iniquum enim atque indignum est humiles atque obscuros quosque milites sua ipsorum virtute ac militari laude, et non majorum splendore, emergere, imperatores autem propter majorum suorum præclara facta elegi, cum ipsi imperiti atque inertes sint.

23. Neque vero illos, qui cum obscuro loco nati sunt, tamen sua ipsorum facta nimis venditant. Nam si virtuti suæ majorum quoque splendor accedat, fortunatus imperator est: sin virtus abfuerit, ne hæc quidem illum clarum efficient.

24. Fortassis autem existimare quis posset, meliores futuros imperatores qui nulla majorum suorum laude commendantur. Nam qui majorum factis clari sunt, et illorum gloria illustres sunt, sæpe negligentiores et remissiores sunt: qui autem nihil a majoribus acceperunt, isti majorum obscuritatem sua virtute illustrant, et ad res alacrius suscipiendas omni animi contentione impelluntur. Et quemadmodum qui haud magna cum re sunt, ad vitæ cultum et affluentiam rerum comparandam diligentius contendunt, sic quibus nulla a majoribus gloria relicta est, iidem sua ipsorum virtute strenui esse laborant.

25. Iis de causis eligatur imperator bonus, nobilis, dives: non repellatur autem pauper si cum virtute sit, quanquam claris ac illustribus majoribus ortus non sit.

26. Ad summam autem dicere oportet imperatorem, si fieri potest, corpore gratioso, robusto et laborioso, mente autem celeri ac strenua, honoris expetentem, promptum, periculorum despicientem, et rerum divinarum veræque religionis sanctissimum cultorem esse debere.

27. In voluptatibus corporis temperantem, consilio et laude vera in rebus honestis suscipiendis inexplebilem atque insatiabilem.

28. Ad perspiciendum in dubiis rebus quid maxime opus facto sit, acrem et solertem.

29. Ex iis quæ in promptu sunt, ad res abstrusas conjiciendas felicem.

30. In instruendo et armando et ornando exercitu peritum.

31. Ad jacentes militum animos oratione excitandos, et in spem bonam adducendos habilem, et ad periculum suscipiendum paratos efficientem.

32. Eorum quæ constituta et decreta sunt, constantissimum custodem.

33. In sermone certum, ne ab astutis et disertis viris, quæ illi ad deteriorem partem applicabunt, capiatur.

A κβ'. Ὥσπερ γὰρ τὰ ζῶα ἀπὸ τῶν ἰδίων πράξεων καὶ ἐθῶν ἐξετάζομεν εὐγενῆ ἢ δυσγενῆ, οὕτως χρὴ σκοπεῖν καὶ τὴν τῶν ἀνθρώπων εὐγένειαν, οὐκ ἀπὸ τῶν προγόνων, ἀλλ' ἐκ τῶν ἰδίων πράξεων καὶ κατορθωμάτων. Καὶ πῶς γὰρ οὐκ ἀπρεπὲς καὶ ἀπαίδευτον, τοὺς μὲν λιτοὺς στρατιώτας διὰ τὰς ἰδίας ἀριστείας καὶ τοὺς ἀγῶνας τιμᾷν, οὐ τοὺς ἐκ προγόνων λαμπροὺς, ἀλλὰ τοὺς αὐτοχειρίᾳ τι λαμπρὸν ἔργον πεποιηκότας· τοὺς δὲ στρατηγοὺς διὰ τοὺς προγόνους ἐπιλέγεσθαι, κἂν εἰσιν ἄχρηστοι;

κγ'. Ἀλλὰ μὴν διὰ τὴν ἰδίαν αὐτῶν ἀρετὴν, κἂν μὴ ἀπὸ τοῦ γένους λαμπρύνωνται. Προσόντων μὲν δὴ τούτων καὶ προγόνων λαμπρῶν εὐτυχὴς ὁ στρατηγὸς, ἀπόντων δὲ τῶν ἀρετῶν, κἂν παρῇ ταῦτα, ἄπρακτος. B

κδ'. Τάχα δέ τις ἐλπίσοι καὶ κρείττονας ἔσεσθαι στρατηγοὺς τοὺς οὐκ ἔχοντας ἀπὸ τῶν προγόνων σεμνύνεσθαι. Οἱ μὲν γὰρ ἐπὶ γονεῦσι δοξαζόμενοι, καὶ τὴν ἀπ' ἐκείνων ἔχοντες εὔκλειαν, πολλάκις ῥαθυμότερον καὶ ἀμελέστερον διάκεινται· οἱ δὲ μηδεμίαν δόξαν προγόνων ἔχοντες, οὗτοι τὴν τῶν πατέρων ἀδοξίαν ἀναπληροῦσθαι θέλοντες τῇ ἰδίᾳ προθυμίᾳ φιλοκινδυνότερον ἐπὶ τὰς πράξεις ἔρχονται. Καθάπερ οἱ πένητες ἐπιπονώτερον μᾶλλον τῶν ἐπορωτέρων (15) ἐπὶ τὴν τοῦ βίου κτῆσιν ὁρμῶνται, τὸ ἐλλεῖπον ἀναπληρῶσαι τῆς τύχης σπουδάζοντες· οὕτω οἱ μὴ ἐκ πατέρων κληρονομήσαντες δόξαν διὰ τῶν ἰδίων πράξεων σπουδάζουσιν οἰκειοῦν αὐτοῖς δόξαν.

C κε'. Διὰ ταῦτα μὲν οὖν προχειριζέσθω στρατηγὸς ἀγαθὸς, εὐγενὴς, πλούσιος. Μὴ ἀποβαλλέσθω δὲ πένης μετὰ ἀρετῆς, εἰ καὶ μὴ ἀπὸ λαμπρῶν καὶ ἐνδόξων προγόνων κατάγει τὸ γένος.

κϛ'. Κεφάλαιον δὲ εἰπεῖν, χρὴ τὸν στρατηγὸν, εἰ δυνατόν ἐστιν, καὶ τὸ σῶμα εὐπρεπῆ, καὶ ἀνδρεῖον, καὶ φιλόπονον, καὶ ὀξύτατον τὴν γνώμην, καὶ γενναῖον, καὶ σπουδαῖον, καὶ φιλοκίνδυνον, καὶ μάλιστα θεοσεβῆ, καὶ περὶ τὰ θεῖα πράγματα ἐπιμελέστατον.

κζ'. Ἡδονῶν δὲ τοῦ σώματος ἐγκρατῆ, τῆς δὲ γνώμης ἄπληστόν τε καὶ ἀκόρεστον ἐπὶ τῷ ἐπαίνῳ πράξεσιν ἀγαθοῖς [ἀπληστόν τε καὶ ἀκόρεστον].

κη'. Συνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινόν τε καὶ ὀξύ.

D κθ'. Ἐκ τῶν φαινομένων τὰ κεκρυμμένα στοχάζεσθαι ἐπιτυχέστατον.

λ'. Τάξαι δὲ στρατὸν, καὶ ὁπλίσαι, καὶ κοσμῆσαι ἔμπειρον.

λα'. Λόγοις δὲ ἀνιστᾷν τὰ πεπτωκότα φρονήματα στρατοῦ, καὶ ἐλπίδων ἐμπλῆσαι ἀγαθῶν, καὶ ἑτοίμους πρὸς τοὺς κινδύνους παρασκευάσαι δυνατόν.

λβ'. Καὶ τὰ συντιθέμενα δὲ ἢ ὁμολογούμενα φυλάξαι βεβαιότερον.

λγ'. Μὴ παρασύρεσθαι δὲ ὑπὸ τῶν ἐν λόγοις δυνατῶν, οἷς ἐκεῖνοι παρέλκειν τοῦ καθήκοντος ἐθέλουσιν, εἶναι δὲ ἀσφαλῆ.

NOTÆ.

(15) Ἐπορωτέρων. Scrib. εὐπορωτέρων.

λδ'. Χρημάτων δὲ, εἰς μὲν ἡδονὰς τὰς ἑαυτοῦ, φειδόμενον, καὶ ὀλίγοις ἀρκούμενον, εἰς δὲ τὸ εὐεργετεῖν τοὺς ὑπ' αὐτὸν, καὶ μάλιστα εἰς τὴν ὑπὲρ τοῦ κοινοῦ δαπάνην, ἄφθονόν τε καὶ ἡπλωμένον. A

λε'. Τοιοῦτον τοίνυν ὄντα τὸν προχειριζόμενον στρατηγὸν, οἷον ὁ λόγος ὑπέγραψε τῇ φύσει, καὶ τοῖς ἤθεσι, καὶ ἐπιτηδεύμασι, δεῖ εἰς τὴν ἀρχὴν προχειρισθέντα καὶ ἔτι ἀγαθὸν εἶναι, εὐπροσήγορον, ἕτοιμον, ἀτάραχον.

λς'. Μὴ οὕτως ἐπιεικῆ καὶ πρᾶον, ὥστε καταφρονεῖσθαι, μηδὲ οὕτως φοβερὸν, ὥστε μισεῖσθαι. Ἵνα μήτε διὰ τὴν ἀμέλειαν ἐκλύσῃ τὸ στράτευμα, [καὶ] εἰς καταφρόνησιν ἀγάγῃ, μήτε διὰ τὸν φόβον τῆς αὐτοῦ ἀγάπης ἀλλοτριώσῃ.

λζ'. Τὰ δ' ἄλλα ὅσα χρὴ τοῦτον ἐπιτηδεύειν ἐν ταῖς παρεμπιπτούσαις ἑπικαίροις διοικήσεσι, καὶ ὅσα παραφυλάττεσθαι χρὴ, νῦν μὲν διὰ τὸ πλῆθος συνεστείλαμεν, ἐν δὲ τῷ πλάτει τῆς παρ' ἡμῶν ἐκτιθεμένης τακτικῆς καθέκαστα μνημονεύσομεν, ὅση δύναμις. B

λη'. Τοιοῦτον δὲ ὄντα καὶ οὕτως διατηρούμενον τὸν παρὰ τῆς βασιλείας ἡμῶν (16) προχειριζόμενον στρατηγὸν ἐλπίζομεν αὐτὸν καὶ τῆς τοῦ Θεοῦ ἀπολαύσειν εὐμενείας, καὶ τῆς ἡμετέρας εὐνοίας, καὶ τῆς τοῦ κοινοῦ σωτηρίας, καὶ τῆς παρὰ πάντων εὐφημίας, καὶ τῆς κατὰ τὸν βίον εὐημερίας ἐν Χριστῷ τῷ μόνῳ αἰωνίῳ καὶ ἀδιαδόχῳ βασιλεῖ. Ἀλλ' οὕτως μὲν καὶ τὴν τοῦ στρατηγοῦ κατάστασιν ἀπαρτίσαντες, φέρε, τοῦτον οἱονεὶ κατ' ὀφθαλμοὺς τῆς ἡμετέρας παραστησάμενοι βασιλείας, τὰ πρέποντα καὶ πρόσφορα τῇ στρατηγικῇ τε καὶ τακτικῇ ἐπιστήμῃ διὰ τῆς ἐφεξῆς ἡμῶν παρακελεύσεως παραινέσωμεν. C

λθ'. Πρὸ μὲν τῶν ἄλλων ἁπάντων, ὦ στρατηγὲ, πρώτην σοι ταύτην παρακέλευσίν τε καὶ παραίνεσιν ποιούμεθα, ὥστε θεοφιλίας καὶ δικαιοσύνης ἐπιμελεῖσθαι, καὶ οἷον ὁρᾷν διηνεκῶς πρὸ ὀφθαλμῶν τὸν Θεὸν καὶ φοβεῖσθαι αὐτὸν, καὶ ἀγαπᾷν ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ μετ' ἐκεῖνον ἡμᾶς, καὶ τὰς αὐτοῦ ἐκτελεῖν ἐντολὰς, καὶ τὴν ἐκείνου εὐμένειαν ἐκ τούτου προσλαμβάνεσθαι, ἵνα εἰ καὶ τολμηρότερον εἰπὼν καιρῷ περιστάσεως ὡς φίλος φίλῳ, τῷ κοινῷ Δεσπότῃ θαῤῥῶν πεποιθότως προσεύχῃ, καὶ τῆς σωτηρίας τὰς ἐλπίδας ἔχων ταύτην αὐτοῦ φιλίως ἐξαιτῇς. Ἀψευδὴς γάρ ἐστιν ὁ εἰπών· Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. D

μ'. Ἴσθι γάρ τι θείας εὐμενείας ἐκτὸς οὐκ ἔστι καλῶς κατορθωθῆναι βουλὴν, κἂν φρόνιμος εἶναι δόξῃς, οὔτε ἔστι πολεμίων περιγίνεσθαι, κἂν ἀσθενεῖς ἐκεῖνοι νομίζωνται, διὰ τὸ πάντα ἐν τῇ προνοίᾳ τοῦ Θεοῦ κεῖσθαι, καὶ αὐτὰ τὰ ἐλάχιστα δοκοῦντα τὴν αὐτοῦ πρόνοιαν διοικεῖν.

μα'. Ὥσπερ γὰρ κυβερνήτης πλοίου, κἂν πάνυ ἄριστός ἐστι, τῶν ἀνέμων καλῶς μὴ πνεόντων ἀπρα-

34. In pecunia consumenda ad conquirendas sibi voluptates, parcissimum ac frugalissimum: ad consensionem vicinorum, et præcipue in sumptibus pro republica faciendis, largum et liberalem.

35. Is igitur imperator designatus, qualem oratio nostra descripsit, natura, moribus et institutis ubi jam præest benignus, affabilis, promptus facilisque sit.

36. Nec vero tam clemens et mitis sit ut contemnatur, nec tam severus, ut odio habeatur, ne propter negligentiam exercitum et omnem sub imperio suo subjectam corrumpat plebem, nec contra propter timorem ab amore sui alienet.

37. Reliqua quæcunque oportet eum in quotidianis et singulis rerum administrationibus suscipere, nunc propter longitudinem in angustum contraximus, sed ea in ipso quasi salo orationis nostræ de re militari habito, seorsim quantum possumus repetemus.

38. Talis si sit et permaneat qui a regno nostro imperator eligitur, speramus eum Dei bonitatem, nostram benevolentiam, et reipublicæ salutem, et magnam apud omnes existimationem, et vitæ tranquillitatem in Christo Deo solo universitatis perenni et sempiterno Rege comparaturum. Itaque ad hunc modum imperatoris forma descripta, age quasi ante oculos regni nostri conspectumque ponamus, et hac sequenti nostra exhortatione, quæ in militari atque imperatoria arte maxime necessaria idoneaque sunt, explicemus.

39. Principio igitur ante omnia, o imperator, tibi hanc cohortationem et præceptum trado, ut pietatem et justitiam colas, et assidue ante oculos Deum habeas, illum reverearis, omnique corde et mente tua illum diligas, et secundum illum nos, et illius imperata facias, et illius benevolentiam inde acquiras, ut (audacter sane videbor loqui) ingravescentibus temporibus, quasi amico Deo omnium dominatore fretus, cum fiducia illum deprecceris, et spem salutis in illo ponens amice ab illo quidvis contendas. Fidelissimus est enim qui dixit: Voluntatem timentium eum faciet, preces eorum audiet, et servabit eos.

40. Certo enim scias, absque divina benevolentia, quanquam magna prudentia esse videaris, te quod cupis minime præstiturum, neque hostes quamvis imbelles superaturum: quia omnia divina providentia continentur, et quæ minutissima sunt, illius tamen providentia administrantur.

41. Quemadmodum enim gubernator navis, quanquam valde peritus sit, si venti minus secundi

NOTÆ.

(16) *Παρὰ τῆς βασιλείας ἡμῶν*. Vertendum erat: *A majestate nostra*. Ut etiam paulo post: Ὥσπερ πρὸ τῶν ὀφθαλμῶν τῆς ἡμετέρας παραστησάμενοι βασιλείας. Videndum Glossarium nostrum in βασιλεία.

fuerint, artem habet pene inanem, sin ventum nactus fuerit et artem suam quoque adjunxerit, celeritate cursum feliciter duplicat : sic imperator bonus, si benevolentiam Dei collegerit, copias suas munusque imperatorium cum vigilantia industriaque bene administrabit, et commendatum sibi exercitum sine offensione reget, et magnitudine sapientiæ suæ hostes oppugnabit. Dei enim providentia omnia partim ad utilitatem docebit, partim ad bonum exitum traducet. Hic igitur fide religiosus, in rebus agendis justus, quasi fundamento bono et stabili jacto, reliqua bona exstruet.

42. Mitis ac sedatus fias adversus eos qui te conveniunt : efferati enim mores odiosi atque intolerabiles fiunt.

43. In vitæ vestitusque cultu simplex fias et frugalis : luxus enim necessarios sumptus ad nihilum exhaurit.

44. Vigilanter et industrie, non negligenter aut solute negotia suscipe : diligentia enim et assiduitas res asperas et molestas facile conficit : qui autem in re agenda negligens est, ab ipsa re neglectus erit.

45. In rebus magnis et necessariis nihil facias sine consilio : sin serius consilium ceperis, quod consultum est sine ulla dilatione aut hæsitatione perficias, quemadmodum in ægritudinibus medici faciunt.

46. Subjectis tuis te in omnibus æquum exhibeas : nihil ulla cum iniquitate aut studio partium, quam personarum acceptionem vocant, sed secundum justitiæ naturam ex æquo et bono omnia pertractes.

47. Nec dissolutus aut negligens sis in vindicandis flagitiis a negligentia aut improbitate ortis, ut modestus videaris esse : neque enim modestiæ est, in rebus potissimum necessariis, improbitati aut nequitiæ aliquid concedere, neque contra ad severitatis ostentationem temerarie et indicta causa supplicium de aliquo sumere : illud enim contemptum atque contumaciam parit, hoc autem justum odium et fructus eo dignos. Perbona autem res est timor cum justitia : et post crimen propositum justa animadversio, quæ non supplicium, sed castigatio quædam a sapientibus nominatur.

48. In primis ad bellum armatus, hoc cogita, bellum esse justum quod susceperis, nec violentas aut injustas manus hostibus afferas, nisi priores illi propter consuetam illorum impietatem expeditionem facientes, nostram ditionem invadant.

49. Nam cum nos semper pacem, tum erga subjectos, tum erga externos, propter Christum universitatis Regem et Deum complectamur, si gentes suis inclusæ finibus contentæ sint, nullamque injuriam inferre studeant, tum tu manus ab illis abstineas, neque sanguine intestino aut externo terram polluas : quæ enim tu illis exprobraveris, quod ho-

A κτον ἔχει τὴν τέχνην· ἐὰν δὲ τούτους προσλάβηται, ἔχῃ δὲ καὶ τὴν τέχνην συμπράττουσαν, διπλοῦν τὸν δρόμον τοῦ πλοίου σὺν ἀσφαλείᾳ ποιεῖται· οὕτω καὶ ἄριστος στρατηγὸς, ἐὰν τὴν εὐμένειαν τοῦ Θεοῦ ἐνδύσηται, καὶ τῇ τάξει, τῇ στρατηγίᾳ, συναγρυπνίᾳ, καὶ ἐπιμελείᾳ χρήσηται καλῶς, καὶ τὸν πιστευόμενον αὐτῷ στρατὸν ἀσφαλῶς διοικήσῃ, καὶ τῇ ποικίλῃ γνώμῃ τῶν ἐχθρῶν ἀντιστρατεύσασθαι δύναται. Ἡ γὰρ τοῦ Θεοῦ πρόνοια τὰ μὲν διδάξει πρὸς συμφέρον, τὰ δὲ πρὸς ἀγαθὸν τέλος ἀποτελειώσει. Τοιοῦτος τοίνυν, εὐσεβὴς μὲν περὶ τὴν πίστιν, δίκαιος δὲ περὶ τὰς πράξεις ὑπάρχων, ὥσπερ θεμελίῳ ἀγαθῷ καὶ ἀσαλεύτῳ καὶ τὰ ἄλλα ἀγαθὰ ἐποικοδομεῖ.

μβʹ. Πρᾶος γενοῦ, καὶ ἀτάραχος τοῖς ἐντυγχάνουσι. Τὸ γὰρ ἄγριον τοῦ ἤθους μισητὸν καὶ φευκτόν.

B

μγʹ. Λιτός τε καὶ ἁπλοῦς περὶ τὴν δίαιταν καὶ τὸ ἔνδυμα, τὰς ἀναγκαίας δαπάνας εἰς μάταιον ἐξαντλᾷ.

μδʹ. Ἀγρύπνως δὲ καὶ ἐπιμελῶς τοῖς ἀναγκαίοις πράγμασιν ἐγχειρῶν, καὶ μὴ ῥαθύμως καὶ ἀμελῶς. Ἡ γὰρ ἐπιμέλεια καὶ ἐπιμονὴ καὶ τὰ πάνυ δυσχερῆ τῶν πραγμάτων εὐκόλως κατορθοῖ, καὶ ὁ καταφρονῶν πράγματος καταφρονηθήσεται ὑπ' αὐτοῦ.

μεʹ. Ἐπὶ δὲ τοῖς μεγάλοις καὶ ἀναγκαίοις τῶν πραγμάτων μηδὲν χωρὶς βουλῆς διαπράττου· εἰ τάχα δὲ καὶ βραδυτέρως βουλεύσῃ, ἀλλὰ τὸ βουλευθὲν συντόμως καὶ ἀσφαλῶς, ὡς δυνατὸν ἐπιτέλει, C ὥσπερ ἐπὶ τῶν νοσημάτων οἱ ἰατροί.

μϛʹ. Ἀλλὰ καὶ τοῖς ἀρχομένοις ἴσως προσφέρου, μηδὲν κατὰ προσωποληψίαν ἐργαζόμενος, ἀλλὰ πᾶσιν ἴσως κατὰ τὴν τοῦ δικαίου φύσιν ὑπεξερχόμενος.

μζʹ. Μηδὲ χαύνως καὶ ῥαθύμως διοίκησον ἐπὶ τοῖς ἀπὸ κακίας ἢ ἀμελείας ἁμαρτανομένοις, διὰ τὸ δοκεῖν εἶναι καλόν· οὐδὲ γὰρ καλὸν ἐπὶ τῷ συνεργεῖν κακίᾳ, καὶ ῥαθυμίᾳ, μάλιστα ἐπὶ τῶν καιρῶν, καὶ ἀναγκαίων πραγμάτων· μηδὲ πάλιν δι' ἔνδειξιν αὐστηρίας προπετῶς καὶ ἀδιακρίτως τὰς ἐπεξελεύσεις ποιοῦ· ἐκεῖνο μὲν γὰρ περιφρόνησιν καὶ ἀπείθειαν φέρει, τοῦτο δὲ μῖσος εὔλογον, καὶ τοὺς ἐξ αὐτοῦ καρπούς. Κρεῖττον γὰρ ὁ μετὰ δικαιοσύνης φόβος, D καὶ ἡ μετὰ φανέρωσιν τῆς αἰτίας εὔλογος ἐπεξέλευσις, ἥ τις οὐ κόλασις, ἀλλὰ σωφρονισμὸς εὐφρονοῦσι λογίζεται.

μηʹ. Πρὸ πάντων δὲ ἐπὶ πολέμους ὁπλιζόμενος, ἀποσκόπου δικαίαν εἶναι τὴν ἀρχὴν τοῦ τοιούτου πολέμου, καὶ μὴ χεῖρας ἀδίκους ἐπίβαλλέ ποτε κατὰ πολεμίων, εἰ μὴ πρότερον ἐκεῖνοι διὰ τῆς συνήθους αὐτῶν ἀσεβείας ἐκστρατεύειν ἀπαρξάμενοι τὴν ἡμετέραν χώραν καταδράμωσιν.

μθʹ. Ἡμῶν γὰρ ἀεὶ τὴν εἰρήνην καὶ πρὸς τοὺς ὑπηκόους καὶ πρὸς τοὺς βαρβάρους διὰ Χριστὸν τὸν καθ' ὅλου Βασιλέα καὶ Θεὸν ἀσπαζομένων, ἐὰν καὶ τὰ ἔθνη τοῦτο φιλοῦσι τοῖς ἰδίοις ἐγκλειόμενα ὅροις, καὶ μηδὲν ἀδικεῖν ἐπαγγελλόμενα, καὶ αὐτὸς σὺ κατὰ αὐτῶν τὰς χεῖρας σύστειλον, καὶ αἵμασι τὴν γῆν μήτε ἐμφυλίοις μήτε βαρβαρικοῖς καταχραίνῃ. Ἃ

γὰρ ἐγκαλέσεις τοῖς ἐχθροῖς ἤγουν ἀπάρχεσθαι χειρῶν ἄδικον οὐδὲν ὑπὸ σοῦ ἀδικουμένους, ταῦτα ἄρα καὶ αὐτοὶ μηδὲν ἐναντίον δρῶντες κατὰ τῶν ὑπηκόων τῆς ἡμῶν βασιλείας εἰρηνεύοντας ἐγκαλέσουσι. Δεῖ γὰρ ἡμᾶς ἀεὶ τοὺς εἰ δυνατὸν τὸ ἐξ ἡμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντας, τοῖς εἰρηνεύειν βουλομένοις ἔθνεσι, καὶ μηδὲν ἀδικεῖν τοὺς ὑποχειρίους ἡμῶν, ὡς τὴν εἰρήνην τῶν ἄλλων προτιμῶντας ἁπάντων, συνειρηνεύειν ἐκείνοις, καὶ πολέμων ἀπέχεσθαι.

ν'. Εἰ δέ γε μὴ σωφρονεῖ τὸ ἀντίπαλον, ἀλλ' αὐτοὶ τῆς ἀδικίας ἀπάρξονται, τὴν ἡμετέραν κατατρέχοντες γῆν, τότε ἄρα δικαίως αἰτίας προκειμένης, ὡς καὶ ἀδίκου πολέμου παρὰ τῶν ἐναντίων, ἀπαρχομένου θαρσαλέως καὶ σὺν προθυμίᾳ τοῦ κατὰ αὐτῶν ἐγχείρει πολέμου, ὡς ἐκείνων τὰς αἰτίας παρασχομένων, καὶ ἀδίκους χεῖρας κατὰ τῶν ὑποχειρίων ἡμῶν ἀραμένων, καὶ θάῤῥει τότε ὡς καὶ τὸν τῆς δικαιοσύνης Θεὸν ἕξεις βοηθὸν, καὶ τοὺς ὑπὲρ ἀδελφῶν ἀναδεχόμενος ἀγῶνας πανστρατιᾷ τὴν νίκην ἕξεις. Διὰ τοῦτο οὖν προτρεπόμεθα τὴν σὴν ἐνδοξότητα διὰ πάντων ἀποσκοπεῖν δικαίας ποιεῖσθαι τὰς ἀρχὰς τοῦ πολέμου, καὶ τότε τὰς χεῖρας ὁπλίζειν κατὰ τῶν ἀδικούντων.

να'. Διὰ πάντων δὲ καὶ ἐν ἅπασι κρείττονα σεαυτὸν τῶν ὑποχειρίων ἀναδεῖξαι διαγωνίζου, καὶ κατὰ ἐξαίρετον, εἴς τε τὴν εἰς Θεὸν πίστιν, καὶ τὴν εὐσέβειαν, καὶ τὰς λοιπὰς ἀρετάς. Τοῖς γὰρ τῶν ἀρχόντων φρονήμασι φιλεῖ πως συνδιατίθεσθαι τὸ ἀρχόμενον, ὡς ἂν κατὰ τὴν παροιμίαν μὴ ἔλαφοι λεόντων ἄρχωσιν, ἀλλὰ λέοντες ἐλάφων.

νβ'. Καὶ ταῦτα μέν τοι, ὦ στρατηγὲ, ὡς ἐν συνόψει τῆς βασιλικῆς ἡμῶν διατάξεως παραγγέλματα, ἅπερ τὸ τῆς συντομίας χρειῶδες ἐπὶ πλείονος οὐκ ἐᾷ παρεκτείνεσθαι. Ἔξεστι δέ σοι ταῖς τε παρ' ἡμῶν ἰδίᾳ ἐκτεθείσαις γνώμαις ἐν τούτῳ τῷ συντάγματι, καὶ προσέτι ταῖς κατὰ πλάτος συνηθροισμέναις ἡμῖν ἐν τῇ παραλλήλῳ τῶν τακτικῶν μονοβίβλῳ (17) τὴν ἐκεῖθεν τῶν ζητουμένων πλείονα καὶ ἀρκοῦσαν πορίσασθαι ὠφέλειαν.

νγ'. Τούτων οὖν ἐχόμενος αὔξειν, καὶ προστιθέναι τοῖς ἀγαθοῖς ἔργοις προθυμήθητι, ὡς ἂν πολλαπλασιάζων τῇ σπουδαίᾳ σου γνώμῃ τὰ κελευόμενα, πρῶτα μὲν Θεὸν ἕξῃς ἐπαινέτην τῶν πράξεών, ἔπειτα δὲ καὶ τὸ ἡμέτερον κράτος, γέρα τῶν πόνων ἐπάξια δ' ἀμφοῖν κομιζόμενος.

A minibus innocentibus et nullam injuriam inferentibus manus attulerint, eadem illa ipsi, si nihil adversum regni nostri subjectos patrarint, sed pacati fuerint, tibi inferenti bellum exprobrabunt. Par est enim nos, qui cum omnibus hominibus, quantum in nobis est, pacem facimus, cum iis qui tranquilli esse volunt, et nullam injuriam nobis nec subjectis nostris inferre conantur (quia pacem cæteris rebus omnibus anteponimus), pacem constituere, et a bello abstinere.

50. Sin immodesti hostes et injuriarum auctores fuerint, nostram populantes terram, tum cum justa defendendi causa nobis proponitur, et injustum bellum ab adversariis infertur, confidenter et animose suscipe bellum contra eos hujus injustitiæ B auctores, et violentas manus subjectis nostris afferentes : bonum tum habe animum, et adjutorem justum habebis Deum, et pro fratribus tuis pericula subiens omnino splendidam victoriam habebis. Itaque hoc dignitatem tuam imperatoriam precamur, ut diligenter consideres causam belli, et ex justis initiis bellum moveto, et contra nefarios homines aciem tuam teque armato.

51. Omnino igitur in omnibus teipsum subjectis tuis meliorem demonstrare contendas, et fide in Deum, pietate ac reliquis virtutibus eximium. Nam ad principum virorum cogitationes solet se subjectorum multitudo accommodare, ut, juxta vetus proverbium, non cervi leonibus imperent, sed leo- C nes cervis.

52. Hæc tibi, imperator, paucis uno sub aspectu regii nostri instituti præcepta conclusimus, quæ hæc nostra brevitatis institutio fusius dilatari non patitur. Licebit autem inquirenti tibi ex iis quæ hoc nostro libro clausulis tractantur, et præterea ex iis quæ diffuse a nobis in libro qui de comparatione factorum militarium inter se conscriptus est, majorem et uberiorem utilitatem percipere.

53. In has res diligenter incumbe, et conare ista amplificare, et ad res gestas tuas adjungere, ut cum animi promptitudine præceptorum magnitudinem superaveris, primum Deum optimum maximum, D deinde meipsum quoque laudatorem rerum gestarum habeas, et mercedem laboribus tuis dignam ab utroque reportes.

ΔΙΑΤΑΞΙΣ Γ' (18).

Περὶ τοῦ πῶς χρὴ βουλεύεσθαι (19).

Ἐπειδὴ δὲ πρὸ πάσης πράξεως βουλὴν ἡγεῖσθαι χρεών· διοίκησις γὰρ ἀπροβούλευτος οὐχ ἀσφαλὴς, κἂν ἐκ τοῦ παραχρῆμά τις αὐχῇ πολλάκις κατορ-

CONSTITUTIO III.

Quomodo consilium capiendum sit.

1. Omnem actionem consilium anteeat : inconsulta enim rerum tractatio haud satis tuta est. Nam quanquam interdum quis glorietur se, quasi simul

NOTÆ

(17) *Ἐν τῇ παραλλήλῳ τῶν τακτικῶν μονοβίβλῳ.* Ergo alium adhuc singularem Tacticorum librum Leo hic conscripsit, qui nondum inventus.

(18) Hoc caput quartum est in codice Laurentiano ; sed hoc ordine esse sivimus, ob rationes, quas *Meursius* affert, licet non plurimi faciendas.

(19) *Περὶ τοῦ πῶς χρὴ βουλεύεσθαι.* Hic titulus hactenus quartus fuit, et quartus item tertius. Manifesta confusio. Nos in ordinem restituimus utrumque, præeunte ipso Leone in proœmio, ubi titulorum hujus sui operis catalogum ponit. Et facile nos recte atque ordine fecisse judicabit lector, cui aliquid cerebri.

et deliberaverit et res suas gesserit, res multas prospere atque ex tempore gessisse, tamen perraro aliquid tale usu venire fortunate solet.

2. Propterea in primis præcipimus tibi, ut ante omnes res suscipiendas, maxime autem bellicas, consilium cum iis præfectis capias, qui tibi ad hoc idonei videbuntur : cujus generis turmarchæ reliquique sunt. Ubi vero firmitatem aliquam habere consilium videbitur, rem ipsam de qua deliberasti omni studio ac diligentia contendas ad exitum perducere, nisi si (quod persæpe solet accidere) aliquid interim adversum et contrarium consilio contingat. Consilium autem quidnam tandem sit, et quemadmodum consilium tuto expedire possis, explanabo.

3. Consilium est deliberatio quædam de re agenda vel non agenda. Si res agenda non sit, statim sistendum tibi est : sin agenda sit, modum agendi vel quomodo, tempus, vel quando, ubi, vel locum, quid, vel rem agendam, virum deinde qui hoc suscepturus et ad exitum perducturus est, propter quid vel causam cujus gratia res suscipitur, considerare oportet.

4. Qui deliberaturus secum est, ante omnia suam ipsius mentem ab omnibus perturbationibus liberam habeat, maxime autem ab amore vel odio atque omni alia perturbatione, quæ rei, de qua liberatur, damnosa esse potest.

5. Deinde non solum quid facile sit eligito, et in hoc incumbito, sed etiam omnia, quæ usu venire possunt, animo prospice : fortassis enim post rem inceptam aliquid se tibi, quod in primis conducibile est, obferet, quod antea prætermisisti.

6. Quod si tecum ipse non solum capere consilium, verum etiam alios assumere volueris, teipsum tamen perinde ab omni perturbatione vacuum præbe, ac si solus deliberares. Consultores autem adhibe experientes rerum, providos, perspicaces, ærumnarum ac prosperitatis tuæ socios, ad excogitandum solertes, fideles, qui neque tibi ad gratiam obtemperabunt, neque illi, qui rei susceptor exsistit, neque sibi mutuo, sed qui quod cogitant dicunt, qui simplici animo et incorrupto sunt, nullumque ex iis rebus lucrum quærunt, sed eo ipso tempore quid maxime utile sit explorant.

7. Sunt enim, qui cum lucrum aliquod, aut eos, quos charos habent atque diligunt, pertinere posse vident, totam judicationem rei eo transferunt; et quia pertinaces sunt, universum consilium ab utilitate communi ad id, quod ipsi volunt, deducunt.

8. In rebus occultis et abditis fideles adhibe tibi et temperantes viros, et taciturnos, et qui in sua, et non aliorum potestate sunt, cum secretæ res istæ, ut secretiores fiant, minime ad cognoscendum multitudine indigent.

9. Delibera tarde, nisi aliqua necessitas celeritatem requirit; ubi consulueris, si nullum impedimentum sit, mature facito.

10. Tempus et locum, quemadmodum prædictum

θῶσαί τι ὡς ἅμα καὶ βουλευσάμενος καὶ πράξας, ἀλλ' οὐ νόμος τὸ σπάνιον.

β'. Διὰ τοῦτο καὶ πρὸ τῶν ἄλλων παρακελευόμεθά σοι πάσης πράξεως ἀναγκαίας καὶ μάλιστα πολεμικῆς βουλεύεσθαί σε πρότερον μετὰ τῶν δοκούντων σοι ἱκανῶν περὶ ταύτην ἀρχόντων, οἷον τουρμάρχων, καὶ τῶν ἐφεξῆς. Ἐπὰν δὲ δοκοῦν ἐπιβεβαιωθῇ λόγῳ, τῇ τότε τὸ ἔργον δι' ὅπερ ἐβουλεύσω σπουδῇ καὶ ἐπιμελείᾳ μεταχειρισάμενος εἰς πέρας ἀγαγεῖν, εἴγε μηδὲν ἀπαντῇ σοι ἐναντίον, ὡς τὰ πολλὰ εἴωθε, προθυμηθέντι. Τῆς δὲ βουλῆς τὸ εἶδος τί τέ ἐστιν, καὶ ὡς κατορθώσεις ταύτην ἀσφαλῶς, ἤδη σοι διατάξομαι.

γ'. Βουλή ἐστι διάσκεψις περὶ τοῦ πρᾶξαί τι ἢ μὴ πρᾶξαι· καὶ εἰ μὲν μὴ πρᾶξαι, σιγὴ τὸ ἐντεῦθεν· εἰ δὲ πρᾶξαι, πῶς πρᾶξαι, ἤγουν τὸν τρόπον τῆς πράξεως, ποῦ πρᾶξαι, ἤγουν τὸν τόπον τῆς πράξεως, πότε πρᾶξαι, ἤγουν τὸν καιρὸν τῆς πράξεως, τί πρᾶξαι, ἤγουν τὸ πρᾶγμα τὸ πραττόμενον, τί πρᾶξαι, ἤγουν τὸ πρόσωπον τὸ μέλλον τὴν βουλὴν εἰς πέρας πράξεως ἀγαγεῖν, διὰ τί πρᾶξαι, ἤγουν τὴν αἰτίαν δι' ἣν ἡ πρᾶξις ὀφείλει γενέσθαι.

δ'. Ὁ δὲ βουλευόμενος καθ' ἑαυτὸν, ἐξ ἀνάγκης πρῶτον τὴν διάνοιαν ἐλευθέραν ἐχέτω τῶν ἄλλων ἁπάντων, μάλιστα δὲ τῶν ἀνηκόντων εἰς τὸ πρᾶγμα περὶ οὗ βουλεύεται, εἴτε ἔχθρας, ἢ φιλίας, ἢ τινος ἄλλου πάθους.

ε'. Εἶτα μηδὲ μόνον τὸ εὔκολον δοκοῦν ἐκλέγου, καὶ τούτῳ πρόσεχε, ἀλλὰ πάντα τὰ δυνατὰ γενέσθαι πρόβλεπε, ἴσως τῶν πραγμάτων αὐτῶν μετὰ τὴν ἔναρξιν ὑποβαλλόντων καὶ ἄλλο τι συμφορώτερον ὅπερ παρέλιπες.

ς'. Εἰ δὲ μὴ ἰδίως βουλεύσασθαι, ἀλλὰ καὶ ἑτέρους παραλαβεῖν πρὸς τὴν διάσκεψιν βουληθείης, σεαυτὸν ὁμοίως ἑτοίμασον ἀπαθῆ, ὥσπερ εἴρηται, ὡς εἰ καθ' ἑαυτὸν ἐβουλεύσω. Τοὺς δὲ συμβούλους περιλάμβανε ἐμπείρους τοῦ πράγματος, προορατικοὺς καὶ στοχαστικοὺς, συμπαθεῖς καὶ ὀξεῖς εἰς τὸ νοῆσαι καὶ ἀσφαλεῖς, οὔτε σοι τῷ βουλευσομένῳ ὑπήκοντας κατὰ χάριν, οὔτε τῷ κυρίῳ τοῦ πράγματος, οὔτε ἀλλήλοις, λέγοντας δὲ τὸ φαινόμενον, ἀκεραίους τε τὰς γνώμας, καὶ ἀπροσκλινεῖς, καὶ μηδεμίαν ἐξ ἑαυτῶν παρέχοντας ἐπιβολὴν, ἀλλὰ τῇ αὐτῇ ὥρᾳ τὸ συμφορώτερον δοκιμάσαντας.

ζ'. Εἰσὶ γάρ τινές τι ἐν ἑαυτοῖς ὁρῶντες ἴδιον συμφέρον ἑτέροις οὓς ἀγαπῶσιν, ἢ κήδονται καὶ ἐπισκέπτονται τὴν κρίσιν τοῦ πράγματος, καὶ πολλάκις οὐκ ἐνδιδόντες παρατρέπουσι τὴν γνώμην ὃ βούλονται.

η'. Ἐπὶ δὲ τῶν ἀποῤῥήτων καὶ κρυπτῶν πραγμάτων καὶ πιστοὺς παραλάμβανε, καὶ ἐγκρατεῖς, καὶ μυστηρίων φύλακας, καὶ μὴ ὑπὸ τὴν ἑτέρων ἐξουσίαν ὄντας, ἄλλοτε μηδὲ τῆς χρείας ταύτης πλείστους δεομένης διὰ τὸ μυστικώτερον.

θ'. Καὶ βουλεύου μὲν βραδέως, εἰ μή τις χρεία τὸ τάχος ἀπαιτεῖ· τὰ δὲ βουλευθέντα σοι, εἰ μηδὲν ἐμποδίζῃ, ταχέως ἐπιτέλει.

ι'. Καιρὸν δὲ, ὡς εἴρηται, καὶ τόπον ὁμοίως ἐκλέ-

γου καὶ κατασκεύαζε τῷ πράγματι οἰκεῖον, πλὴν μὴ ἐπὶ σοὶ μόνῳ ἀνάφερε τὴν περὶ τούτων κρίσιν, ἀλλ' ἐπὶ πάντας τοὺς κοινωνοῦντας τῷ πράγματι ἅμα σοι. Καὶ τί μὲν δέον σε πρᾶξαι σκέπτου, καὶ μετὰ πλειόνων βουλεύου, ἃ δὲ πρᾶξαι βουλεύσῃ, σὺν ὀλίγοις. Τὴν δὲ καλλίονα γνώμην ἐπιλεξάμενος κάτεχε παρὰ σεαυτῷ, ἵνα μὴ τοῖς ἐναντίοις καταφανὴς καὶ εὐεπιβούλευτος γενέσθαι.

ια'. Τὰ δὲ πράγματα πλείονας χορηγοῦσι τοὺς σκοποὺς ἴσως. Τίς περίστασις ἐκ πάντων τῶν μερῶν φανερὰ γένηται τοῖς συνκεκλημένοις ἐν τῇ βουλῇ συμβαλλομένη τῇ γνώμῃ τῆς συμβουλῆς.

ιβ'. Πάντας δὲ χρὴ ῥέπειν καὶ συντρέχειν εἰς φιλαλήθη καὶ ἀπαθῆ συζήτησιν, καὶ κηδεμονίαν, καὶ πρόνοιαν τοῦ συγκαλέσαντος.

ιγ'. Τέλος δὲ τῆς βουλῆς ἔστω σοι τὸ εὑρεθῆναι εἰς πράξεις καὶ πῶς πράξεις, καὶ ποῦ, καὶ πότε, εἰ μὴ πράξῃς, καὶ διὰ τί ἄρα οὐ πράξεις.

ιδ'. Ἐν οἷς δὲ βουλεύῃ καὶ ἐν τοῖς ἐμπίπτουσι τῇ βουλῇ σκοποῖς συντρέχειν δεῖ ἅμα καὶ τὸ δυνατὸν καὶ τὸ συμφέρον· τούτων γὰρ εἶναι μὴ δυναμένων ἀσθενὴς ἡ βουλὴ καὶ ματαία αὐτόθεν οὖσα κατανοεῖται, καὶ ὥσπερ ἐν ὄψει ἡ αὐτῆς ἀλογία βλέπεται.

ιε'. Εἰ γὰρ μὴ συμφέρει σοι ὅπερ ἂν βουλεύσῃ, οὐ μόνον οὐκ ὠφελήσεις, ἀλλὰ μᾶλλον καὶ βλάψεις. Εἰ δ' αὖ πάλιν οὐ δύνασαι τὰ βουλευθέντα πρᾶξαι, ματαία ἡ διάσκεψις εἰς ἀνόητον τέλος διὰ τὴν ἀδυναμίαν καταντῶσα. Μάλιστα δὲ χρὴ φυλάττεσθαι τὰς προχείρως ἐμφερομένας ἐν τοῖς πράγμασι βλάβας, καὶ γὰρ οἱ πολλοὶ ἕτοιμοί εἰσι ταῖς μὲν φροντίσιν εὐφραίνειν ἑαυτοὺς, τὸ δὲ ἐμπίπτον τῆς βλάβης μὴ προβλέπειν.

ις'. Χρησιμωτάτη οὖν ἐστιν ἐνταῦθα ἡ πανταχόθεν περίσκεψις, καὶ πάντων τῶν δυνατῶν γενέσθαι ὁ περὶ τὴν σκέψιν ἀναλογισμός· οὐ γὰρ προδώσεις ἑαυτὸν προπετείᾳ τυφλῇ, οὐδὲ ταῖς ἐπιθυμίαις τῶν πράξεων γλυκόμενος εἰς προδήλους κινδύνους ἐμπέσῃς.

ιζ'. Πάλιν δὲ τὸ δειλὸν καὶ θάρσους χωρὶς οὐκ ἔστιν ἀβλαβές· φοβούμενος γὰρ τὰ ἄλογα παραπτώματα, καὶ τὰ ἐναντία σοι δοκοῦντα παραλόγως πραγματευόμενος, πολλάκις τῶν συμφερόντων σοι πραγμάτων κατημέλησας, καὶ τῆς αὐτῶν ἀπίστης πράξεως.

ιη'. Οὕτω μὲν οὖν σοι διὰ βραχέων, ὦ στρατηγέ, περὶ βουλῆς διεξελθόντες, ἑξῆς καὶ τῆς τῶν πολεμικῶν ἔργων τε καὶ πράξεων τακτικῆς ἀπαρξόμεθα.

ΔΙΑΤΑΞΙΣ Δ'.

Περὶ διαιρέσεως στρατοῦ, καὶ καταστάσεως ἀρχόντων.

α'. Κελεύομεν τοίνυν τῇ σῇ ἐνδοξότητι κατὰ τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς συνήθειαν τοὺς στρατιώτας καὶ τοὺς ἄρχοντας αὐτῶν ἐπιλέξασθαι, οὓς ἂν δοκιμάσῃς ἱκανοὺς εἶναι πρὸς τὴν τοῦ πολέμου χρείαν. Ἐκλέξῃ δὲ στρατιώτας ἀπὸ παντὸς τοῦ ὑπὸ σὲ θέ-

A est, rei idoneum elige. Sed de ea referas non ad teipsum solum, sed etiam ad omnes, qui tecum consilii participes fuerant, et quid facto opus sit cum multis delibera: quæ vero agere volueris, cum paucis communica, et ubi optimum ex omnibus consilium ceperis, apud te solum tene, ne adversariis hoc indicetur, et insidiis illorum appetare.

11. Res ipsæ diversas et plurimas sæpe afferunt sententias; fortassis autem quævis res circumstans omni ex parte manifesta fiet, si singulæ consultorum sententiæ inter deliberandum in unum conferantur.

12. Omnes autem debent huc spectare et convenire ad salvam atque illæsam multitudinem B conservandam, et ad curam provisionemque ejus, qui eos convocavit suscipiendam.

13. Finis consilii sit tibi, ut cognoscas in rebus gerendis, ubi et quando agendum, vel non agendum sit, et qua de causa quidque agendum.

14. In deliberatione tua, et in omnibus sententiis, quæ in deliberationem veniunt, adesse hæc duo oportet: posse illud fieri, atque utile esse; hæc enim duo, si non adsint, infirmum consilium esse et temerarium statim deprehenditur, quasi ante oculos illius vitium cernitur.

15. Si enim inutile sit de quo deliberas, non modo commodaberis, verum etiam læderis. Si vero non possunt de quibus deliberatum est perfici, inanis hæc consideratio ad temerarium exitum, quod C id fieri nullo modo aut via potest, necessario pertinet. In primis autem vitare oportet eas offensiones quæ in promptu sunt: vulgus enim hominum solet rerum futurarum cogitationibus seipsos oblectare, offensiones autem circumstantes providere non solet.

16. Utilissima autem est in omnes partes animi quasi excubatio, et eorum quæ ulla ratione fieri possunt in considerandis rebus pertractatio: ita enim fiet ut neque teipsum nimis cæcæ temeritati exponas, nec rursus nimia rerum cupiditate illectus, in manifestum aliquod discrimen incidas.

17. Rursus timor absque ulla audacia a vitio non abest: et qui quosvis temerarios casus formidat, D temere sæpe adversus seipsum multa facit, et quæ ex usu suo sunt negligit, et ab utilibus rebus suscipiendis abhorret.

18. Brevi igitur, o imperator, cum de consilio capiendo disputavimus, restat ut de rebus bellicis et militaribus actionibus verba faciamus.

CONSTITUTIO IV.

De divisione exercitus, et constituendis ducibus.

1. Præcipimus igitur dignitati tuæ ut, pro veteri more consuetudineque tua, milites et duces ex iis eligas, quos ad belli usum maxime idoneos judicaveris. Ex omni ditione sub tuum imperium subjecta milites eliges neque adolescentes, neque senes,

sed fortes, robustos, alacres, divites, ut in expedito et procinctu cum sint, id est, in castris, et in ipso cœtu ac multitudine exercitus, quod hodie Fossatum appellamus, ad rem privatam suam et domesticam quasi militiam occupatos domi habeant alios agricolas, et ut armaturam, cætera quæ militi necessaria sunt, subministrare possint; et ut liberas interea ædes ab omni alia publica servitute habeant. Nostrum enim commilitonem (nam sic eum vocamus, qui pro nostro regno et Romano hoc imperio strenuum se in bello gesserit) nolumus, ut ullæ cujusque modi servituti nisi tributo publico subjiciatur.

A ματος, μήτε παῖδας, μήτε γέροντας, ἀλλὰ ἀνδρείους, ἰσχυροὺς, εὐρώστους, εὐψύχους, εὐπόρους, ὥστε αὐτοὺς, ἐν τῷ ἐξπεδίτῳ, ἤγουν ἐν τῇ συναγωγῇ τοῦ φοσσάτου εἰς τὴν ἰδίαν στρατείαν ἀσχολουμένους, ἔχειν ἐν τοῖς ἰδίοις οἴκοις ἑτέρους τοὺς γεωργοῦντας, καὶ τὰ πρὸς ἀπαρτισμὸν ἐξόπλισιν τοῦ στρατιώτου χορηγεῖν δυναμένους, δηλονότι ἐλευθέρους τοὺς οἴκους ἔχοντας τῶν ἄλλων πασῶν τοῦ δημοσίου δουλειῶν. Οὐ γὰρ βουλόμεθα τὸν ἡμέτερον συστρατιώτην (οὕτως γὰρ ἐγὼ καλῶ τὸν ἀριστεύειν μέλλοντα ὑπέρ τε τῆς ἡμῶν βασιλείας, καὶ τῆς φιλοχρίστου τῶν Ῥωμαίων πολιτείας, ἐν τοῖς κατὰ πόλεμον ἔργοις) πλὴν μόνον τοῦ δημοσίου τέλους ἑτέρᾳ ὑποκεῖσθαι οἱᾳδήποτε δουλείᾳ.

2. Dividatur igitur universus sub imperio tuo exercitus in tagmata, sive banda, id est, cohortes diversas; eæ quoque tribuantur in contubernia; hæc ex quinque viris conficiuntur, atque etiam interdum ex decem viris, quæ decuria appellatur, sicque decuria interdum unum contubernium est, interdum duo.

β'. Διαιρείσθω τοίνυν ὁ πᾶς ὑπὸ σὲ στρατὸς εἰς B τάγματα, ἤγουν τὰ λεγόμενα βάνδα διάφορα, καὶ ἔτι ὑποδιαιρείσθω εἰς δεκαρχίας. Καὶ καταστήτωσαν εἰς τὰ λεγόμενα κοντουβέρνια. Ταῦτα δὲ γινέσθωσαν καὶ ἀπὸ πέντε πολλάκις καὶ ἀπὸ δέκα ἀνδρῶν, ἤγουν κατὰ δεκαρχίαν, ἢ ἐν κοντουρβέρνιον, ἢ δύο.

3. Itaque exercitus in cohortes et decurias universus perscribatur. Præficiantur illis duces per banda, et drungos, et turmas, et per alias præfecturas, qui accommodatissimi sunt, et qui fideles sunt, et benevoli nostro huic Romano imperio, et qui fortes esse existimantur. Nihil prohibet autem, quin et locupletes copiosique homines, et qui genere atque animi virtute nobiles sunt, duces fiant. Ingenuitatem enim habeant, ut in ipso quasi articulo temporis imperata faciant; abundantiam autem divitiarum, ut possint militibus e copiis suis interdum aliquid subministrare. Etenim parvus hic sumptus, si a ducibus, et præfectis erga milites sibi subjectos fiat, benevolos reddit et amicos illis, et in periculosis discriminibus ad vitam profundendam paratos facit.

γ'. Καὶ ὁ μὲν στρατὸς ὅλος διαιρείσθω οὕτως εἰς τάγματα, καὶ εἰς δεκαρχίας. Ἐπιστήτωσαν δὲ αὐτοῖς ἄρχοντες κατὰ βάνδα, καὶ δρούγγους, καὶ τούρμας, καὶ τὰς ἄλλας δεούσας ἀρχὰς, οἱ ἱκανώτατοι, ἤγουν ὅσοι καὶ πιστοὶ καὶ εὐγνώμονες φαίνονται τῇ Ῥωμαϊκῇ πολιτείᾳ ἡμῶν, μαρτυροῦνται δὲ καὶ ἀνδρειότεροι. Οὐδὲν δὲ κωλύει καὶ εὐπορωτάτους αὐτοὺς εἶναι καὶ εὐγενεῖς κατά τε τὸ γένος, καὶ τὴν τῆς ψυχῆς ἀρετήν. C Τὴν μὲν εὐγένειαν ἔχειν, ἵνα ὦσι πρόχειροι ἐν ὀξύτητι τοῦ καιροῦ περὶ τὰς κελευομένας αὐτοῖς πράξεις. Τὴν δὲ εὐπορίαν, ἵνα δύνωνται τοῖς στρατιώταις ἐκ περιουσίας πολλάκις, εἰ δεήσει, χορηγεῖν. Καὶ γὰρ ὀλίγη τάχα χορηγία ἀπὸ τῶν ἡγουμένων ἀρχόντων πρὸς τοὺς ὑποτακτομένους γινομένη εὐνούστατα καὶ φιλίᾳ πρὸς αὐτοὺς παρασκευάζει τὰ πλήθη, καὶ συναγωνίζεσθαι μέχρι καὶ τέλους ἐν τοῖς ὡς εἰκὸς ἐμπίπτουσι κινδύνοις.

4. Alii igitur ex iis qui honoratissimi sunt, assessores imperatoris sint; alii autem adsint, et participes universi consilii, sociique sæpe, si usus ita ferat, etiam secretissimi et occultissimi consilii sint. Interdum enim fortasse etiam, qui optimus est, cogitat secum quid utile sit, et hoc, quod ipse invenerit, sine ulla dubitatione optimum esse putat. Sententia enim, et consilium uniuscujusque, si singulare, et unius solum hominis fuerit, in suum ipsius inventum solum intuetur; aliorum autem hominum consilium, si adjungatur, examinatur hoc consilium, et quale sit elucescit, et semel a pluribus approbatum, nihil lubricum aut anceps continere creditur.

δ'. Οἱ δὲ μείζονες αὐτῶν καὶ ἐντιμώτατοι καὶ συνεδρεύοι τῷ στρατηγῷ. Οἱ δὲ καὶ παρέσονται καὶ μεθέξουσι σὺν αὐτῷ πάσης βουλῆς καὶ κοινωνήσουσί που καὶ γνώμης εἰ τύχοι καὶ ἀπορρήτου, καὶ κρυπτῆς· καὶ γάρ τις τάχα καὶ ἄριστος ὢν ἐννοεῖ μέν τι χρήσιμον· βεβαίως δὲ τὰ ἑαυτοῦ μόνος οἰκειοῦται· D γνώμη γὰρ ἡ βουλὴ ἑκάστη· ἡ μὲν ἀβοήθητος οὖσα περὶ τὴν ἰδίαν εὕρεσιν μόνην ἀποβλέπει, ἡ ὑπὸ καὶ ἄλλων πολλῶν μαρτυρηθεῖσα πιστοῦται καὶ ἀναφαίνεται μηδὲν ἔχουσα σφαλερόν.

5. Par est igitur quemvis imperatorem (ut rursum tibi eisdem de rebus præcipiamus) neque ita animo incerto esse, ut ipse sibi ipsi omnino diffidat, neque contra ita præfracto et singulari animo, ut nolit ad honesta aliorum consilia attendere. Necesse est enim vel ut omnium consiliis, si se det, et nihil sibi ipse tribuat, sæpenumero in crebras offensiones incidat: vel si aliis nullo modo nitatur, sed sibi soli fidat, turpiter sæpe prolaba-

ε'. Πρέπον οὖν ἐστιν εἶναι τὸν στρατηγὸν, ἵνα καὶ πάλιν σοι περὶ τῶν αὐτῶν παραινέσωμεν· μήτε οὕτως ἄστατον τὴν διάνοιαν ἵνα αὐτὸς ἑαυτῷ παντελῶς ἐπιστῇ, μήτε οὕτως αὐθάδη καὶ μονότατον, ὡς μὴ βούλεσθαι παρ' ἑτέρων κάλλιόν τι νοηθὲν ἀναμαθεῖν. Ἀνάγκη γὰρ αὐτὸν ἢ πᾶσι τοῖς ἄλλοις κατὰ πάντα προσέχοντα, καὶ κατὰ μηδένα ἑαυτῷ πιστεύοντα, πολλάκις πολλὰ καὶ ἀσύμφορα πράττεσθαι· ἢ μηδὲ ὀλίγων ἀκούοντα, πάντα δ' ἑαυτῷ κατα-

πιστεύοντα, πολλὰ πολλάκις καὶ μεγάλα διαμαρτάνειν. Τούτων δὲ οὕτως ἐχόντων, πρότερον μὲν ἐξονομάσομέν σοι ἁπλῶς τοὺς καθισταμένους ἄρχοντας, εἶθ' οὕτως καὶ τὰ γνωρίσματα αὐτῶν, ὡς ἐν συντόμῳ εἰπεῖν, διορισόμεθα.

ς'. Πρώτη κεφαλὴ ὁ στρατηγὸς, καὶ μετὰ αὐτὸν οἱ μεράρχαι, καὶ τουρμάρχαι, εἶτα δρουγγάριοι, εἶτα κόμητες, ἤγουν οἱ τῶν λεγομένων βάνδων ἄρχοντες. Εἶτα οἱ κένταρχοι, ἐφεξῆς οἱ δέκαρχοι, ἤγουν οἱ πρῶτοι τῶν λεγομένων ἀκιῶν. Εἶτα οἱ πένταρχοι, καὶ ἑξῆς οἱ τετράρχαι, οἵτινες καὶ, διὰ τὸ ἐσχάτους τοῦ στίχου τοῦ κατὰ τὸ βάθος ἤτοι τὸ πάχος τῆς παρατάξεως τάσσεσθαι αὐτοὺς, καὶ οὐραγοὶ ἐκαλοῦντο. Ὁ γὰρ ἔσχατος τοῦ ὅλου στίχου, ἤγουν τῆς ἀκίας, ὡς ἐπὶ τῆς οὐρᾶς αὐτῆς οὕτως ἵσταται. Καὶ αὗται μὲν αἱ ὀνομασίαι τῶν ἀρχόντων. Εἰσὶ δὲ καὶ ἕτεροι καθ' ἕκαστον τάγμα, ἤτοι βάνδον διωρισμένοι, οἷον βανδοφόροι, σαλπιγκταὶ, ἤγουν βουκινάτορες, θεραπευταὶ, ἰατροὶ, καὶ διποτάτοι (20), καὶ μανδάτωρες, καὶ παρακλήτορες, οἱ διὰ λόγων διεγείροντες τὸν στρατὸν πρὸς τοὺς ἀγῶνας· οὓς οἱ πρὸ ἡμῶν, νεώτεροι δὲ τῶν ἄλλων, τακτικοὶ, Ῥωμαϊστὶ καντάτωρας ἐκάλουν· καὶ ἕτεροί τινες πρὸς τὰς ἀνακυπτούσας χρείας ἀφωρισμένοι, οἷον σκρίβωνες, καὶ οἱ λοιποί. Ταῦτα γὰρ τῇ νῦν πολιτείᾳ γνωρίζεται τὰ ὀνόματα τῶν παλαιῶν σιγηθέντων, ἅπερ κατὰ χώραν ὑπομνήσομεν.

ζ'. Στρατηγὸς τοίνυν προσαγορεύεται ὁ τοῦ παντὸς στρατοῦ κορυφαῖός τε καὶ ἡγεμών. Ὑποστράτηγος δὲ, ὁ τὴν δευτέραν τούτῳ τάξιν ἐκπληρῶν. Ὑπολαμβάνω δὲ ὡς οἱ παλαιότεροι ἡμῶν ὑποστρατήγους μὲν ἐκάλουν τοὺς στρατηγοὺς, διὰ τὸ στρατηγὸν ἁπάντων κύριον εἶναι τὸν βασιλέα, ἐκ προσώπου δὲ αὐτοῦ εἶναι καθ' ἕκαστον θέμα τὸν στρατηγόν. Καὶ διὰ τὴν τοιαύτην αἰτίαν ὁ στρατηγὸς ὑποστράτηγος ἐκαλεῖτο, στρατηγὸς δὲ κυρίως ἐλέγετο ὁ ἐκ προσώπου βασιλέως ἐπὶ πάντων κεφαλὴ ἀποστελλόμενος, ἔχων ὑποστρατήγους τοὺς τῶν θεμάτων στρατηγούς. Ὅπερ ἐστὶν ἄριστον.

η'. Νῦν δὲ ὑποστράτηγος οὐ γνωρίζεται εἰ μή τι ὁ καλούμενος μεράρχης, καὶ τουρμάρχης ἐστὶν ὅποτε καλούμενος μεράρχης, ἤτοι ὁ τοῦ μέρους τῆς ἀρχῆς ἐμπεπιστευμένος.

θ'. Δρουγγάριος δὲ λέγεται ὁ μιᾶς μοίρας ἄρχων, ἥτις ὑπὸ τοῦ μέρους τοῦ τουρμάρχου τάσσεται. Μέρος γάρ ἐστιν ἡ τοῦρμα τὸ ἐκ τριῶν μοιρῶν ἤγουν δρούγγων συγκείμενον ἄθροισμα. Μοῖρα δέ ἐστιν, ἤτοι δροῦγγος, τὸ ἐκ ταγμάτων ἤτοι ἀνδρῶν τῶν λεγομένων κομήτων συγκείμενον πλῆθος.

ι'. Κόμης δέ ἐστιν, ὁ τοῦ ἑνὸς τάγματος, ἤτοι βάνδου, ἀφηγούμενος.

ια'. Κένταρχος δέ ἐστιν, ὁ ἑκατὸν ἀνδρῶν ἄρχων, ἤτοι ἑκατόνταρχος, ὅστις καὶ ὑπὸ τὸν κόμητα τέτακται.

A tur. Restat jam ut primo tibi omnium præfectorum simpliciter nomina recenseamus, deinde notas quasdam illorum quam paucissimis exponamus.

6. Caput igitur omnium imperator erit : post illum hierarchæ, id est, turmarum præfecti : tum drungarii, id est, tribuni : deinde comites, id est, bandorum sive cohortium præfecti : post hos centuriones, deinde decani, id est, qui præfecti contuberniorum sunt : deinde quintani, quartani, qui quoniam ultimi in contubernio seu ordine juxta altitudinem vel latitudinem instructæ aciei collocantur, *οὐραγοί*, id est, caudani sive ultimani nominantur. Extrema enim totius contubernii pars B quasi cauda corpori, sic ea reliquo contubernio adhæret. Atque ista præfectorum sunt nomina. Sunt autem et alii in unaquaque cohorte sive bando præfecti separati, ut bandophori, tubicines sive buccinatores, administri, despotati, mandatores, et cohortatores, qui oratione sua milites ad prœlium excitent, quos ante nos recentiores artis militaris periti, Latine cantatores vocabant : et alii præterea ad usus rerum emergentes quotidie separati, ut scribones : hæc enim vocabula hoc tempore in hac reipublicæ forma usitata et recepta sunt, antiquis vocabulis, quemadmodum suo loco dicemus, pene abrogatis.

7. Imperator igitur appellatur, qui universo C exercitui præest, et administrator illius quasique præsul est. Princeps autem, qui proximum huic locum tenet. Existimo certe majores eos quos nunc principes appellamus, imperatores olim nominasse : quia princeps uniuscujusque ditionis suæ quasi imperator est, et hac de causa princeps imperator appellatur. Imperator autem probe dicitur, qui a rege, ut omnium caput sit, mittitur, sub se principes habens.

8. Nunc autem nullus princeps in bello cognoscitur, nisi qui merarchæ, id est, præfecti turmæ, sive turmarchæ vocantur. Turmarcha turmæ præfectus, qui olim merarcha vocabatur : is *μέρους*, id est, D turmæ sive partis imperio præponitur.

9. Drungarius sive tribunus dicitur, qui uni *μοίρᾳ*, id est, particulæ sive cohorti milliariæ præest. *Μέρος*, id est, pars quæ etiam turma dicitur, ex tribus *μοίραις*, id est, particulis sive drungis conficitur. *Μοῖρα* autem, id est, particula, sive drungus, est ex iis hominibus, qui comites esse dicuntur, conflata multitudo.

10. Comes est unius cohortis, sive bandi, præfectus.

11. Centurio est qui centum viris præest, qui sub comitem subjectus est.

NOTÆ.

(20) *Διποτάτοι*. In Checi codice erat, δεσποτάτοι, in Palatino δεσποτάμοιτοι. Utrumque mendosum est.

12. Decanus est qui præest decem militibus : quemadmodum quintanus, qui quinque, qui in medio contubernio constituitur. A

13. Quartanus est, qui et custos dicitur, οὐραγός, id est, caudanus sive ultimanus, et extremus in contubernio stat. Copiosior enim præfectorum divisio plures in exercitu strenuos viros indicat, plures milites alacres tum ad facile obtemperandum, tum ad imperata facienda præstat.

14. Et bandophorus, id est signifer, qui signum cohortis sive bandi gestat.

15. Despotati appellabantur olim qui nunc scribones vel chirurgi dicuntur : hi aciem sequentes sauciatos in prœlio curant, quemadmodum medici, et ad sanitatem revocant. B

16. Mandatores sunt, qui mandata a principibus ad milites facile perferunt.

17. Lochagus, id est, manipuli præfectus, dicitur primus in contubernio juxta altitudinem, qui et primanus et præstes dicitur.

18. Secundanus est, qui secundus est in contubernio, qui et substes dicitur.

19. Caudanus est qui in extrema parte contubernii, id est, in cauda ordinis stat.

20. Cursores dicuntur vel propugnatores, qui aciem antecedunt in belli conflictationibus, et qui in fugientes hostes omni dimicatione invadunt, quos vocant proclastas.

21. Defensores sive subsidiarii sunt qui istos sequuntur, non tamen excurrunt et ordinem et stationem suam deserunt, sed simul et confertim ambulant ad vindicandam sortem cursorum, si forte illos, quod usu venire plerumque solet, in fugam verti contingat, quos jure quis vindices vocaret. C

22. Censores, qui fossata sive castra metantur et constituunt, quos mensuratores sive metatores vocant.

23. Anticensores sive metatores alios quosdam antiqui Romani appellabant, quos nunc, ut arbitror, cum mensuratoribus confundentes, nullo certo nomine appellant. Isti in castris movendis anteeunt, et idoneas vias locaque exquirunt ad castra ponenda, eaque qualia esse debeant advertunt. D

24. Scultatores, id est, speculatores, qui res hostium exquirunt et narrant.

25. Πλαγιοφύλακες, id est, laterones sive laterani, qui ad laterum custodiam primæ aciei constituebantur.

26. Cornistites sunt, qui ad cornua hostium circumdanda constituuntur.

ιβ'. Δέκαρχος δέ ἐστιν, ὁ τῶν δέκα πρῶτος· ὥσπερ καὶ πεντάρχης ὁ τῶν πέντε, ὅστις καὶ μέσος ἵσταται τῆς ἀκίας (21).

ιγ'. Τετράρχης δέ ἐστιν, ὁ καὶ φύλαξ, ὁ λεγόμενος οὐραγὸς, καὶ τελευταῖος ἱστάμενος τῆς ἀκίας. Ὁ γὰρ πυκνότερος τῶν ἀρχόντων διαμερισμὸς καὶ πλείονας δεικνύει τοὺς γενναίους καὶ ἀνδρείους στρατιώτας, καὶ εὐχερῶς ὑπακούειν καὶ ἐκτελεῖν ποιεῖ τὰ κελευόμενα.

ιδ'. Καὶ βανδοφόρος μέν ἐστιν, ὁ τὸ σημεῖον τοῦ βάνδου βαστάζων.

ιε'. Δεσποτάτοι δὲ προσηγορεύοντο πάλαι οἱ νῦν λεγόμενοι σκρίβωνες (22), οἵτινες παρακολουθοῦντες τῇ παρατάξει τοὺς ἐν τῇ μάχῃ τραυματίας γινομένους ἀναλαμβάνονται ὡς ἰατροὶ, καὶ περιποιοῦνται.

ις'. Μανδάτωρες δέ εἰσιν, οἱ τὰ μανδάτα ἀπὸ τῶν ἀρχόντων πρὸς τοὺς στρατιώτας ὀξέως διακομίζοντες.

ιζ'. Λοχαγὸς δὲ λέγεται ὁ πρῶτος τοῦ στίχου, ἤγουν τοῦ ὀρδίνου κατὰ τὸ βάθος, ὁ αὐτὸς δὲ λέγεται καὶ πρῖμος, καὶ ἐπιστάτης.

ιη'. Σεκοῦνδος δὲ λέγεται, ὁ δεύτερος τῆς ἀκιας, ὁ λεγόμενος ἐπιστάτης.

ιθ'. Οὐραγὸς δὲ ὀπίσω τοῦ ὅλου στίχου ἤγουν τῆς οὐρᾶς τοῦ ὀρδίνου ἱστάμενος.

κ'. Κούρσωρες δὲ λέγονται, ἤγουν πρόμαχοι, οἱ προτρέχοντες τῆς παρατάξεως ἐν τῇ συμβολῇ τοῦ πολέμου, καὶ τοῖς φεύγουσιν ἐχθροῖς ὀξέως ἐπιτιθέμενοι, οὓς καλοῦσι προκλάστας.

κα'. Διφένσορες δὲ, οἱ τούτοις μὲν ἐπακολουθοῦντες, μὴ ἐκτρέχοντες δὲ καὶ λύοντες τὴν τάξιν, ἀλλὰ συντεταγμένως περιπατοῦντες πρὸς ἐκδίκησιν τῶν κουρσώρων, εἴπερ (23) αὐτοὺς, ὡς εἰκὸς, τραπῆναι συμβῇ· οὕσπερ δικαίως ἄν τις καλέσειεν ἐνδίκους (24).

κβ'. Μίνσωρες (25) δὲ λέγονται οἱ τὰ ἄπληκτα ἤτοι οἱ τὰ φοσσάτα μετροῦντες καὶ καθιστῶντες, οὓς μινσωράτωρας νῦν καλοῦσιν.

κγ'. Ἀντικένσορας δὲ ἄλλους τινὰς ἔλεγον οἱ πάλαι Ῥωμαῖοι, οὓς, ὡς ὑπολαμβάνω, νῦν τοῖς μινσωράτωρσι συντάσσοντες, ἰδίως οὐκ ὀνομάζουσιν. Οὗτοι δέ εἰσιν οἱ προλαβόντες ἐν ταῖς ὁδοιπορίαις, καὶ τὰς ἐπιτηδείας ὁδοὺς καὶ τοὺς τόπους ἀνερευνῶντες, ἐν οἷς τὰ ἄπληκτα γίνεσθαι ὀφείλουσι, καὶ ταύτας ὁποῖαί εἰσι κατανοοῦντες.

κδ'. Σχουλκάτωρες δὲ οἱ κατάσκοποι λέγονται, οἵτινες μανθάνοντες τὰ τῶν ἐχθρῶν, ἀπαγγέλλουσιν.

κε'. Πλαγιοφύλακες δέ εἰσιν, οἱ πρὸς φυλακὴν τῶν πλαγίων τῆς πρώτης τάξεως τασσόμενοι.

κς'. Ὑπερκεραστὰι δὲ, οἱ πρὸς τὸ περιλαβεῖν τὸ τῶν πολεμίων κέρας τασσόμενοι.

NOTÆ.

(21) *Τῆς ἀκίας*. Codex Palatinus hic valde corruptus est, ut et Pistorianus, qui habet *κακίας*. Alii *ἀκακίας*. Occurrit quoque iterum § 33. Sed corrigendum hoc modo, quo dixi : nam *ἀκακία* longe aliud est.

(22) *Σκρίμωνες*. Scribe σκρίβωνες.

(23) *Εἴπερ αὐτούς*. Scribebatur, ὅπερ.

(24) *Ἐνδίκους*. Scribe ἐκδίκους.

(25) *Μίνσωρες*. In Checi codice videtur fuisse κίνσωρες: quod non improbo. Hesychius χηνσίτωρ, ὁ τὴν γῆν μετρῶν. Et Isidorus in Glossis : *Censitores, Agrimensores*.

κζ'. Ἔνεδροι δὲ, οἱ πρὸς τὰ ἐγκρύμματα κατὰ A τῆς παρατάξεως τῶν ἐχθρῶν ἑτοιμαζόμενοι.

κη'. Νωτοφύλακες δὲ οἱ ὀπίσω τῆς παρατάξεως πάσης τασσόμενοι περιπατεῖν.

κθ'. Καὶ τοῦλδόν ἐστιν ἡ ἀποσκευὴ καὶ χρεία πᾶσα τῶν στρατιωτῶν, τουτέστι παῖδές τε, καὶ ὑποζύγια, καὶ τὰ λοιπὰ ζῶα, καὶ εἴτι ἕτερον πρᾶγμα πρὸς ὑπηρεσίαν τοῦ φοσσάτου ἐπισύρεται.

λ'. Ἔστι δὲ ἡ τοῦ στρατηγοῦ πρόλευσις εἴς τινας ἄρχοντας διαιρουμένη, οἷον τόν τε κόμητα τῆς κόρτης αὐτοῦ, καὶ τὸν τοῦ θέματος δομέστικον, καὶ ἁπλῶς εἰπεῖν, εἰς τοὺς λοιποὺς ἐξ ἔθους τῆς προελεύσεως αὐτοῦ ὑπηρέτας, οὓς περισσὸν ἡγούμεθα καταριθμεῖν.

λα'. Ὁ γὰρ πρωτονοτάριος τοῦ θέματος, καὶ ὁ χαρτουλάριος, προσέτι δὲ καὶ ὁ πραίτωρ, ἤγουν ὁ B τοῦ θέματος δικαστής. Ὁ μὲν τῆς πολιτικῆς ἐστι διοικήσεως ὁ ἄρχων, ὁ δὲ πρὸς τὴν τοῦ στρατηγοῦ καταγραφὴν (26) τε καὶ ἀναζήτησιν. Ὁ δὲ τὰς δίκας τῶν δικαζομένων διαλύει, οὓς εἰ καὶ τῷ στρατηγῷ ἔν τισιν ὑποτάσσεσθαι χρὴ, ἀλλ' οὖν τοὺς λόγους τῶν ἰδικῶν αὐτῶν διοικήσεων πρὸς τὴν βασιλείαν ἡμῶν ἀφορᾷν, ὥστε δι' αὐτῶν μανθάνειν τάς τε τῶν πολιτικῶν καὶ τῶν στρατιωτικῶν πραγμάτων καταστάσεις καὶ διοικήσεις ἀσφαλέστερον ἡγούμεθα.

λβ'. Τὸν μὲν γοῦν στρατὸν ὅλον, ὦ στρατηγὲ, διαιρήσεις εἰς διάφορα τάγματα, καὶ ἐπιστήσεις αὐτοῖς, ὡς εἴρηται, ἄρχοντας φρονίμους, καὶ ἀνδρείους, καὶ προσφόρους αὐτοῖς.

λγ'. Ἀπὸ δὲ τοῦ τάγματος ἤτοι βάνδου τοὺς ἑκατοντάρχας (27) ἐπιλέγων φρονίμους καὶ γενναίους C εἰς ἀνδρείαν· εἶτα τοὺς, καὶ μετὰ τοὺς δεκάρχους καὶ αὐτοὺς γενναίους καὶ αὐτόχειρας, εἰ δυνατὸν δὲ, καὶ τοξεύειν εἰδότας. Καὶ μετὰ τοὺς δεκάρχους τοὺς πεντάρχας καὶ τετράρχας ὁμοίως. Καὶ τότε τοὺς φύλακας τῶν ἀκιῶν, ἤγουν τῶν κατὰ τὸ πάχος τῆς παρατάξεως ὀρδίνων, οἱ καὶ δεκαρχίαι καλοῦνται, δύο ἀπὸ ἑκάστης ἀκίας (28), ὡς γίνεσθαι τοὺς ἐπιλέκτους ἑκάστης ἀκίας ἄνδρας ε'. Καὶ τοὺς ἀπομένοντας ὀρδινεῦσαι εἰς τὰς ἀκίας παλαιούς τε καὶ νέους ἀναμίκτους, ὅσοι ἂν εἰσι κατὰ τὸ μέτρον τοῦ πλήθους τοῦ στρατοῦ.

λδ'. Στήσας δὲ καὶ τούτους ἀπομένοντας, τότε τοὺς ἐπιλέκτους ἐπίβαλλε κατὰ διαφορὰν πρὸς τὴν ἑκάστου ποιότητα, ἤγουν φύσιν καὶ δύναμιν, τοὺς μὲν κρείττονας ἔμπροσθεν, τοὺς δὲ λοιποὺς ἀλόγως ὄπισθέν τε καὶ διὰ μέσου. D

λε'. Δύο δὲ μανδάτωρας ἀγρύπνους καὶ φρονίμους ἐπιλεγῆναι δέον, καὶ δύο βανδοφόρους ἀπὸ ἑκάστου τάγματος. Τὴν δὲ τοιαύτην ἐπιλογὴν καὶ ὀρδινεῖαν ποιεῖσθαι ἐν τοῖς κοντουβερνίοις, τουτέστιν ἐν ταῖς ἀκίαις.

λς'. Καὶ ἔνθα, ὡς εἰκὸς, παῖδες οὐκ εἰσὶ, τοὺς ὑποδεεστέρους τῶν στρατιωτῶν εἰς τὰ σαγμάρια ἀφορίζειν, τουτέστιν εἰς τρία ἢ εἰς τέσσαρα σαγ-

27. Insidiæ nominantur, qui in occultis locis adversus hostium aciem parantur.

28. Tergistites sunt, qui ut post aciem universam eant, constituuntur.

29. Tuldum, sive impedimenta, est apparatus universus et utensilia militum, ut pueri, et jumenta, reliquaque animantia, vel si quod aliud instrumentum ad usum castrensem adjungitur.

30. Expeditio quoque exercitus in quasdam præfecturas dividitur: ut in cohortis comitem, et in domesticæ ditionis comitem, et omnino in reliquos consuetæ expeditionis administros, quos recensere supervacaneum est.

31. Protonotarius ditionis et chartularius, atque etiam prætor sive ditionis suæ judex, alter urbanarum rerum administrationi qui præest, alter qui exercitus descriptioni et inquisitioni præficitur. Hic controversias eorum, qui in jus veniunt, dissolvit. Istos, quanquam imperatori in multis obedire oportet, tamen quod ad privatarum suarum administrationum rationes spectat, ad regnum nostrum pertinere volumus, ut ex eo civilium et bellicarum rerum administrationem et constitutionem tutius cognoscamus.

32. Universum igitur exercitum in diversa agmina, id est, cohortes, imperator, divides, et illis principes præficies, prudentes, fortes, atque accommodatos illis.

33. Ex unaquaque cohorte sive bando centuriones elige, prudentes, fortes atque strenuos: deinde decanos, eosque strenuos atque invictos, et si id fieri potest, sagittarum jaciendarum peritos. Post decanos, quintanos quartanosque: tum contubernii custodes, id est, eos qui ad altitudinem contubernii custodiendam constituti sunt, qui ex singulis contuberniis duo sunt, ut ex unoquoque contubernio viri delecti quinque sint. Eos qui in contuberniis restant sic instrue, ut senes adolescentesque simul pro ratione et numero exercitus tui inter se conjungas.

34. Ubi istos ad hunc modum constitueris, lectos ac nobiles qui restant varie distribuito, pro uniuscujusque dignitate seu vi et natura, optimos primo loco, reliquos permiste tum extremo tum medio in loco.

35. Itaque mandatores vigilantes et prudentes eligere oportet, et bandophoros, sive signiferos, præterea duos ex unaquaque cohorte. Talis autem delectus in contuberniis adhibendus est.

36. Ubi pueri nulli sunt, ibi, quemadmodum par est, ex debilioribus militibus ad impedimenta custodienda delectum virum unum, et alium quemdam

NOTÆ.

(26) *Τοῦ στρατηγοῦ καταγραφήν*. Scribe, τοῦ στρατοῦ κ.

(27) *Ἑκατοντάρχας*. Scribebatur, ἑκτάρχαι.

(28) *Ἑκάστης ἀκίας*, Scribebatur, ἑ. ἀκακίας, ut supra monui.

prudentem militem ac idoneum signum aliquod gestantem designabis, quem tuldum, id est, sagmaria sive impedimenta sequentur.

37. Contubernia omnia describes, et quæ in dextra cohortis, quæque et quot in læva fiant assignabis.

38. Contubernia in quinque vel decem, aut in quatuor vel octo vel sedecim distingues, quemadmodum intellexeris pro tempore hoc utile esse, ut consuetudine quadam conjuncti contubernales pro se mutuo in prœlio dimicent, et ad pericula suscipienda magis excitentur. Habeat quoque aliquem communem inter se usum unumquodque contubernium, quemadmodum antea explanavimus.

39. Prudenter autem feceris si amicos cum amicis, fratres cum fratribus, idque in ipsa prœlii acie potissimum conjunxeris : quando enim periclitanti proximus admodum amicus est, necesse est pro eo, quem charum habeat, animosius atque alacrius dimicet. Alter autem quia non reddere gratiam viro pro se tam fortiter propugnanti erubescit, hunc benemeritum deserere et tergiversari sine rubore non potest.

40. Contubernia autem, ut jam prædiximus, propterea a provectioribus simul et junioribus militibus fieri oportet, ut ne provectiores per seipsos collocati debiles atque imbecilles sint, juniores autem, nempe rerum imperiti, perturbatiores reperiantur. Illi enim quanquam senes sunt, tamen experientes sunt : juvenes autem, quanquam fortes sunt, tamen inscientes atque imperiti sunt.

41. Cohortibus igitur sive bandis ad hunc modum distributis, præfecti illis qui comites vocantur eligendi sunt : et unamquamque cohortem ex viris trecentis media quadam ratione conficies. Neque quamvis ingentem habeas exercitum, plus quadringentis viris in cohorte collocabis : neque minus ducentis, quantuluscunque fuerit exercitus.

42. Istas cohortes congregabis in cohortes milliarias quas drungos, chiliarchas, sive *μοίρας*, id est, particulas, vocabant antiqui, quorum præfectos tribunos sive chillarchos et drungarios vocabant.

43. has igitur cohortes milliarias sive drungos conferes in partes sive turmas, et præerunt illis ex electione nostra regia merarchæ, quos nunc turmarchas, id est, turmarum præfectos appellamus. Illos prudentes, modestos, strenuos esse oportet, experientes, et litterarum scientes, atque eum in primis qui mediæ turmæ præest, quem principem appellamus, qui ubi opus est, imperatoris locum in omnibus supplebit.

44. Has igitur tres turmas constituere oportet, quarum singulis præerunt turmarchæ, unusquisque turmæ suæ præfectus, ut sit universa imperatoris

A μάρια ἄνδρα ἕνα, καὶ ἕτερόν τινα τῶν ἐλλογίμων ἐξ αὐτῶν στρατιωτῶν χρήσιμον μετὰ σημείου, ᾧτινι τὸ ὅλον τοῦλδον ἤγουν τὰ σαγμάρια ἀκολουθεῖν ὀφείλουσιν.

λζ'. Ὁρίσεις δὲ καὶ τὰς ἀκίας πόσαι καὶ ποῖαι ὀφείλουσι δεξιὰ τοῦ βάνδου τάσσεσθαι, καὶ πόσαι καὶ ποῖαι ἀριστερὰ αὐτοῦ.

λη'. Τάξεις δὲ καὶ τὰ κοντουβέρνια ἢ κατὰ πέντε, ὡς εἴρηται, ἢ δέκα ἄνδρας, ἢ κατὰ τέσσαρας, ἢ ὀκτὼ, ἢ δέκα ἕξ, ὡς ἂν γινώσκεις τὸ κατὰ καιρὸν χρήσιμον, ἵνα τῇ συνηθείᾳ δεσμούμενοι, ὑπὲρ ἀλλήλων ἐν ταῖς μάχαις ἀγωνιζόμενοι, χρησιμώτεροι πρὸς ἀνδρείαν γένωνται. Ἔχειν δὲ αὐτοὺς κοινὴν καὶ τὴν χρείαν καθ' ἕκαστον κοντουβέρνιον, ὡς ἤδη προδιωρισάμεθα.

B λθ'. Φρονιμώτερον δὲ ποιήσεις, ἐὰν τάξῃς, εἰ τύχοι, ἀδελφοὺς μετὰ ἀδελφῶν, καὶ φίλους μετὰ φίλων, μάλιστα ἐν ταῖς τῆς μάχης παρατάξεσιν. Ὅταν γάρ ἐστι τῷ κινδυνεύοντι ὁ πλησίον προσφιλέστατος, ἀνάγκη τὸν ἀγαπῶντα φιλοκινδυνότερον ὑπὲρ τοῦ πλησίον καὶ φιλουμένου ἀγωνίζεσθαι. Καὶ δή τις αἰδούμενος μὴ ἀποδοῦναι χάριν τῷ φίλῳ ὧν πέπονθε, φίλον αἰσχύνεται καταλιπεῖν τὸν εὐεργετήσαντα, καὶ πρῶτος αὐτοῦ ἄρξασθαι φυγῆς.

μ'. Τὰ δὲ κοντουβέρνια, ὡς ἤδη εἴπομεν, διὰ τοῦτο ἀπὸ παλαιῶν καὶ νέων στρατιωτῶν δεῖ γίνεσθαι, ἵνα μηδὲ οἱ παλαιοὶ καθ' ἑαυτοὺς τασσόμενοι ἀσθενεῖς εἰσι καὶ ἀδύνατοι, μηδὲ οἱ νεώτεροι ἄτακτοι εὑρεθῶσιν ὡς ἀπείρατοι. Οἱ μὲν γὰρ εἰ καὶ γεραιοὶ, ἀλλὰ πεπειραμένοι, οἱ δὲ εἰ καὶ νεάζοντες C καὶ ἀνδρεῖοι, ἀλλὰ ἄπειροί εἰσιν.

μα'. Οὕτως οὖν τῶν ταγμάτων, ἤγουν βάνδων διαιρουμένων, ἐφ' ἑαυτὰ χρὴ ἐπιστῆναι αὐτοῖς ἄρχοντας τοὺς λεγομένους κόμητας, συνίστασθαι δὲ ἕκαστον τάγμα ἀπὸ ἀνδρῶν τριακοσίων κατὰ τὸν μέσον τρόπον. Μήτε δὲ πλέον τετρακοσίων ἀνδρῶν τὸ τάγμα ἔχειν ὁρίσῃς, κἂν πάνυ πολὺν στρατὸν ἔχῃς, μήτε ὑποκάτω τῶν διακοσίων, κἂν ἐστιν ὀλίγος ὁ στρατός.

μβ'. Ταῦτα δὲ τὰ τάγματα συνάξεις εἰς χιλιαρχίας, ἤτοι μοίρας τὰς λεγομένας δρούγγους. Καὶ ἐπιστήσεις αὐτοῖς μοιράρχας χρησίμους, ἀνδρείους, καὶ φρονήσει καὶ εὐταξίᾳ, εἰ δυνατὸν, καὶ εὐγενείᾳ καὶ D εὐπορίᾳ διαφέροντας, τοὺς λεγομένους δρουγγαρίους, οὓς ποτε χιλιάρχους ἐκάλουν οἱ παλαιοί.

μγ'. Τὰς δὲ μοίρας ταύτας, ἤτοι τοὺς δρούγγους, συντάξεις εἰς μέρη, ἤγουν τούρμας, καὶ ἐπιστήσονται αὐτοῖς γνώμῃ τῆς βασιλείας ἡμῶν μεράρχαι, οἱ λεγόμενοί ποτε καὶ στρατηλάται, νῦν δὲ τῇ συνηθείᾳ καλούμενοι τουρμάρχαι. Καὶ τούτους φρονίμους καὶ εὐτάκτους εἶναι, καὶ ἐναρέτους, καὶ ἐμπείρους, εἰ δυνατὸν, εἰδότας καὶ γράμματα, καὶ μάλιστα τὸν τοῦ μέσου μέρους τὸν λεγόμενον ὑποστράτηγον, ὀφείλοντα, εἰ χρεία γένηται, ἐν πᾶσι τὸν τοῦ στρατηγοῦ τόπον ἀναπληροῦν.

μδ'. Ταῦτα δὲ τὰ μέρη τρία συστῆναι, ἐφ' ᾧ καὶ τρεῖς ἐπιστήσονται τουρμάρχαι, εἷς ἕκαστος ἰδίου μέρους ἄρχων, ὥστε εἶναι τοῦ παντὸς στρατοῦ τὴν

ἀνωτάτην τομὴν, τρία μέρη ἰσάριθμα, ἤγουν τούρμας, τουτέστι μέσον, ἄριστόν (29) τε καὶ δεξιόν. Ταῦτα ποιεῖ τὴν πᾶσαν τὴν ὑπὸ τῷ στρατηγῷ τεταγμένην.

με'. Χρὴ δὲ, ὡς εἴρηται, μὴ τάγμα πλέον τῶν τετρακοσίων ἀνδρῶν γίνεσθαι, ἤγουν τὸ τοῦ κόμητος (30) βάνδον· μήτε δροῦγγον πλέον τῶν τρισχιλίων· μήτε τοῦρμαν πλέον τῶν ἑξάκις χιλίων.

μς'. Εἰ δὲ συμβῇ πλέον τοῦ λεχθέντος μέτρου εἶναι τὸν στρατὸν, κάλλιόν ἐστιν ἔξωθεν τῶν μερῶν, ἤτοι τῶν τουρμαχιῶν (31), ἐν δευτέρᾳ τάξει καθίστασθαι, ἤγουν ἐν τῇ ὄπισθεν τῆς προμάχου τάξεως παραταγῇ, ἐν ὑποβοηθείᾳ καὶ εἰς φυλακὴν τῶν πλαγίων μερῶν, καὶ εἰς νωτοφύλακας, καὶ εἰς ἐνέδρας, ἤτοι ἐγκρύμματα, καὶ εἰς κυκλώσεις τῶν πολεμίων. B

μζ'. Καὶ μήτε τὰς τούρμας, μήτε τοὺς δρούγγους μείζονας ποιεῖν, ἵνα μὴ ὡς μεγάλα καὶ ἐπὶ πολὺ ἐκτεινόμενα ἀπειθῆ πρὸς τὰ παραγγέλματα, καὶ συγκεχυμένα εὑρεθῶσιν.

μη'. Ἀλλὰ καὶ ἕτερόν σοι χρήσιμον παραινέσω, ὥστε μὴ πάντα τὰ τάγματα ἤτοι βάνδα ἐπιτηδεύῃς πάντως ἴσα ποιεῖν· ἵνα μὴ ἐκ τοῦ ἀριθμοῦ τῶν βάνδων εὐαρίθμητος τοῖς ἐχθροῖς ὁ στρατὸς (32) γένηται, ὅπερ πολλάκις μεγάλας προξενεῖ τὰς βλάβας. Ἀλλὰ τοῦτο φυλάττειν, μηδὲ τῶν υ' ἀνδρῶν, ὡς εἴπομεν, πλέον, μηδὲ τῶν διακοσίων ἀνδρῶν ὀλιγώτερα γενέσθαι αὐτά. C

μθ'. Διὸ πολλάκις καὶ καθέκαστον τάγμα, ἐὰν δύο βάνδα εὐτρεπίζῃς, ἀναφαίνεσθαι (33) ἐν τῷ καιρῷ τῆς τοῦ πολέμου συμβολῆς οὐκ ἄχρηστον εἰς τὸ καταπλῆξαι τοὺς πολεμίους. Χρὴ δὲ ἀφορισθῆναι ἀπὸ ἑκάστου βάνδου εἰς τὰς ἀναγκαίας χρείας, ὡς εἴρηται, τοὺς μανδάτωρας ἀγρύπνους, καὶ συνετοὺς, καὶ γοργοὺς, καὶ εὐφώνους, εἰδότας, εἰ δυνατὸν, καὶ διαφόροις γλώσσαις καλεῖν (34).

ν'. Καὶ βουκινάτωρας, οἵτινες ἐν καιρῷ τὰ συνήθη σαλπίζουσι. Σαμιάτωρας, τοξοποιοὺς, σαγγιττοποιοὺς, καὶ τοὺς λοιποὺς πρὸς τὴν ἐξ ἔθους διατύπωσιν.

να'. Προσαφορίσεις δὲ καί τινας τοὺς ὀφείλοντας τὰ εὑρισκόμενα τῶν ἀπολλυμένων συνάγειν, καὶ ἀποδιδόναι τοῖς κυρίοις αὐτῶν. D

νβ'. Ὥσπερ δὲ ἐπὶ τοῦ τούλδου τῶν καβαλλαρίων ἀναγκαῖον ὁρίσαι τοὺς ὀφείλοντας ἐπιστῆναι ἄρχοντας, οὕτως καὶ ἐπὶ τοῦ τούλδου ἤτοι τῶν ἁμαξίων τῆς πεζικῆς τάξεως ἀφορίσεις τινὰς, οἷς ὀφείλουσι πείθεσθαι οἱ τοῦ λεγομένου καραγοῦ.

νγ'. Καραγὸς γὰρ λέγεται ὁ διὰ τῶν ἁμαξῶν καὶ τριβόλων καὶ τῶν ἄλλων μηχανῶν γινόμενος περιορισμὸς εἰς ἀσφάλειαν τοῦ στρατοῦ.

A exercitus sui divisio in tres æquales partes sive turmas, in dextram, mediam et sinistram. Hæc tria universam aciem continent, quæ sub imperatoris dominatum subjicitur.

45. Oportet igitur, quemadmodum prædictum est, neque cohortem sive bandum comitis plus quadringentis tenere, neque cohortem milliariam sive drungum plus tribus millibus, neque turmam plus sex millibus.

46. Si vero contingat majorem numerum esse exercitus quam prædictum est, optimum esse extra turmas eum in secunda acie, id est, post primam aciem in subsidiis collocare, vel ad laterum custodias, ad tergistites, ad insidias, ad obsidiones hostium transferre.

47. Neque igitur turmæ, neque drungi, id est, cohortes milliariæ, majores sint vel fiant quam prædictum est, ut ne, si in aliquem majorem numerum producantur, minus obedientes imperatis et perturbatiores inveniantur.

48. Atque hoc tibi pernecessarium esse existimo, ut omnia banda sive cohortes nequaquam pari numero inter se facias, ne tum numerabilis exercitus tuus confestim fiat, quæ res maximorum sæpe malorum causa est. Hoc tamen perdiligenter observandum est, ut ne plures quadringentis, neque pauciores ducentis in bando sive cohorte collocentur.

49. Quare unamquamque cohortem si duas apparere facias, persæpe ubi confligendum cum hoste fuerit, non inutile ad perterrefaciendos adversarios erit. Oportet autem ab unoquoque bando ad necessarios usus separari, ut dictum est, mandatores vigilantes, prudentes, acres, vocales, et si fieri possit, multarum linguarum intelligentes.

50. Et buccinatores quoque qui, quando occasio fert, buccinabunt. Samiatores, id est, qui omnes acies ferreas exacuunt. Fabros arcuarios, et sagittarios, reliquosque qui ad rerum consuetarum effectionem pertinent.

51. Constitues etiam qui res amissas collecturi et dominis suis restituturi sint.

52. Quemadmodum enim ad impedimenta equitum gubernanda præfecti constituendi sunt, sic ad impedimenta pedestrium eliges quosdam, quibus, qui ad caragum pertinent, obedientes sint.

53. Caragus dicitur ex carris et bellicis rebus munitio ad exercitum defendendum.

NOTÆ.

(29) *Μέσον, ἄριστόν*. Scribe, μέσον, ἀριστερόν.
(30) *Τοῦ κόμητος*. Sic codex Pistorianus. Recte. Scribebatur, τοῦ κόσμου.
(31) *Τουρμαχιῶν*. Scribe τουρμαρχῶν.
(32) Codex Laurentianus habet στρατηγός.
(33) Cod. Laur. ἀναδείκνυσθαι.
(34) *Καλεῖν*. In Pistoriano codice erat λαεῖν. Scribe λαλεῖν.

54. In unaquaque turma unum summum caragi praefectum esse oportet, et signum aliquod, quemadmodum in equis, sic in bobus unicuique ordini privatum adhiberi, ut facile cognosci et adverti a suis possint.

55. Bene autem pedestris aciei mentionem fecimus. Oportet autem hujus divisionem facere, et in ea præfectos et duces majores et minores constituere, et illorum quoque nomina percensere, quemadmodum ab antiquis rei militaris peritis accepimus, et quemadmodum recentiores suam ipsorum instruendæ aciei formam et constitutionem nobis reliquerunt.

56. Antiqui enim multitudine hominum ea abundabant qui olim armati, nunc scutati vocantur: quanquam hoc nomen propter magnam rei militaris atque industriæ bellicæ negligentiam pene ab omnibus ignoretur. Horum igitur scutatorum cohortes ex sedecim contuberniis faciebant, id est, ex viris ducentis et quinquaginta sex, unum quodque contubernium virorum sedecim, quadrata forma et numero. Invenitur autem in illis phalanx peditum quater mille nonaginta sex, quam vocant aciem pedestrem. et præfectum illorum imperatorem.

57. Perfectam autem aciem faciebant ex cohortibus sexaginta quatuor, contuberniis mille viginti quatuor, hominum sedecim millibus ter centum octoginta quatuor. Levis armaturæ autem, ut sagittariorum, jaculatorum, funditorum, octo millia centum nonaginta duo, ut acies levis armaturæ dimidia sit aciei scutatorum vel gravis armaturæ. Equitum autem qui cum his instruuntur, et pedestri aciei admiscentur, quater mille nonaginta sex: et istorum præfectus dicebatur imperator.

58. Et ista quidem ad hunc modum partiebantur. Cohortes scutatorum in fronte pro prima acie contra hostes collocabant, et hanc in quatuor partes sive turmas dividebant, dextram, sinistram, dextram mediam, sinistram mediam.

59. Levis armaturæ cohortes, quia truces et agiles erant, vel ante omnes collocabant ad persequendos hostes, vel ad latera obliquabant, vel ad tergum primæ aciei constituebant, vel, quemadmodum usus poscebat, describebant, de quibus separatim dicemus.

60. Equites in duas turmas sive partes dividentes, ad latera pedestris aciei collocabant, nempe adjutores et expeditos incursores hostium.

61. Ut igitur, ne omnia percensendo nimis curiosus sim, lochon, id est, manipulorum, et τάξεων,

A νδ'. Καὶ καθ' ἕκαστον μέρος, ἵνα πρῶτον (35) τὸν ἄρχειν ὀφείλοντα, καὶ σημεῖον ὡς ἐπὶ τῶν ἱππέων ἐντιθέναι εἰς τὰς βοῦς ἴδιον ἑκάστου ἀριθμοῦ, ἵνα ἐκ τῆς χρόας τοῦ σημείου φανεραὶ τοῖς ἰδίοις ἑκάστου γίνωνται (36).

νε'. Καλῶς δὲ καὶ τῆς πεζικῆς τάξεως ἐπεμνήσθημεν. Δεῖ γὰρ καὶ ταύτης τὴν διαίρεσιν ὑπογράψαι, καὶ τοὺς ἐν αὐτῇ τασσομένους ἄρχοντάς τε καὶ ἄλλους ἡγεμόνας μικρούς τε καὶ μεγάλους καταστῆσαι, καὶ τὰς αὐτῶν δηλῶσαι ὀνομασίας, ὡς περὶ αὐτῆς ἐκ τῶν παλαιῶν τακτικῶν παρελάβομεν, καὶ ὡς οἱ νεώτεροι μέχρις ἡμῶν τὴν αὐτῶν ἔκταξιν καὶ κατάστασιν παρεπέμψαντο.

νς'. Οἱ μὲν γὰρ ἀρχαῖοι πολὺ πλῆθος ἔχοντες στρατευμάτων ποτὲ λεγομένων ὁπλιτῶν, νῦν δὲ σκουτάτων B καλουμένων, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ ὀνόματος διὰ τὴν ἄγαν τῆς τακτικῆς μελέτης καὶ πράξεως ἀμέλειαν παρὰ μικρὸν παρὰ πάντων ἀγνοουμένου. Ταῦτ' οὖν τὰ τάγματα τῶν σκουτάτων ἀπὸ ις ἀκιῶν ἐποίουν ἀνδρῶν σνς', τουτέστιν ἑκάστην ἀκίαν ἀνδρῶν ιζ' (37-38) ὑπὸ τετραγώνῳ ἀριθμῷ· εὑρίσκεται δὲ ἐκείνοις ἡ φάλαγξ πεζῶν ἀνδρῶν τετρακισχιλίων ἐνενήκοντα ἕξ, ἣν ἐκάλουν στρατηγίαν· καὶ τὸν ταύτης ἡγούμενον (59) στρατηγόν.

νζ'. Τὴν δὲ τελείαν παράταξιν ἐποίουν ταγμάτων ξδ', ἀκιῶν χιλίων κδ', ἀνδρῶν μυρίων ἑξακισχιλίων τετρακοσίων (40) πδ'· ψιλῶν δὲ, τῶν λεγομένων σαγιττατόρων, καὶ ἀκοντιστῶν, καὶ σφενδονιστῶν C ἀνδρῶν ὀκτακισχιλίων ἑκατὸν ἐνενήκοντα δύο, ἤγουν ἡμίσειαν τῶν ψιλῶν εἶναι τὴν τάξιν τῶν λεγομένων ὁπλιτῶν, ἤτοι σκουτάτων, τῶν δὲ σὺν αὐτοῖς παρατασσομένων ἱππέων, ἤτοι συμμίκτων τῇ πεζικῇ τάξει ἀνδρῶν καβαλλαρίων τετρακισχιλίων ἐνενήκοντα ἕξ. Καὶ τούτων ἡγούμενος ἐλέγετο στρατηγός.

νη'. Καὶ ταῦτα μὲν ἐμέριζον οὕτως. Τὰ δὲ τάγματα τῶν σκουτάτων ἔμπροσθεν εἰς πρόμαχον τάξιν παρέτασσον κατὰ τῶν ἐναντίων, καὶ ταύτην εἰς τέσσαρα μέρη, ἵνα ἐποίουν δεξιὸν, ἀριστερὸν, ἀριστερὸν μέσον, δεξιόν.

νθ'. Τὰ δὲ τῶν ψιλῶν τάγματα ἴδια διὰ τὸ γοργοὺς εἶναι καὶ ἐλαφροὺς ἢ ἔμπροσθεν εἰς ἐπιδίωξιν τῶν ἐχθρῶν ἔτασσον, ἢ εἰς πλάγια, ἢ ἐπὶ τοῦ D νώτου τῆς πρώτης παρατάξεως, ἢ ὡς χρεία ἀπῄτει, περὶ ὧν ἐν τῷ ἁρμόζοντι τόπῳ (41) ἐροῦμεν.

ξ'. Τοὺς δὲ καβαλλαρίους εἰς δύο μέρη διαχωρίζοντες (42) κατὰ τὰ πλάγια τῆς τῶν πεζῶν παρατάξεως ἔταττον βοηθοὺς καὶ ὀξέως ἐπιτιθεμένους τοῖς ἐναντίοις.

ξα'. Ἵνα οὖν μὴ καθ' ἕκαστον λέγων ἐπὶ λεπτῷ τῶν τε λόχων καὶ τῶν τάξεων καὶ τῶν ἐφισταμένων

NOTÆ

(35) *Ἵνα πρῶτον*. Scribe, ἵνα π.
(36) Cod. Laur. ἵνα ὦσι εὔδηλοι καὶ φανεραὶ τοῖς ἰδίοις.
(37-38) *Ἀνδρῶν ιζ'*. Scribe, ἀ. ις'.
(39) Cod. Laur. καὶ τὸν ἐφιστάμενον αὐτῆς.
(40) *Τετρακοσίων*. In Checi codice videtur fuisse, τριακοσίων.
(41) Cod. Laur. κατὰ χώραν.
(42) Cod. Laur. διελόντες.

αὐτοῖς τότε ἀρχόντων ὀνομασίας διὰ τὴν νῦν αὐτῶν ἀχρηστίαν· καὶ παρὰ πᾶσι τοῖς στρατευομένοις σχεδόν που αὐτῶν ἀσάφειαν καὶ ἀκαταληψίαν, καὶ ἵνα μὴ ἀκαίρως δαπανῶμεν τὸν καιρὸν, τῶν ἀναγκαιοτέρων ὡς σαφεστέρων καὶ συντομωτέρων ἐπιλήψομεν. Ἐκεῖνα μὲν γὰρ, ὡς ἔοικε, τάτε τῶν καβαλλαρίων διατάγματα καὶ τὰ τῶν πεζῶν, πλήθους ἦν στρατιᾶς, ὥστε καὶ τοσούτους καὶ γενναίους κατὰ ἀνδρείαν εὑρίσκεσθαι στρατιώτας.

ξβʹ. Νῦν δὲ, ὦ στρατηγὲ, ὀλίγων (43) ὄντων, καὶ μηδὲ ἴσον ἐχόντων τὸ μέτρον, μᾶλλον δὲ καὶ πολὺ ἔλαττον, οὐκ ἔστιν εὔκολον (44), ὁρίσαι τὸ μέτρον τοῦ τάγματος, οὔτε ἐν τοῖς καβαλλαρίοις, οὔτε ἐν πεζοῖς, ἵνα μὴ, ὡς εἰκὸς, ἢ περισσεύοντες τοῦ ποσοῦ τῶν σνςʹ ἀνδρῶν ἀρχήσωσιν (45), ἢ πάλιν, ἐὰν ἀκαίρως ἄλλοις τάγμασιν προστεθῶσιν, ὡς ἄτακτοι ἀνωφελεῖς εὑρεθῶσιν.

ξγʹ. Ἀλλὰ τὰ μὲν τάγματα ποιεῖν εἰς ἕκαστον ἀριθμὸν ὡς ἀπαντήσει ἡ τοῦ πλήθους χρεία καὶ τὸ ποσὸν τῶν προσόντων ἀνδρῶν, κατὰ τὴν δύναμιν τοῦ κατὰ τὸν καιρὸν εὑρισκομένου λαοῦ. Καὶ βάνδον ἔχειν ἴδιον ἕκαστον αὐτῶν καὶ ἄρχοντα ἤτοι κόμητα γενναῖον καὶ φρόνιμον καὶ ἀνδρεῖον καὶ κατὰ χεῖρα μάχεσθαι δυνάμενον.

ξδʹ. Τὰς μέντοι ἀκίας ἑκάστου τάγματος τῶν πεζῶν παραφυλάττειν ἀπὸ ιςʹ ἀνδρῶν ὀρδινεύεσθαι εἰς τὸν τῆς μάχης κάματον, τὴν δὲ παράταξιν πρὸς τὸ μέρος τοῦ εὑρισκομένου στρατοῦ ποιεῖν.

ξεʹ. Ταύτην δὲ εἰς τέσσαρα ἴσα μέρη διαχωρίζειν ἐξ ὅσων ἀπαντήσῃ ταγμάτων καὶ ἀκιῶν, ὡς εἴρηταί μοι καὶ ἄνωθεν, τουτέστιν εἰς δεξιὸν, οὗ ἄρχει ὁ δεξιὸς μεράρχης, ἤτοι στρατηλάτης, ὃν τουρμάρχην καλοῦμεν, εἰς ἀριστερὸν οὗ ἄρχει ὁ εὐώνυμος τουρμάρχης, καὶ εἰς τὰ ἕτερα δύο μέσα μέρη ὁμοίως, ἐν οἷς ἵσταται καὶ τὸ τοῦ στρατηγοῦ βάνδον.

ξςʹ. Δέον δέ ἐστιν ἐκ περισσοῦ τῆς παρατάξεως φυλάττειν ὀλίγους καὶ σκουτάτους καὶ ψιλοὺς ἐν ὑποβοηθείᾳ, καὶ ἄρχοντα ἔχειν ἴδιον ἢ παρὰ σοῦ τότε καθιστάμενον, ἵνα ἐὰν χρεία γένηται εἰς τὰ ἄκρα τῆς παρατάξεως ἔξωθεν τῶν καβαλλαρίων, ἢ εἰς τὰς ἁμάξας, ἢ εἰς ἑτέρους τόπους, μετὰ τῶν ἰδίων αὐτῶν ἀρχόντων συντρέχοντες βοηθῶσιν.

ξζʹ. Χρὴ δὲ ἐὰν ὀλιγώτερος ὑπάρχῃ ὁ στρατὸς κδʹ χιλιάδων πεζῶν, μὴ ποιεῖν τέσσαρα μέρη τὴν παράταξιν, ἀλλὰ τρία, ἐν τῷ μέσῳ δὲ μέρει τάσσεσθαι τὸ τοῦ στρατηγοῦ βάνδον, ᾧτινι καὶ πείθεσθαι τὰ λοιπὰ βάνδα ὀφείλουσιν.

ξηʹ. Πρότερον δὲ χωρίσεις εἰς ψιλοὺς, τοὺς εἰδότας τοξεῦσαι, ἢ καὶ μαθεῖν δυναμένους, γοργοὺς καὶ νεωτέρους, ἱκανοὺς πηδᾷν ὅπου βούλονται, ἐὰν μὲν ὑπὲρ τὰς κδʹ χιλιάδας εἰσὶ, τὸ ἥμισυ μέρος, εἰ δὲ ὀλιγώτεροι τῶν κδʹ χιλιάδων εἰσὶ, τὸ τρίτον μέρος ἐν ἑκάστῳ ἀριθμῷ. Καὶ τότε ὀρδινευθῆναι αὐτοὺς, ὡς

A id est, acierum, et eorum qui iis præsunt nomina, propterea quod ex usu militari jam excesserunt, et quia incerta atque incomprehensibilia omnibus viris militaribus sunt, et ut ne tempus inaniter consumamus, prætermittamus, et hæc quæ magis necessaria ad usum sunt, et ad cognoscendum certiora, et magis compendiaria, persequar. Illæ enim ut videtur equitum acies atque peditum, pro ratione multitudinis militum fuerant, cum tot strenui ac fortes invenirentur milites.

62. Nunc vero, imperator, cum multo pauciores sint milites in exercitu quam olim fuerant, et non modo non æqualem, sed etiam longe minorem habeant numerum, difficile est definire numerum cohortis tum equestris, tum pedestris, ne si excedant
B numerum ducentorum quinquaginta sex virorum, otiosi sint, vel rursus si ad alias cohortes adjungantur, quasi inordinati milites inutiles exsistant.

63. Cohortis tuæ numerum facias pro multitudinis tuæ ratione, et multitudinem virorum præsentium pro virtute et fortitudine militum tuorum collocato. Unumquodque autem bandum, sive cohors, præfectum suum comitem habeat strenuum, prudentem, fortem et manibus consertis ad prœliandum habilem.

64. Contubernia vero singula peditum diligenter observare oportet, ut ex sedecim hominibus fiant ad labores prœlii suscipiendos idoneis. Numerum autem aciei pro ratione exercitus et multitudinis tui facias.

C 65. Hanc vero aciem ex quotcunque fuerit cohortibus et contuberniis, in quatuor (ut supra dictum est) turmas divide : in dextram, cui præest dexter turmarcha; in lævam, cui lævus turmarcha : et in duas medias turmas, in quibus erit imperatoris cohors sive bandum.

66. Præter integram hanc aciem oportet etiam paucos quosdam habere scutatos et velites in subsidiis, qui ducem suum peculiarem habeant, abs te etiam designatum, ut si quando opus fuerit, in extremis oris instructæ aciei extra equites sint, vel inter carros, aut aliis in locis cum ducibus excurrentes opem ferant.

67. Oportet autem, si minor numerus viginti qua-
D tuor miliibus peditum sit, universam aciem in tres solum turmas dividere, et in media imperatoris bandum sive cohortem collocari oportet, cui cætera banda obediant.

68. Prius autem divides velites in homines, vel sagittandi peritos, vel certe habiles ad discendum, si qui truces aspectu et juniores fuerint, et qui per omnia loca, ubi velint, saltare possint. Si enim supra viginti quatuor millia fuerint, dimidiam illorum partem eliges : sin pauciores fuerint, tertiam

NOTÆ.

(43) Cod. Laur. εὐαριθμήτων.
(44) Cod. Laur. εὐχερές.

(45) Ἀρχήσωσιν. Scribe, ἀργήσωσιν.

uniuscujusque numeri partem assumes, et illos in decurias sive contubernia, ut ante dictum est, divides, illisque decanos bonos atque idoneos præficies, unumque etiam omnium ducem præfectum sagittariorum nominabis.

69. Reliquarum duarum partium dimidium, octodecim virorum seniorum simul, et juniorum contubernia dividas, et duos ex iis octodecim, qui debilissimi sunt, seu potius omnes, qui supra sedecim sunt, ad carros reliquasque sarcinas servandas operam navare oportet : sedecim autem reliquos in acie consistere, et præesse illis manipulares duces, sive decanos oportet strenuos atque idoneos.

70. Octo vero ex istis sedecim, qui meliores sunt, primos et postremos contubernii sive manipuli constituere oportet. Nam sedecim virorum contubernium, manipulum antiqui vocaverunt. Constituere autem eos oportet in primo, in secundo, in tertio, in quarto loco, in XVI, in XV, in XIV, in XIII, ut altitudine ad quatuor hominum numerum descripta, firmetur tum frons tum cauda, id est, extremum agmen. Reliqui vero octo imbecilliores in medio collocandi sunt.

71. Istos sedecim nominabis seorsim per primos, et secundos, vel per præstites et astites. Duo autem ex illis binomines erunt, et primus quidem vocabitur lochagus, sive manipularis dux primus, sive protostates; alter autem vocabitur decarchus et secundus sive astes, et deinceps similiter, ut universa acies ex præstitibus et astitibus instruatur

72. Ut autem obedire facilius possint, et idonee inter se vivere, melius est illos in duo solum contubernia dividere, ut primi sive præstites sint cum præfecto manipulari, secundi autem vel astites sint cum decano; ita fiet ut, quanquam in vitæ cultu separantur, in acie tamen adunati, isti sedecim concilio mandatoque manipularis præfecti obtemperent. Hoc modo acies optime conservatur, et illi facillime obedientes erunt.

73. Utile autem est, si id fieri potest, non solum secundum virtutem, vel strenuitatem unumquodque contubernium scutatorum ordinare, verum etiam juxta ætatem, ut provectiores ætate, si anteponantur, magis parentem atque obedientem manipulum faciant. Ut vero ne omnia vel ad strenuitatem, vel ad ætatem referamus, oportet eos qui alacriores et generosiores sunt, in fronte et cauda, id est, extremo contubernio, imbecilliores autem in medio, quemadmodum prædiximus, collocari.

74. Propterea autem antiqui ex sedecim viris

A που καὶ ἀνωτέρω εἴπομεν, εἰς δεκαρχίας, καὶ ἐπιστῆναι αὐτοῖς δεκάρχας χρησίμους, καὶ ἄρχοντα ἕνα τὸν λεγόμενον ἀρχισαγιττάτωρα (46), ἤγουν ἀρχιτοξότην.

ξθ'. Τὸ δὲ μόνον δίμοιρον μέρος ἢ ἥμισυ διαμερίσαι εἰς ἀκίας ἀπὸ ἀνδρῶν ιη' παλαιῶν τε καὶ νέων. Ἀκίαι δὲ λέγονται, ὥς μοι εἴρηται, τὰ λεγόμενα κοντουβέρνια (47). Καὶ τοὺς μὲν δύο αὐτῶν τοὺς ὑποδεεστέρους, ἤτοι τοὺς πλείονας τῶν ις', εἰς τὰς ἁμάξας καὶ ἑτέρας, ὡς εἰκὸς, χρείας ἀσχολεῖσθαι, τοὺς δὲ ις' ἵστασθαι ἐν τῇ παρατάξει, καὶ ἐπιστῆναι αὐτοῖς τοὺς λοχαγωγοὺς (48) λεγομένους γενναίους καὶ χρησίμους.

B σ'. Ἐκ τούτων δὲ τῶν ις' χρησιμωτέρους η' ἔμπροσθεν καὶ ὄπισθεν τῆς ἀκίας ἤτοι τοῦ λόχου καταστῆσαι. Τὴν γὰρ τῶν ις' ἀνδρῶν ἀκίαν λόχον ἐκάλουν οἱ παλαιοί. Στῆσαι δὲ αὐτοὺς εἰς τὸν πρῶτον τόπον, καὶ εἰς τὸν δεύτερον, καὶ εἰς τὸν τρίτον, καὶ εἰς τὸν τέταρτον, καὶ εἰς τὸν ἑξδέκατον, καὶ τὸν πεντεκαιδέκατον, καὶ εἰς τὸν τεσσαρεσκαιδέκατον καὶ εἰς τὸν τρισκαιδέκατον, ἵνα καὶ μέχρι τεσσάρων ἀνδρῶν μεριζομένου τοῦ βάθους, ἤτοι τοῦ πάχου; τῆς ἀκίας, ἐν δυνάμει ὑπάρχει ἡ οὐρὰ αὐτῆς καὶ τὸ μέτωπον. Τοὺς δὲ λοιποὺς τοὺς ὑποδεεστέρους ἐν τῷ μέσῳ αὐτῆς τάξαι.

οα'. Τούτους δὲ τοὺς ις' ὀνομάσαι ἕνα παρ' ἕνα ἀπὸ πρίμων, καὶ σεκούνδων, ἤτοι πρωτοστατῶν (49) καὶ ἐπιστατῶν. Τοὺς δὲ δύο ἐν αὐτοῖς ἀπὸ δύο ἔχειν C ὀνομάτων, καὶ τὸν μὲν πρῶτον καλεῖσθαι λοχαγὸν καὶ πρωτοστάτην, τὸν δὲ δεύτερον δεκάρχην καὶ σεκοῦνδον ἤγουν ἐπιστάτην, ὥστε εἶναι τὸν ὅλον στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν συγκείμενον.

οβ'. Ἵνα δὲ καὶ ἄρχεσθαι εὐκόλως δύνωνται, καὶ ἁρμοζόντως συνδιάγειν ἀλλήλοις, κάλλιόν ἐστιν μᾶλλον τούτους εἰς δύο μόνα κοντουβέρνια γίνεσθαι, ἵνα οἱ μὲν πρίμου ἤγουν οἱ πρωτοστάται ὦσι μετὰ τοῦ λοχαγοῦ, οἱ δὲ σεκοῦνδοι ἤγουν οἱ ἐπιστάται μετὰ τοῦ δεκάρχου, οὕτω μέντοι ὥστε, κἂν ἐν τῇ διαγωγῇ διαιρῶνται, ἀλλ' οὖν ἐν τῇ τάξει ἡνωμένοι ὄντες οἱ ις' τῇ βουλῇ καὶ γνώμῃ τοῦ λοχαγοῦ πείθωνται. Ἐντεῦθεν γὰρ καὶ ἡ τάξις φυλάσσεται, καὶ εὐκόλως ἄρχεσθαι δύνανται.

ογ'. Χρήσιμον δέ ἐστιν, ἐὰν δέχηται, μὴ μόνον D κατὰ ποιότητα ἤγουν εὐψυχίαν ὀρδινεύειν τοὺς ις' καθ' ἑκάστην ἀκίαν τῶν σκουτάτων, ἀλλὰ καὶ κατὰ ἡλικίαν· ἵνα οἱ μακρότεροι ἔμπροσθεν τασσόμενοι εὐτακτοτέραν τὴν παράταξιν ἀποδείξωσιν. Εἰ δὲ μὴ ἅπαντα πρὸς ἡλικίαν καὶ ἀνδρείαν πάντως, ὡς εἴπομεν, τοὺς εὐψυχοτέρους καὶ γενναιοτέρους ἑκάστης ἀκίας δέον ἐστὶν εἰς τοὺς ἔμπροσθεν καὶ ὄπισθεν τόπους τάσσεσθαι· τοὺς δὲ ὑποδεεστέρους εἰς τὸ μέσον αὐτῶν, καθ' ὃν εἰρήκαμεν τρόπον.

οδ'. Ὥστε οὖν διὰ τοῦτο καὶ οἱ ἀρχαῖοι ἀπὸ ις'

NOTÆ.

(46) *Ἀρχισαγιττάτωρα*. Scribebatur, ἀρχισαγιττάτωνα.

(47) *Ἀκίαι δὲ λέγονται τὰ λεγόμενα κοντουβέρνια*. Hæc a glossa esse censeo, neque Checi item codex agnoscit.

(48) *Τοὺς λοχαγωγούς*. Scribe, τοὺς λοχαγούς.

(49) *Πρωτοστατῶν* Scribe, πορωστατῶν.

ἀνδρῶν πεζῶν τὸ βάθος τῶν ἀκιῶν ἤτοι τῶν ὀρδίνων ὥρισαν ἐν ταῖς μάχαις, ἐπειδὴ καὶ τὸ μέτρον ἀρκοῦν ἐστιν, ὅπερ ὑπερβαίνειν οὐ χρὴ, καὶ ἐν ταῖς χρείαις εὐτάκτως καὶ συντόμως μερίζεται, καὶ λεπτύνεται μέχρις ἑνὸς ἀνδρός. Τοσαῦτα μὲν οὖν καὶ περὶ τῆς τοῦ στρατοῦ διαιρέσεώς τε καὶ καταστάσεως, καὶ τῶν ἐπὶ τούτων τεταγμένων ἀρχόντων μικρῶν τε καὶ μεγάλων διωρισάμεθα.

A peditibus contubernium in militia designaverunt; quoniam hic numerus tum idoneus est quem transire non oportet, tum in omni militari usu facile et nullo negotio dividitur, et secatur usque ad unum virum. Atque hæc quidem de exercitus divisione et constitutione, et de ducibus huic præfectis tum majoribus, tum minoribus, a nobis dicta sint.

ΔΙΑΤΑΞΙΣ Ε'.

Περὶ ὅπλων.

α'. Κελεύομεν μέντοι νῦν τῇ ὑμῶν ἐνδοξότητι, τῶν εἰς τοὺς πολέμους συντεινόντων ὅπλων τε καὶ ἀποσκευῶν πεζικῇ τε καὶ καβαλλαρικῇ στρατιᾷ φροντίσαι, ὥστε ταῦτα διαμένειν ἀδιάλειπτα, καὶ πρὸς τὴν κατεπείγουσαν τῷ καιρῷ χρείαν ἕτοιμα.

B

β'. Τοῦτο δὲ ποιεῖν, τὸ μὲν διὰ σοῦ αὐτοῦ, τὸ δὲ διὰ τῶν ὑπὸ σὲ ἀρχόντων μικρῶν καὶ μεγάλων, εἰς ὅπλισιν καὶ ὑπηρεσίαν τοῦ ὑπὸ τὸ σὸν θέμα μαχίμου στρατοῦ.

γ'. Οἷον τοξάρια μετὰ θηκαρίων αὐτῶν, σαγίττας μετὰ κουκούρων, σπαθία ἠκονημένα, καὶ σεσαμιωμένα, σκουτάρια, καὶ ἕτερα σκουτάρια μεγάλα, ἅπερ λέγονται θυρεοὶ, ἕτερα σκουταρίσκια τῶν πεζῶν τά ποτε λεγόμενα πέλται, ἕτερα σκουτάρια σιδηρᾶ στρογγύλα σεσαμιωμένα, κοντάρια μικρὰ ὀκτάπηχα. Ἦσαν δέ ποτε Ῥωμαίοις καὶ Μακεδόσι κοντάρια ἄχρι πηχῶν ις', ἅπερ ἡ νῦν χρεία οὐκ ἀπαιτεῖ. Τὸ γὰρ κατὰ τὴν ἑκάστην τῶν μεταχειριζομένων δύναμιν ὅπλον σύμμετρόν τε καὶ χρήσιμον, ῥιπτάρια (50), τζικούρια καὶ ἕτερα τζικούρια ἀμφίστομα, ἐφ' ἑνὸς μέρους οἱονεὶ σπαθίον, μετὰ τῶν θηρακίων αὐτῶν δερματίνων καὶ βασταγίων, παραμήρια, μαχαίρας μεγάλας μονοστόμους.

C

δ'. Λωρίκια μέχρι[ς ἀ]στραγάλων, ἀνασυρόμενα διὰ λωρίων καὶ χρικελλίων, μετὰ τῶν θηκαρίων αὐτῶν δερματίνων, καὶ εἰ δυνατὸν πάντα ἁλυσίδετα. Εἰ δὲ μή γε, τινὰ αὐτῶν καὶ διὰ κερατίνης ὕλης ἢ βουβαλικῶν δερμάτων καταξήρων, ἐπιλωρικὰ ἱμάτια, κλιβάνια σιδηρᾶ, ἢ καὶ ἐξ ἑτέρας ὕλης, ὡς εἴρηται, κασσίδας τελείας· ποδόψελλα, χειρόψελλα σιδηρᾶ, ἢ καὶ ἐξ ἑτέρας ὕλης, διὰ τοὺς μὴ ἔχοντας περιτραχήλια ἁλυσίδετα, σιδηρᾶ, ἐνδεδυμένα, ἔσωθεν ἀπὸ ἐρίου καὶ ἔξωθεν λίνου. Νευρικὰ τὰ ἀπὸ κενδούκλων γινόμενα, καὶ αὐτὰ ἀντὶ λωρικίων τοῖς μὴ ἔχουσι σιδηρᾶ. Κένδουκλα φαρδέα ἐνδύοντα τὸν στρατιώτην μετὰ τῶν ὅπλων. Σωληνάρια μετὰ μικρῶν σαγιττῶν καὶ κουκούρων αὐτῶν σφενδοβόλα· σελλοπούγγια μεγάλα· πυρέκβολα καὶ ὕσκας (51)· λωρόσοκα· πέδιλα σεληναῖα σιδηρᾶ μετὰ χαρφίων αὐτῶν· ῥινία, σουβλία (52)· προμετώπια ἵππων, στηθάρια ἵππων ἢ σιδηρᾶ, ἀπὸ κενδούκων· περιτραχήλια ἵππων ὁμοίως.

D

CONSTITUTIO V.

De apparatu armorum.

1. Mandamus dignitati tuæ ut omnem apparatum bellicum ad pedestres et equestres copias spectantem accures, ut integra minimeque defecta sint, sed ad omnem opportunitatem usumque bellicum parata.

2. Hoc autem partim per teipsum, partim per præfectos tuos tum majores, tum minores efficies, ad universi exercitus qui sub ditione tua est, armaturam et præparationem.

3. Arcus cum corytis suis, sagittas cum cucuris, spathas acutas, et samiatas. Scuta, nempe scuta majora, quæ thurei appellantur, et scuta minora peditum, quæ peltæ, id est, cetræ nominantur; et scuta quædam ferro rotundo signata; hastas parvas præterea octo cubitorum. Erant autem Romanis et Macedonibus hastæ sedecim cubitorum longitudine, quas nunc usus noster non requirit, sed singula jam pro utentis viribus ac robore arma apta atque idonea fiunt, rhictaria, tzicuria bidentia, altera ex parte habentia aciem quasi spathæ, altera ex parte quasi hastæ cuspidem, cum thecis ex pellibus, et bastagia, femoralia, id est, gladios magnos unam solam aciem habentes.

4. Lorica, id est, galeæ usque ad jugulum demissæ loris et annulis cum thecis coriaceis; et si fieri potest, omnia sint catenata; sin minus, quædam ex illis cornea aliqua materia, vel siccatis bubalorum pellibus junctis; superloricas vestes, clibania ferrea, vel ex alia quapiam, ut dictum est, materia. Cassides integras, manicas, ocreas ferreas, vel ex alia quapiam, ut dictum est, materia, propter eos, qui non habent collaria catenata ferrea, tecta intus lana, foris lino; nervos et lora a cenduclis, quæ et ipsa sint galearum vice, iis qui ferrea cenducla non habent. Fardea induat miles cum armis, solenaria cum parvis sagittis, et cucuris ipsis; fundas, sellopungia magna, pyrecbola, id est, ignem jacentia, iscas, lorosacca, pedila, id est, calceos lunatos ferreos cum ipsis carphiis; rhinia, suglia, frontalia, equorum pectoralia ferrea, vel a cenduclis facta, et equorum collaria similiter.

NOTÆ.

(50) *Ῥιπτάρια.* In codice Checi videtur fuisse ῥικτάρια. Sed ῥιπτάρια melius est. Vide *Glossarium* Rigaltii, et nostrum.

(51) *Πυρέκβολα, καὶ ὕσκας.* Scribebatur, παρέκβολα, καὶ ἴσαχας. Constantinus in *Tacticis*: Σφενδοβόλα μεγάλα, πυρέκβολα, καὶ ὕσκαι. Jam ὕσκα, est *fomes, ignitabulum*. Suidas: ὕσκα, ὀφάριον, καὶ ξύλον ἐν ᾧ ἅπτεται πῦρ.

(52) *Σουβλία.* In codice Checi videtur fuisse σουγλία, et sic semper scribitur in Glossis Græcobarbaris.

5. Flamula magna, et flamula parva bastarum, A habenda varie tincta, cucina parva, falces magnas, secures, phalcia, bipennes, ascias, tribulas fasciis quibusdam astrictas, quæ clavis quibusdam appendantur.

6. Carros leves, atque ad omnem necessarium usum et commeatum expeditos, ad omnia nempe opera, ad molas manuarias, prionia orygas, malleos, ptyaria, cophinos, cilicia, et si quid aliud ad fossati seu castrorum externam custodiam, et ad ambitum conservandum leviori aliqua materia confectum a duce excogitari potest.

7. Alios currus habentes sagittarios, manganica alacatia utrinque conversa, balistarios peritos quos maganarios appellant, cælatores, fabros ærarios cum officinis suis; alios B currus armamenti plenos, alios currus commeatum ferentes, et alios præterea superfluos currus quot opus est; jumenta præterea sagmaria, id est, sarcinaria, et equos sagmarios, et alia instrumenta iis similia, quæ fossatum, id est castra, ad usum suum requirit.

8. Ad obsidiones manganica diversa habere oportet, et scalas ligneas contractas, et alias permultas machinationes quascunque excogitare possis.

9. Ad fluvios et lacus naviculas, id est, navigia parva, vel ex coriis confecta, vel naturæ vi quadam fabricata. Excogitabis etiam ac præparabis tentas et ategias, id est, integumenta cum suo ipsorum apparatu, quibus pluviarum et æstuum vim possis C depellere.

10. Rei navalis præfectum oportet naves parare, partim bellatrices, partim equorum vectrices, partim sarcinarias, ad omnia arma bellica et omnem apparatum nauticum vehendum.

11. Cum hic apparatus omnis, qui superius a me memoratus est, partim abs te ipso, partim ab aliis sub tuo dominatu præfectis suppeditatus et suffectus sit, arma partim ad propulsandos hostes, partim ad prœliantium militum defensionem, partim aliarum rerum usum atque occupationem paranda sunt.

12. Maxime autem armorum bellicorum curam D geres, ut splendida et acuta ad hostes perterrefaciendos conserventur. Hæc omnia diligenter præparabis, ut in promptu esse possint ad usum belli iis, qui se pro virtute armant contra hostes; et nequaquam illud tempus, in quo acies instrui debet, tempus præparandorum armorum facias. Hæc et si qua alia a nobis propter oblivionem prætermissa sunt, necessario debes præparare; si vero aliquid excogitare possis, Deo gratiæ agendæ et solertiæ tuæ sunt.

13. Ante omnia autem Dei timorem, ingenium

ε'. Φλάμουλα μεγάλα, φλαμουλίσκια τῶν κονταρίων, βάνδα διαφόρως βεβαμμένα, γούκινα (53) μικρὰ καὶ μεγάλα, δρέπανα, ἀξίνας, φαλκίδια, πελέκια, σκέπαρνα, τριβόλους ἀναδεδεμένας σφηκώμασι δεδεμένοις εἰς ἥλους τελείους.

ς'. Ἁμάξας εὐσταλεῖς φερούσας ἑτοίμως τὴν ἀναγκαίαν εἰς χρείαν ἀποσκευὴν, οἷον τά τε εἰρημένα ἔργα· καὶ χειρόμυλα, καὶ πριόνια, καὶ ὀρύγια, καὶ σφύρας, πτυάρια, κοφίνους, κιλίκια, καὶ εἴ τι ἄλλο πρὸς φοσσάτου ἔξωθεν φυλακὴν καὶ περιβολὴν ἐπινοηθῇ τῷ στρατηγῷ δι' ἐλαφροτέρας ὕλης μεμηχανημένον.

ζ'. Ἑτέρας ἁμάξας ἐχούσας τοξοβαλλίστρας, μαγγανικὰ ἀλακάτια ἑκατέρωθεν στρεφόμενα, βαλλισταρίους ἐμπείρους ἤτοι μαγγαναρίους, λεπτουργοὺς, χαλκεῖς μετὰ τῶν ἐργαλείων αὐτῶν, ἑτέρας ἁμάξας λόγου ἀρμαμέντου, ἑτέρας ἁμάξας τὰς φερούσας διαστροφάς (54). Καὶ τὰ ἐκ περισσοῦ ἅρματα ὅσα ἡ χρεία καλεῖ, καὶ ἔστι ὑποζύγια, καὶ ἵππους σαγμάρια, σκευοφόρια, καὶ αὐτὰ δὲ τὰ ἄλλα πάντα ὄργανα, ὅσα ἡ συνήθεια τοῦ φοσσάτου παρακελεύεται.

η'. Πρὸς δὲ πολιορκίας καὶ μαγγανικὰ διάφορα, καὶ σκάλας ξυλίνας συστελλομένας, καὶ ἕτερα μηχανικὰ ὄργανα ἐπινοήσεις.

θ'. Εἰ δὲ πρὸς ποταμοὺς ἢ λίμνας, καὶ ναυκέλια, ἤγουν πλοῖα μικρὰ, ἢ ἀπὸ βυρσῶν κατασκευασμένα, ἢ κατὰ φύσιν. Φροντίσεις δὲ καὶ ἑτοιμάσεις καὶ τὰς λεγομένας τένδας καὶ ἀτεγείας (55), μετὰ τῆς αὐτῶν ἐξοπλίσεως, ἐν αἷς καὶ ὑετῶν καὶ καυμάτων, ὅσα χρεία, ἕξεις ἐλευθερίαν.

κα'. Ἐκ γὰρ τῆς τοιαύτης μελέτης καὶ γυμνασίας οὐ μόνον ἐθίζεται πρὸς τοὺς πόνους τὸ στράτευμα, ἀλλὰ καὶ ὑγιαίνει, καὶ πᾶσαν τροφὴν ἡδέως ἐσθίει, καὶ πίνει, κἂν λιτὴ ἐστιν, ὑπὲρ τὰς πολυτελεῖς τρυφάς· γίνεται δὲ αὐτῶν τὸ σῶμα καὶ στεῤῥὸν, καὶ συνεθίζεται τοῖς μέλλουσι πόνοις, ἱδρῶτι, καὶ θάλπει καὶ καύματι ἀσκιάστῳ, καὶ κρυμοῖς καὶ χειμῶσι συγγυμναζόμενον (90).

κβ'. Ὁμοίως δὲ γυμνάσεις καὶ τοὺς καβαλλαρίους ἐρίζειν αὐτοὺς ποιῶν, καὶ ἁμιλλᾶσθαι, καὶ διώξεις ποιεῖν, καὶ συμπλοκὰς, καὶ ἀκροβολισμοὺς, ἤγουν τοξείας, ἢ ἀκοντίσεις, καὶ ὅσα ἑξῆς σοι πλατύτερον δηλώσω.

κγ'. Ταῦτα δὲ ποιεῖν καὶ ἐν ἐπιπέδοις τόποις, καὶ περὶ αὐτὰς τὰς ῥίζας τῶν βουνῶν ἐφ' ὅσον δυνατόν ἐστιν αὐτοὺς, καὶ τραχέων ἐγγίζειν τόπων.

κδ'. Καὶ τοῦτο μὲν τοῖς παλαιοῖς ἔδοξεν, ἐμοὶ δὲ δοκεῖ μὴ μόνον εἰς δρόμους ἐν τοῖς ὁμαλοῖς τόποις ἐθίζεσθαι τοὺς ἵππους ἀναγκαῖον εἶναι, ἀλλὰ καὶ εἰς ὑψηλοὺς καὶ δασεῖς καὶ τραχεῖς, ὥστε σὺν ἐλασίᾳ τούτους διαβαίνειν. Ὁμοίως δὲ καὶ εἰς τοὺς κατωφερεῖς. Ἐὰν γὰρ εἰς τοὺς τοιούτους ἐθίζονται, οὐκ ἔτι οὐδὲ τοὺς ἄνδρας οὐδὲ τοὺς ἵππους ξενίζει τόπος ἢ ἀδικεῖ.

κε'. Ἀλλὰ καὶ ἐν τῷ καιρῷ τοῦ θέρους μὴ ἐπιτηδεύειν πυκνῶς τοὺς ἵππους ποτίζειν. Διὸ οὐδὲ χρήσιμόν ἐστι πλησίον ποταμῶν ἀπληκεύειν (91)

κς'. Καὶ παρατάσσεσθαι δὲ εἰς τοὺς δυσχερεῖς καὶ δυσβάτους τόπους, καὶ ἐπιτρέπειν ὡς ἐστι τὸ βάνδον, καθὼς φθάσει ὁ τόπος ἑκάστῳ σὺν ἐλασίᾳ ἀνέρχεσθαι ὁμοίως δὲ καὶ κατέρχεσθαι.

κζ'. Ὅσοι τοίνυν φειδόμενοι τῶν ἵππων αὐτῶν περιφρονοῦσι τῆς τοιαύτης αὐτῶν γυμνασίας, ἑαυτοῖς ἐπιβουλεύουσι.

κη'. Ἐπὶ τούτοις δέον ἐστὶν, εἰ καὶ μετρίως, ὅμως καὶ ἐν ὀλίγοις ὑποδεῖξεσι, καθὼς προϋπεθέμεθα, πλατύτερον τὰς τῶν ἀρχαίων κινήσεις καὶ τὰ λεγόμενα παραγγέλματα, ἵνα προγυμνάζῃς καὶ ἐν τούτοις τὸ στράτευμα, καὶ διεγείρῃς αὐτοὺς καὶ διὰ

NOTÆ

(88-89) *Καὶ τοὺς μείναντας*. Scribebatur, καὶ τοὺς μὲν αὐτούς.

(90) *Συγγυμναζόμενον*. Scribebatur, γυμναζόμενοι.

(91) *Ἀπληκεύειν*. Scribebatur, ἀποκελεύειν.

λόγων καὶ δι' ἔργων πρὸς τὰς πολεμικὰς μεθόδους. Μετὰ γὰρ τὴν γυμνασίαν τοῦ καθ' ἕνα στρατιώτου πεζοῦ καὶ καβαλλαρίου δεῖ σε καὶ ἕκαστον τάγμα ἤτοι βάνδον γυμνάζειν (92) καθ' ἑαυτὸ οὕτως·

κθ'. Τοῦ βάνδου τῶν καβαλλαρίων ἀπὸ τῶν λεγομένων ἀκιῶν ἤτοι ὀρδίνων συνεστῶτος καὶ συντεταγμένως ἱσταμένου παραγγέλλει ὁ μανδάτωρ τὰ προστεταγμένα, οἷον·

λ'. Ὅταν ἡ συμβολὴ γένηται, μηδεὶς ἀφήσῃ, μηδεὶς προλάβῃ, ἕως ἂν διώξῃς τὸν ἐχθρόν. Ἐὰν ἐκβῇς ἀπὸ τῆς τοῦ μετώπου ὄψεως, βλέπε τὸ βάνδον, δίωκε μὴ ὡς στρατιώτης δειλὸς, ἀλλ' ὡς στρατιώτης ἀνδρεῖος, καὶ μὴ κατὰ παράκλησιν (93) ἐάσῃς, μήτε ἄλλῳ τρόπῳ· φύλαττε, στρατιῶτα, τὴν τάξιν σου· φύλαττε καὶ σὺ, βανδοφόρε, ὅταν καταπολεμήσῃς, ἵνα ἀκολουθῇς τῷ ἐχθρῷ. Εἰ δὲ ἐκβῇς τὴν ὄψιν τῆς παραταγῆς, μὴ ἐλάσῃς ἰσχυρῶς ἐν τῷ κάμπῳ, ἵνα μὴ σκορπίσῃς (94) τὴν σὴν τάξιν.

λα'. Ἡ δὲ καθ' ἑαυτὴν τοῦ τάγματος (95) γυμνασία τῶν καβαλλαρίων αὕτη, ὥστε κινεῖν συντεταγμένως ὡς ἐν παραταγῇ, ἢ μετὰ δρόμου ἐπί τι σημεῖον, καὶ οὕτως ἵστασθαι. Καὶ ὅταν θέλῃ κινῆσαι, σημαίνειν δέον μόνῃ τῇ φωνῇ, ἢ τῷ βουκίνῳ, ἢ νεύματι φλαμούλου, καὶ οὕτως κινεῖν. Ὅταν δὲ θέλῃ στῆναι, σημαίνειν τῇ φωνῇ, ἢ τῷ ἤχῳ τοῦ σκουταρίου, ἢ τῇ τούβᾳ, ἣν νῦν λέγουσι βούκινον, ἢ τῇ ταυραίᾳ· καὶ αὕτη μία κίνησις.

λβ'. Ἑτέρα δὲ, ὥστε ἴσα περιπατεῖν ἐν ἀραιοτέροις πρῶτον διαστήμασι, καὶ παραγγέλλει· Ἐξ ἴσου περιπατεῖτε.

λγ'. Ἑτέρα δὲ, ὥστε σφίγγεσθαι κατὰ πλευρὰν, μάλιστα πρεπόντως. Ὁμοίως δὲ σφίγγεσθαι κατ' οὐράν. Τὸ δὲ σφίγγεσθαί ἐστιν τὸ πυκνοῦσθαι, ἵνα καὶ κατὰ πλευρὰς καὶ κατὰ ὦμον ἀλλήλοις ἐγγίζωσι. Παραγγέλλει δὲ, Κατὰ πλευρὰν σφίγγε, τουτέστι δεκάρχαι πρὸς δεκάρχας, πεντάρχαι πρὸς πεντάρχας, τετράρχαι πρὸς τετράρχας. Καὶ σφίγγωνται πάντες, ὡς εἴρηται, πλευρὰ πρὸς πλευρὰν ἐγγίζοντες. Οὐχ ἐπιθενὸς δὲ μέρους σφίγγονται, ἀλλ' ἐπὶ τὸν μέσον τόπον, τουτέστι τὸν βανδοφόρον, ὥστε ἔνθεν κἀκεῖθεν αὐτοῦ γίνεσθαι. Συντόμως γὰρ καὶ εὐτάκτως ἡ τοιαύτη γίνεται σφίγξις. Ὥσπερ δὲ οἱ δεκάρχαι οἰσοῦνται (96) ἐν ἀλλήλοις κατὰ μέτωπον, οὕτως πρέπει καὶ τοὺς τετράρχας ἤγουν τοὺς οὐραγοὺς, ἰσοῦσθαί τε [τοὺς] ὀπίσω τοῦ ὀρδίνου. Αὐτῶν γὰρ σφιγγομένων κατὰ λόγον, κἂν λιποταχτήσωσιν ἐν ταῖς συμβολαῖς οἱ ἔμπροσθεν, κωλύονται ὑπ' αὐτῶν εἰς τὰ ὀπίσω τρέπεσθαι.

λδ'. Ἑτέρα δὲ, ὅταν σφίγγωνται καὶ κατ' οὐράν. Οὐ γὰρ μόνον τὸ πλάτος τῆς παραταγῆς δέον σφίγγεσθαι, ἀλλὰ καὶ τὸ πάχος αὐτῆς, πολλάκις ἀλλήλοις κατὰ τοὺς ὤμους ἐγγίζοντες.

A unumquemque militem tum equitem, tum peditem seorsim exercueris, unamquamque etiam cohortem sive bandum separatim etiam ad hunc modum exercebis :

29. Cohorte equitum ex ordinibus sive contuberniis disposite et ordinate constituta, narrabit mandator imperata illis ad hunc modum :

30. Ubi conflictatio est, nullus anticipet, nullus tradat, donec hostes tuos persequaris. Si extra conspectum frontis exercitus iveris, intuere in cohortem, persequere, non quasi ignavus, sed quasi fortis miles, neque ullius exhortationis gratia, aut ulla alia de causa cesses. Custodi, miles, stationem tuam. Observa tu, signifer, ubi hostem expugnaveris, ut B eum persequaris. Si extra conspectum aciei discesseris, ne vehementer in campo curras, ut ne aciem tuam dissipes.

31. Cohortis equitum exercitatio per se talis est, ut ordinate se quasi in acie moveat, vel cursu ad aliquod signum contendat, et ibi consistat : et quando ciere cohortem vis, voce, vel buccina, vel nutu flamuli significare oportet, et sic cieto. Quando autem eos consistere vis, vel voce illis significato, Sta : vel scuti stridore, vel tauræa. Et hoc unum movendi genus est.

32. Aliud movendi genus est, ut æquabiliter pro- C cedant, laxo quodam disjuncti intervallo, et tum præcipe his verbis : Æquabiliter procedite.

33. Aliud genus est, ut ad latus idonee densentur, et ad caudam similiter densentur. Hoc verbum σφίγγεσθαι, id est, densari, significat cogi in unum, vel lateribus atque humeris prope ad se mutuo accedant. Præcipe ut ad latus se densent decani ad decanos, quintani ad quintanos, quartani ad quartanos, et densentur omnes, ut dictum est, latera lateribus adjungentes : neque in alteram partem densent se ad medium statorem, id est, signiferum, ut hinc atque illinc ei adjungantur : breviter enim et ordinate talis densatio fit. Quemadmodum autem decani æqualiter se in fronte contubernii collocant, sic et quartanos sive caudanos æqualiter se a cauda D contubernii constituere oportet : illis enim ordine et disposite collocatis, si inter confligendum priores stationem suam deseruerint, prohibentur tamen ab illis tergiversari aut retroferri.

34. Aliud genus est, quando in caudam, id est, extremam partem densantur : non modo enim quod ad latitudinem pertinet densari acies debet, verum etiam quod ad altitudinem spectat, sæpe humeris ipsis inter se adjunctis.

NOTÆ.

(92) *Γυμνάζειν*. Scribebatur, γύμναζον.
(93) *Καὶ μὴ κατὰ παράκλησιν*. Scribebatur, καὶ μετὰ π.
(94) *Σκορπίσῃς*. Scribebatur, σκοπήσῃς.
(95) *Τοῦ τάγματος*. Scribebatur, τοῦ πράγματος.
(96) *Οἰσοῦνται*. Scribe, ἰσοῦνται.

35. Aliud genus est, ut post perfectam ad latus A densationem, sic densati ambulent : et quando sagittæ conjici incipiunt, tum præcipe Πάταξον, id est, Feri : decanis et quintanis in anteriores partes inclinantibus, et sua ipsorum capita cum scutis suis, atque equorum colla aliqua ex parte tegentibus, et hastas humeris gestantibus, scutis etiam tectas suis procedant ordinate, cum tripudio, id est, mediocri quodam motu, qui calpa dicitur : nec impetuose currant, ne contentionis celeritate ante manus consertas, quod valde periculosum est, perturbetur acies, sagittariis interim, qui a tergo illorum sunt, sagittas jacientibus.

36. Aliud genus est, ut incursione interdum persequantur quasi cursores, quos nunc proclastas no- B minant : interdum ordinate ut defensores, quos nunc vindices appellamus : et si quasi cursoribus præcipere oportet, dicendum est, Δρόμῳ ἔλα, id est, Cursu contende, et unius milliaris spatium incursionem hanc faciant. Sin quasi defensores, præcipiendum est hoc modo, Μετὰ τῆς τάξεως ἀκολούθει, id est, Cum acie procedito, et ordinate ac distribute procedant.

37. Aliud genus est, ut retrocedant paululum, et rursus convertantur : et quando illos retrocedere vult, cursor clamet, Τύπτε καὶ ὑποχώρει, Feri et retrocede. Ubi autem retrocesserint ad unum, aut alterum sagittæ jactum, defensores rursus appellet his verbis : Στράφου, ἔλα, id est, Verte, contende : et C confestim rursus vertent se contra hostes. Hoc faciant non modo antrorsum, sed etiam dextrorsum, lævorsum, rursumque ad secundam aciem : neque in ipsa versione, sed etiam intervallo interjecto vertant se sæpe, et δρουγγιστὶ, id est, universo agmine facto contendant contra hostes. Inter exercitandum hastas ipsas in altum sublatas, non in latus obliquatas habere oportet, ne equi in exercitatione hac et contentione impediantur.

38. Aliud genus est, ut ordinate se in lævam, aut dextram transferant, quod lateranis et cornistitibus opportunum, commodum est, id est, iis, qui ad circumveniendos et circumcludendos hostes constituti sunt. Et si in dextram partem traducere eos cupias, iis verbis fiat : Κατάφερε πρὸς τὰ δεξιά, D id est, Transfer te ad dextram : sin lævorsum velis, tum dicas : Κατάφερε πρὸς τἀριστερά, Transfer te ad lævam : itaque transeant, si una cohors debeat, una, sin plures, una parte traducta, reliquæ similiter per cohortes transeant.

39. Aliud genus, ut in quibus consistunt locis, in eisdem interdum se vertant, interdum vero frontem acici commutent. Si repentinus aliquis motus

λε'. Ἑτέρα δὲ κίνησις, ὥστε μετὰ τὴν ἀκριβῆ πύκνωσιν τῆς κατὰ πλευρὰν μάλιστα σφίγξεως πεπυκνωμένους περιπατεῖν, ὅταν ἡ τοξεία ἄρχεται γίνεσθαι, καὶ παραγγέλλει, Πάταξον, καὶ ἐπικλιμένων τῶν δεκαρχῶν καὶ πενταρχῶν ἐπὶ τὰ ἔμπροσθεν, καὶ σκεπόντων τὰς ἑαυτῶν κεφαλὰς καὶ μέρος τῶν τραχήλων τῶν ἵππων μετὰ τῶν σκουταρίων αὐτῶν, καὶ τὰ κοντάρια ἀναβασταζόντων ἐπὶ τοὺς ὤμους καὶ ὑποκρυπτομένων μετὰ τῶν σκουταρίων ἐπελαύνειν εὐτάκτως τριπόδῳ μόνῳ ἤγουν κινήματι συμμέτρῳ τῷ λεγομένῳ κάλπα, καὶ μὴ βιαίως τρέχειν, ἵνα μὴ τῇ ὀξύτητι τῆς ἐλασίας διαλυθῇ ἡ τάξις πρὸ μίξεως χειρῶν, ὅπερ ἐστὶν ἐπικίνδυνον, τοὺς δὲ ὄπισθεν ὅσοι τοξόται εἰσὶ τοξεύειν.

λς'. Ἑτέρα δὲ κίνησις, ὥστε ἐπιδιώκειν ὁτὲ μὲν σὺν ἐλασίᾳ, ὡς κούρσωρας, οὓς οἱ νῦν προκλάστας λέγουσιν, ὁτὲ δὲ συντεταγμένως ὡς διαφένσωρας (97), οὓς ἡμεῖς καλοῦμεν ἐκδίκους. Καὶ εἰ μὲν ὡς κούρσωρας χρὴ κινεῖν, παραγγέλλει· Δρόμῳ ἔλα. Καὶ ἕως ἑνὸς μιλίου ἀποκινοῦσι σὺν ἐλασίᾳ. Ἐὰν δὲ ὡς διαφένσωρας, παραγγέλλει· Μετὰ τῆς τάξεως ἀκολούθει· καὶ ἀκολουθοῦσι συντεταγμένως.

λζ'. Ἑτέρα δὲ κίνησις, ὥστε ὑποχωρεῖν ὀλίγον, καὶ πάλιν ἀντιστρέφεσθαι. Καὶ ὅτε μὲν θέλῃ (98) ὑποχωρῆσαι, ὁ κούρσωρ κράζει, Τύπτε καὶ ὑποχώρει σὺν ἐλασίᾳ, ἕως ἐν ἢ δεύτερον σαγιττοβόλον· ἐπὶ τοὺς διφένσωρας πάλιν κράζε (99)· Στράφου, ἔλα (1)· καὶ ἀνθυποστρέφουσιν ὡσανεὶ κατὰ τῶν ἐναντίων. Καὶ τοῦτο ποιεῖν πολλάκις, καὶ μὴ μόνον ἐπὶ τὰ πρόσω, ἀλλὰ καὶ δεξιὰ, καὶ ἀριστερὰ, καὶ πάλιν ὡσανεὶ ἐπὶ τὴν δευτέραν τάξιν, καὶ ποτὲ μὲν ἐν αὐτῷ τῷ διαλείμματι ταύτης, ποτὲ δὲ ἐν τῷ μεταξὺ αὐτῆς ἐξελίσσεσθαι, καὶ ἅμα δρουγγιστὶ, ἤγουν ὁμοῦ ὁρμᾷν κατὰ τῶν ἐχθρῶν· ἐν δὲ ταῖς γυμνασίαις τὰ κοντάρια ἀναβασταζόμενα ἔχειν δεῖ, καὶ μὴ εἰς πλάγιον, ἵνα μὴ οἱ ἵπποι (2) ἐν τῇ ἐλασίᾳ ἐμποδίζωνται.

λη'. Ἑτέρα δὲ κίνησις, ὥστε μετατίθεσθαι συντεταγμένως ἀριστερὰ καὶ δεξιὰ, ὅπερ ἁρμόζει πλαγιοφύλαξιν καὶ ὑπερκερασταῖς, ἤγουν τοῖς ἐπὶ τὸ κυκλῶσαι τὴν τῶν πολεμίων παράταξιν τεταγμένοις ἐπὶ τοῦ δεξιοῦ μέρους ὥσπερ κέρας, καὶ παραγγέλλει, εἰ μὲν ἀριστερὰ μετατίθεσθαι βούλεται, Κατάφερε πρὸς τὰ ἀριστερά· εἰ δὲ δεξιὰ μετατίθεσθαι, Κατάφερε πρὸς τὰ δεξιά· καὶ οὕτως μετατίθεσθαι· ἐὰν μὲν ἓν βάνδον ἐστὶ, τὸ ἕν· εἰ δὲ πλείονα, ὁμοίως τοῦ ἑνὸς μέρους μετατιθεμένου, καὶ τὰ λοιπὰ ὡσαύτως κατὰ ἓν βάνδον ποιοῦσιν.

λθ'. Ἑτέρα δὲ κίνησις, ὥστε μεταβάλλεσθαι ποτὲ μὲν ἐν οἷς ἵστανται τόποις, ποτὲ δὲ καὶ τὸ μέτωπον τῆς παρατάξεως ἀλλάσσοντες. Ἐὰν μὲν γὰρ αἰφνι-

NOTÆ.

(97) Ὡς διαφένσωρας. Posteriores Græci dicebant, διαφένσωρας, pro δηφένσωρας, sive διφένσωρας.

(98) *Καὶ ὅτε μὲν θέλῃ*. Interpungendum scribendumque : καὶ ὅτε μὲν θέλῃ ὑποχωρῆσαι, ὁ κούρσωρ κράζῃ.

(99) *Πάλιν κράζε*. Item scribe, πάλιν κράζῃ.

(1) *Στράφου, ἔλα*. Sic in Checi codice videtur fuisse. In aliis deest ἔλα.

(2) *Ἵνα μὴ οἱ ἵπποι*. Sic erat et in codice Pistoriano pro ἵνα μὴ κτύπον.

διασμός τις γένηται ὑπὸ ἐχθρῶν, κατὰ νώτου, ἤγουν ὄπισθεν (3), ἐπιφερομένων, παραγγέλλει, Μετασχημάτισον. Καὶ ὡς ἵστανται ἐν τοῖς τόποις αὐτῶν ἐπὶ οὐρὰν ὄπισθεν βλέπουσι τῶν βανδοφόρων μόνων μετὰ τῶν ἀρχόντων εἰς τὸ κατὰ οὐρὰν μέτωπον ἐρχομένων. Εἰ δὲ πλῆθος ἐχθρῶν ἐπιφανῇ ὄπισθεν, παραγγέλλει, Μετάλλαξον. Καὶ τότε μετατίθενται κατὰ βάνδον.

μ'. Οὐ μόνον δὲ ἐπὶ μῆκος ὀρδινεύειν καὶ γυμνάζειν ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ δρουγγιστὶ τάσσοντας γυμνάζειν καὶ ἐξελαύνειν ἐπ' εὐθείας καὶ κύκλους διαφόρους, πρῶτον μὲν διὰ τὰς ὑποχωρήσεις καὶ ἀντιστροφὰς, εἶτα διὰ τὰς αἰφνιδίους κατὰ τῶν ἐχθρῶν ἐφόδους, λοιπὸν δὲ καὶ διὰ τὸ συντόμως τοῖς δεομένοις ἐπιβοηθεῖν. Εἰ γὰρ οὕτως ἐθισθῶσι (4) τὰ τάγματα, ἑτοίμως ἔχουσι καὶ εἰς κούρσωρας, ἤγουν προκλάστας, ἢ προμάχους, καὶ εἰς διφένσωρας, ἤγουν ἐκδίκους, ἢ βοηθοὺς, καὶ εἰς ἑκάστην χρείαν τάσσεσθαι.

μα'. Καὶ τῆς τοιαύτης οὖν γυμνασιας κατορθουμένης εἰς τὰ πλείονα, εἰ καὶ μὴ πάντα δεῖ γινώσκειν τοὺς στρατιώτας (οὐ γὰρ δεῖ πάντα πουβλικίζεσθαι, διὰ τὸ μὴ τοῖς ἐχθροῖς γινώσκεσθαι)· διὰ τῶν εἰρημένων τούτων ἐννέα κινήσεων πρὸς πᾶσαν χρείαν ἕτοιμα γίνονται τὰ αὐτῶν τάγματα, καὶ εἰς κούρσωρας, καὶ εἰς διφένσωρας, καὶ εἰς πλαγιοφύλακας, καὶ εἰς ὑπερκεραστὰς, ὅτε χρεία γένηται ἀφορισθῆναί τινας αὐτῶν, ἐν συνηθείᾳ πάσης τάξεως γινόμενα.

μβ'. Ἀναγκαῖον δέ ἐστι λοιπὸν καὶ τὴν πρὸς ἄλληλα τὰ βάνδα συμφωνίαν καὶ τάξιν εἰθίζεσθαι ὡς ἐπὶ παρατάξεως. Ἀλλ' ἵνα, ὡς εἴρηται, μὴ φανερὰ γένεται ἡ πᾶσα ἔκταξις τοῖς ἐχθροῖς. Οὐδέποτε γὰρ πρὸ τῆς μάχης τὴν πᾶσαν τάξιν ἐν τῷ ἅμα, τουτέστιν εἰς πρώτην καὶ δευτέραν παράταξιν, διὰ γυμνασίαν μόνην τάσσειν, ἢ πλαγιοφύλακας, ἢ τοὺς ὑπερκεραστὰς λεγομένους, ἢ τοὺς δρουγγιστὶ καὶ λανθανόντως προσπίπτοντας, ἢ ἐνέδρας, ἤγουν ἐγκρίματα (5)· τὰ γὰρ τοιαῦτα στρατηγίας μᾶλλον ἐπιτηδεύματα εἶναι κατὰ τῶν ἐχθρῶν, ἢ τάξεως, ἅπερ προπουβλικίζεσθαι ἐν ταῖς γυμνασίαις οὐ συμφέρει. Ἀλλὰ τότε πρὸς τὸ παρὸν κατὰ τὴν ἀπαιτοῦσαν χρείαν ποιεῖ.

μγ'. Πρέπον οὖν, εἴτε καθ' ἑαυτὸ τοῦ κόμητος τὸ βάνδον, εἴτε δρούγγους, εἴτε τούρμα, εἴτε καὶ προπαράταξις πολλοῦ στρατοῦ ἐστιν, ἐν τρισὶ μέρεσι τάσσειν τοὺς γυμναζομένους. Καὶ εἰ μὲν βάνδον ἐστὶ τὸ καθ' ἑαυτὸ γυμναζόμενον, τοὺς πλείους αὐτῶν ἐν τάξει κουρσώρων ποιεῖν. Ἀπὸ δέκα δὲ καβαλλαρίους (6) ἐπὶ ἁπλῆς ἀκίας ἔνθεν κἀκεῖθεν αὐτοὺς ἰσομετώπους τάσσειν ἐν τάξει διφενσώρων, ἄλλους δὲ ὀλίγους καβαλλαρίους ἄχρι δέκα τάσσειν δι' ὄψεως ἐναντίους, ὥστε τὴν συμβολὴν πρὸς αὐτοὺς εἰκάζεσθαι.

A retro fiat hostibus a tergo imminentibus, præcipe hoc modo : Μετασχημάτισον, id est, Converte : et in statione sua consistentes, ad caudam se solum convertant, signiferis et præfectis solis ad caudæ frontem pervenientibus. Sin magna vis hostium ingruat, tum præcipe, Μετάλλαζον, Transmuta, et integra tum cohors se transmutet.

40. Nec vero in longitudinem solum instruere utile est, sed etiam δρουγγιστὶ, id est, confertim instruantur, ut exerceant se, et contendant vario in directum per retrogressiones et conversiones, per repentinas hostium incursiones, ut quadam cum celeritate possint afflictis opem ferre. Si ad hunc modum assuefactæ cohortes fuerint, com-
B mode poterunt in cursores, id est, proclastas, sive propugnatores, et in defensores, sive vindices, et præsidiarios, ad omnem usum instrui.

41. Talis igitur exercitatio diligenter in plurimis est adhibenda, siquidem omnia a militibus cognoscenda non sunt. Non enim oportet omnia in vulgus efferri, ne ab hostibus ea agnoscantur. Iis autem motibus prædictis ad omnes usus belli cohortes habiles fiunt, ut tum in cursores, tum in defensores, tum in lateranos, tum in cornistites, ubi opus est, cooptari assumique possint.

C 42. Banda autem, sive cohortes quadam consensione et instructione, quasi in acie ipsa jungenda sunt. Sed ne universæ exercitationes et molitiones hostibus agnoscantur, nunquam ante conflictationem ipsam universæ copiæ simul, id est, in primam et secundam aciem exercitationis causa transferantur, vel ad lateranos, vel ad cornistites, vel ad eos qui δρουγγιστὶ, id est, confertim, et clam adoriuntur, vel ad occultas insidias; hujusmodi enim consilia imperatoria divulgari et in vulgus efferri priusquam cum hoste confligas, inutile est. Sed ad præsentem rerum usum ex tempore talia adhibenda sunt.

43. Par est igitur, sive comitis alicujus bandum,
D sive drungus, sive turma seorsim exerceatur, sive in instructione magni exercitus collocetur, ut in tres partes exercendi dividantur. Si bandum, sive cohors per se exerceantur, maximam illorum partem in cursorum agmine pones; ex equitatus simplicibus contuberniis hinc, atque illinc æqualia cornua defensorum loco pones; alios autem paucos equites eminus ante conspectum illorum pones, ut quasi ad confligendum cum illis se præparare possint.

NOTÆ.

(3) *Κατὰ νώτου, ἤγουν ὄπισθεν*. Scribebatur, κ. ν. ὑγρόπισθεν.

(4) *Ἐθισθῶσι*. Scribebatur, ἐθιασθῶσι.

(5) *Ἤγουν ἐγκρίματα*. Scribe, ἤγουν ἐγκρύμματα.

(6) *Ἀπὸ δέκα δὲ καβαλλαρίους*. Ejiciendum censeo, δέκα.

44. Jam cum se quasi ad prœlium movent, magno impetu facto cursores se a defensoribus separant, et ubi recta unum atque alterum milliare excurrerint, dimidium illius spatii revertantur, et interdum dextrorsum, interdum lævorsum se currendo obliquent, sicque tertio quartoque faciant, rursusque orbiculate procedant, postea spatium illud percurrentes, quod inter eos et defensores est, unde exierant, cum defensoribus quasi instructis in acie iis occurrant, qui ante eos insequebantur.

45. Drungo, id est, integra cohorte milliaria exercitante se, idem facies, et cohortem in cursores et in defensores divides, et eos qui cursores sunt, interdum defensores facies, interdum contra, ut ad omnem usum parati sint.

46. Similiter facies, turma aliqua se exercente, et acie prima aut secunda hoc faciente. Adverte autem potissimum has orbiculatas cursorum incursiones, ubi diversa et varia banda sive cohortes fuerint, ut in duas sortes dividantur, et contrario inter se motu currant, et obviam sibi mutuo fiant, altera foris, altera interius currendo, ut ne impedimento equitibus sint.

47. Deinde latrones sive lateranos et cornistites, id est, eos qui ad circumdandos a dextra parte hostes locaturi, separatim cum illis δρουγγιστὶ, id est, confertim et simul incursando exerceas. Sed id prædictis de causis quantum potes clanculum facias.

48. Itaque si quasi adversus aciem hostium eminus exsistentem, tuos instruxeris, accura ut exæquentur illis, et non circumveniantur ab iis. In iis quæ cominus sunt perfice ut hostes a tuis circumdentur, paucis equitibus per simplicia contubernia usque ad unius atque alterius cohortis multitudinem quasi hostibus præpositis, ut adversum eos tum ad lunandum, tum ad circumveniendum eos, cornistites dirigant. Deinde sic qui cum illis versantur, δρουγγιστὶ quasi maza simul clanculum ipsi soli de improviso contentione quadam celeri excurrentes, a tergo, id est, postica parte hostium illos invadant.

49. Hæ igitur exercitationes simplices sunt, communiter tamen multas cohortes, et privatim unamquamque cohortem idoneæ exercent, et inimicis acies nostra minime aperitur. Istæ exercitationum formæ scriptis tradendæ turmarchis tuis sunt, et reliquis cohortibus quæ separatim exercentur.

50. Assuefacito ad hujusmodi exercitationes, non solum in campestribus, sed etiam in aviis et asperis, in arduis et acclivibus, in declivibus et pronis locis : et ipso æstus squallorisque tempore utile est

A μδ'. Κινούντων δὲ αὐτῶν ὡς ἐπὶ μάχην ἐξέρχεσθαι σὺν ἐλασίᾳ τοῦ κούρσωρος, καὶ χωρίζεσθαι τῶν διφεστόρων (7), καὶ τρέχοντας ἐπ' εὐθείας ὡς ἓν ἢ δεύτερον μίλιν, ὑποστρέφειν ἕως τοῦ ἡμίσεως ἐκείνου διαστήματος, καὶ ἐκκλίνοντας ποτὲ μὲν δεξιὰ, ποτὲ δὲ ἀριστερὰ τρέχειν, οὕτως δὲ ποιεῖν καὶ τρίτον καὶ τέταρτον, εἶτα πάλιν κυκλοειδῶς ἐλαύνειν, καὶ μετὰ ταῦτα προστρέχοντας ἐν τῷ μεταξὺ τόπῳ τῶν διφενσώρων, ὅθεν καὶ ἐξῆλθον, μετὰ τῶν ὡς ἐν τάξει διφενσώρων ἐλαύνειν, ὡς εἰς ἀπάντησιν τῶν καταδιωκόντων αὐτούς.

με'. Οὕτω δὲ ποιεῖν καὶ δρούγγου γυμναζομένου· καὶ τὰ μὲν τῶν βάνδων αὐτοῦ τάσσειν κούρσωρας, τὰ δὲ διφένσωρας, καὶ πάλιν ἐναλλάσσειν αὐτὰ, ὥστε [τὰ μὲν] τοὺς χούρσωρας, τὰ δὲ διαφένσωρας ποιεῖν,
B καὶ τοὺς διαφένσωρας, ὥστε πρὸς τὴν δοκοῦσαν χρείαν ἑτοίμους αὐτοὺς εἶναι.

μς'. Ὁμοίως δὲ ποιεῖν καὶ τούρμας γυμναζομένης παρατάξεως πρώτης, καὶ παρατάξεως δευτέρας. Ἐπισκέψαι δὲ εἰς τὰς κυκλοειδεῖς ἐλασίας τῶν κουρσώρων ὅπου διάφορα βάνδα εὑρίσκονται, ὥστε εἰς δύο ἀρχὰς ταῦτα μερίζεσθαι, καὶ ἐλαύνειν τὴν ἐναντίαν ἀλλήλων, καὶ ὑπ' αὐτὰς τὰς ἀρχὰς, τὴν μὲν μίαν ἔξω, τὴν δὲ δευτέραν ἐσωτέρω τρέχειν, ἵνα μὴ προσκρούματα καβαλλαρίων γίνωνται.

μζ'. Δέον δὲ καὶ πλαγιοφύλακας, καὶ ὑπερκεραστὰς, ἤγουν τοὺς τὰς κυκλώσεις ἀπὸ τοῦ δεξιοῦ μέρους ποιοῦντας ἰδίως μετὰ αὐτῶν δρουγγιστὶ, ἤγουν πυκνοὺς καὶ ὁμοῦ ἐμπίπτοντας γυμνάζειν,
C λανθανόντως δὲ δι' ἣν ἀνωτέρω εἴπομεν αἰτίαν.

μη'. Ὥστε εἰς μὲν τὰς μακροτέρας παρατάξεις τῶν ἐναντίων ἵνα ἰσῶνται, καὶ μὴ ἐν περὶ λαμβάνωνται (8) ὑπ' αὐτῶν· κατὰ δὲ τῶν κοντοτέρων εἰς τὸ τὰς κυκλώσεις ποιεῖσθαι ἀντιτασσομένων αὐτῶν ὀλίγων καβαλλαρίων ἐπὶ ἁπλῆς ἀκίας ἄχρι ἑνὸς ἢ δευτέρου βάνδου, ὡς ἐναντίου, ἵνα πρὸς αὐτοὺς κανονίζωσιν οἱ ὑπερκερασταὶ πρότερον ὑπερκερᾷν αὐτοὺς, ἤτοι κυκλοῦν. Εἶθ' οὕτως συνελθόντες αὐτοὺς δρουγγιστὶ, ἤγουν ὡς μάζα, ὁμοῦ λανθανόντως αὐτοὶ μόνοι ἄφνω ὑπεξερχόμενοι μετὰ ἐλασίας ὀξείας τῷ νώτῳ ἤγουν κατὰ τὸ ὄπισθεν τῶν ἐναντίων ἐπιτίθενται.

D μθ'. Αὗται οὖν αἱ γυμνασίαι ἁπλαῖ εἰσιν. Καὶ κοινῶς δὲ πολλὰ τάγματα καὶ ἰδίως πάλιν ἐν τάγματι (9) ἁρμοδίως γυμνάζουσι, καὶ τοῖς ἐχθροῖς ἄγνωστος ἡ τάξις φυλάττεται, καὶ δέον σε, ὦ στρατηγὲ, ταύτας τὰς γυμνασίας ἐγγράφως δοῦναι καὶ τοὺς ὑπὸ σὲ τουρμάρχας καὶ τοῖς ἄλλοις τοῖς ἰδίᾳ γυμναζομένοις τάγμασιν.

ν'. Ἐθίζειν δὲ τὰς τοιαύτας γυμνασίας μὴ μόνον ἐν ὁμαλοῖς, ἀλλὰ καὶ ἐν δυσβάτοις τόποις, καὶ εἰς ὑψηλοὺς, καὶ εἰς κατωφερεῖς, καὶ ἐν καιρῷ δὲ καύσωνος καλόν ἐστι γυμνάζειν καὶ ἐθίζειν τὸν στρα-

NOTÆ.

(7) *Διφεστόρων*. Scribe, διαφενσόρων.

(8) *Ἐν περὶ λαμβάνωνται*. Scribe, ἐμπεριλαμβάνωνται.

(9) *Ἐν τάγματι*. Scribe, ἐν τάγμα τι. Quæ vero ibidem sequuntur, τὰ τάγματα, male geminata censeo ; itaque delenda.

τόν. Οὐδεὶς γὰρ οἶδε πότε συμβήσεται μάχη, καὶ τί συμβήσεται.

να'. Χρὴ γὰρ οὕτως τὴν γυμνασίαν ποιεῖσθαι ὡς ἐπὶ αὐτοῦ τοῦ πολέμου. Διὸ καὶ ἡμεῖς διὰ τὸ χρήσιμον καὶ τὰ ἐν καιρῷ πολέμου ἐνταῦθα εἰρήκαμεν. Τὸ γὰρ πρὸς τοὺς κινδύνους ἐθίζεσθαι ἀνδρειοτέρους τοὺς στρατιώτας ποιεῖ.

νβ'. Ἐπεὶ δὲ τὴν τῶν καβαλλαρίων γυμνασίαν ἐκ μέρους διεταξάμεθα, χρεὼν ἐστιν ὁμοίως καὶ τὴν τῶν πεζικῶν ταγμάτων γυμνασίαν σοι διορίσασθαι, ὅσον ἐκ τῶν ἀρχαίων τακτικῶν, καὶ ὅσον ἐκ τῶν νέων παρειλήφαμεν.

νγ'. Ὁρίζονται (10) τοίνυν αἱ ἀκίαι πρῶτον τὸν τοῦ πεζικοῦ τάγματος (11), καθὼς ἄνω που ἐσημάναμεν, ὥστε τάσσεσθαι τινὰς μὲν ἀριστερᾷ, τινὰς δὲ δεξιᾷ τοῦ βάνδου, ἤτοι τοῦ ἄρχοντος. Καὶ προπορευομένου τοῦ ἄρχοντος ἅμα τῷ βανδοφόρῳ, καὶ τῷ μανδάτωρι, καὶ βουκινάτωρι, ἐπακολουθοῦσιν, ὡς ὡρίσθησαν, ὀλιχαγοὶ (12), ἤγουν οἱ πρωτοστάται, ἢ δέκαρχοι, πρῶτον οἱ τοῦ ἀριστεροῦ μέρους, καὶ τότε τοῦ δεξιοῦ.

νδ'. Γενομένων δὲ αὐτῶν ἐν τῷ τῆς γυμνασίας τόπῳ, ἢ τῆς παρατάξεως, ἵσταται ὁ ἄρχων, καὶ μετὰ αὐτὸν ὁ βανδοφόρος, καὶ εἴ τις ἕτερος κατὰ συνήθειαν. Καὶ παρατάσσονται αὐτοὶ ἔνθεν καὶ κἀκεῖθεν αἱ ἀκίαι ὡς ὡρίσθησαν, πρῶτον ἐν ἀραιοτέρῳ διαστήματι, ἵνα μὴ συντρίβωνται ὑπ' ἀλλήλων, ἀπὸ ιϛ' τὸ βάθος, ἤγουν τὸ πάχος, ἔχουσαι καὶ τοὺς ψιλοὺς ὄπισθεν, τὰ δὲ ξίφη τῶν κονταρίων ἄνω βλέποντα, ἵνα μὴ ἐμποδίζωνται ὑπ' αὐτῶν. Ἔμπροσθεν δὲ τοῦ μετώπου περιπατοῦσιν, ὁ μανδάτωρ, ὁ καμπιδούκτωρ, ἤγουν ὁ ὁδηγὸς τῶν τόπων, ὁ μὲν τοὺς τόπους ἀνερευνῶν καὶ ὁδηγῶν, ὁ δὲ τὰ μανδάτα γνώμῃ τοῦ ἄρχοντος διδούς.

νε'. Καὶ εἰ μὲν τάγμα ἐστὶ τὸ γυμναζόμενον, τὸν τοῦ τάγματος ἄρχοντα ἔμπροσθεν περιπατεῖν μετὰ μανδάτωρος καὶ καμπιδούκτωρος· εἰ δὲ τούρμα, γυμνάζεται, μηδένα ἔμπροσθεν περιπατεῖν εἰ μὴ τουρμάρχην καβαλλάριον μετὰ μανδατώρων δύο, καμπιδουκτώρων δύο (13), στράτωρος ἑνὸς, καὶ σπαθάτου ἑνὸς, ἤτοι τοῦ τὰ ὅπλα τοῦ ἄρχοντος φέροντος, ἕως οὗ πλησίον τῆς συμβολῆς γένηται ἡ παραταγῆς· τότε δὲ ἐν τῇ παραταγῇ ἀσφαλῶς εἰσέρχεται ἐν ᾧ τόπῳ τὸ βάνδον αὐτοῦ τέτακται.

νϛ'. Μὴ συμπλέκεσθαι δὲ αὐτὸν τοῖς ἐναντίοις, μηδὲ βούκινον λέγῃς ἑκάστου μέρους, πλὴν τοῦ μεράρχου, εἴτε μίαν τούρμαν ἔχει τὸ μέρος, εἴτε δύο, εἴτε πλείονας, κἂν εἰ συμβῇ πολλὰ εἶναι τὰ βούκινα, ἵνα μὴ θορύβου γενομένου κωλύωνται τὰ μανδάτα ἐξακούεσθαι. Καὶ οἱ μὲν ὁπλῖται πεζοὶ, ἤγουν οἱ σκουτάτοι τάσσονται οὕτως·

νζ'. Οἱ δὲ ψιλοὶ κατὰ διαφόρους τρόπους τάσσονται, ἤγουν οἱ ἀκροβολισταὶ (14) μὲν πάλαι καλούμενοι,

A patientiam laborum exercere milites: nemo enim scit quo tempore bellum futurum, et quidnam in bello usu venturum sit.

51. Ita exercitatio instituenda, quasi bellum ipsum gereretur. Itaque utilitatis causa ne bellici quidem temporis similitudo prætermittenda est: nam hæc assuefactio periculorum longe robustiores milites facit.

52. Quoniam equestrem exercitationem aliqua ex parte attigimus, sic pedestris aciei exercitationem non prætermittemus, quam vel ex antiquis, vel ex recentioribus rei militaris scriptoribus accepimus.

53. Pedestris aciei primum contubernia describantur, quemadmodum antea præcepimus, ut quæ-B dam ad lævam, quædam ad dextram cohortis sive præfecti collocentur: cumque præfectus simul cum signifero et mandatore, et buccinatore procedit, sequantur quemadmodum constituti fuerant lochagi, id est, præstites et decani sinistri lateris primum, deinde dextri.

54. Ubi in exercitationis sive instructæ aciei loco fuerint, stet præfectus, et cum eo signifer, et si quis alius eum eo esse consuevit, instruanturque contubernia hinc atque illinc, primum, quemadmodum explicatum antea est, laxiore et rariore intervallo, ut ne a se mutuo affligantur: deinde ad sedecim virorum altitudinem, id est, profunditatem. Cuspides hastarum sursum erectas habeant, C ne ab illis impediantur. Ante frontem aciei ambulent mandator et campiductor, id est, dux viarum, hic quidem ut vias indaget, et eos ducat, ille vero, ut ex imperio præfecti mandata det.

55. Si cohors exercenda sit, cohortis præfectus ante eos cum mandatore et campiductore ambulet. Sin turma exerceatur, nemo anteambulet nisi turmarchus et eques cum mandatoribus duobus, et campiductoribus duobus, stratore uno et spathaio uno, id est, armigero qui turmarchæ arma gerit, donec prope conflictationem ipsam venerint copiæ; tum certe ad locum suum et stationem in cohorte et bando suo tuto accedat.

D

56. Neque cum hostibus confligat ille, neque buccina, quamvis complures fuerint, in ullo μέρει, id est, triente exercitus personet nisi merarchæ, sive unam turmam triens habeat, sive plures, ut ne tumultu aliquo impediantur mandata exaudire. Et gravis armatura, id est, pedites scutati, ad hunc modum instruuntur.

57. Levis armatura diversis modis instruitur. Qui enim ἀκροβολισταὶ olim, nunc sagittarii nominantur,

NOTÆ.

(10) Ὀρίζονται. Scribe, ὁρίζωνται.

(11) Πρῶτον τὸν τοῦ πεζικοῦ τάγματος. Delendum censeo, τόν.

(12) Ὀλιχαγοί. Scribe, οἱ λοχαγοί.

(13) Καμπιδουκτώρων δύο. Scribebatur, καμπικτόρων δ.

(14) Ἀκροβολισταί. Sic codex Checi pro, βιτραλισταί. Pistorii: βελοβολισταί.

interdum a tergo uniuscujusque contubernii pro multitudinis ratione collocentur, ut scutatorum singulis contuberniis quaternionibus unus sagittarius respondeat. Interdum in ipsa contubernii altitudine scutatus et sagittarius alternatim stent, interdum in contuberniis et cornibus, id est, extremis oris copiarum, interius equitibus, sæpe etiam exterius haud longe cum paucis scutatis ad defendendos interiores equites, si multa levis sit armatura.

A νῦν δὲ τοξόται ἢ σαγιττάτορες. Ποτὲ μὲν γὰρ ὄπισθεν ἑκάστης ἀκίας πρὸς τὸ μέτρον τῶν ὄτων (15), τουτέστιν εἰς τοὺς ις' σκουτάτους δ' ψιλοί· ἵνα μέχρι δ' μεριζομένης τῆς τῶν σκουτάτων ἀκίας εὑρεθῇ εἷς τοξότης ὄπισθεν αὐτοῖς· ποτὲ δὲ ἐν τῷ βάθει τῶν ἀκιῶν εἷς παρῇ σκουτάτος, καὶ τοξότης, ποτὲ δὲ ἐν ταῖς ἀκίαις καὶ ἐν τοῖς κέρασιν, ἤγουν ταῖς ἐξοχαῖς τῶν παρατάξεων, τουτέστιν ἐσωτέρω τῶν καβαλλαρίων, πολλάκις δὲ καὶ ἐξωτέρω αὐτῶν, ἀπὸ μικροῦ διαστήματος, μετὰ καὶ ὀλίγων σκουτάτων εἰς τὸ ἐκδικῆσαι τοὺς εἰς τὸ ἐσώτερον ἑστῶτας καβαλλαρίους, ἐὰν πολλοί εἰσιν οἱ ψιλοί.

58. Qui rhictaria, id est, jacula vel tzicuria, vel barducia habent, ii vel a tergo scutatorum, vel in extremis oris aciei, et non in medio, locentur. Funditores omnes in extremis oris aciei. Nunc autem sagittarios reliquosque jaculatores a tergo contuberniorum adversum eos qui contraria exercent, vel quemadmodum usus requirit, collocabimus.

νη'. Οἱ δὲ τὰ ῥικτάρια, ἢ τζικούρια, ἢ βαρδούκια ἔχοντες, ἢ ὄπισθεν τῶν ἀκιῶν τῶν σκουτάτων, ἢ εἰς τὰ ἄκρα τῆς παρατάξεως, καὶ οὐκ ἐν τῷ μέσῳ. Οἱ δὲ σφενδοβολισταὶ πάντως εἰς τὰ ἄκρα τῆς παρατάξεως. Νῦν δὲ τάξομεν τοξότας καὶ λοιποὺς ἀκοντιστὰς B ὄπισθεν τῶν ἀκιῶν πρὸς τὴν γυμνασίαν, ἢ ὡς ἀπαιτεῖ ἡ χρεία αὐτῆς.

59. Equites in ipsis oris aciei pedestris collocabis. Quæcunque autem robustiores cohortes sunt, cum ducibus suis in exteriori loco collocentur. Et si complures equites fuerint qui duodecim millium numerum excesserint, tum ad decem virorum altitudinem fiant: sin pauciores, ad quinque virorum altitudinem constituantur. Sint autem quidam supra justum numerum, qui ultra currus a tergo in subsidiis locentur, ut si a tergo hostes invaserint, occurrant illis: sin minus, lateribus adjungantur.

νθ'. Τοὺς δὲ καβαλλαρίους εἰς τὰ ἄκρα τῆς πεζικῆς παρατάξεως τάξεις. Ὅσα δὲ αὐτῶν ἀνδρειότερα τάγματα, μετὰ τῶν ἀρχόντων αὐτῶν ἐξωτέρω. Καὶ εἰ μὲν πολλοί εἰσιν οἱ καβαλλάριοι, τουτέστι πλέον τῶν ιβ' χιλιάδων, ἀπὸ δέκατον βάθος τοῦτο γίνεσθαι. Εἰ δὲ καὶ ὀλιγωτέρους τοῦ μέτρου τούτου, ἀπὸ πέντε. Εἶναι δὲ ἐκ περισσοῦ τινας ὄπισθεν ἐν ὑποβοηθείᾳ αὐτῶν ἐξωτέρω τῶν ἁμαξῶν· ἵνα ἐὰν μὲν διὰ τῶν ὄπισθέν τινες τῶν ἐχθρῶν φανῶσιν, ἀποσοβήσωσιν αὐτούς· εἰ δὲ μήγε, προστεθῶσι τοῖς πλαγίοις καὶ αὐτοί.

60. Laxiore primum intervallo instruantur isti, ut si aliqua occasio exercitus commutandi fiat, minimum impediantur.

ξ'. Τάσσονται δὲ καὶ αὐτοὶ ἐν ἀραιοτέρῳ πρῶτον C διαστήματι, ἵνα ἐὰν γένηται καιρὸς εἰς τὸ χρῄζειν μεταβάλλεσθαι, μὴ ἐμποδίζωνται.

61. Præcipies equitibus, ne nimis impetuose cursent in hostes, neque a pedestri acie longo intervallo discedant, ne si forte insidiæ fiant, et hostes retro in eos se convertant, pedites horum præsidio destituti aliquod vulnus accipiant. Si pressi admodum dissipatique fuerint, tum retro ad currus suos conservandos, qui a tergo aciei pedestris instructi sunt, se conferant, nec eos prætereant. Sin ne sic quidem resistere possint, ex equis descendant, et pedibus seipsos defendant.

ξα'. Παραγγελεῖς δὲ τοὺς καβαλλαρίους μὴ κατατρέχειν τῶν ἐχθρῶν, μηδὲ ἀφίστασθαι τῆς πεζικῆς παρατάξεως ὡς ἐπὶ πολὺ διάστημα, καὶ τάχα τραπῶσιν οἱ ἐχθροί· ἵνα μὴ ἐγκρίματός (16) τινος παρ' αὐτῶν γενομένου, εἴπερ ἀπὸ διαστήματός εἰσιν οἱ πεζοὶ γυμνούμενοι τῆς παρατάξεως, ἐπηρεασθῶσιν, ὡς ὀλιγώτεροι ἢ ἀσθενέστεροι. Ἀλλὰ καὶ ἂν βιασθῶσιν, ὡς εἰκὸς, παρὰ τῶν ἐναντίων, ὄπισθεν τῆς παρατάξεως τῶν πεζῶν ὀφείλουσιν εἶναι πρὸς φυλακὴν αὐτῶν· εἰ δὲ μηδὲ οὕτως ἀντέχουσι, κατέρχεσθαι αὐτοὺς ἐκ τῶν ἵππων, καὶ οὕτως πεζῇ ἑαυτοὺς ἐκδικεῖν.

62. Si aciem instruere exercitus voluerit, non tamen eo die confligere, si adversarii in equites irruerint, et nequaquam sustinere eos tui potuerunt, ne præstolentur eos in aciei cornibus sistendo, sed retro cedant ad extremas oras aciei et curruum. Quod si fiat, majore intervallo opus est, ut discedentibus jam tum equitibus cæteri angustiis non nimis premantur, ne hostium sagittis lædantur.

ξβ'. Ἐὰν δὲ παρατάξεσθαι μὲν θέλῃ ὁ στρατὸς, D μὴ συμβάλλειν δὲ κατὰ τὴν αὐτὴν ἡμέραν, καὶ ὁρμήσωσιν οἱ ἐχθροὶ κατὰ τῶν καβαλλαρίων καὶ μὴ βαστάζωσιν αὐτοὺς, μὴ ἀναμένωσιν αὐτοὺς ἱστάμενοι εἰς τὰ κέρατα τῆς παρατάξεως, ἀλλ' ὄπισθεν μᾶλλον ἔλθωσι, τουτέστιν εἰς τὰ ἄκρα τῆς παρατάξεως καὶ τῶν ἁμαξῶν. Εἰ δὲ τοῦτο γένηται, χρεία μείζονος τοῦ ἐν τῷ μέσῳ διαστήματος, ἵνα μεταβαλλομένων, ὡς εἰκὸς, τῶν καβαλλαρίων μὴ στενοχωρηθῶσι, μηδὲ αἱ τῶν ἐχθρῶν σαγίτται μὴ βλάπτωσιν αὐτούς.

63. Hæc tempore prælii maxime fiant: hac de causa enim hæ exercitationes maxime suscipiuntur.

ξγ'. Ταῦτα δεῖ μάλιστα καὶ ἐν καιρῷ μάχης γίνεσθαι· διὰ ταύτην γὰρ καὶ ἡ γυμνασία μεταχειρίζεται.

NOTÆ.

(15) *Τῶν ὄτων*. Scribe, τῶν ὅλων.

(16) *Ἐγκρίματος*. Scribe, ἐγκρύμματος.

ξδ'. Τούτων μὲν οὖν τῶν διατάξεων εἰρημένων, πρέπον ἡμῖν καὶ τὰ σχήματα καὶ τὰ παραγγέλματα τῆς πεζικῆς τάξεως, ὥσπερ καὶ τῆς ἱππικῆς, ἐμφανίσαι σοι καὶ διασαφῆσαι. A

ξε'. Ὅταν γὰρ παραστῶσι πρὸς τὴν γυμνασίαν τὰ μέρη τῆς παραταγῆς τῶν ταγμάτων τοῦ στρατοῦ, παραγγέλλῃ ὁ μανδάτωρ ταῦτα· Μετὰ σιγῆς πάντα τὰ παραγγέλματα πληρώσατε. Μὴ ταραχθῆτε. Τὴν τάξιν ὑμῶν πληρώσατε. Τῷ βάνδῳ ἐπακολουθήσατε. Μηδεὶς ἀφήσῃ τὸ βάνδον. Καὶ τοὺς ἐχθροὺς διώξατε. Καὶ τούτων εἰρημένων κινοῦσι πράως τε καὶ ἡσύχως, ὥστε μηδὲ ψιθυρισμὸν γίνεσθαι παρά τινος.

ξς'. Ἐθίζεσθαι δὲ αὐτοὺς πρὸς ταῦτα φωνῇ, ἢ νεύματι, διὰ σημείου τινὸς οἷον κινεῖν καὶ ἵστασθαι, λεπτύνεσθαι ἤγουν μερίζεσθαι τὸ βάθος τῶν ἀκιῶν (17), περιπατεῖν ἴσως καὶ συντεταγμένως ἐπὶ στόμα, ἤγουν ἐπ' εὐθείας, καὶ κατὰ κοίλους τόπους (18) καὶ διαφόρους πυκνοῦσθαι, ἤτοι σφίγγεσθαι, κατὰ βάθος καὶ νῖκος, φούλκῳ περιπατεῖν, συμβάλλειν ὡς ἐν τάξει μάχης μετὰ σχήματος. B

ξζ'. Γυμνάζεσθαι δὲ καὶ οὕτως· ποτὲ μὲν μετὰ βεργίων, ποτὲ δὲ μετὰ γυμνῶν σπαθίων μερίζεσθαι πρὸς διφαλαγγίαν, καὶ πάλιν ἀποκαθίστασθαι· δεξιὰ καὶ ἀριστερὰ κλίνεσθαι, καὶ περιπατεῖν ἐπὶ κέρας ἤγουν τὸ δεξιὸν μέρος, προάγειν ἔμπροσθεν, καὶ πάλιν ἀποκαθίστασθαι, φυλάττεσθαι ἀμφιστόμως ἑκατέρωθεν, καὶ πάλιν ἀποκαθίστασθαι· μετατίθεσθαι δεξιὰ καὶ ἀριστερὰ, ἀραιοῦσθαι καὶ πλατύνεσθαι ἤτοι διαπλοῦσθαι τὸ βάθος τῶν ἀκιῶν, μεταβάλλεσθαι κατὰ νώτου, καὶ πάλιν ἀποκαθίστασθαι. Γίνονται δὲ τὰ σχήματα ταῦτα διὰ τὰς διαφόρους ἀνακυπτούσας αἰτίας. C

ξη'. Φωνῇ τοίνυν ἢ νεύματι διὰ σημείου τινὸς κινοῦσι καὶ ἵστανται. Ὅτε δὲ θέλῃ κινῆσαι, σημαίνει ἢ βουκίνῳ ἢ τῇ ταυρέᾳ ὁ καμπιδούκτωρ, ἢ τῇ φωνῇ, καὶ κινοῦσι. Εἰ δὲ στῆσαι θέλῃ, ἢ τῇ τούβᾳ (19), ὅ ἐστι μικρὸν βούκινον, ἢ τῇ φωνῇ, ἢ νεύματι τῆς χειρὸς, καὶ ἵστανται. Διὰ δὲ τοῦτο φωνῇ καὶ σημείῳ ἐθίζεσθαι ἀναγκαῖόν ἐστι, διὰ τὸν τοῦ ἅρματος θόρυβον, ἢ κονιορτὸν, ἢ ὁμίχλην ἐπιγενομένην.

ξθ'. Λεπτύνονται, ἤτοι μερίζονται αἱ ἀκίαι, ὅταν ἀπὸ ις' ἀνδρῶν τὸ βάθος αὐτῶν ἐστι, καὶ θέλεις μᾶλλον τὸ μῆκος τῶν παρατάξεων ἐκτεῖναι διὰ κόμπον, ἢ διὰ τὸ ἰσωθῆναι τῇ τῶν ἐναντίων τάξει· καὶ παραγγέλλει· Ἔξελθε. Καὶ ἐξέρχονται εἷς παρ' ἕνα μεριζόμενοι (20). Καὶ λεπτύνεται μὲν τὸ βάθος τῶν ἀκιῶν, προστίθεται δὲ τὸ μῆκος τῆς παρατάξεως. Καὶ γίνεται τὸ βάθος ἀπὸ η'. Εἰ δὲ θέλῃ ἀπὸ τεσσάρων, πάλιν λέγει· Ἔξελθε· καὶ ἐξέρχονται ὁμοίως πάντες εἰς ἓν μέρος δεξιὰ ἢ ἀριστερά. Τοῦτο δὲ χρεία παραφυλάτ- D

64. Iis rebus igitur descriptis, præcepta a nobis et institutiones pedestris aciei, quemadmodum et equestris, explicandæ tibi ac proponendæ sunt.

65. Quando ad exercitationem omnes instructæ aciei cohortes convenerint, hæc illis mandator præcipiat : Cum silentio omnes imperata facitote. Ne perturbemini. Stationem vestram servatote. Cohortem sequamini. Nemo cohortem suam deserat. Inimicos persequamini. Hac oratione habita, ita quiete et remisse se movebunt, ut nemo ne susurret quidem.

66. Exercitandi ad hæc sunt voce vel nutu et signo aliquo ut moveant et stent, laxentur et in altitudinem contuberniorum dividantur, incedant æquabiliter et ordinate, in frontem, id est, directe, ac variis modis diversisque se contrahant et densent, tum in longitudinem, tum in altitudinem ; phulco ambulent, sicque quasi in ipsa prœlii acie essent, ad eam formam confligant.

67. Exerceant se quoque ad hunc modum : interdum cum nudis spathis, id est, gladiis : dividantur in diphalangiam, id est, duplicatam aciem, et rursus in pristinam formam redeant : dextrorsum et lævorsum se obliquent, et in cornu se inflectant, id est, dextrorsum procedant, et rursus pristinam ad formam redeant et ancipitem aciem instruant, id est, ad accipiendos utrinque hostes paratam, et rursus ad pristinam formam redeant : in dextram et lævam se transferant, densent se et dilatent, id est, diffundant altitudinem contubernii, a tergo communiter, et rursus ad pristinam formam redeant. Hæ formæ propter varias circumstantes causas exercendæ sunt.

68. Vocis igitur aut nutus signo aliquo movent et consistunt. Quando movere eos vult, buccina vel staurea, vel voce sua significat campiductor, et moventur : quando vero consistere eos vult, tuba, id est, parva buccina, vel voce et nutu manus significat, et consistunt. Propterea autem voci et signis assuefaciendi sunt, quia curruum tumultus ingens sæpe, sæpe pulvis, sæpe caligo magna obversatur.

69. Attenuantur contubernia, quando sedecim virorum altitudinem habent, et eos in longitudinem aciei potius diducere vel ornatus causa alicujus, vel ut alicui alteri aciei exæquentur, cupis. Præcipies autem his verbis : Ἔξελθε : id est, Exeas : et exibunt statim unus post alterum se separans. Itaque altitudo contuberniorum attenuatur, et longitudini aliquid adjicitur, et altitudo nunc tantummodo virorum octo fit. Si vero quatuor solum virorum altitudinem vis esse, dic rursus : Ἔξελθε, id

NOTÆ.

(17) *Τὸ βάθος τῶν ἀκιῶν*. In Palatino codice erat : τὸ βάθος καὶ νῖκος τῶν ἀ. quemadmodum in ejusdem § fine κατὰ βάθος καὶ νῖκος φούλκῳ περιπατεῖν. Utrobique scribendum censeo : κ. βάθος καὶ μῆκος.

(18) *Κατὰ κοίλους τόπους*. Scribe, κατὰ πολλοὺς τρόπους.

(19) *Ἢ τῇ τούβᾳ*. Scribebatur ἢ τοῦ βάνδου. Et sic erat in codice Pistorii.

(20) *Καὶ ἐξέρχονται, εἷς παρ' ἕνα μεριζόμενοι*. Scribe, καὶ ἐξέρχονται εὐθὺς παραμεριζόμενοι.

est, Exeas; et exibunt omnes in unam solum partem, dextram aut sinistram. Hoc enim diligenter observandum est, ut omnes unam in partem veniant et exeant.

70. Jubeantur incedere æquabiliter et ordinate. Quando quidem in acie cæteros antevertunt, et inæqualiter eunt, iis verbis præcipies : Ἴσον τὸ μέτωπον, id est, Æqualis sit frons, et statim æqualis erit.

71. Contrahitur vel densatur exercitus, quando duobus aut tribus sagittæ jactibus ab hostium copiis cum abest, et frontem utriusque exercitus committere vult, contractum et densarum ad medium locum tum longitudinis, tum altitudinis eousque frontem adducit, ut qui in anteriore parte instructi, et qui in lateribus fuerant, intra currum complexum quasi contineantur. Hæc forma potest esse tum stante, tum movente exercitu.

72. Præcipiendum quoque οὐραγοῖς, id est, ultimanis, seu caudanis persæpe est : et eos qui a tergo sunt impellere oportet, atque ad usum omnem militarem incitare, ut ne aliqui, ut fieri solet, præ metu remaneant.

73. Phulco ambulant, quando junctis copiis hostium simul et nostris, sagittæ conjici incipiunt, et qui in fronte instructi sunt, zabas, loricia, id est, galeas non gestant. Cum præcipitur illis, Πύκνωσον, id est, Densato, tum qui in fronte instructi fuerint, densant scuta sua donec sibi mutuo appropinquaverint, ventres suos usque ad suras et genua scutis suis operientes : qui a tergo illorum stant, scuta sua supra eos traducentes, et in anteriore illorum parte ponentes pectora, et vultus illorum tegunt, sicque cum hostibus confligunt.

74. Quando autem densata acies ad unius sagittæ jactum ab hostibus abfuerit, et conflictatio futura est, dicito, Ἕτοιμοι, id est, Parati. Alius statim excipiat, et clamet, Βοήθει, id est, Juva : et confestim una claraque voce omnes personent, Ὁ Θεός, id est Deus. Ibi tum leves sagittas altius injiciant. Scutati qui in fronte constituti sunt, ubi prope hostes fuerint, si matzucia vel tzicuria, vel rhictaria habeant, humilius conjiciant ea : sin minus, præstolantes donec cominus venerint, et cum jaculantes, vel conjicientes tela, gladios distringant, neque retrocedentibus et tergiversantibus hostibus excurrendo, sed in acie consistendo pugnent. Qui a tergo illorum stant, sua ipsorum capita scutis suis tegentes, anterioribus hominibus cum jaculis suis succurrant.

75. Qui in fronte exercitus sunt, sibi ipsis diligenter provideant, donec cominus ad manus ven-

A τειν, ἵνα πάντες εἰς ἓν μέρος καὶ εἰσέρχωνται δὲ καὶ ἐξέρχωνται.

ο'. Περιπατεῖν ἴσως καὶ συν[τε]ταγμένως, ὅταν τινὲς τῆς παρατάξεως προχύψωσι. Καὶ ἂν ἴσως περιπατοῦσι, καὶ παραγγέλλῃ, Ἴσον τὸ μέτωπον, καὶ ἰσοῦται τὸ μέτωπον.

οα'. Πυκνοῦνται ἤτοι σφίγγονται, ὅταν ὡς ἀπὸ δύο ἢ τριῶν σαγιττοβόλων τῆς τῶν ἐχθρῶν παρατάξεως γίνεται ἡμῶν ἡ παράταξις, καὶ μέλλει συμβάλλειν, λέγει· Ζεῦξον. Καὶ πυκνούμενοι σφίγγονται πρὸς τὸν μέσον τόπον κατὰ βάθος καὶ μῆκος τοσοῦτον· ἵνα οἱ μὲν ἔμπροσθεν τεταγμένοι καὶ ἐκ
B πλαγίου, εἰς τὰ ἅρματα ἀλλήλοις ἐγγίζωσιν· οἱ δὲ ὄπισθεν κατὰ νώτου ἀλλήλοις ὥσπερ κεκόλληνται. Τοῦτο δὲ τὸ σχῆμα γίνεσθαι δύναται καὶ περιπατούσης καὶ ἱσταμένης τῆς παρατάξεως.

οβ'. Χρὴ δὲ τοὺς οὐραγοὺς παραγγέλλεσθαι καὶ ἐκ τῶν ὄπισθεν προωθεῖν καὶ ἀπορθοῦν αὐτοὺς εἰς τὴν χρείαν, ἵνα μὴ ἐναπομένωσί τινες, ὡς εἰκὸς, δειλιῶντες.

ογ'. Φούλκῳ δὲ περιπατεῖν λέγεται, ὅταν ἐγγιζουσῶν τῶν παρατάξεων τῆς τε ἡμετέρας καὶ τῆς τῶν ἐναντίων, μέλλει ἄρχεσθαι ἡ τοξεία γίνεσθαι, καὶ οὐ φοροῦσιν οἱ ἐν τῷ μετώπῳ τεταγμένοι ζάβας ἤτοι λωρίκια, καὶ παραγγέλλῃ, Πύκνωσον, καὶ τῶν
C ἔμπροσθεν κατὰ τὸ μέτωπον τεταγμένων πυκνούντων τὰ σκουτάρια αὐτῶν μέχρι τοῦ ἐγγίζειν ἀλλήλοις, κατασκέποντες προσπεπλασμένως τὰς γαστέρας αὐτῶν μέχρι τῆς κνήμης, ἤγουν τοῦ λεγομένου σκέλους· οἱ παρεστῶτες αὐτοῖς ὄπισθεν ὑπερανέχοντες τὰ σκουτάρια αὐτῶν, καὶ ἀναπαύοντες εἰς τοὺς ἔμπροσθεν, σκέπουσι τὰ στήθη καὶ τὰς ὄψεις αὐτῶν καὶ οὕτως συμβάλλουσι.

οδ'. Ὅταν δὲ πυκνωθεῖσα καὶ ἡ παράταξις κατὰ λόγον ἀπὸ ἑνὸς σαγιττοβόλου γένηται τῶν πολεμίων, καὶ μέλλει πάντως ἡ συμβολὴ συνάπτεσθαι, παραγγέλλῃ, Ἕτοιμοι· καὶ ἄλλου διαδεχομένου καὶ κράζοντος, Βοήθει· καὶ πάντων ἀποκρινομένων ἴσως καὶ συμφώνως, Ὁ Θεός· οἱ μὲν ψιλοὶ τοξεύουσιν ὑψηλοτέρως·
D οἱ δὲ σκουτάτοι οἱ εἰς τὸ μέτωπον τεταγμένοι ἔτι ἐγγυτέρω γενομένων τῶν πολεμίων, εἰ μὲν ἔχωσι ματζούκια, ἢ τζικούρια, ἢ ῥικτάρια, εἰς τὸ χαμαὶ ῥίπτουσιν αὐτά. Εἰ δὲ μήγε, ἀναμένοντες μέχρις οὗ ἐγγὺς ἔλθωσι, τότε ἀκοντίζοντες τὰ κοντάρια, ἤτοι ῥικτάρια αὐτῶν, ἐπιλαμβάνονται τῶν σπαθίων αὐτῶν, καὶ μάχονται εὐτάκτως ἐν τῇ τάξει αὐτῶν μένοντες καὶ οὐ κατατρέχοντες τῶν, ὡς εἰκὸς, ὑποχωρούντων αὐτοῖς ἐχθρῶν. Οἱ δὲ ὄπισθεν αὐτῶν ἑστῶτες τὰς ἑαυτῶν κεφαλὰς σκέποντες μετὰ τῶν σκουταρίων αὐτῶν ἐπιβοηθοῦσι τοῖς ἔμπροσθεν μετὰ τῶν κονταρίων.

οε'. Χρεία δέ ἐστιν ἀσφαλῶς τοὺς εἰς μέτωπον τασσομένους προφυλάττειν ἑαυτοὺς μέχρις οὗ εἰς

χεῖρας ἐκ τοῦ πλησίον ἔλθωσιν, ἵνα μὴ κατατοξεύωνται ὑπὸ των πολεμίων, ἐὰν μάλιστα μὴ ἔχωσι ζάβας ἢ χαλκότυβα.

ος'. Μερίζονται πρὸς διφαλαγγίαν, ὅταν ἐπ' εὐθείας περιπατῶσι τῆς παρατάξεως, καὶ ἔμπροσθεν καὶ ὄπισθεν φανῶσιν πολέμιοι, καὶ εἰ μὲν ἀπὸ ις' ἀνδρῶν ἔχωσιν αἱ ἀκίαι, καὶ ἤγγισαν οἱ δι' ὄψεως ἐρχόμενοι ἐχθροὶ, καὶ μέλλουσιν ἐκ τοῦ πλησίον ἄρχεσθαι τῆς μάχης, παραγγέλλει· Ἀπὸ η' μερίσθητε, καὶ οἱ η' εἰς διφαλαγγίαν, καὶ οἱ η' ἵστανται, οἱ δὲ η' στρεφόμενοι καὶ κινοῦντες πρὸς διφαλαγγίαν μερίζονται, οἱ δὲ ἢ ἀπὸ η' ἵστανται τὸ βάθος, ἢ ἀπὸ δ'. Παραγγέλλει· Ἑδραῖοι στῆτε οἱ δεύτεροι, καὶ οἱ τῆς φαλαγγίας ἐξέρχεσθε· δεύτεροι δέ εἰσιν, οἱ λεγόμενοι πάλαι σεκοῦνδοι, ἢ ἐπιστάται. Καὶ στρεφόμενοι οἱ σεκοῦνδοι, τουτέστιν οἱ ὑπὸ τὸν δεκάρχην τεταγμένοι, ἐξέρχονται διαστήματα ἄχρι τριακοσίων βημάτων, ἤτοι σκελισμάτων, ὥστε μὴ δύνασθαι τὰς βαλλομένας παρὰ των ἐναντίων σαγίττας ἑκατέρωθεν βλάπτειν τοὺς νώτους τῶν ἀντιβλεπόντων, ἀλλ' ἐν τῷ εὐκαίρῳ τόπῳ πίπτειν αὐτάς. Εἶτα παραγγέλλει· Ὑποστρέψατε, καὶ πάλιν ὑποστρέψαντες, εἰ χρεία γένηται, ἀποκαθίστανται εἰς τὸ πρότερον σχῆμα.

οζ'. Εἰ δὲ, ὡς εἰκὸς, ἡ μείζων δύναμις τῶν ἐχθρῶν διὰ τοῦ νώτου, ἤγουν ὄπισθεν τῆς παρατάξεως ἔρχεται, καὶ ἅμαξαι οὐκ ἀκολουθοῦσιν οἱ σεκοῦνδοι, ἤγουν οἱ ἐπιστάται, ἵστανται δὲ καὶ οἱ πρίμοι, ἤγουν οἱ πρωτοστάται, οἱ δὲ λοχαγοὶ ἐξέρχονται.

οη'. Τὸ δὲ τῆς φαλαγγίας γίνεται, ὅταν αἱ ἅμαξαι οὐκ ἀκολουθοῦσιν, ἢ ἀκολουθήσασαι ἐδιάσθησαν ὑπὸ τῶν πολεμίων. Ταύταις δὲ χρὴ πάντως ἐπὶ παντὸς ἡτοιμασμένου πεζικοῦ στρατοῦ ἀκολουθεῖν. Εἰ μὴ ἄρα καβαλλαρικὸς στρατὸς βιασθῇ πεζεῦσαι, καὶ ἐν καιρῷ τοιούτῳ ἢ ἁμαξῶν ἢ ἄλλης ὕλης κατὰ τοῦ νώτου ἀπορεῖν.

οθ'. Δεξιὰ δὲ καὶ ἀριστερὰ κλίνονται, ὅταν ἐκ πλαγίου εἰς ἓν μέρος θέλῃ τὴν παράταξιν σῦραι, ἢ διὰ τὸ, ὡς εἰκὸς, ἐκτεῖναι τὴν παράταξιν καὶ ὑπερκεράσαι, ἤγουν κυκλῶσαι τοὺς ἐχθρούς, ἢ μὴ ὑπερκερασθῆναι ἤγουν κυκλωθῆναι παρ' αὐτῶν, ἢ διὰ τόπου ἐπιτηδειότητα, ἢ διὰ παραγωγὴν στενοῦ τόπου. Καὶ εἰ μὲν δεξιὰ θέλῃ παραγαγεῖν αὐτὴν, παραγγέλλει· Ἐπὶ κοντάριν κλῖνον. Καὶ στρέφονται πάντες οἱ ὁπλῖται ἐκεῖθεν. Εἶτα παραγγέλλει· Ὑπόστρεψον, καὶ ἀποκαθίστανται. Εἰ δὲ ἀριστερὰ θέλῃ κλῖναι, παραγγέλλει· Ἐπὶ κοντάριν κλίνας κίνησον, καὶ τὰ ἄλλα ὁμοίως φυλάττονται.

π'. Ἀμφίστομος δὲ κίνησις, ὅταν τῶν ἐχθρῶν, ὡς εἰκὸς, ἄφνω γυρευόντων ἔμπροσθεν καὶ ὄπισθεν μὴ φθάσῃ πρὸς διφαλαγγίαν μερισθῆναι ἡ παράταξις, καὶ παραγγέλλει· Τῶν ἀκιῶν τὴν τάξιν φυλάξατε. Καὶ οἱ ἡμίσεις κατὰ τῶν ἔμπροσθεν ἐρχομένων ἱστάμενοι ἁρμόζονται, οἱ δὲ ἡμίσεις ἐπὶ τὸν νῶτον ἀντιστρεφόμενοι. Οἱ δὲ ἐν τῷ μέσῳ ἑστῶτες τὰς κεφαλὰς αὐτῶν ἴσως σκέπουσι διὰ τῶν σκουταρίων.

πα'. Μετατίθενται δεξιὰ καὶ ἀριστερὰ, ὅταν ἡ

A tum sit, ne si zabas aut chalcotuba, id est, ocreas æneas non habeant, sagittis ab hostibus confodiantur.

76. Dividuntur in diphalangiam, id est, duplicatam aciem, quando acies instructa directe ambulat, atque ante ac a tergo imminent hostes : ibi tum si ex sedecim fiat contubernium, et in conspectu fuerint hostes, et cominus manu confligere voluerint, præcipe ut per octo se dividant, et octo in diphalangiam statim, id est, duplicatam phalangem dividantur, sicque octo contubernales immoti stabunt, alii octo conversi et moventes se in contrariam partem, ad duplicatam quasi aciem se dividant, reliqui ad octo vel quatuor altitudinem consistent. Illis præcipiendum est, Ἑδραῖοι στῆτε οἱ δεύτεροι, καὶ B οἱ τῆς διφαλαγγίας ἐξέλθετε, id est, Firmi state secundi, et in duplicata acie qui estis, exite. Secundi autem sunt qui ἐπιστάται, id est, astites nominantur, qui sub decani protestate sunt. Hi conversi tam prope ad se mutuo accedant, ut paulo amplius vestigii intervallo distent, ne utrinque conjectæ ab hostibus sagittæ, terga utrinque spectantium lædant, sed oppportuno aliquo in loco cadant. Deinde sic illis præcipito, Ὑποστρέψατε, Revertimini : et rursum, si usus fuerit, conversi ad pristinam aciei formam redeant.

77. Si, quemadmodum usu venire plerumque potest, majores hostium copiæ a tergo, id est, post instructam aciem curribus non sequentibus invadant, tum secundi sive epistatæ, id est, astites, consistant, et primi sive præstites, qui lochagi nominantur, contra eos eant. C

78. Diphalangiæ, id est, duplicatæ aciei usus est, quando currus non sequuntur, vel si sequuntur, ab hostibus tamen populantur. Hos autem omnino oportet pedestrem aciem instructam sequi, nisi forte equestris exercitus cogatur pedibus ire, idque temporis vel curribus, vel alia quapiam materia a tergo eget.

79. In dextram et lævam partem inclinantur, quando in alteram partem acies obliquatur, vel ut producatur acies, et circumveniat hostes, vel ut ne circumveniatur ab illis, vel propter loci opportunitatem, vel propter loci angusti transitum. Si dextrorsum traducturus aciem es, præcipe iis verbis, D Ad hastam declina, eoque se armati flectant : deinde præcipe, Ἐπίστρεψον, id est, Converte te, et ad pristinam formam redibunt. Sin eos ad lævam declinare volueris, præcipe, Ἐπὶ κοντάριον κλίνας κίνησον, Ad hastam declinans te move : atque hæc perinde ac superiora faciant.

80. Ἀμφίστομος, id est, anceps motus est, quando inimicis subito ante et a tergo invadentibus, non in diphalangiam, id est, duplicatam aciem copiæ dividuntur. Præcipiet contuberniis ut stationem suam custodiant, et dimidii contra eos qui primo veniunt ad standum se aptent, dimidii contra ad tergum conversi. Qui in medio consistunt, capita sua scutis tegant.

81. Dextrorsum aut lævorsum mutantur, quando

necessitate hoc postulante, ad dextram aut lævam transferre vis exercitum. Præcipe iis verbis Μετάφερε εἰς τὰ δεξιά, id est, Transfer te ad dextram; vel rursus, Μετάφερε εἰς τὰ ἀριστερά, Transfer te ad lævam. Una cohorte transeunte, universa acies ad eam partem transeat.

82. Rarefiunt sive dilatantur acies, quando densatas eas dividere volueris, et juncta contubernia separare, et universas copias in longitudinem producere. Præcipies autem iis verbis: Πλάτυνον πρὸς τὰ ἀμφότερα μέρη, id est, Dilata in utramque partem, et diffundantur statim. Hæc forma tum ambulante, tum stante exercitu fieri potest, duobus cornibus exterius mutantibus, sive turma sit, sive exercitus.

83. Densantur vel duplicantur contubernia, quando ad quatuor virorum altitudinem stant, et duplicare eum numerum vis, et idonee ad altitudinem contubernii firmare contra hostium aciem, dices : Εἴσελθε, id est, Ingredere, et statim octo erunt. Sin eos sedecim volueris facere, rursus dices Εἴσελθε, et unus post alterum euntes ad suam stationem duplicantur, et fiant sedecim altitudine. Ab uno autem latere solum exeant, sicut antea præcepimus. Sin ad triginta duo virorum altitudinem contubernia, quod minime necesse est, facere vis, prædicito: Στίχος ὑπὸ στίχον, id est, Manipulus sub manipulo: atque ita duplicantur, et acies ipsa densatur, et longitudo ejus contrahitur.

84. Contrahitur, quando ambulante in directum exercitu, non ante ejus conspectum hostes veniunt, sed a tergo. Tum si frontem, id est, lochagos sive præstites sedecim virorum transferre cupis, præcipe ad hunc modum : Μετάλλαξον τὸν τόπον, id est, Commuta locum : et altitudinem contubernii transeuntes lochagi sive præstites, compluribus eos sequentibus, frontem novam ex adverso hostium constituant. Hoc ante densationem exercitus sedulo fiat. Si jam addensatus fuerit exercitus, et hoc quod supra memoratum est, commode fieri non potest, dicito, Μετασχημάτισον, id est, Converte ; et quemadmodum ante stabant conversi, solum ad tergum extremam aciem respiciant, lochago sive præstite in anteriorem partem minime spectante, sed ultimano jam in fronte constituto, quem οὐραγόν, id est, caudanum nominant.

85. Hæc igitur exercitationes, tum ipso belli tempore militem paratum et idoneum efficere, tum ante tempus belli, sine ferro armis aliis ad exercitationem idoneis, ad omnes formas bellicorum motuum, et ad omnem institutionem assuefacere possunt. Ingenue, sine turba et tumultu fiant, divisis sic inter se cohortibus, ut duas sibi mutuo acies oppositas faciant, sive ex una cohorte, sive ex pluribus hæ acies instruantur.

86. Non ignoro autem alias quasdam præceptiones exercitationesque motuum scriptis ac litteris esse proditas, tum ab aliis, tum potissimum ab Æliano et Arriano, quibuscum cæteri quasi una voce con-

A δεξιὰ ἢ ἀριστερὰ θέλεις μετενεγκεῖν τὴν παράταξιν, χρείας, ὡς εἰκὸς, οὕτω καλούσης, καὶ παραγγέλλει· Μετάφερε εἰς τὰ δεξιά· ἢ πάλιν, Μετάφερε εἰς τὰ ἀριστερά. Καὶ ἑνὸς τάγματος μετατιθεμένου μεταφέρεται ἡ παράταξις πᾶσα πρὸς τὸ μέρος ἐκεῖνο συντόμως.

πβ'. Ἀραιοῦνται ἤτοι πλατύνονται, ὅταν πεπυκνωμένοι εἰσὶ, καὶ θέλεις μερίσαι ἤτοι λεπτῦναι, ὡς εἰκὸς, τὰς ἀκίας, καὶ ἐκτεῖναι τὴν παράταξιν εἰς μῆκος, ἢ διὰ τὸ ἀνωτέρους αὐτοὺς γενέσθαι. Καὶ παραγγέλλει, Πλάτυνον πρὸς τὰ ἀμφίστομα μέρη, καὶ πλατύνονται. Τοῦτο δὲ τὸ σχῆμα καὶ περιπατούσης καὶ ἱσταμένης τῆς παρατάξεως δύναται γίνεσθαι, τῶν δύο κεράτων ἐπὶ τὰ ἔξω νευόντων, εἴτε μέρος ἓν ἔστιν, εἴτε ἡ παράταξις.

B πγ'. Βαθύνονται δὲ ἤτοι διπλοῦνται αἱ ἀκίαι, ὅταν μὲν ἀπὸ τεσσάρων ἵστανται, καὶ θέλῃς αὐτὰς διπλῶσαι, καὶ πρὸς συμβολὴν ἰσχυροποιῆσαι, ἁρμοζόντως τῷ βάθει τῆς παρατάξεως τῶν ἐναντίων, καὶ παραγγέλλει, Εἴσελθε. Καὶ γίνονται η'. Εἰ δὲ θέλῃς ις' ποιῆσαι, πάλιν παραγγέλλει· Εἴσελθε. Καὶ εἰσερχόμενοι εἰς τοὺς ἰδίους τόπους εἷς παρ' εἷς διπλοῦνται καὶ γίνονται ις', πάντες εἰς ἓν μέρος, ὡς ἐξῆλθον. Εἰ δὲ θέλεις, ὡς εἰκὸς, ἀπὸ λβ' τὸ βάθος τῶν ἀκιῶν ποιῆσαι, ὅπερ οὐκ ἔστι χρειῶδες, παραγγέλλει, Ὁ στίχος ὑπὸ τὸν στίχον, καὶ διπλοῦται ὁμοίως καὶ βαθύνεται μὲν ἡ παράταξις, συστέλλεται δὲ τὸ μῆκος αὐτῆς.

C πδ'. Μεταβάλλονται ὅταν, ἐπ' εὐθείας περιπατούσης τῆς παρατάξεως, μηκέτι δι' ὄψεως ἔλθωσιν οἱ ἐχθροὶ, ἀλλὰ ἀπὸ ὄπισθεν αὐτῆς. Καὶ ἂν μὲν τὸ μέτωπον, ἤτοι τοὺς λοχαγοὺς, τοὺς καὶ πρωτοστάτας, ὄπισθεν θέλῃς μετενεγκεῖν ἀπὸ ις' ἀνδρῶν ὄντος τοῦ βάθους, παραγγέλλει, Μετάλλαξον τὸν τόπον, καὶ διὰ τοῦ βάθους τῶν ἀκιῶν παρερχόμενοι οἱ λοχαγοὶ ἵστανται εἰς παράταξιν, συνακολουθούντων αὐτοῖς καὶ τῶν λοιπῶν, καὶ μεταβάλλονται τὸ μέτωπον ἐπὶ τοὺς πολεμίους ποιοῦντες. Τοῦτο δὲ πρὸ τῆς πυκνώσεως ἐπιτηδείως γίνεται. Εἰ δὲ πεπύκνωται καὶ οὐ συφθάζει ἁρμόσαι, παραγγέλλει, Μετασχημάτισον, καὶ στρεφόμενοι ὡς ἵστανται ἀντιβλέπουσι κατὰ τοῦ νώτου, ἤγουν τὸ ὀπίσω μέρος, οὐκέτι τοῦ λοχαγοῦ ἔμπροσθεν εὑρισκομένου, ἀλλὰ τοῦ ἐξ καὶ δεκάτου οὐραγοῦ.
D

πε'. Αἱ μὲν οὖν γυμνασίαι αὗται δύνανται ἐν καιρῷ πολέμου τὸν στρατιώτην ἕτοιμον παρασκευάζειν, καὶ πρὸ καιροῦ πολέμου ἄνευ σιδήρου διὰ ὅπλων ἑτέρων τῶν πρὸς γυμνασίαν ἐπιτηδείων ἐθίζειν πρὸς πάντα τὰ σχήματα τῶν κινήσεων, καὶ τὰ παραγγέλματα εὐφυῶς καὶ ἄνευ ταραχῆς καὶ θροισμοῦ διαγίνεσθαι, ὅταν μάλιστα πρὸς ἄλληλα τὰ τάγματα διαιρούμενα εἰς δύο ἀντιπαρατάξεις, εἴτε καθ' ἓν τάγμα, εἴτε κατὰ πλείονα ποιεῖται τὴν γυμνασίαν.

πς'. Οὐκ ἀγνοῶ ὅτι παρὰ τοῖς ἀρχαίοις καὶ ἕτερά τινα παραδίδοται παραγγέλματα καὶ κινήματα γυμνασίας ἄλλοις τε, καὶ Ἀριανῷ, καὶ Αἰλιανῷ, ὥσπερ ἐξ ἑνὸς στόματος περὶ αὐτῶν ὁμοφωνοῦσιν. Ἀλλ'

ἵνα μὴ ἐπὶ πλάτος τοσοῦτον παρεκτείνω τὸν λόγον, A ἐν κεφαλαίῳ μόνῳ μνήμην παραθήσω ἐκείνων, καὶ τοῦ λοιποῦ σιωπήσομαι τὸ πλῆθος, τὸ μὲν, διὰ τὴν ἐν αὐτοῖς ἀσαφίαν (21) τε καὶ ἀχρηστίαν, τὸ δὲ, καὶ διὰ τὸ ἐκεῖθεν ἀναληφθῆναι ὥσπερ ἀνθολογηθέντα παρ' ἡμῶν ἐνταῦθα καὶ εἰρημένα μετὰ τῆς τῶν νεωτέρων διὰ πείρας εὑρέσεως. Καὶ ἵνα μὴ ἀπειρόκαλοι δόξωμεν εἶναι, καὶ δευτερολογεῖν ἀσαφῶς ἐνταῦθα ἤδη σαφηνισθέντα (22).

πζ'. Παρὰ γὰρ Αἰλιανῷ λέγονται ὀνόματα καὶ κινήσεις αὗται· ἡ μὲν κλίσις καλουμένη, τὴν δὲ κλίσιν εἰς δύο διαιρεῖ. Καὶ τὴν μὲν ἐπὶ ἀσπίδα καὶ αὐτὸς κλίσιν λέγει, ἤγουν ἐπὶ σκουτάριν, τὴν δὲ ἐπὶ δόρυ, ἤγουν ἐπὶ κοντάριν. Ἔστι δέ τις κίνησις καὶ παρ' αὐτῶν (23), B καὶ μεταβολὴ, καὶ ἐπιστροφὴ, καὶ ἀναστροφὴ, καὶ περισπασμὸς, καὶ ἐκπερισπασμὸς, καὶ ζυγεῖν, καὶ στιχεῖν, καὶ ἐπ' ὀρθὸν ἀποδοῦναι, καὶ ἐξελίσσειν, καὶ διπλασιάζειν. Λέγεται δὲ καὶ ἐπαγωγὴ, καὶ δεξιὰ παραγωγὴ, καὶ πλαγία φάλαγξ, καὶ ὀρθία φάλαγξ, καὶ λοξὴ φάλαγξ, καὶ παρεμβολὴ, καὶ πρόταξις, καὶ ἔνταξις, καὶ ὑπόταξις, καὶ ἐπίταξις, καὶ πρόσταξις, καὶ παράταξις.

πη'. Αἱ μὲν οὖν τῶν κινήσεων τοσαυται. Τὰ δὲ παραγγέλματα οὕτως·

Ἄγε εἰς τὰ ὅπλα.
Παράστητε παρὰ τὰ ὅπλα.
Ὁπλοφόρος μὴ ἀπίτω τῆς φάλαγγος.
Σίγα καὶ πρόσεχε τῷ παραγγελλομένῳ.
C Ἄνω τὰ δόρατα.
Κάθες τὰ δόρατα.
Οὐραγὸς τὸν λόχον (24) ἀπευθυνέτω.
Τήρει τὰ διαστήματα.
Ἐπὶ δόρυ κλῖνον.
Ἐπὶ ἀσπίδα κλῖνον
Πρόαγε.
Ἔχε οὕτως.
Εἰς ὀρθὸν ἀπόδος.
Τὸ βάθος διπλασίαζε.
Ἀποκατάστησον.
Τὸν λάκωνα ἐπὶ τὸ δόρυ ἐκπερίσπα.
Ἀποκατάστησον.

ιθ'. Ἀλλὰ ταῦτα διά τε τὸ ἀσαφὲς καὶ τὴν ἀχρηστίαν τέως παρείδομεν, τοῦ συντόμου καὶ σαφοῦς D μάλιστα φροντίζοντες.

ϟ'. Τὰ μὲν οὖν περὶ γυμνασίας ἡμῖν προειρημένα πεζικῆς τε καὶ ἱππικῆς, τόν τε καθ' ἕνα στρατιώτην, καὶ τῶν κατὰ τάγματα καὶ παρατάξεις, ὡς ἐν ἐπιτόμῳ ἀρκούντως ἔχει. Ἁρμοδίως δὲ τῷ παρόντι συντάγματι καὶ τὰ τοῖς ἁμαρτάνουσι στρατιώταις ἐπιτίμια ἐντάξαι, ἵνα γινώσκωσιν αὐτὰ, καὶ μὴ ἀγνοοῦντες ἐμπίπτωσι ταῖς ἐν αὐτοῖς κειμέναις τιμωρίαις.

A sentiunt : sed ne ad nimiam longitudinem producatur oratio, uno quasi capite solum illa recitabo : de cætero autem propter longitudinem illa eadem prætermittam, partim propter obscuritatem atque inutilitatem, partim quia iis diligenter cognitis, quæ a nobis explicata sunt, experientia quadam adhibita, facile ista ab eis sumi possunt. Valde etiam propterea insciti rudesque rerum videremur esse, si hæc quæ cum claritate quadam et perspicuitate exposita sunt, cum obscuritate iterum repeteremus.

87. Ab Æliano autem hæc nomina et hi motus recensentur: Κλίσις, id est, declinatio. Hanc autem declinationem in duo dividit, alteram ἐπὶ ἀσπίδα, ad clypeum, sive ad scutum, vel ad lævam, alteram ἐπὶ δόρυ, ad hastam, vel ad dextram. Alius B apud illum motus est, μεταβολὴ, commutatio, conversio, reversio, biflexio, triflexio, jugare, decuriare, dirigere, evolvere, duplicare. Dicitur etiam inductio, dextra traductio, obliqua phalanx, recta phalanx, incurva phalanx, interjectio, præpositio, impositio, suppositio, postpositio, appositio.

88. Nomina igitur motuum hæc sunt. Præcepta autem illis hæc trade :

Age ad arma.
Assistite armis.
Armatus ne discedat ab acie.
Sile et attende præcipientem.
C Sursum hastas.
Demitte hastas.
Ultimanus contubernium dirigat.
Custodi intervalla.
Ad hastam declina.
Ad clipeum declina.
Procede.
Istuc serva.
Directe procede.
Altitudinem duplica.
Recipe iterum.
Laconicum ad hastam trivolve.
Recipe te.

89. Sed ista atque alia item hujusmodi propter D obscuritatem et inutilitatem huc usque distulimus, quia brevitatis et perspicuitatis maximam rationem habemus.

90. Hæc igitur a nobis de exercitatione equestri et pedestri, tum sigillatim per unumquemque militem, tum generatim per cohortes atque acies, brevi commemorata satis sunto. Par est autem, et rei susceptæ idoneum, delinquentibus militibus multas imponere, ut eas cognoscant, neque ignorantia quadam in hæc supplicia illis constituta incidant.

NOTÆ.

(21) Ἀσαφίαν. Scribe, ἀσάφειαν.
(22) Ἤδη σαφηνισθέντα. Scribebatur, τὰ εἴδη σ.
(23) Παρ' αὐτῶν. Scribe, π. αὐτῷ.
(24) Τὸν λόχον. Scribebatur, τὸν λόγον.

CONSTITUTIO VIII.

De multis militaribus.

1. Non modo in veris certaminibus, sed etiam ipso exercitationis tempore, omnes præfecti atque cohortes militares convocandi, et hæ leges militares recensendæ sunt, quæ multas has continent:

2. Si miles quintano aut quartano suo adversetur, castigetur: sin quartanus aut quintanus decano suo adversetur, castigetur quoque. Sin decanus centurioni, pari modo. Sin quis ex cohorte audeat hoc adversus suum ipsius comitem facere, capite plectatur.

3. Si quis injuriam a quoquam acceperit, ad cohortis suæ præfectum referat: sin ab ipso præfecto lædatur, majori alicui præfecto narret.

4. Si quis audeat magicam exercere, quo tempore militares domum suam remittuntur, perpetuo ab omnibus aciebus expellatur.

5. Si qui conjurationem aut pactum aliquod contra præfectum suum quavis de causa fecerint, capite plectantur, et in primis illi, qui hujus seditionis et conjurationis auctores fuerint.

6. Si cui custodia civitatis aut castelli alicujus commissa est, isque eam prodiderit, aut invito præfecto deseruerit, extremo supplicio afficiatur:

7. Si quis seipsum inimicis prodere velle deprehendatur, extremo supplicio afficiatur.

Neque ille solum, sed is etiam qui cum conscius hujus facinoris, id ipsum tamen præfecto indicare noluit.

8. Si quis cum decani mandata audierit, non agat ea, castigetur. Sin propter ignorantiam offenderit, decanus ipse, qui hoc illi non indicavit, castigetur.

9. Si quis bestiam aliquam aut rem sive magnam sive parvam invenerit, et eam præfecto suo non tradiderit, tum ipse, tum qui conscius illi est, quasi fures utrique castigentur.

10. Si quis damnum municipi suo fecerit, et illud voluntate sua non resarcierit, duplam illi multam persolvat.

11. Si quis aliquo vacationis tempore intermissionem aliquam habeat, et eo tempore arma sua neglexerit, et decanus eum non coegerit nova comparare, aut saltem præfecto suo hoc non indicaverit, tum miles, tum decanus castigentur.

A

ΔΙΑΤΑΞΙΣ Η'.

Περὶ στρατιωτικῶν ἐπιτιμίων.

α'. Δεῖ οὖν οὐ μόνον ἐν καιρῷ τῶν ἀληθῶν ἀγώνων, ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῆς γυμνασίας, συνηγμένων ἁπάντων τῶν τε ἀρχόντων καὶ τῶν στρατιωτικῶν ταγμάτων, προσκαλεῖσθαι πάντας, καὶ ὑπαναγινώσκειν αὐτοῖς τὰ εἰρημένα νόμιμα στρατιωτικὰ ἐπιτίμια ἔχοντα οὕτως·

β'. Ἐὰν στρατιώτης τῷ ἰδίῳ πεντάρχῃ ἢ τετράρχῃ ἐναντιωθῇ, σωφρονιζέσθω· εἰ δὲ τετράρχης ἢ πεντάρχης τῷ ἰδίῳ δεκάρχῳ, ὁμοίως σωφρονιζέσθω· εἰ δὲ δέκαρχοι τῷ πεντάρχῃ. Εἰ δέ τις τῶν τοῦ τάγματος τολμήσῃ τοῦτο ποιῆσαι εἰς τὸν ἑαυτοῦ κόμητα, κεφαλικῇ τιμωρίᾳ ὑποκείσθω.

γ'. Εἰ μέντοι ἀδικηθῇ παρά τινος, τῷ ἄρχοντι B τοῦ τάγματος προσέλθῃ· εἰ δὲ παρὰ τοῦ ἄρχοντος αὐτοῦ ἀδικηθῇ, τῷ μείζονι ἄρχοντι προσέλθῃ.

δ'. Ἐάν τις τολμήσῃ βαγεῦσαι (25) ὑπὲρ τὸν χρόνον του κομεάτου, ἤγουν τῆς ἀπολύσεως τῶν στρατιωτῶν εἰς τοὺς ἰδίους οἴκους, εἰς διηνεκῆ ταξατίωνα κατακριθῇ.

ε'. Εἰ δέ τινες τολμήσωσι συνομωσίαν, ἢ φατρίαν, κατὰ τοῦ ἄρχοντος τοῦ ἰδίου ποιῆσαι, ὑπὲρ οἱασδήποτε αἰτίας, κεφαλικῇ τιμωρίᾳ ὑποβληθῶσι, κατὰ ἐξαίρετον οἱ πρῶτοι τῆς συνομωσίας ἢ τῆς στάσεως γενόμενοι.

ς'. Εἴ τις παραφυλακὴν πόλεως ἢ κάστρου πιστευθεὶς τοῦτο παραδώσῃ, ἢ παρὰ γνώμην τοῦ ἄρχοντος C αὐτοῦ ἐκεῖθεν ἀναχωρήσῃ, ἐσχάτῃ τιμωρίᾳ ὑποβληθήσεται.

ζ'. Εἴ τις ἐλεγχθῇ θελήσας ἐχθροῖς ἑαυτὸν παραδοῦναι, τῇ ἐσχάτῃ τιμωρίᾳ ὑποβληθῇ.

Οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ὁ τοῦτο συνειδὼς ἐπειδὴ τοῦτο γνοὺς τῷ ἄρχοντι οὐκ ἐμήνυσεν.

η'. Εἴ τις ἀκούσας τὰ μανδάτα τοῦ δεκάρχου μὴ φυλάξῃ, σωφρονιζέσθω. Εἰ δὲ ἀγνοῶν τὰ μανδάτα πταίσῃ, ὁ δεκάρχης σωφρονιζέσθω, ἐπειδὴ οὐ προεῖπεν αὐτῷ.

θ'. Εἴ τις ἄλογον ζῶον ἢ ἄλλο οἱονδήποτε εἶδος μικρὸν ἢ μέγα εὑρὼν, μὴ τοῦτο φανερώσῃ, καὶ τῷ ἄρχοντι τῷ ἰδίῳ παραδώσῃ, σωφρονιζέσθω, οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ὁ συνειδὼς αὐτῷ, ὡς κλέπται ἀμφότεροι. D

ι'. Εἴ τις ζημιώσῃ συντελεστὴν, καὶ μὴ τοῦτον προαιρέσει ἀποθεραπεύσῃ, κατὰ τὸ διπλάσιον τὴν ζημίαν αὐτῷ ἀποκαταστήσῃ.

ια'. Εἴ τις λαμβάνων ἀπόλυσιν ἐν εὐκαιρίας ἡμέραις τῶν ἑαυτοῦ ὅπλων περιφρονήσει, καὶ μὴ τοῦτο ὁ δεκάρχης ἀναγκάσῃ κτήσασθαι (26), ἢ καὶ τῷ ἰδίῳ ἄρχοντι τοῦτο μὴ φανερώσῃ, καὶ ὁ στρατιώτης αὐτὸς, καὶ ὁ δεκάρχης σωφρονισθῶσιν.

NOTÆ.

(25) *Βαγεῦσαι*. In codice videtur fuisse, μαγεῦσαι. Male. Rufus in Leg. milit.: Εἴ τις τολμήσῃ βαγεῦσαι ὑπὲρ τὸν χρόνον τοῦ κομμεάτου, τῆς στρατείας ἐκβληθήσεται. Apud Græcos posteriores βαγεύειν, est *vagari, errare*. Suidas : βαγεύειν, πλανητεύειν. Vide *Glossarium* nostrum.

(26) *Ὁ δεκάρχης ἀναγκάσῃ κτήσασθαι*. Deest ἄλλα, aut tale quid.

ιβ'. Εἴ τις μὴ ὑπακούσῃ τῷ ἰδίῳ ἄρχοντι, σωφρο- A νιζέσθω κατὰ τοὺς νόμους.

ιγ'. Εἴ τις ζημιώσῃ στρατιώτην, ἐν διπλῇ ποσότητι αὐτῷ ἀποκαταστήσῃ, ὁμοίως καὶ συντελεστήν.

ιδ'. Εἰ δὲ ἐν παραχειμαδίῳ ἐστὶν ὁ στρατὸς, καὶ κατὰ πάροδον ὁ ἄρχων, ἢ ὁ στρατιώτης, ζημιώσῃ συντελεστὴν, καὶ μὴ τοῦτον δεόντως ἀποθεραπεύσῃ, ἐν διπλῇ ποσότητι τοῦτο αὐτῷ ἀποκαταστήσῃ.

ιε'. Εἴ τις ἐν καιρῷ πολέμου δίχα κομεάτου (27) ἤγουν ἀπολύσεως τοῦ στρατοῦ, στρατιώτην ἀπολῦσαι τολμήσῃ, τριάκοντα νομισμάτων ποινὴν διδότω. Ἐν καιρῷ δὲ παραχειμαδίου εἰς δύο ἢ τρεῖς μῆνας ποιείτω· ἐν καιρῷ δὲ εἰρήνης, κατὰ τὸ διάστημα τῆς ἐπαρχίας ὁ τῆς ἀπολύσεως καιρὸς τῷ στρατιώτῃ διδόσθω. B

ιϛ'. Εἴ τις πόλιν ἢ κάστρον πιστευθεὶς εἰς παραφυλακὴν τοῦτο προδώσει, ἢ χωρὶς ἀνάγκης εἰς ζωὴν συντεινούσης ἀναχωρήσῃ, δυνάμενος τοῦτο ἐκδικῆσαι, κεφαλικῇ τιμωρίᾳ ὑποβαλλέσθω.

ιζ'. Ταῦτα μὲν καὶ ἐν καιρῷ γυμνασίας ὁμοῦ συνηγμένων τῶν στρατιωτῶν ὑπαναγινωσκέσθω τὰ ἐπιτίμια, καὶ ἐν ἑτέρῳ οἱῳδήποτε καιρῷ πρὸς εἴδησιν τῶν στρατιωτῶν καὶ τῶν ἀρχόντων αὐτῶν.

ιη'. Δεῖ δὲ συνταγῆναι αὐτοῖς καὶ τὰ λοιπὰ ἐπιτίμια, ὅσα δέον ἐν τῷ καιρῷ τοῦ πολέμου ἀναγκαίως φυλάττεσθαι.

ιθ'. Μετὰ οὖν τὸ ταγῆναι τὰ τάγματα ἀναγινώσκεται καὶ ταῦτα οὕτως·

κ'. Ἐὰν στρατιώτης ἐν καιρῷ παρατάξεως καὶ πολέμου τὴν τάξιν ἢ τὸ βάνδον αὐτοῦ ἐάσῃ καὶ ἢ C φύγῃ, ἢ τοῦ τόπου ἐν ᾧ ἐτάγη προπηδήσῃ, ἢ σκυλεύσῃ νεκρὸν, ἢ εἰς ἐπιδίωξιν ἐχθρῶν καταδράμῃ, ἢ τούλδῳ ἢ φοσσάτῳ ἐχθρῶν ἐπέλθῃ, κελεύομεν καὶ τιμωρεῖσθαι αὐτὸν κεφαλικῶς, καὶ πάντα τὰ, ὡς εἰκὸς, παρ' αὐτοῦ εὑρισκόμενα ἀφαιρεῖσθαι καὶ τῷ κοινῷ δίδοσθαι τοῦ τάγματος, ὡς τὴν τάξιν παραλύσαντα, καὶ τοῖς ἑτέροις (28) αὐτοῦ ἐπιβουλεύσαντα.

κα'. Ἐὰν ἐν καιρῷ δημοσίας παρατάξεως ἢ συμβολῆς τροπὴ, ὅπερ ἀπείη, γένηται ἄνευ τινὸς εὐλόγου καὶ φανερᾶς αἰτίας, κελεύομεν τοὺς στρατιώτας τοῦ πρώτου φεύγοντος τάγματος καὶ ἀναχωροῦντος τῆς παρατάξεως, ἤτοι τοῦ ἰδίου μέρους, τοὺς εἰς τὴν μάχην ταγέντας ἀποδεκατοῦσθαι, καὶ ὑπὸ τῶν λοιπῶν ταγμάτων κατατοξεύεσθαι, ὡς τὴν τάξιν παραλύσαντας, καὶ αἰτίους τῆς τοῦ παντὸς μέρους τροπῆς γενο- D μένους.

κβ'. Εἰ δὲ συμβῇ τινας ἐν αὐτοῖς, ὡς εἰκὸς, πληγάτους ἐν αὐτῇ τῇ συμβολῇ γενέσθαι, ἐκείνους ἐλευθέρους τοῦ τοιούτου ἐγκλήματος εἶναι.

κγ'. Ἐὰν βάνδου ἀφαίρεσις ὑπὸ ἐχθρῶν γένηται, ὅπερ ἀπείη, ἄνευ τινὸς εὐλόγου καὶ φανερᾶς προφάσεως, κελεύομεν τοὺς τὴν φυλακὴν τοῦ βάνδου πιστευθέντας σωφρονίζεσθαι, καὶ παντελῶς ἐσχάτους γίνεσθαι τῶν ἀρχομένων ὑπ' αὐτῶν, καὶ ἀτίμους. Εἰ δὲ συμβῇ τινας αὐτῶν μαχομένους γίνεσθαι πληγάτους, τοὺς τοιούτους ἐλευθέρους τοῦ [ἐπι]τιμίου τοιούτου ἐπιφυλάττεσθαι.

12. Si quis præfecto suo non obtemperaverit, legibus castigetur.

13. Si quis damnum militi aut municipi fecerit, duplum illi restituat.

14. Si in hibernis fuerit exercitus, et in ipso itinere dux vel miles damnum municipi fecerit, et illud iterum, quemadmodum par est, non compensaverit, duplum illi persolvere cogatur.

15. Si quis belli tempore sine commeatu, id est, dimissione exercitus, militem dimittere audeat, triginta nummis multetur. Hibernis autem duos aut tres menses hoc faciat: pacis tempore pro intervallo loci commeatus sive dimissionis tempus militi concedatur.

16. Si cui custodia civitatis, aut castelli alicujus commissa est, et eam prodiderit, vel sine necessitate aliqua ad vitam pertinente discesserit, cum posset locum defendere, capite plectatur.

17. Hæ congregatis ipso exercitationis tempore militibus, et alio quovis idoneo tempore, ad militum et præfectorum scientiam multæ legantur.

18. Constituendæ præterea illis reliquæ multæ sunt, quæ belli tempore necessario servandæ sunt.

19. Post instructas cohortes, hæc illis legantur:

20. Si miles belli tempore aciem suam aut cohortem reliquerit, aut aufugerit, aut locum in quo constituitur anteverterit, vel cadaver despoliaverit, vel ad insequendos hostes excurrerit, vel ad tuldum, sive impedimenta, vel fossatum, id est, castra hostium accesserit, capite multetur, et omnia bona detrahantur, et cohorti universæ, quia aciem dissolvere cogitabat, et aliis insidias struebat, distribuantur.

21. Si universæ aciei instructæ, aut ipsius conflictationis tempore, fuga (quod absit!) nulla rationabili de causa certaque fiat, præcipimus, milites cohortis ejus, quæ primo terga dabat, et primum ex acie discessit, decimari, et a reliquis cohortibus sagittis configi, quia aciem dissolverunt, et auctores omni ex parte hujus fugæ fuerunt.

22. Sin quosdam ex illis sauciatos esse contingat, eos omni hoc crimine liberamus atque exsolvimus.

23. Si bandi, id est, cohortis alicujus ab hostibus ereptio fiat, quæ sine ulla certa aut manifesta causa discedit, hi quibus custodia hujus cohortis commissa est castigentur, et omnium subjectorum abjectissimi contemptissimique sint. Sin quosdam ex illis pugnando sauciatos esse contingat, istos hac multa liberos esse volumus.

NOTÆ.

(27) *Δίχα κομεάτου*. Scribebatur, δίχα κομητάτου.

(28) *Καὶ τοῖς ἑτέροις*. Scribe, καὶ τοῖς ἑταίροις.

24. Si jam fossato, id est, castris positis contingat (quod absit!) alicujus turmæ sive aciei fugam fieri, neque ad defensores accurrunt, neque fusi et fugati ad castra contendunt, sed contemptu aliquo ad alia loca transvolant, hi qui hæc faciunt sic puniantur quasi cæterorum proditores et contemptores.

25. Si miles in prœlio arma abjiciat, puniatur is, quasi qui ipse se nudat, et hostes armat.

26. Si quis præfectus arma militi detraxerit, vel excusationem pro eo attulerit cur ad diem commeatus non venit, aut ubi domum venerat, ita servitio illum occupatum detinuit, ut stationem suam neglexerit, et arma contempserit, præter ea, quæ a nostro scrinio constituta sunt, castigetur, et multetur : imperator auri libra : turmarcha nummis triginta sex : drungarius, id est, præfectus cohortis milliariæ nummis viginti quatuor : comes, id est, præfectus cohortis, nummis duodecim.

27. Iis igitur multis militaribus descriptis, deinceps tibi quemadmodum ducendus exercitus sit tum domi, tum foris, sive universus tibi ducendus sit, sive cohortes separatæ aliquæ, qualique cum constitutione faciendum sit, exponam.

A κδ'. Ἐὰν φοσσάτου ὄντος τροπή, ὅπερ ἀπείη, μέρους ἢ παρατάξεως γένηται, καὶ μηδὲ πρὸς διφένσορας προσδράμωσι, μηδ' ἐν αὐτῷ τῷ φοσσάτῳ καταφεύγωσι τρεπόμενοι, ἀλλὰ περιφρονοῦντες ἐν ἑτέρῳ τόπῳ προσδράμωσι, κελεύομεν τοὺς τοῦτο πράττειν τολμῶντας τιμωρεῖσθαι ὡς τῶν ἑτέρων (29) περιφρονήσαντας.

κε'. Ἐὰν στρατιώτης τὰ ὅπλα αὐτοῦ ῥίψῃ ἐν πολέμῳ, κελεύομεν αὐτὸν τιμωρεῖσθαι, ὡς γυμνώσαντα ἑαυτὸν, καὶ τοὺς ἐχθροὺς ὁπλίσαντα.

κς'. Ἐάν τις τῶν ἀρχόντων παροπλίσῃ στρατιώτην, ἢ ἐξκουτεύῃ (30) ἢ μὴ συνεισελθεῖν ἐν τῷ καιρῷ τοῦ φοσσάτου, ἢ συνελθόντα εἰς οἰκείαν κατάσχῃ δουλείαν, ὥστε τὴν τάξιν αὐτοῦ καταφρονῆσαι, καὶ ἀμελῆσαι τῶν ὅπλων, παρεκτὸς τῶν τεταγμένων ἀπὸ B τοῦ ἡμετέρου κρίνου (31), σωφρονιζέσθω. Καὶ ζημιούσθω, στρατηγὸς μὲν χρυσίου λίτραν μίαν, τουρμάρχης δὲ νομίσματα λς', δρουγγάριος δὲ νομίσματα κδ', κόμης δὲ, καὶ εἴ τις ἕτερος, νομίσματα ιβ'.

κζ'. Τοσαῦτα καὶ περὶ τῶν στρατιωτικῶν ἐπιτιμίων διορισάμενοι, ἑξῆς σοι ὅπως καὶ ὁδοιπορεῖν δέον τόν τε καθόλου στρατὸν, καὶ κατὰ μέρος, ἔν τε τῇ ἡμετέρᾳ χώρᾳ, καὶ ἐν τῇ τῶν πολεμίων, καὶ μετὰ ποίας καταστάσεως, ἤδη διαταξώμεθα.

CONSTITUTIO IX.

De exercitus itinere.

1. Ubi in vestra ipsorum ditione cum exercitu iter fit, militibus præcipiendum est, ut neque prædentur, neque populentur terram. Multitudo enim militum, si quando licentiam habeat, solute in omnia irruit : objecta enim ante oculos præda, ad cupiditatem inescatur. Ex quo fit, ut vestri sæpe vobis inimici atque adversarii sint.

2. Ne tardes in vestra cum exercitu ditione commorando, cum jam in hostilem terram irruere decreveris ; nam et proprias fruges absumes, et amicos magis quam inimicos lædes. Celeriter igitur copias traducito, idque potissimum, si in frugiferam et fructuosam hostium regionem irrupturus es.

3. Frequentem exercitum, nisi hostes immineant, in unum locum ne cogas ; otiosi enim milites ad seditiones et perversas cogitationes se adjungunt.

4. Sin usus aliquis hoc requirat, vel adnomii, id est, nominum describendorum causa, vel alicujus alterius rei gratia, ut cogantur in unum milites, quanta maxima celeritate potes, copias vel divide, vel exerce, et in rebus bellicis occupatos tene, quemadmodum in capite *De exercendis militibus* præscripsimus. Otium enim et desidia insolitas atque intemperantes fere cogitationes pariunt.

ΔΙΑΤΑΞΙΣ Θ'.

Περὶ ὁδοιπορίας.

α'. Δέον σε τοίνυν, ὦ στρατηγὲ, ὅταν ὁδοιπορῇς μετὰ τοῦ στρατοῦ, εἰ μὲν ἐν τῇ ἰδίᾳ ὑμῶν γῇ τὴν C πορείαν ποιεῖς, ἵνα παραγγέλλῃς τοῖς στρατιώταις ἀπέχεσθαι τῆς χώρας, καὶ μήτε πραιδεύειν, μήτε φθείρειν· πλῆθος γὰρ στρατεύματος, ὅταν λάβῃ τοῦ δύνασθαι τὴν ἐξουσίαν, ἀφειδῶς ἐπιπίπτει πρὸς ἅπαντα· δελεάζεται γὰρ εἰς πλεονεξίαν, ὅταν ὁρᾷ κατὰ ὄψιν προκειμένην τὴν χρείαν, καὶ πολλάκις τοὺς ἰδίους διὰ τὴν τοιαύτην αἰτίαν πολεμίους ποιεῖ.

β'. Μηδὲ χρόνιζε καθεζόμενος μετὰ τοῦ στρατεύματος ἐν τῇ ἰδίᾳ χώρᾳ, ὅταν ἤδη ὁρίσῃς εἰσβάλλειν τῇ χώρᾳ τῶν πολεμίων. Καὶ γὰρ καὶ τοὺς ἰδίους ἀναλώσεις καρποὺς, καὶ ζημιώσεις μᾶλλον τοὺς φίλους ἢ τοὺς πολεμίους. Ταχέως δὲ μετάφερε τὰς δυνάμεις, μάλιστα ἐὰν εἰς λιπαρὰν καὶ πολύτροφον τῶν πολεμίων γῆν μέλλεις εἰσβάλλειν.

γ'. Εἰς ἕνα δὲ τόπον στρατὸν πολὺν μὴ σύναγε, πολεμίων μὴ ἐνοχλούντων, ἵνα μὴ εὐκαιροῦντες οἱ D στρατιῶται εἰς στάσεις καὶ ἀκαίρους ἐννοίας ἀσχολοῦνται.

δ'. Εἰ δέ ποτε χρεία καλέσει τοῦτο γίνεσθαι χάριν ἀδνουμίου, ἢ ἄλλης ἀναγκαίας αἰτίας, ἢ ταχέως τὸν στρατὸν διαμέριζε (32), ἢ γύμναζε καὶ εἰς ἔργα τῶν ὅπλων ἀσχολεῖσθαι παρασκεύαζε, ὡς ἐν τῷ *Περὶ γυμνασίας* ἡμῖν εἴρηται κεφαλαίῳ. Ἡ γὰρ ἀργία κενωτέρας μελέτας ἴσως καὶ ἐπιβλαβεῖς ἀπογεννᾷ.

NOTÆ.

(29) *Τῶν ἑτέρων.* Scribebatur, τῶν νεωτέρων.

(30) *Ἡ ἐξουτεύῃ.* Scribebatur, ἢ ἐκκουλκεύῃ. Recentiores Græci, ἐξκουσσεύειν dicunt, *excusare*. Vide Glossarium nostrum.

(31) *Τοῦ ἡμετέρου κρίνου.* Scribe, τ. ἡ. σκρινίου.

(32) *Τὸν στρατὸν διαμέριζε.* Addendum necessario, ἢ γύμναζε.

ε'. Ἐὰν πόλεμον προσδοκᾷς, μετὰ τάξεως τὸν A στρατὸν περιπατεῖν ποίησον, κἄν τε κατὰ δρούγγους τὰς ὁδοιπορίας ποιῶνται, κἄν τε κατὰ τούρμας, κἄν τε κατὰ ὅλας παρατάξεις. Τὸ γὰρ ἐν τάξει ταύτας γίνεσθαι, οὐ μόνον ἐπὶ τῆς πολεμίας, ἀλλὰ καὶ ἐπὶ τῆς ἰδίας, ἀσφαλεστέρους καὶ προγεγυμνασμένους ποιεῖ τοὺς στρατιώτας.

ς'. Ἑκάστῳ δὲ δρούγγῳ ἐθίζεσθαι ποίησον, ὥστε τὴν ἰδίαν ἀποσκευὴν ὄπισθεν ἀκολουθεῖν μετὰ τῶν ἰδίων σημείων, καὶ μὴ ἐπιμίγνυσθαι ἑτέρᾳ. Ἀναγκαῖον γάρ ἐστιν, ὅταν οἱ πολέμιοι οὔτε πάρεισιν, οὔτε ἐλπίζονται ἐν τῇ ἡμετέρᾳ γῇ, ἢ κατὰ δρούγγους, ἢ κατὰ τούρμας περιπατεῖν, καὶ μὴ συνάγειν ἐν ἑνὶ τόπῳ τὸν ἅπαντα στρατὸν, διά τε τὸ μὴ λιμώττειν αὐτὸν εὐχερῶς, μηδὲ εὐσύνοπτον τὸ πλῆθος ὅλον τῆς κατασκοπῆς τῶν ἐχθρῶν, ὡς εἰκὸς, γίνεσθαι, μηδὲ B εἰς βοσκὰς στενοῦσθαι.

ζ'. Ἐγγιζόντων δὲ τῶν ἐχθρῶν ὡς πρὸ ς' ἢ ζ' ἡμερῶν ἢ καὶ δέκα συνάπτεσθαι, καὶ ἐν τῷ ἅμα ἀπληκεύειν, καὶ ἐὰν, ὡς εἰκὸς, ἐν ἀγνώστοις τόποις ἡ ὁδοιπορία γίνεται, καὶ οὐ πάρεισί τινες ἐντόπιοι δουκάτορες (33), ἀποστείλῃς τοὺς μινσοράτορας, ἵνα προλαμβάνωσιν, ἐὰν ἐχθροῦ φόβος οὐκ ἔτι (34), πρὸ μιᾶς ἡμέρας, ἢ τινες (35) ὀφείλουσι τὴν περίμετρον τοῦ παντὸς διαγράφειν στρατοῦ, ἐν ᾧ μέλλεις στρατοπεδεύεσθαι, καὶ τὸ ἐπιβάλλον μέτρον ἀναλόγως ἑκάστῳ μέρει διαμερίσαι.

η'. Τὰ αὐτὰ δὲ ποιεῖν καὶ τοὺς ἀντικένσορας. Οὗτοι δέ εἰσιν οἱ ὀφείλοντες τῶν ὑδάτων καὶ τῆς γνώμης (36) τὴν χρῆσιν καταμανθάνειν.

C θ'. Ἐὰν δὲ διὰ τραχέων πάνυ τόπων ἡ ὁδοιπορία μέλλῃ γίνεσθαι, ἢ κρημνωδῶν, ἢ δυσβάτων, ἢ δασέων, προ[ευ]τρέπιζε πλῆθος στρατοῦ, καὶ ἀπόστειλον ἐπὶ τοῦτο, ὥστε διορθώσασθαι καὶ παρασκευάσαι εὐθεῖαν γενέσθαι τὴν ὁδὸν κατὰ τὸ δυνατὸν, ἵνα μὴ συντρίβηται ἡ ἵππος. Τοὺς δὲ ἀφοριζομένους ἐπὶ τούτῳ μὴ ὑποκεῖσθαι βίγλᾳ, ἢ ἑτέρᾳ δουλείᾳ.

ι'. Περιπατοῦντος δὲ τοῦ στρατοῦ, ἡγείσθω ἡ σὴ ἐνδοξότης, ὡς τοῦ παντὸς στρατοῦ στρατηγὸς προπορευόμενος αὐτοῦ τιμῆς ἕνεκεν, καὶ διὰ τὸν φόβον τῶν ἐπιτιμίων μετὰ τῆς σῆς ἁπάσης προελεύσεως, καὶ τῶν κατὰ σοῦ βάνδων, καὶ ὄπισθεν πάντων ὑπερισὲ (37) ἀποσκευή.

ια'. Πρὸς τὸ σχῆμα δὲ τοῦτο καὶ ἕκαστος τουρμάρχης ἢ δρουγγάριος περιπατείτω, τὴν αὐτὴν τάξιν D φυλάττων, εἴτε ἡνωμένως περιπατοῦσιν, εἴτε ἰδίως. Ἐν δὲ ταῖς τῶν ποταμῶν διαβάσεσιν, ἢ ἄλλων ἀγνώστων χωρίων, τοὺς ἀντικένσορας προλαμβάνειν ὥστε δοκιμάζειν πρότερον τοὺς τόπους, καὶ οὕτως ἀπαγγέλλειν σοι τὰ τοῦ τόπου, ἵνα διὰ τῶν ἐπιτηδείων ἀρχόντων ἀποστέλλῃς, καὶ προφυλάττῃς τὴν διάβασιν.

ιβ'. Εἰ δὲ πάνυ ἐπισφαλεῖς εἰσιν οἱ τόποι καὶ δύσκολοι, καὶ σεαυτὸν (38) τοῦ παντὸς στρατηγὸν ἀπ-

5. Si bellum exspectes, in acie exercitus instructus prodeat, sive per drungos, id est, cohortes milliarias, sive per turmas, sive per integras acies iter faciat. Nam in acie esse milites, non solum in hostili terra, sed etiam in sua, perutile est, et tutiores eos magisque exercitatos reddit.

6. Unumquemque drungum, seu cohortem milliariam assuefacito, ut illorum impedimenta a tergo eam sequantur, cum privatis et suis insignibus, neque aliena admisceantur. Quando enim in nostra regione hostes neque adsunt, neque exspectantur, vel drungatim, vel turmatim ambulent, nec in unum locum conducantur, ut ne fame premantur, neque facile ab hostium speculatoribus numerentur, et pastus jumentorum omnes excedant.

7. Propinquis jam hostibus, ante sex, vel septem, aut etiam decem dierum pugnam, cumque prope castra ponuntur, si in ignota loca iter faciendum sit, neque indigenæ ductores adfuerint, metatores sive mensuratores præmittes, ut loca anticipent, si nullus hostium timor impendeat, qui castrorum ambitum ante unum diem dimetiantur, in quo castra ponentur, et certam quamdam mensuram cum proportione justa unicuique turmæ tribuant.

8. Idem faciant et anticensores; horum etiam officium est, aquarum pastionumque vim et copiam advertere.

9. Si per aspera admodum loca iter futurum est, aut præcipitia, aut per avia et condensa loca, aliquot ex exercitu præpara, et præmitte, qui quoad fieri potest planam et directam viam efficiant, ut ne equi affligantur. Hi qui ad hoc negotium asciti sunt, neque speculationibus, neque ullis aliis muneribus faciendis inserviant.

10. Prodeunte exercitu primus anteeas tu universi exercitus imperator, et anteeas honoris tui causa, propter multorum timorem, cum universa expeditione tua et cohortibus tuis: extrema autem omnium impedimenta tua eant.

11. Ad hunc modum unusquisque tum turmarcha, tum drungarius, id est, tribunus minor, prodeat, hanc aciem servans, sive conjuncte omnes ambulent, sive seorsim. In fluviorum transitionibus aut aliorum locorum ignotorum, antecessores præmitte, qui prius loca explorent, eaque qualia sint nuntient, ut quibusdam idoneis præfectis statim præmissis, diligenter asserves transitum.

12. Sin admodum lubrica, difficiliaque loca fuerint, teipsum oportet primum eo transire, deinde

NOTÆ.

(33) *Δουκατορες*. In Palatino codice erat, οἱ δ' ἑκάτεροι. Male.
(34) *Οὐκ ἔτι*. Scribe, οὐκ ἔστι.
(35) *Ἤ τινες*. Scribe, οἵτινες.
(36) *Καὶ τῆς γνώμης*. Scribe, καὶ τῆς νομῆς.
(37) *Ὑπερισέ*. Scribe, ἡ περὶ σέ.
(38) *Καὶ σεαυτόν*. Scribe, χρὴ σ.

ibi consistere et commorari, donec omnes sine A offensione transierint.

13. Hoc enim virum nobilissimum et clarissimum patrem nostrum regem Basilium fecisse cognovimus, quando contra Germaniciam Syriae civitatem copias duxerat, et Paradisum fluvium anticiparat, qui lampadibus in medio constitutis ipse sua ipsius præsentia atque ope, universum exercitum facile et sine offensione traduxit, qui sæpe manum illis afflictis porrexerat, et quosdam ex periculis eripuit.

14. Hæc, si hostes non immineant, imperator, facies; sin prope fuerint, tum in propria statione permaneas. Unusquisque autem præfectus sui ipsius cohortis aut turmæ curam suscipiet, donec omnes, B qui sub imperio ejus fuerint, transeant, ut ne alius alium antevertendo, se mutuo perturbent atque affligant; tum enim fortassis aliqua incommoda orientur.

15. Quando autem per regionem aliquam transieris, quæ sub ditione nostra est, parcas et faveas agris cultis; idemque militibus præcipe, sive loca culta et vitibus consita, sive horti fuerint, ne per medium horum locorum transeant, ut ex legibus præscriptisque nostris municipes atque agricolæ illæsi conserventur.

16. Si fieri potest, ut per inculta loca eas, illuc longo intervallo transi. Sin necessitas ipsa urgeat, ut per hæc eas, uniuscujusque turmæ præfectis C præcipies ut ibi consistant, et cautionem diligentem adhibeant, donec omnes milites, qui sub illorum potestate sunt, transierint, et præfecto tum proximo loca hæc illæsa tradant, sicque discedant.

17. Similiter etiam proximus illi faciet, et unusquisque etiam præfectus ordine suo; sic et ordinis conservatio tum tua, tum præfectorum, tum militum adhibebitur, et agricolæ fructus illæsus erit.

18. Quando imminere labor belli, vel difficilis, et in omnes partes circumspiciendus transitus esse videtur, si feræ aut mansuetæ bestiæ occurrerint, aut in conspectum illorum prodierint, venatione et insectatione illarum milites tuos prohibebis; D magna enim turba magnusque clamor ex eo esset, et equi illorum sine ulla necessitate affligerentur.

19. Quando pacis tempus, et nulla belli exspectatio est, tunc venatio admodum utilis militibus est.

20. Si parvum exercitum contra hostes duxeris, per habitata loca ne ducas, neque in tua, neque in hostium regione, ne forte speculatores facile adver-

ἔρχεσθαι, καὶ γίνεσθαι κατὰ τὸν τόπον, καὶ παραστῆναι δεῖ, ἄχρις ἂν πάντες ἀπαθῶς διέλθωσιν.

ιγʹ. Τοῦτο γὰρ καὶ τὸν ἡμέτερον ἀείμνηστον πατέρα καὶ βασιλέα Βασίλειον πεποιηκέναι γινώσκομεν, ὅτε κατὰ Γερμανικίας τῆς ἐν Συρίᾳ τὴν στρατείαν ἐποιήσατο, προκαταλαβόντα μὲν τὸν Παράδεισον λεγόμενον ποταμὸν, παραστάντα δὲ μετὰ λαμπάδων κατὰ τὸ μέσον, καὶ τῇ αὐτοῦ παρουσίᾳ καὶ ἀσφαλείᾳ πάντα τὸν ὑπ' αὐτὸν στρατὸν ἀπαθῶς καὶ εὐκόλως διαβιβάσαντα, ὡς καὶ χεῖρα δοῦναι πολλάκις καὶ δι' ἑαυτοῦ τινας τῶν στρατιωτῶν κινδυνεύοντας ἀνασώσασθαι.

ιδʹ. Τοῦτο δὲ ποιεῖν σοι κελεύομεν, ὦ στρατηγὲ, ἐὰν μὴ ἐγγίζωσιν οἱ πολέμιοι τοῖς τόποις ἐκείνοις. Ἐὰν δὲ ἐγγίζωσιν, τότε σὲ μὲν ἐν τῇ ἰδίᾳ τάξει μένειν, ἕκαστον δὲ ἄρχοντα τοῦ ἰδίου μέρους τὴν χρείαν ἀναπληρῶσαι, ἕως ἂν πάντες οἱ ὑπ' αὐτὸν στρατιῶται ἀβλαβῶς διέλθωσιν, ἵνα μὴ σπουδάζοντες πάντες ἄλλος τὸν ἄλλον προλαβεῖν, ἀτακτῶσι καὶ συντρίβωνται, ἴσως τότε καὶ βλάβαι τινὲς γίνωνται.

ιεʹ. Ὅταν δὲ ἐν τῇ χώρᾳ τῶν ὑπηκόων ἡμῶν τὴν διάβασιν τοῦ στρατοῦ ποιῇς, φείδεσθαι καὶ ἀποφεύγειν τοὺς γεωργηθέντας τόπους τοῖς στρατιώταις παράγγελλε· εἴτε χωράφιά εἰσιν, εἴτε ἀμπελῶνες ἢ κῆποι· καὶ μὴ διαβαίνωσι μέσον αὐτῶν, ἵνα φυλάττῃς τοὺς ὑποτελεῖς ἡμῶν καὶ γεωργοὺς ἀζημίους, κατὰ τὸν παρ' ἡμῶν σοι προεκτεθέντα νόμον.

ιςʹ. Καὶ εἰ μὲν δυνατὸν, διὰ τῶν ἀγεωργήτων τόπων μακράν σε διέρχεσθαι. Εἰ δὲ ἀνάγκη σε κατεπείγει διὰ τῶν τοιούτων γεωργηθέντων τόπων διελθεῖν, παραγγελλῃς τοὺς ἑκάστου τάγματος ἄρχοντας, μέχρις ἂν οἱ ὑπ' αὐτοὺς τεταγμένοι στρατιῶται παρέλθωσιν, ἵστασθαι καὶ φυλάττειν, καὶ τῷ ἀπ' αὐτοῦ ἐρχομένων (39) παραδιδόναι τοὺς τοιούτους τόπους ἀβλαβεῖς, καὶ οὕτως ἀναχωρεῖν.

ιζʹ. Τὸν ὅμοιον δὲ τρόπον ποιεῖν καὶ τὸν ἀπ' ἐκείνου, καὶ ἕκαστος ἄρχων τὸ αὐτὸ ποιείτω. Οὕτως γὰρ καὶ ἡ σὴ εὐταξία, καὶ ἡ τῶν ἀρχόντων, καὶ ἡ τοῦ στρατοῦ, καὶ τὸ ἀβλαβὲς τοῦ γεωργοῦ διαφυλαχθήσεται.

ιηʹ. Ὅταν δὲ ἐγγίζῃ καὶ προσδοκᾶται κάματος (40) πολέμου, ἢ δυσχερὴς καὶ ἐπίκοπος διάβασις, ἐὰν ζῶα ἄγρια ἢ ἥμερα κατὰ τὴν ὁδὸν διαναστῶσιν, ἢ ὑπαντήσωσι κατὰ πρόσωπον, κωλύῃς (41) ἵνα μὴ διώκωσιν αὐτὰ, ὅτι δι' αὐτῶν θόρυβος καὶ κραυγὴ γίνεται καὶ οἱ ἵπποι χωρεῖς (42) ἀνάγκης συντρίβονται.

ιθʹ. Ὅταν δὲ καιρός ἐστιν εἰρήνης, καὶ οὐδεμία ἀνάγκη ἐλπίζεται, τότε χρήσιμά εἰσι τὰ κυνήγια τοῖς στρατιώταις.

κʹ. Ἐὰν δὲ ὀλίγον στρατὸν, ὡς εἰκὸς, ἐπιφέρῃς καὶ μέλλῃς ἐπιτηδεύειν κατὰ τῶν πολεμίων, μὴ διαβιβάζῃς αὐτοὺς κατὰ τόπων οἰκουμένων, μηδὲ ἐν

NOTÆ.

(39) *Καὶ τὸ ἀπ' αὐτοῦ ἐρχομένων*. Scribe, καὶ τῷ ἐπ' αὐτοῦ ἐρχομένῳ.

(40) *Κάματος*. Legebatur κάμα ἕως; in Palatino erat, τάμα ἕως.

(41) *Κωλύεις*. Scribebatur, καλλύεις.

(42) *Καὶ οἱ ἵπποι χωρεῖς*. Scribe, καὶ οἱ ἵπποι χωρίς.

τῇ ἡμετέρᾳ γῇ, μηδὲ ἐν τῇ πολεμίᾳ, ἵνα μὴ φανερωθῇς διὰ τῶν κατασκόπων τοῖς ἐχθροῖς, ἀλλὰ δι' ἑτέρων τόπων ἀφανῶν σπούδαζε παρέρχεσθαι, καὶ ταῦτα μὲν, ὅταν ἐν τῇ ἰδίᾳ χώρᾳ τὸν στρατὸν διαβιβάζεις, χρή σε διασφάττεσθαι.

κα'. Ὅταν δὲ ἐν τῇ πολεμίᾳ τὴν ὁδοιπορίαν ἐπάγεις τοῦ στρατοῦ, χρή σε ταύτην φθείρειν καὶ καίειν καὶ κατατέμνειν. Ζημία γὰρ χρημάτων καὶ καρπῶν ἔνδεια ἐλάττονας ποιεῖ τοὺς πολεμίους καὶ τὸν πόλεμον ἀσθενέστερον, ὥσπερ ἡ τούτων περιουσία μᾶλλον τρέφει τοῦτον καὶ αὐξάνει.

κβ'. Ἐὰν δὲ πολὺν χρόνον ἐν τῇ πολεμίᾳ γῇ μέλλῃς καταστρατοπεδεύειν, τοσαῦτα καὶ τοιαῦτα φθείρων (43) τῆς χώρας οἷον καὶ ὅσον αὐτῶν οὐχ ἕξεις χρείαν, τὰ δὲ ἀναγκαῖα φύλαττε τοῖς μετὰ σοῦ στρατεύμασιν εἰς δαπάνην αὐτῶν.

κγ'. Ὅταν δὲ τὰς ἁπάσας δυνάμεις ἔχῃς ὁμοῦ, μήτε ἐπὶ τῆς ἡμετέρας χώρας μήτε ἐπὶ ἄλλης ὑπηκόου καθεζόμενος χρόνιζε· καὶ γὰρ τοὺς ἰδίους ἀναλώσεις καρποὺς, καὶ ζημιώσεις πλέον τοὺς φίλους μᾶλλον ἢ τοὺς πολεμίους. Μετάγαγε δὲ αὐτὰς ταχὺ, ἐὰν ἀκίνδυνά ἐστι τὰ τῆς οἰκείας χώρας, καὶ ἐπάγαγε ἐπὶ τὴν πολεμίαν. Καὶ γὰρ ἐάν ἐστιν ἡ πολεμία δαψιλὴς καὶ εὔκαρπος καὶ πλουσία, τροφὴν ἕξεις καὶ εὐπορίαν ἄφθονον. Ἐὰν δὲ οὐκ ἔστι τοιαύτη, τὴν μὲν ἰδίαν σου καὶ φίλην χώραν οὐκ ἐρημώσεις· πολλὰ δὲ ὅμως καὶ ἀπὸ τῆς πολεμίας, εἰ καὶ μὴ λιπαρά ἐστιν, εὑρήσεις εἰς χρείαν (44) τοῦ ὑπὸ σὲ στρατοῦ καὶ ἀναγκαῖα.

κδ'. Ἐν δὲ τῇ πολεμίᾳ γῇ (45) μὴ ἀφίῃς τοὺς στρατιώτας ἀτάκτως φέρεσθαι πρὸς τὰς ὠφελείας. Πολλάκις γὰρ ἐπιβουλευόμενοι παρὰ τῶν ἐχθρῶν μεγάλας βλάβας ὑπομενοῦσιν.

κε'. Φροντίσεις δὲ ἐν τῇ ἰδίᾳ γῇ ὁδοιπορῶν σὺν τῷ στρατεύματι τῆς τε ἀγορᾶς καὶ ἐμπορίας κατά τε γῆν, εἰ τύχῃ, καὶ κατὰ θάλασσαν, ἵνα ἀκινδύνου τῆς παρουσίας αὐτῆς οὔσης, ἀόκνως καὶ ἀφόβως κομίζουσι τὸν εἰς τὰ ἐπιτήδεια φόρτον.

κς'. Ὅταν δὲ διὰ στενῶν τόπων μέλλεις ποιεῖσθαι τὴν πάροδον, ἢ διὰ ὀρεινῆς καὶ δυσβάτου χώρας πολεμίας παράγειν τὸν στρατὸν, ἀναγκαῖον παρεκπέμπειν σε μέρος τι τοῦ στρατεύματος, καὶ προκαταλαμβάνεσθαι τὰς ὑπερβάσεις, καὶ τὰς τῶν στενῶν παρόδους, ἤγουν τὰς λεγομένας κλεισούρας, ἵνα μὴ φθάσαντες οἱ πολέμιοι, καὶ σταθέντες ἐπὶ τῶν ἄκρων ἢ τῶν στενῶν κωλύσωσίν σε τὴν διάβασιν ποιεῖσθαι, ἢ κίνδυνον διὰ τῆς στενοπορίας ἐπαγαγεῖν τῷ στρατεύματι.

κζ'. Τὸ δὲ αὐτὸ φρόντιζε καὶ ὅταν αὐτὸς πεφόβησαι πολεμίων εἰσβολὴν εἰς τὴν ἰδίαν χώραν, ἵνα προκαταλάβῃς τὰ στενὰ τῆς ὁδοῦ, καὶ κωλύσῃς τῶν πολεμίων τὴν εἴσοδον διά τινος ἀποστελλομένου στρατοῦ, ἢ κακῶς (46) διαθήσεις αὐτοὺς ἐν τῇ τῶν στενῶν διόδῳ.

tant, et hostibus nuntient, sed per alia quædam loca incognita eos ducas; idque in tua ipsius ditione facies, si quando exercitum ducis.

21. Quando per hostilem terram iter facit exercitus tuus, incende, vasta, populare terram illorum; nam pecuniarum egestas frugumque inopia hostes imbecilliores, bellumque infirmius facit; quemadmodum contra istarum rerum affluentia illorum vim incitat contra nos atque adauget.

22. Si longo tempore in hostili terra commoraturus es, tot taliaque vastato, quot qualiumque tu non egebis. Ad exercitus tui sumptus, quod necessarium erit reservabis.

23. Quando omnes copias coegeris simul, neque in nostra ditione, neque in ulla regione sub imperium nostrum subjecta diu præstolare; nam et nostras fruges vastabis, et amicos magis quam inimicos lædes. Celeriter autem, si aliquod periculum impendeat, a nostra ditione ad hostilem terram traducito; nam, si fuerit ea opima, fertilis ac locuples, ubertatem commeatus et cæterarum rerum affluentiam habebis; sin ejusmodi non fuerit, tuam tamen integram conservabis, et multa in hostili terra, quanquam admodum fructuosa non sit, ad alendum tamen exercitum idonea invenies.

24. Ubi in hostili terra fueris, haud permittes milites tuos ad omnem prædam inordinate excurrere. Sæpe enim ab hostibus circumventi magnas et graves clades accipient.

25. In tua ipsius terra cum exercitu proficiscens, cogitabis de annona et mercimoniis, tum terra tum mari, ut ad vos sine incommodo perveniant; tum enim copiose et affluenter ea omnia, quorum in exercitu aliquis usus est, ad vos asportabunt.

26. Quando per angustias aliquas, aut per arduos aviosque montes profecturus es, præmitte ex tuis, qui juga montium et loca ibi editissima occupent, et qui aditus angustos et minus patentes, quas clausuras nominant, anticipent, ne hostibus prævertentibus, et in ipsis angustiarum faucibus et montium fastigiis considentibus, vel iter omnino impediatur, vel sine magna offensione confici non possit.

27. Hoc idem etiam tu provide, si quando hostilem incursionem in tuam regionem futuram formidas; aliqua enim militum manu ad angustias occupandas missa, illos aditu prohibebis, et permulta incommoda illis afferes.

NOTÆ.

(43) *Καὶ τοιαῦτα φθείρων*. Scribebatur, καὶ τῇ ταφθείρων.

(44) *Εἰς χρείαν*. Sic legitur in codice Pistoriano pro εἰς χωρίαν.

(45) *Γῇ*. Scribe, μή.

(46) *Ἢ κακῶς*. Scribe, καὶ κακῶς.

28. Si longum aliquod iter, et multorum dierum viam tum in tua, tum in hostili regione confecturus es, primum assuefacito milites, ut in regione tua dum sint, ordinem suum in manipulis, quæ contubernia quoque vocantur, et stationem teneant, antegredientes sequantur, ut hostilem in terram cum venerint, et nec opinatis de improviso incursionibus appetiti sint, minus tumultuentur, et alii ad alios confuse accurrentes, sibi ipsis nullo præsidio sint, sed ab hostibus multa mala tum propter sui perturbationem, tum propter hostium impetum accipiant. Consueta enim hac ordinis conservatione, tum ad res omnes suscipiendas erunt idonei, tum ad bellum ipsum parati, præsertim si signum aliquod habeant, et aspectu ipsi se inter se agnoscant.

29. Per angustias tales quam minime potes ducito exercitum, sed per spatiosa loca, in quibus non premantur angustiis locorum implicati, sed ubi a latere produci in longitudinem possunt; facile enim insidiis circumveniri, et hostium subito interventu opprimi possunt, qui ita locis inclusi sunt, ut ad aliquid præclarum 'suscipiendum impediantur.

30. Si enim ex adverso hostes veniant latius instructis copiis, facile fundentur et dissipabuntur tui, quemadmodum cum in bello ab hostibus circumclusi estis.

31. Sin a latere per medias copias hostes incurrant, facile distrahuntur, et separantur copiæ. Quod si ad phalangem redire voluerint, et utrinque quasi aciem instruere, infirmum tum prœlium erit, quia confestim hoc ab illis fieri non potest.

32. Sin a tergo invadant, æque præsens periculum est, ac fuisset, si eos, qui in fronte sunt, invasissent.

33. Quod si aliquod subsidium esse contingat, inutile tamen illud atque inefficax erit. Nam cum qui a tergo sunt opem ferre iis student, qui in fronte collocantur, aut contra, qui in fronte sunt iis qui a tergo sunt succurrere volunt, tarda tamen et sera progressio hæc solet esse, plerumque inutilis.

34. Exercitus contractus et quadratus, aut non ita multum oblongus, ad omnem occasionem atque eventum firmus, utilis atque tutus est.

35. Sæpe enim non contractis, sed dissipatis copiis, qui primi e montosis locis in campestres descendunt, animo hæsitant ac pertubantur, atque eos quos a tergo vident, hostes esse putant, ut ad confligendum cum suis quasi cum hostibus se præparent, atque etiam ad manus conserendas, et bellum inferendum pene veniant.

36. Impedimenta universa, operas, sarcinas, atque omnem apparatum in mediis copiis collocato.

A κη'. Ἐὰν δὲ διὰ μακρᾶς ὁδοῦ μέλλῃς πορεύεσθαι, καὶ πολλῶν ἡμερῶν διανύειν πορείαν καὶ ἐν τῇ ἰδίᾳ χώρᾳ καὶ ἐν τῇ πολεμίᾳ, διὰ μὲν τῆς ἰδίας χώρας ἵνα ἐθίζῃς τὰ στρατεύματα μένειν ἐν τάξει, καὶ συμφυλάττειν τοὺς ἰδίους λόχους, ἤγουν τοὺς ὀρδίνους τῆς τάξεως, καὶ ἀκολουθεῖν τοῖς ἄρχουσιν, ἵνα καὶ ἐν τῇ πολεμίᾳ πρὸς τὰς, ὡς εἰκὸς, γινομένας ἐξαίφνης ἐπιβουλὰς μὴ ἐναθρύφ (47) καιρῷ, καὶ ὀξέως ἐπιγινομένῳ, θορυβοῦνται καὶ ἐπιτρέχουσι, καὶ ἄλλοι πρὸς ἄλλους φέρονται, καὶ διὰ τοῦτο μηδὲν ἢ καὶ βοηθεῖν δύνανται, πολλὰ δὲ κακὰ ἢ καὶ δι' ἑαυτῶν ἢ καὶ διὰ τῶν πολεμίων πάθωσιν, ἀλλ' ἵνα διὰ τοῦ ἐθισμοῦ τῆς εὐταξίας καὶ εἰς πορείαν εἰσὶν ἐπιδέξιοι, καὶ εἰς μάχην εὐτρεπισμένοι, ἔχοντες καὶ σημεῖόν τι καὶ ἀλλήλους ἐν τάξει βλέ-
B ποντες.

κθ'. Τὴν δὲ πορείαν τοῦ στρατεύματος ὀλίγην ποιεῖσθαί σε δεῖ, καὶ διὰ τοιούτων χωρίων διαβίβαζε τὰς τάξεις, δι' ὧν οὐ συνθλιβήσονται (48) ἔχουσαι πλάτος ὥστε ἐκ πλευρᾶς ἐπὶ μῆκος ἐκταθῆναι. Εὐεπιβούλευτοι γὰρ γίνονται πρὸς τὰς αἰφνιδίους τῶν πολεμίων ἐπιφανείας αἱ τοιαῦται, καὶ μᾶλλον οὐκ ἔχουσαι τὸ δραστήριον.

λ'. Ἐὰν γὰρ αὐτοῖς ἀπὸ ἔμπροσθεν ἀπαντήσωσιν οἱ πολέμιοι πλατύτεροι τεταγμένοι, εὐκόλως αὐτοὺς τρέπονται, καθάπερ οἱ ἐπὶ τῆς μάχης αὐτῆς εὐκαίρως κυκλοῦντες τοὺς ἐναντίους.

λα'. Ἐὰν δὲ κατὰ μέσην τὴν δύναμιν ἐκ πλευρᾶς ἐπιβάλωσι, ταχὺ διιστῶσιν αὐτῶν τὴν πορείαν καὶ διακόπτουσιν. Ἐὰν γὰρ ἐπιστρέψωσι πρὸς φάλαγγα
C οἱ ὁδοιποροῦντες, ὥστε ἀντιπαρατάξασθαι, ἀσθενὴς ἡ μάχη γίνεται καὶ οὐκ ἔχουσα τάχος.

λβ'. Ἐὰν δὲ ἀπὸ ὄπισθεν ἐπιφανῶσι, προφανὴς γίνεται ὄλεθρος ὁμοίως τοῖς ἐν τῷ ἔμπροσθεν τῆς πορείας τεταγμένοις.

λγ'. Συμβαίνει δὲ καὶ ἐάν τις παραβοήθεια γένηται, δυσχερῆ καὶ ἄπρακτον αὐτὴν γενέσθαι· τῶν γὰρ ἀπὸ ὄπισθεν τοῖς ἔμπροσθεν βουλομένων βοηθεῖν, ἢ πάλιν τῶν ἔμπροσθεν τοῖς εἰς τὸ ὄπισθεν, βραδεῖα ἡ ἔλευσις, καὶ οὐ κατὰ καιρὸν δύναται γίνεσθαι.

λδ'. Ἡ δὲ συνεσταλμένη πορεία καὶ τετράγωνος, ἢ παραμήκης μὲν, μὴ πάνυ δὲ τοῦτο ἔχουσα τὸ
D σχῆμα, ἀλλὰ σύμμετρον, εἰς πάντα καιρόν ἐστιν καὶ εὐμεταχείριστος, καὶ ἀσφαλής.

λε'. Πολλάκις γὰρ εἰς ἀμφιβολίας ἐμπίπτουσιν, ὅταν οἱ πρῶτοι καταβάντες ἀπὸ ὀρεινῶν τόπων εἰς ἐπίπεδα χωρία· θεασάμενοι γὰρ τοὺς ὀπίσω ἐπιβαίνοντας, ἔδοξαν εἶναι πολεμίων ἐπέλευσιν, ὥστε σπεῦσαι προσβαλεῖν ὡς ἐχθροῖς, τινὰς δὲ καὶ εἰς χεῖρας ἐλθεῖν κατὰ ἀλλήλων παρὰ μικρόν.

λϛ'. Λάμβανε δὲ καὶ τάττε τὸ τοῦλδον ὅλον, τήν τε δουλείαν, καὶ τὰ σαγμάρια, καὶ τὴν ἀποσκευὴν ἅπασαν ἐν μέσῃ τῇ δυνάμει.

NOTÆ.

(47) Ἐν ἀθρόῳ. Legebatur ἐναθρύφ. Codex Palatinus fert, ἐναθρίῳ.

(48) Δι' ὧν οὐ συνθλιβήσονται. Deerat οὐ.

λζ'. Ἐὰν δὲ καὶ ἀπὸ ὄπισθεν ὑφοράσαι ἔφοδόν τινων, ποίησον καὶ τοὺς νωτοφύλακας ἰσχυροὺς ὁμοίως τῶν ἔμπροσθεν τεταγμένων ἐν τῷ μετώπῳ τῆς πορείας, ὥστε μηδὲν διαφέρειν τοὺς ὀπίσω τῶν ἔμπροσθεν πρὸς τὰ, [ὡς] εἰκὸς, συμβαίνοντα.

λη'. Ἀποστείλῃς δὲ καὶ τινας καβαλλαρίους τοὺς μέλλοντας διερευνῆσαι τὰς ὁδοὺς, καὶ μάλιστα ὅταν ὑλώδεις καὶ περικεκλεισμένας βουνοῖς ἢ ὄρεσι διοδεύεις ἐρημίας. Πολλάκις γὰρ ἐγκρύμματα πολεμίων ἐπικαθέζονται, καὶ λαθόντα τάχα τὰ ὅλα πράγματα συντρίβουσι τῶν ἐναντίων.

λθ'. Τὴν μὲν γὰρ πεδιάδα γῆν οἱ πάντων ὀφθαλμοὶ περιβλεπόμενοι εὐκόλως διερευνῶσι· καὶ γὰρ ἐν ἡμέρᾳ κονιορτὸς ἀναφερόμενος πολλάκις μηνύει τὴν ἐπέλευσιν τῶν πολεμίων, καὶ πυρὰ καιόμενα νυκτὸς ὑπέλαμψε καὶ ὑπέδειξε τοὺς πολεμίους.

μ'. Καὶ ἐὰν μὲν οὐ μέλλῃς ἐκτάσσειν εἰς μάχην τὰς δυνάμεις, ἄγε αὐτὰς ἐν ἡμέρᾳ μόνον. Ἐὰν δὲ ἐπίγεσε (49) καὶ σπουδάζῃς φθάνειν συντομώτερον, ἄγε αὐτὰς καὶ νυκτὶ, ἐὰν ἄρα ἀσφαλὲς εἶναι τοῦτο νομίζῃς.

μα'. Καὶ πρὸ μὲν τοῦ καιροῦ τῆς μάχης μετὰ ἀνέσεως καὶ σχολῆς προέρχου· ἐπὰν δὲ τοῖς πολεμίοις ἐμφανισθῇς, εὐθὺς ἐπιβαλοῦ, καλῶς προεκτάξας τὴν δύναμιν. Πολλάκις γὰρ πρὸ τοῦ συμβάλλειν τὸν πόλεμον ὁ περὶ τούτων σκοπὸς εἰς δειλίαν ἄγει καὶ τοὺς ἀνδρείους, καὶ δαπανᾷ τῇ μερίμνῃ τὴν δύναμιν τῶν σωμάτων.

μβ'. Τοὺς δὲ στενοὺς καὶ δυσβάτους τόπους ἐπὶ πολὺ διάστημα ἐκτεταμένους ἐν χώρᾳ ἐχθρῶν κατ' ἐξαίρετον οἱ πεζοὶ διαβαίνειν οὐ δυσχερῶς ἔχουσι. Περὶ τούτων δὲ μετὰ ὀλίγον ἐροῦμεν.

μγ'. Τοὺς δὲ καβαλλαρίους ἐν τῇ χώρᾳ τῶν πολεμίων, ἐν καιρῷ θέρους μάλιστα, ἀπερισκέπτως καὶ ὡς ἔτυχεν διαβαίνειν οὐκ ἐπιτρέπομεν χωρὶς ἀνάγκης. Ἐὰν δὲ ἐστιν τόπος ἐπ' ὀλίγον ἄχρι ἑνὸς μιλίου ἐκτεταμένος, καὶ δύνανται καὶ πεζοὶ διαβαίνειν ἐκεῖ, δυνατόν ἐστι καὶ καβαλλαρίους πεζεύειν ἐν αὐτοῖς ἀσφαλῶς.

μδ'. Στενοὺς δὲ καὶ δυσκόλους ἐκείνους λέγω τόπους τοὺς μίαν καὶ μόνην πάροδον ἔχοντας. Εἰ γὰρ καὶ ἄλλαι εἰσὶ πάροδοι, καὶ ἐπινοηθῆναι δύνανται, ἀνεμποδίστως ἡ πάροδος δύναται γενέσθαι.

με'. Ἐὰν οὖν γένηται καιρὸς στενῶν διαβάσεων, καὶ διὰ τῶν αὐτῶν πάλιν τόπων μέλλει ὑποστρέφειν ὁ στρατὸς, εἰ μὲν δασεῖς εἰσι, καὶ ἐπ' ὀλίγον διάστημα, ὡς εἴρηται, κρατοῦσι, τούτους κατὰ τὸν καιρὸν τῆς ὁδοῦ ἔκκοπτε, καὶ πλάτυνε, καὶ καθάριζε κατὰ τὸν ἐνδεχόμενον τρόπον. Εἰ δὲ στενοὶ καὶ κρημνώδεις, ὥστε μὴ πλατύνεσθαι δύνανται, ὡς ἀνωτέρω ἡμῖν εἴρηται, προκαταλάμβανε αὐτοὺς διά τινος πεζικῆς δυνάμεως, καὶ ἐν τοῖς ὑψηλοτέροις αὐτῶν τόποις τὴν ἀρκοῦσαν καταλίμπανε ἀσφαλῶς βοήθειαν, ἢ τυχὸν καὶ διὰ καβαλλαρίων μέχρι τῆς ὑποστροφῆς, ἢ καὶ τοῦτο κἀκεῖνο ποιεῖν ἐν τοῖς ἀναγκαιοτέροις τόποις, τουτέστιν ἐκκόπτειν, ἤγουν καθαρίζειν, καὶ βοήθειαν καταλιμπάνειν κατὰ τὸ ἐνδεχόμενον.

37. Si a tergo aliquam hostium incursionem vel videas, vel metuas, eos qui a tergo sunt æque firmos et paratos facito, atque eos, qui in fronte collocati antegrediuntur, atque ad ea, quæ usuvenire possunt, æque instructos.

38. Præmittes etiam ad loca exploranda equites quosdam, præsertim si silvosa sint, aut collibus, aut montibus inclusa, per quæ transeundum est. Sæpe enim hostium latentes insidiæ summam rerum labefactant et dejiciunt.

39. Nam campestribus et planis locis, oculis omnia lustrare possunt. Et pulvis magnus interdiu excitatus, aut ignes et faces noctu accensæ, hostium sæpe adventum produnt.

40. Si ad pugnam milites tuos producere volueris, duc eos interdiu solum; sin celeriter contendere et hostium exspectationem antevertere cupias, noctu quoque eos ducas, si id fieri tuto posse videbitur.

41. Ante belli tempus remisse ac pedetentim incedito; ubi hostes in conspectum prope venerint, cum celeritate quadam instructis copiis in illos irruito; longa enim sæpe ante pugnam de bello cogitatio fortium virorum animos languescere facit, et animi sollicitudo vires corporis plerumque absumit.

42. Angustas et difficiles in hostium regionibus vias, si longæ admodum fuerint, tamen pedites facile transire sine molestia possunt; de qua re paulo post loquemur.

43. Equites in hostili regione, messis potissimum tempore, incircumspecte temereque vagari latius, nisi id necessitas requirat, minime permittimus. Quod si locus aliquis fuerit ad unius milliaris longitudinem, in quo pedites ire possunt, descendant tum equites, et libere pedibus eant.

44. Angusta et difficilia loca ea nomino, quæ unam tantum viam et transitum habent. Sin plures sint, aut fieri poterunt, transitus satis bonus esse putandus est.

45. Si opportune difficilia quædam atque angusta loca transiisti, per quæ tibi iterum redeundum est, si condensa et silvosa fuerint, et non immensæ alicujus longitudinis, primo transitus tui, quoad ejus fieri potest, cæde, purga, dilata locum; sin arduus præcepsque locus fuerit, quique latior reddi non potest, præmitte aliquos, quemadmodum ante dictum est, ex peditibus, qui eum locum occupent, homines satis multos atque idoneos, aut si usus ferat, equites qui ad reditum tuum ea loca reservent et custodiant. Vel si quando necessitas exigit, utrumque facias, id est, cædo, purga, et subsidia ibi idonea relinquito.

NOTÆ.

(49) Ἐπίγεσε. Scribe, ἐπείγῃς.

46. Qui iter per angusta loca cum tuldo, id est, A impedimentis, vel aliqua cum præda faciunt, in duas partes sive acies se dividant, et in alterum cornu acuminata deductione procedant. Acuminata autem deductio, id est, ὀρθία παραγωγὴ dicitur, cum in fronte exilis parvaque multitudo sit, dein latius ac latius se ad extremum agmen fundat, atque ibi latissime pateat. Hoc autem faciant maxime, cum præda in manibus illorum est. Si pedites fuerint, facilius illis iter, transitusque expeditior per ea loca erit. Sin equites, ex equis descendant, et medium tuldum, id est, impedimenta, reliquumque apparatum in medio habeant.

μς'. Τοὺς δὲ τὴν πάροδον διὰ τῶν στενῶν ποιουμένους, ἢ μετὰ τούλδου, ἢ μετὰ πραίδας, εἰς δύο φάλαγγας ἤτοι παρατάξεις γίνεσθαι, καὶ ἐπὶ κέρας ἐν ὀρθίᾳ παραγωγῇ περιπατεῖν πεζῇ. Ὀρθία δέ ἐστι παραγωγὴ ἡ κατὰ μέτωπον μὲν στενή, κατὰ δὲ τὸ βάθος εἰς μῆκος ἐκτεινομένη. Τοῦτο δὲ ποιεῖν πραίδας μάλιστα ἐν χερσὶν οὔσης, εἴτε πεζοί εἰσιν, οἷς μᾶλλον εὐχερὴς ἡ τῶν δασέων καὶ δυσβάτων τόπων διάβασις, εἴτε καβαλλάριοι ἐκ τῶν ἵππων καταβαίνοντες, καὶ μέσον τὸ τοῦλδον καὶ τὴν ἀποσκευὴν ἔχοντες.

47. Talibus in temporibus et locis diphalangia, id est, duplicata acie ex justo hominum numero, tum ante, tum retro quasi ancipitis gladii B acie instructa, si qui supersint, ii ad tuldum, sive impedimenta, et ad prædam, si quam habent, conservandam deligantur, iique multi, et boni aplicti, id est, rerum castrensium custodes quatuor in partibus duplicatæ aciei, quemadmodum locus postulat, collocentur, et sequantur ea, ut repellant atque abigant eos, qui ad auferenda vadunt, ut integra minimeque perturbata ad custodiam prædæ atque impedimentorum collocata acies conservetur, neque ab incursoribus istis perfringatur. Fieri enim non potest, ut qui in diphalangia, id est, duplicata acie instructi sunt, simul ordine conservato, impedimenta et prædam custodiant, et cum hostibus dimicent. Quocirca C quatuor in partibus collocare oportet homines, præter hanc diphalangiam, et a tergo potissimum, qui fortissimi sunt. Sic enim facile aspera quævis atque avia loca transiri possunt.

μζ'. Ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τόποις μετὰ τὴν διφαλαγγίαν, ἥτις ἔχει δυνατὸν λαὸν ἔμπροσθεν καὶ ὄπισθεν, ὥσπερ στομώματα μαχαίρας, ἣν δέον σε ἀφορίζειν εἰς φυλακὴν τοῦ τούλδου καὶ τῆς πραίδας τῆς, ὡς εἰκὸς, ἐνούσης αὐτοῖς πάντως, καὶ ἄλλους ἐξαπλήκτους, ἤγουν ἐπὶ τούτῳ μόνῳ ὄντας, τοὺς καλλίω καὶ πλείους ποιεῖν ἐκ περισσοῦ κατὰ τῶν τεσσάρων μερῶν τῆς διφαλαγγίας, ὡς ὁ τόπος παραδέχεται, παρακολουθοῦντας καὶ ἀποσοβοῦντας τοὺς βουλομένους, ὡς εἰκὸς, ἐκ τῶν ἐχθρῶν ἐπέρχεσθαι, καὶ διαταράσσειν αὐτήν· ἵνα ἀδιάσπαστος καὶ ἀσύγχυτος ᾖ πρὸς παραφυλακὴν τοῦ τούλδου, καὶ τῆς πραίδας τοῖς διαφυλάττεται, καὶ μηδὲ περισπῶνται οἱ ἐν αὐτῇ διὰ τοὺς ἐπερχομένους. Οὐ γὰρ δυνατὸν τοὺς εἰς τὴν διφαλαγγίαν τασσομένους καὶ τὴν πραίδαν μετὰ τάξεως φυλάττειν, καὶ τοῖς, ὡς εἰκὸς, ἐπερχομένοις τῶν ἐχθρῶν ἁρμόζεσθαι. Διὰ τοῦτο ἐκ περισσοῦ δεῖ ἔξωθεν τῆς διφαλαγγίας ἔχειν κατὰ τῶν τεσσάρων μερῶν, καὶ κατὰ ἐξαίρετον ὄπισθεν τοὺς κρείττονας ἀφορίζεσθαι. Οὕτως γὰρ ἄν τις δυνήσεται ἐν παντὶ καιρῷ τοὺς δυσκόλους καὶ τραχεῖς τόπους διαβαίνειν εὐκόλως.

48. Equitum, ubi descenderint et pedibus ambulaverint, equos, si pedites alii prope non adfuerint, longe ab illis in medio quodam loco separa, ne si prope essent, et inopinatus quidam timor subito impenderet, ad equos ibi statim, qui in acie jam sunt accurrerent; quæ res sine magna certe offensione fieri non posset.

μη'. Τοὺς δὲ ἵππους τῶν ἀποβαινόντων καὶ πεζευόντων στρατιωτῶν, ἐὰν πεζοὶ οὐ σύνεισι στρατιῶται, μὴ πλησίον τῶν πεζευόντων ἔχε, ἀλλὰ ἐν μέσῳ τόπῳ αὐτοὺς ἀσφαλῶς ἄγε· ὥστε μή, ὡς εἰκὸς, παραλόγου δειλίας γενομένης, ταρασσόμενοι οἱ πεζεύοντες, ἐὰν πλησίον αὐτοὺς εὕρωσι, προχείρως ἐπιλαμβανόμενοι τῶν ἵππων καταλιμπάνουσι τὴν τάξιν, καὶ ἐντεῦθεν βλάβη μεγίστη γίνεται.

49. Sin captivos aut prædam aliquam abigant, et hostes eos persequantur, captivos vinctos re- D liquamque prædam illigatam in unam, aut duas partes divides, et ante te hostibus objicies, qua incursionem hostium fore putas, ut quasi scuto, aut propugnaculo usus, aut disturbanda impedimenta in hostes jaculando abstineant, aut si id facere nolint, tamen captivos et prædam potius feriant, quam milites.

μθ'. Εἰ δὲ συμβῇ αἰχμαλωσίαν αὐτοὺς ἢ πραῖδαν ἐπιφέρεσθαι, καὶ μέλλουσιν οἱ ἐχθροί, ἐπιτηδεύειν δέον ταῦτα, ἢ κατὰ τῶν ἑνὸς μέρους ἢ κατὰ τῶν δύο, ἔνθα ἡ πάροδος γίνεται, τοὺς αἰχμαλώτους δεδεμένους ἐξωτέρω τῆς τάξεως παράγειν, καὶ ὑπ' αὐτῶν ὡσανεὶ σκουτεύεσθαι, ἵνα αὐτῶν φειδόμενοι οἱ ἐχθροὶ μὴ ἐπιτηδεύωσιν ἀκοντίζειν· εἰ δὲ καὶ ἀκοντίσωσιν, αὐτοὺς μᾶλλον ἀφανίζουσιν, καὶ μὴ τὸν στρατιώτην.

50. Si necessitate aliqua, aut improviso aliquo casu vel angustiis inclusus, vel aliqua perturbatione implicitus fueris, unde teipsum sine aliquo ingenti periculo expedire non possis, melius est communi consensione, vel partem prædæ, vel totam etiam prædam hostibus dimittere, et secure sine damno discedere potius quam prædæ causa in aperto periculum venire.

ν'. Εἰ δὲ ἄρα ἐν ἀνάγκῃ, ὡς εἰκὸς, καὶ περιστάσει ἀδοκήτῳ ὁ στρατὸς γένηται, καὶ ἐν στενώμασι καταληφθῇ, καὶ οὐκ ἔστιν ἀκινδύνως τὴν ἀναχώρησιν ἐκεῖθεν ποιήσασθαι, τότε κρεῖττόν ἐστιν ἐκ συμφώνου ἢ μέρος τῆς πραίδας ἢ πᾶσαν παραχωρεῖν τοῖς ἐχθροῖς, καὶ ἀβλαβῶς ἐξέρχεσθαι, ἀλλὰ μὴ δι' αὐτὴν κινδυνεύειν.

να'. Εἰ δὲ μὴ οὕτω συμβιβασθῆναι βούλονται, διαχρῆσθαι τούτους ἐπ' ὄψεσι τῶν ἐχθρῶν, καὶ ἐπιμένειν τῇ χώρᾳ αὐτῶν, καὶ λυμαίνεσθαι αὐτὴν ἀφειδῶς, ἢ, ὡς δυνατόν ἐστιν, ἑαυτοὺς μετὰ τάξεως περισώζειν, καὶ τῆς ἐξελεύσεως φροντίζειν.

νβ'. Καὶ παντοίως σοι, ὦ στρατηγὲ, σκοπὸς ἔστω ἐν τοῖς τοιούτοις στενώμασι, καὶ μάλιστα τοῖς ἐπὶ πολὺ διάστημα κρατοῦσι, μὴ ἐπιτηδεύειν βιάζεσθαι στρατοῦ πάροδον, ἐξαιρέτως ἐν καιρῷ θέρους, διὰ τὴν τῆς ὕλης δασύτητα πολεμίων μάλιστα ἐνοχλούντων, πρὶν ἂν οἱ αὐτοὶ ἀποσοβηθῶσι φαινόμενοι, ἢ οἱ ὑψηλότεροι τόποι τῆς παρόδου ὑπὸ σοῦ προκαταληφθῶσι.

νγ'. Καὶ ταῦτα μὲν ἐπὶ τῆς καβαλλαρικῆς στρατείας· ἐπὶ δὲ τῆς πεζικῆς ὁδοιπορίας εἰς μὲν ἐπιπέδους τόπους δέον σε καὶ ὄπισθεν αὐτῶν καὶ ἔμπροσθεν καβαλλαρίους καθιστᾷν εἰς βίγλας, καὶ ἐξωτέρω τῆς βίγλας μηδένα τῶν πεζῶν φαίνεσθαι.

νδ'. Τὰ δὲ ἄπληκτα ἐκ τοῦ πλησίον γίνεσθαι· ἵνα μὴ σκοποῦνται οἱ πεζοὶ περιπατοῦντες πολὺ διάστημα.

νε'. Τὰς δὲ μετὰ τῶν πεζῶν ἁμάξας κατὰ τὰ μέρη τῆς παρατάξεως περιπατεῖν δέον, εἴτε ἐν ὀρδίνῳ, εἴτε ἐν παρατάξει, πρὸς τὸν τόπον πρῶτον τοῦ δεξιοῦ κέρατος, εἶτα τοῦ ἀριστεροῦ, μετὰ ἐκείνας δὲ τοῦ μέσου ἀριστεροῦ, καὶ τότε τοῦ μέσου δεξιοῦ, καὶ μήτε πεφυρμένας καὶ ἀναμεμιγμένας περιπατοῦσιν.

νς'. Ἐὰν δὲ οἱ ἐχθροὶ πλησίον εἰσὶν, δέον τοὺς ὁπλίτας ἕκαστον τὰ ὅπλα αὐτοῦ βαστάζοντα περιπατεῖν, καὶ μὴ εἰς τὰς ἁμάξας ταῦτα καταλιμπάνειν, ἵνα ὦσιν ἕτοιμοι πρὸς τὴν μάχην. Ἐν δὲ τοῖς ἀναγκαίοις καιροῖς, καθὼς ἐν τῇ παρατάξει τάττονται τὰ τάγματα, οὕτως αὐτὰ δεῖ περιπατεῖν καὶ μὴ συγκεχυμένως (50) ἢ διεσπασμένως· ἵνα, ἐὰν γένηται χρεία τοῦ παρατάξεσθαι, ἑτοίμως εἰς τοῦτο κατασταῶσιν.

νζ'. Ἐὰν δὲ πολλοί εἰσιν οἱ τῶν ἐχθρῶν καβαλλάριοι, ἐγγιζόντων αὐτῶν, τὸν στρατὸν μὴ ἐπιτηδεύειν συνεχῶς τὰ ἄπληκτα ἀλλάσσειν ἢ τὰς ὁδοιπορίας ποιεῖσθαι πρὸ τῆς τοῦ πολέμου ἐκτάσεως, ἀλλὰ πρὸ δύο ἢ τριῶν ἡμερῶν προκαταλαμβάνειν τὸν τόπον, ἔνθα ἡ συμβολὴ μέλλει γίνεσθαι, κἀκεῖσε ἀσφαλῶς ἀπληκεύειν.

νη'. Ἐὰν δὲ μέλλῃς ἔφοδον ποιεῖν κατὰ χώρας ἐχθρῶν μετὰ πεζικοῦ στρατοῦ διὰ δασέων καὶ δυσβάτων καὶ στενῶν τόπων, ἢ καὶ ἐν αὐτοῖς ἐγχειρήσεις κατ' αὐτῶν ποιεῖσθαι, οὐ δεῖ σε πολλοὺς καβαλλαρίους ἔχειν, μήτε ἁμάξας ἔχειν, ἢ τοῦλδον πολὺν, ἢ ὅπλα πολλὰ, οἷον λωρίκια, καὶ κασσίδας, ἢ κλιβάνια, ἤ τι τοιοῦτον, ἀλλὰ σκουτάρια μόνον ἔχειν τοὺς σκουτάτους, μείζονα δὲ κοντάρια· τοὺς δὲ λεγομένους ψιλοὺς, σκουτάρια κοντὰ καὶ τὰ σπαθία, καὶ τζικούρια μικρὰ, καὶ ἐλαφρότερα τοξοφάρετρα, ῥικτάρια, ἀκόντια μικρὰ, τζικούρια, καὶ εἴ τι τοιοῦτον ἐλαφρὸν καὶ χρήσιμον. Ἀξίνας δὲ πάντως περισσὰς χρὴ ἔχειν, καὶ ἐν τοῖς σαγμαρίοις ἐπιφέρεσθαι, διὰ τὰς χρείας.

A 51. Sin hoc modo tecum ad pactionem venire noluerint, tum captivos ipsos in hostium conspectu trucidabis, atque adeo vel in eo loco tibi permanendum, et regio undique populanda vastandaque est, vel saluti tuæ consulendum, et acie instructa de exitu et evasione cogitandum est.

52. Omnino hoc consilium in primis tibi sequendum est, ne exercitu aliquo admirabili, atque inopinato labore in iis angustiis, quæ potissimum aliquam longitudinem viæ habent, messis tempore propter silvæ densitatem exerceas, si hostes tum te perturbent, nisi si forte prius vel illos repuleris, vel summa illius loci juga milites tui occupaverint.

53. Hæc de equestri itinere : in pedestri itinere, B et planis campestribusque locis, ante et post equites ad speculandum constituendi sunt, atque extra eos nullus peditum sit.

54. Castra, id est, aplicta prope illos sint, ne longum spatium, si discesserint, pedites conspiciantur.

55. Currus peditum ordine quodam procedant, sive post singulas contubernias post dextrum cornu primo, deinde post sinistrum, tum post sinistrum medium, et deinceps post dextrum medium ; neque confusi, aut permixti currus ambulent.

56. Si prope hostes fuerint, singuli armati arma gestent, neque ea in curribus relinquant, ut sint C ad prœlium parati : et in periculosis temporibus omnes res ita instructæ sint, ac si in ipsa acie essent, ut si nec confuse, nec inordinate prodeant, ubi acies instruenda sit, in promptu atque in procinctu sint.

57. Si multi hostium fuerint equites, et ii prope ad te accedant, ne propterea castra transferas, et novum iter ante bellum commissum suscipias, sed tres aut quatuor dies ante conflictationem ipsam, castra in eo loco pone, ubi pugnaturus es, et ibi tuto te ad illud tempus collocato.

D 58. Si incursionem in hostilem terram cum peditatu facturus es, idque per condensa atque angusta loca, quamvis in eo loco pugna gravis futura sit, neque magnum equitatum, neque multa impedimenta, neque multa arma tecum feras, ut loricia, id est, galeas, cassides, clibania, id est, thoraces ; sed scuta scutati solum habeant, et contaria, id est, hastas longas, et spathas, et tzicuria. Leves autem habeant scuta parva, rhictaria, jacula, tzicuria parva, et si quid aliud tale leve atque expeditum est. Secures multas habere in sagmariis, id est, sarciniis, ad omnem usum paratas oportet.

NOTÆ.

(50) *Καὶ μὴ συγκεχυμένως*. Desiderabatur, μή.

59. Pedestrem scutatorum aciem non directe solum in fronte collocabis, quemadmodum in planis expositisque locis, sed in duas aut quatuor partes divides eos, id est, unumquodque contubernium ad duorum vel quatuor hominum altitudinem, pro ratione multitudinis tuæ, et pro usu præsente; partes autem istæ divisæ, et a se separatæ, procedant ad unum lapidis jactum.

60. Sin equites, et tuldum, sive impedimenta quoque ibi abfuerint, impedimenta statim post pedites locabis, deinde equites post impedimenta; a tergo equitum quidam scutati leves collocabuntur, ad extremas partes defendendas, adversus omnes nec opinatas incursiones.

61. Leves alios emittes ex acie usque ad unius signi numerum, cum paucis equitibus; alios ad latera hinc atque illinc collocabis, ad pervidendum et explorandum, num aliquæ ibi insidiæ sint positæ, et ad arbores circumcirca tam idonee cædendas, ut manibus, si quando tum usus tulerit, in transitum hostium dejectæ, aditu in angustiis, atque itinere prohibuit, aut et magnum negotium transgredi festinantibus facessant.

62. Ad hæc perlustrare cum levibus et paucis equitibus, et hostium insidias, si quæ in via collocatæ sint, repellere, et tum aciem instructam illac deducere oportet.

63. Ubi rariora et laxiora loca fuerint, equites et speculatores anticipent, ubi condensa et aspera, tum pedites ea occupent.

64. Leves non in frontem directe, quemadmodum scutatos, sed per duos, aut tres, aut quatuor leves jaculatores cum scutis suis locabis, ut tempore hoc desiderante, tum protegere scutis, tum jaculari etiam possint, unumque sagittarium singuli hi minuti manipuli habeant, quibus cæteri bene conservabuntur.

65. Tales drungos, id est, cohortes milliarias non una in acie, vel directe duces, sed ordine altius atque altius incedent, ut tergora antegredientium sequentes defendant. Quod si contingant anterioribus, ut ab hostibus retardentur, et propter difficultatem loci admodum vexentur, tum isti a tergo de improviso intervenientes, altiore in loco, quam hostes sunt positi, suis succurrant. Necesse enim levibus semper est, ut adversum inimicos altiora loca anticipent.

66. Levibus etiam præcipies, ut longius ab acie, quam buccina exaudiri potest, ne discedant; auxilio enim destituti admodum prementur.

νθ'. Τὴν δὲ πεζικὴν τῶν σκουτάτων τάξιν μηδ' ἐπ' εὐθείας ἤτοι κατὰ τὸ μέτωπον τάσσειν χρή, ὡς ἐν τοῖς ὁμαλοῖς καὶ γυμνοῖς τόποις, ἀλλ' εἰς δύο ἢ δ' μέρη, ἐπὶ β' ἢ δ' τὸ βάθος τῶν ἀκιῶν πρὸς τὸ ποσὸν τοῦ στρατοῦ, ἢ ὡς ἡ χρεία ἀπαντᾷ. τὰ δὲ μέρη ἴσως κινεῖν καὶ περιπατεῖν ἀφεστῶτα ἀπ' ἀλλήλων ὡς ἀπὸ λίθου βολῆς.

ξ'. Ἐὰν δὲ σύνεισι καβαλλάριοι (51), ἢ τοῦλδον, ὄπισθεν αὐτῶν τὸν τοῦλδον ποιεῖν, καὶ μετὰ αὐτὸν τοὺς καβαλλαρίους, καὶ μετὰ αὐτοὺς ὀλίγους σκουτάτους ψιλοὺς νωτοφύλακας, διὰ τὰς ἀπὸ ὄπισθεν, ὡς εἰκὸς, ἐπιγινομένας ἀδοκήτους (52) ἐφόδους.

ξα'. Τοὺς δὲ ψιλοὺς τοὺς μὲν ἐκπορεύεσθαι τῆς παρατάξεως μέχρι ἑνὸς σημείου μετὰ ὀλίγων καβαλλαρίων, τοὺς δὲ ἐκ πλαγίων ἔνθεν κἀκεῖθεν ἀνάγκη περιπατεῖν, ἵνα καὶ σκουλκεύωσι καὶ γινώσκωσι (53) μή ποτε ἐγκρύμματά εἰσιν ἐχθρῶν, ἢ δένδρα ἱστάμενα τὰ ὄπισθεν αὐτῶν περιπρισμένα ἔχοντα, καὶ σχηματικῶς ἱστάμενα, ἅτινα ἀπὸ χειρῶν ὠθούμενα, καὶ πίπτοντα κατὰ τῶν παρόδων ἐμφράξεις ποιοῦσιν ἐν τοῖς στενώμασι, καὶ ἀγῶνα τοῖς αἰφνιδιαζομένοις παρέχουσιν.

ξβ'. Καὶ ταῦτα προερευνᾷν δεῖ διά τε ψιλῶν στρατιωτῶν καὶ ὀλίγων καβαλλαρίων, ἅμα δὲ καὶ ἀποσοβεῖν τοὺς κεκρυμμένους ἐχθρούς, εἶθ' οὕτως παρέρχεσθαι τὴν παράταξιν.

ξγ'. Καὶ ὅπου μὲν ἀραιότεροί εἰσι τόποι, τοὺς καβαλλαρίους προλαμβάνειν καὶ τὰς βίγλας ποιεῖν· ὅπου δὲ δασεῖς καὶ δυσχερεῖς τόποι, τοὺς ψιλούς.

ξδ'. Τοὺς δὲ ψιλοὺς μὴ τάττε ἐπ' εὐθείας καθὼς τοὺς σκουτάτους, ἀλλὰ κατὰ δύο ἢ τρεῖς ἢ τέσσαρας ψιλοὺς ἀκοντιστὰς τάξεις ἐπιφερομένους καὶ τὰ σκουτάρια αὐτῶν, ἵνα ἐὰν χρεία γένηται, καὶ σκουτεύσωσι καὶ ἀκοντίσωσιν οἱ αὐτοί· καὶ ἕνα δὲ τοξότην ἔχειν, ὅστις καὶ ὑπ' αὐτῶν φυλαχθήσεται.

ξε'. Τοὺς δὲ τοιούτους τοὺς δρούγγους (54) μὴ ἐπὶ μιᾶς παρατάξεως ἢ ἐπ' εὐθείας τὴν ὁδοιπορίαν ποιεῖσθαι, ἀλλ' ἐφεξῆς ἐπαρμένους, ἵνα καὶ τοὺς νώτους ἀλλήλων φυλάττωσιν, καὶ ἐὰν συμβῇ τοῖς ἔμπροσθεν αὐτῶν ἀντιτάσσειν ἐχθρῶν ὑπομεῖναι, καὶ βαρεῖσθαι ὑπὸ δυσχερείας τόπου, ὄπισθεν ἀγνώστως ὑψηλότεροι γενόμενοι κατὰ τοῦ νώτου τῶν ἐχθρῶν ἔρχονται. [Δι'] ὅπερ ἀναγκαῖόν ἐστιν ἀεὶ σπεύδειν τοὺς ψιλούς, ἵνα τοὺς ὑψηλοτέρους τόπους κατὰ τῶν ἐχθρῶν προκαταλαμβάνωσιν.

ξς'. Παραγγείλῃς δὲ καὶ τοὺς ψιλούς, ἵνα πλέον τοῦ δύνασθαι αὐτοὺς κἀκείνων (55) ἀκούειν βυκίνου· μὴ χωρίζωνται τῆς παρατάξεως, ἵνα μὴ γυμνούμενοι βοηθείας, ὡς εἰκὸς, βαρύνωνται.

NOTÆ.

(51) *Καβαλλάριοι*. Ita sic erat in codice Palatino. Scribebatur, *καβάριοι*.

(52) *Ἀδοκήτους*. Scribebatur, ἀδικητους.

(53) *Ἵνα καὶ σκουλκεύωσι καὶ γινώσκωσιν*. Legebatur ἵνα καὶ εὖ βουλεύονται καὶ γινώσκουσιν. In codice Pistoriano erat, ἵνα ἐκουλκεύσονται. Recentioribus Græcis, σκοῦλκαι, sunt *excubiæ*, et σκουλκεύειν significat, *excubare*, *explorare*. Ut docemus in nostro *Glossario*.

(54) *Τοὺς δὲ τοιούτους δρούγγους*. Scribebatur, τοὺς δὲ τούτους τοὺς δρούγγους.

(55) *Αὐτοὺς κἀκείνων*. In Pistorii codice erat, αὐτοὺς κοχίνων. Scribe, ἀκούειν βουκίνων.

ξζ'. Τῶν δὲ τεσσάρων μερῶν ἐπὶ τὸ ἔμπροσθεν κέρας A πορευομένων ἐὰν στενὸς εὑρεθῇ τόπος, ὥστε μὴ δύνασθαι τὰ τέσσαρα μέρη καθ' ἑαυτὰ παρέρχεσθαι, δύο μέρη ποιεῖν εἰς διφαλαγγίαν.

ξη'. Εἰ δὲ μηδὲ δύο χωροῦσι, κατὰ ἓν μέρος παράγειν ἐπὶ κέρας ὡς μίαν παράταξιν, καὶ τοὺς λοιποὺς ἐφεξῆς τῶν ψιλῶν, ὡς εἴρηται, ἀεὶ προλαμβανόντων.

ξθ'. Μετὰ δὲ τὸ παρελθεῖν τὸν στενὸν τόπον πάλιν εἰς τέσσαρας ἀρχὰς ἤγουν μέρη, ὡς ἐτάγησαν ἐπὶ κέρας, ἤγουν πρὸς τὰ ἔμπροσθεν, φέρειν αὐτούς.

ο'. Εἰ δὲ πλῆθος ἐχθρῶν ἐπιφανῇ ἢ ἔμπροσθεν, ἢ ἐκ πλαγίων, οἷον ἂν σὺ ἴδῃς μέρος ὅτι πρέπει μετὰ ἐκεῖνο, ποιήσεις ἐπὶ μέτωπον, ἤγουν ἐπὶ τὰ ἔμπροσθεν τὴν παράταξιν· τουτέστιν, εἰ μὲν ἀριστερᾷ τῆς παρατάξεως φανῶσιν, αὐτοῦ τοῦ ἄκρου μέρους τῆς B παρατάξεως ἐν τάξει ἱσταμένου, ἔρχωνται τὰ ἄλλα τρία μέρη, καὶ παρατάσσωνται αὐτῷ ἐν τοῖς ἰδίοις τόποις.

οα'. Εἰ δὲ δεξιᾷ φανῶσι, τὸν ὅμοιον τρόπον μεταβαλλόμενοι ποιοῦσι τὰς ὄψεις καὶ ἐκεῖνοι.

οβ'. Εἰ δὲ ἔμπροσθεν φανῶσι τῶν μέσων μερῶν, ἢ τοῦ ἑνὸς, ἢ τῶν δύο, καὶ τῶν τόπων δὲ δεξιᾷ ἐκκλινομένων, καὶ εἰς μέτωπον ἀποκαθισταμένων, τὰ ἄλλα δύο μέρη ἐρχόμενα ὁμοίως παρατάσσονται, καὶ γίνεται ἡ τάξις πλαγία ἐπὶ μέτωπον.

ογ'. Καὶ εἰ μὲν ὁ τόπος ἔχει, συντεταγμένως ἐπέρχεσθαι τοὺς ψιλοὺς τοῖς ἐχθροῖς, ἵνα μετὰ αὐτῶν καὶ καβαλλάριοι κατακυκλῶσι τοὺς ἐναντίους· εἰ δὲ οὐ χωρεῖ, συντεταγμένην αὐτὴν καὶ πεπυκνωμένην C διέρχεσθαι.

οδ'. Τὰς δὲ τῶν ὁπλιτῶν, ἤγουν τῶν σκουτάτων ἀκίας βαθείας (56) καὶ ἀραιὰς τάσσεσθαι, ἵνα καὶ τὰς διαβάσεις εὐκόλως διὰ τῶν δένδρων ποιῶνται, καὶ ἐὰν χρεία οὕτως γένηται, πυκνῶνται.

οε'. Ἐὰν δὲ οὐ χωροῦνται, δεῖ ἵστασθαι τὴν παράταξιν, τοὺς δὲ ψιλοὺς ἀφιέναι εἰς τοὺς ἐχθροὺς, καὶ ἐκ τῶν πλησίων ἐπιβοηθεῖν αὐτοῖς διά τε ὀλίγων σκουτάτων καὶ διὰ καβαλλαρίων.

ος'. Παραγγελῇς δὲ πάντως, ἵνα ὅταν, ὡς εἰκὸς, κραυγὴ γένηται ἐν τῷ ὁδοιπορεῖν, ὡς πολεμίων ἐπιφαινομένων, μὴ πάντως φύρεσθαι, καὶ κατὰ ἐκείνου τρέχειν τοῦ μέρους, ἀλλὰ τοὺς μὲν σκουτάτους τῆς τάξεως αὐτῶν ἔχεσθαι, τοὺς δὲ ψιλοὺς ἑκάστου μέρους ἐπὶ τὸν κράζοντα συντρέχειν, καὶ μὴ τοὺς D ἔμπροσθεν εἰς τὰ πλάγια προχείρως ἔρχεσθαι, ἢ τοὺς τῶν πλαγίων ἐπὶ τὸ ἔμπροσθεν μέρος ἄνευ τῆς τοῦ ἄρχοντος ἐπιτροπῆς, ἀλλ' ἕκαστον μέρος τοῖς ἰδίοις ἐπιβοηθεῖν ἐν καιρῷ κραυγῆς ᾧ ᾖ χρεία, καὶ ἵνα ἐὰν βαροῦνται, ὡς εἰκὸς, εἰς τὴν τῶν σκουτάτων παράταξιν τρέχωσι, καὶ μὴ βιάζωνται ὑπὸ τῶν ἐχθρῶν.

οζ'. Ἀσφαλῶς οὖν αἱ ὁδοιπορίαι τῶν πεζῶν καὶ ἁρμοδίως γίνεσθαι δύνανται, ἵνα, ὡς εἴπομεν, ἐν μὲν τοῖς δασυτέροις τόποις καὶ δυσβάτοις ἐπὶ κέρας, ἤγουν στενο (57) ἐπιμήκη τάσσωνται τάξιν, εἴτε εἰς τέσσαρα μέρη, εἴτε εἰς δύο, ὡς οἱ τόποι δέχονται. Ἐν δὲ

67. Quatuor partibus in fronte ad eumdum collocatis, si locus tam angustus sit, ut per eum ita transire nequeant, duas partes in diphalangiam conferes.

68. Sin ne duas quidem partes spatium loci capiat, tum unam partem quasi integram aciem ad cornu procedere facies, reliquis levibus ita uti ante dixi collocatis.

69. Postquam angustias loci transierint, tum quemadmodum ante fecerunt, in quatuor partes ad cornu, id est, anteriorem frontem procedant.

70. Si multitudo hostium adventaverit vel ante, vel ad latus, in quam partem videris hostes se velle convertere, eam partem ad frontem, ad aciei initium deducito; hoc est, si ad lævam aciei appareant, hac summa parte aciei in ipsa acie consistente, moveant se reliquæ tres partes, et suis in locis ordinate juxta hanc partem semper instruantur.

71. Sin ad dextram venerint, eædem reliquæ partes vultus suos vertentes consistant.

72. Si ante medias partes sive unam, sive duas hostes venerint, vel in dextram partem declinantium, vel ad frontem venientium, reliquæ tum duæ partes venientes similiter instruantur, et acies in frontem obliquata fiet.

73. Si magnitudo loci permittat pedites sic hostes suos invadere, ut equites quoque hostes suos circumdare possint, recte est; sin minus, hæc acies instructa densataque eat.

74. Armatorum, sive scutatorum contubernia rata et alta facere oportet, ut objectas arbores facile transeant, et si opus fuerit densari possint.

75. Si locus eos non capiet, universa tum acies instructa consistet, et leves quidam adversus hostes procedent, et adjumento illis erunt scutati aliquot atque equites, qui proxime fuerint.

76. Præcipies autem, quando adventantibus, quemadmodum fere fit, clamor fieri solet, ne tum misceant se milites, et ad illam occurrant partem, sed scutati suam teneant stationem, leves autem contra clamantem hostem excurrant. Neque tamen, qui in anteriore parte sunt, ad latera decurrant, neque, qui in lateribus sunt, ad cornua contendant, sine præfectorum imperio; sed unumquodque latus suis, hoc clamoris tempore, si usus sic ferat, succurrat, ut si premantur, ad scutatorum aciem se referant, ne ab hostibus lædantur.

77. Tuta igitur peditum et idonea itinera esse possunt, si, ut prædiximus, in condensis asperisque locis ad cornu, id est, ad longitudinem quamdam angustiorem instruantur, sive quatuor partes, sive duas solas loci amplitudo capiat; in laxiori-

NOTÆ.

(56) Ἀκίας βαθείας. Scribebatur, ἀκίας θείας.

(57) Στενο. Scribe, εἰς τὴν

bus autem et magis spatiosis locis, ad frontem acie in latum porrecta, et laxioribus latitudine contuberniis, altitudine densioribus.

78. Illud pro certo teneas, in condensis locis eos, qui rhictaria, sive menaula, id est, jacula longiora manu conjiciunt, magis necessarios esse sagittariis aut funditoribus, atque ideo multi leves exercendi ad hæc tela sive jacula manu conjicienda sunt.

79. Sagittarii in acie instructa præstabiliores sunt, et in asperis, arduis, angustis atque expositis in locis.

80. Jaculatores extra aciem instructam in condensis locis utilissimi sunt. Atque hæc in itineribus faciendis observanda sunt.

81. Priusquam omnes castra posuerint, aciem neque pedestrem, neque equestrem dissolvas, neque priusquam fossatum undique munitum sit, et speculatores exierint.

82. Præcipies autem, ut perfecte cognoscant buccinæ sonum, ut ubi consistere eos jubet consistant, et ubi alia buccina procedere eos imperat, procedant. Ad hunc igitur modum de itinere exercitus faciendo disputatum sit. Restat ut de tuldo, sive impedimentis pauca disseramus.

CONSTITUTIO X.

De tuldo, id est, impedimentis.

1. Tuldi, sive impedimentorum cura tibi suscipienda est: neque enim temere aut fortuito disjicienda sunt, sed ubicunque relinquuntur, in tuto sunt collocanda.

2. Neque rursum in bello incircumspecte ducatur; persæpe enim militum administri, persæpe liberi atque cognati, quos charos habent, cum tuldo sunt. Quod nisi in tuto sit, anxietate animorum sæpe vexantur milites, et sollicitudine in diversas partes distrahuntur.

3. Unicuique enim prudenti viro, præter suum ipsius damnum, dolori est etiam inimici prosperitas. Itaque cum suum ipsius damnum oculis intuetur, vel omnino bello abstinet, vel ad pugnandum languidior fit.

4. Imprimis autem congregato tuldo, et publico jam prœlio imminente, multitudinem palicariorum, id est, eorum qui præfectis et militibus operam dant, eo deducere non consulo, neque in sua terra bello exspectato, neque in aliena; sed pauci sunt, iique quantum fieri potest firmiter muniti.

5. Totidem autem retineas, quot ad singula contubernia administranda et jumenta gubernanda satis sint. Id fiet tum ad varietatem illorum cognoscendam, tum ad acierum rationem percipien-

A τοῖς ἀραιοτέροις ἐπὶ μέτωπον ἐν πλαγίᾳ τάξει εἰς πλάτος, ἐν ἀραιοτέραις μὲν κατὰ τὸ πλάτος ἀκίαις, βαθυτέραις δὲ κατὰ τὸ πάχος.

οη'. Γίνωσκε δὲ, ὅτι ἐν ταῖς δασείαις ὕλαις (58) οἱ ἐκ χειρὸς ἀκοντίζοντες διὰ ῥικταρίων ἢ μεναύλων ἀναγκαιότεροί εἰσι καὶ τῶν τοξοτῶν καὶ τῶν σφενδονιστῶν. Διὰ τοῦτο πρέπον ἐστὶ τοὺς πολλοὺς τῶν ψιλῶν εἰς ῥικτάρια καὶ ἀκόντια ἐκ χειρὸς βαλλόμενα γυμνάζεσθαι.

οθ'. Οἱ δὲ τοξόται ἀναγκαῖοί εἰσι τῇ παρατάξει μᾶλλον ὑποτασσόμενοι καὶ εἰς τραχεῖς καὶ εἰς κρημνώδεις καὶ εἰς στενοὺς καὶ γυμνοὺς τόπους.

π'. Οἱ μέντοι ἀκοντισταὶ καὶ ἔξωθεν τῆς παρατάξεως εἰς τὰς ὕλας τὰς δασείας μάλιστα ἀναγκαῖοί εἰσιν. Τοσαῦτα μὲν οὖν καὶ ἐν ταῖς ὁδοιπορίαις
B παραφυλάττειν σε ἀναγκαῖον, ὦ στρατηγέ.

πα'. Πρὶν ἢ δὲ πάντας ἀπληκεῦσαι τὴν παράταξιν μηδέποτε διάλυε, μήτε ἐπὶ πεζῆς στρατείας, μήτε ἐπὶ καβαλλαρικῆς, ἕως ἂν καὶ τὸ φοσσάτον ὀχυρωθῇ, καὶ αἱ βίγλαι ἐξέλθωσιν.

πβ'. Εἰδέναι δὲ πάντας προστάξεις, ἵνα τῇ φωνῇ τοῦ κατὰ συνήθειαν βουκίνου γνωρίζοντες αὐτὸ ἵστανται, καὶ πάλιν τῇ συνήθει (59) φωνῇ τοῦ ἑτέρου βουκίνου, ἤγουν τοῦ κινήματος κινῶσιν. Οὕτως οὖν ἡμῖν διατετυπωμένων τῶν περὶ ὁδοιπορίας στρατοῦ, ἐφεξῆς σοι καὶ τὸν περὶ τοῦ λεγομένου τούλδου διαταξώμεθα τύπον.

ΔΙΑΤΑΞΙΣ Γ'.

Περὶ τοῦ λεγομένου τούλδου.

C α'. Δεῖ οὖν καὶ τοῦ τούλδου ἀναγκαίως σε φροντίζειν, καὶ μὴ ὡς ἔτυχε καταλιμπάνειν αὐτὸ, ἀλλ' ἀσφαλίζεσθαι ὅπου ἂν καταλειφθῇ.

β'. Μηδὲ πάλιν ἀπρονοήτως ἐπιφέρεσθαι αὐτὸ ἐν τῇ μάχῃ· συμβαίνει γὰρ καὶ παλλικάρια εἶναι ἐν αὐτῷ χρήσιμα τοῖς στρατιώταις, καὶ τέκνα, ἢ συγγενεῖς αὐτῶν. Καὶ εἰ μὴ ἐν ἀσφαλείᾳ τυγχάνει, τῷ περισπασμῷ αὐτοῦ οἱ στρατιῶται συνεχόμενοι ἀμφίβολοι καὶ μεριζόμενοι τὰς γνώμας ἐν ταῖς μάχαις γίνονται.

γ'. Καὶ γὰρ ἑκάστῳ συνετῷ ἀνδρὶ σπουδή ἐστι, χωρὶς ἰδίας βλάβης τὰ τοῦ ἐχθροῦ κερδῆσαι. Ἐὰν δὲ οἰκείαν ὑφορᾶται βλάβην, ἢ ἀπέχεται, ἢ ὀκνηρότερος γίνεται.

D

δ'. Καὶ πρωτοτύπως μὲν συνεπαγομένου τοῦ τούλδου, καὶ συμβολῆς δημοσίας προσδοκωμένης, πλῆθος τῶν λεγομένων παλλικαρίων, ἤγουν τῶν δουλευόντων τοῖς τε ἄρχουσι καὶ τοῖς στρατιώταις, ἐπιφέρεσθαι οὐ συμβουλεύομεν, οὔτε ἐν τῇ ἰδίᾳ γῇ ἡμῶν τῆς μάχης ἐλπιζομένης, οὔτε ἐν τῇ ἀλλοτρίᾳ ἐπερχομένων, ἀλλὰ συμμέτρους εἶναι καὶ τοὺς ἐν δυνάμει ὄντας.

ε'. Τοσούτους δὲ, ἤγουν τοὺς ἐπαρκοῦντας, κατὰ τὸ κοντουβέρνια ἀντέχεσθαι, καὶ διοικεῖν τὰ ἄλογα αὐτῶν πρὸς τὴν διαφορὰν καὶ τὴν ποιότητα καὶ διάγνωσιν τῶν ταγμάτων, ἤτοι τὸ πλῆθος τῶν ἀλόγων· διὰ

NOTÆ.

(58) *Ταῖς δασείαις ὕλαις*. Scribebatur, ταῖς δυσὶν ὕλαις.
(59) *Τῇ συνήθει*. Scribebatur, τῇ συνηθείᾳ.

τὸ μὴ πολλὴν φύρσιν καὶ δαπάνην ἄκαιρον καὶ περισπασμὸν γίνεσθαι.

ϛ'. Τούτους δὲ ἐν τῷ καιρῷ τῆς μάχης, εἰ μὲν σύνεστι πεζικὸς στρατὸς, δηλονότι σὺν αὐτῷ, μετὰ τῶν ἐπὶ τούτῳ ἀφοριζομένων καταλιμπάνειν αὐτοὺς, εἴτε ἐν τῇ ἰδίᾳ, εἴτε ἐν τῇ ἀλλοτρίᾳ ὁ πόλεμος κρίνεται. Ἀσφαλῶς δὲ αὐτοὺς εἶναι ἐν τῷ φοσσάτῳ, καθὼς ἐν τῷ περὶ ἀπλήκτων δηλώσομέν σοι τόπῳ.

ζ'. Καὶ αὐτὰ δὲ τὰ σαγμάρια, καὶ τὴν λοιπὴν ἀποσκευὴν, ἅπερ καλεῖται ἀδέστρατα (60) μετὰ τοῦ τούλδου καταλιμπάνειν.

η'. Καὶ ἐν μὲν τοῖς κούρσοις (61), ἢ ταῖς ἄλλαις ἐφόδοις, ἔχειν αὐτὰ τοὺς στρατιώτας τάχα καὶ μέχρι καὶ αὐτῆς τῆς ἡμέρας τῆς συμβολῆς πεφραγμένα καὶ ἐν δυνάμει.

θ'. Ἐν αὐτῇ δὲ τῇ συμβολῇ ἐγγὺς ἔχειν τῆς παρατάξεως ἀδέστρατον (62) οὐκ ἀναγκαῖον κρίνομεν (63), ἀλλ' ἐν τῷ φοσσάτῳ καταλιμπάνεσθαι. Καὶ γὰρ συμβαίνει πολλάκις, καὶ ταραχῆς γινομένης εὐκόλως παραπίπτουσι, διὰ τὸ (64) ὑπὸ μικρῶν παλλικαρίων κρατεῖσθαι.

ι'. Εἰ δὲ σύνεστι πεζικὸς στρατὸς, εἰ μὲν ἐν τῇ ἰδίᾳ χώρᾳ, ἢ ἐν αὐτοῖς τοῖς μεθορίοις ἀμφοτέρων τῶν χωρῶν τῆς τε ἡμετέρας καὶ τῆς πολεμίας προσδοκᾶται ἡ μάχη εὐθέως γίνεσθαι, καὶ οὐκ ἔχει ὑπέρθεσιν, τότε ἐν ὀχυρῷ τόπῳ, ἔνθα καὶ βοσκαὶ καὶ ὕδατα ἀρκοῦντα εὑρίσκονται, ὡς ἀπὸ τριάκοντα καὶ πεντήκοντα μιλίων καταλιμπάνειν τὸν πλίονα (65) καὶ ἄχρηστον τοῦλδον· καὶ τὰ περισσὰ ἄλογα καὶ ἐργαλεῖα καὶ ἕτερα εἴδη, ὧν χρεία οὐκ ἔστι κατὰ τὴν ἡμέραν τοῦ πολέμου.

ια'. Ἀφόριζε δὲ καί τινας ἐν τῷ μέσῳ διαστήματι τοῦ τε τούλδου καὶ τῆς μάχης ἐγνωσμένους πᾶσι καὶ μὴ πονηροὺς καὶ φαύλους ἀνθρώπους, καὶ κατάστησον αὐτοὺς εἰς διάστατα (66), καὶ ὑπόδειξον τόπους (67) τῷ ἄρχοντι τοῦ τούλδου (δεῖ γὰρ αὐτὸ πάντως ἄρχοντα ἴδιον ἔχειν), ὥστε πρὸς τὴν τοῦ πολέμου ἔκβασιν ὀφείλειν αὐτοὺς μηνῦσαι τοῖς ἐν τῷ τούλδῳ, ἢ μεῖναι ἐν τῷ αὐτῷ τόπῳ ἐν ᾧ καταλιμπάνονται, ἢ ἐν ἑτέρῳ ἀπελθεῖν τῷ δοκοῦντι τόπῳ, ἢ καὶ ἐνέγκαι αὐτοὺς πρὸς τὸν στρατόν.

ιβ'. Ἐκ δὲ τοῦ τούλδου κινοῦντας ἐπὶ τὴν μάχην παραλαβεῖν τὰ ἀδρέστατα (68) ἤγουν σαγμάρια, καὶ ἢ τέντας διπλᾶς ἢ σαγία διπλᾶ εἰς τὸ μὲν ἐν σκέπεσθαι, εἴπερ χρεία καλέσει, τὸ δὲ ἕτερον εἰς τένταν ἤτοι τὸ λεγόμενον καμάρδην ἔχειν.

ιγ'. Ἀλλὰ καὶ δαπάνην ἢ παξαματίου, ἢ πίστου, ἢ ἄλλου τινὸς εἴδους ἐλαφροῦ εἴκοσι ἢ καὶ τριάκοντα λίτρας, καὶ τότε ἀπληκεῦσαι ἐν τῷ φοσσάτῳ, ἐν ᾧ ἂν

A dam, ne jumenta perturbate confusa sumptus importunos et perturbationes varias afferant.

6. Hos tempore prœlii, si pedestris acies non adfuerit, ac reliquos, qui ad tuldi custodiam constituuntur, cum ea oportet relinquere, sive in sua, sive in aliena terra bellum geratur. Tutissimum autem est hos in bello esse, quemadmodum postea dicemus, ubi de aplicto, id est, castris, verba facimus.

7. Ipsa autem sagmaria, id est, sarcinas, reliquosque apparatus, quæ andresta vocant, cum ipso tuldo relinques.

8. In incursionibus hæc teneant secum milites, et usque ad diem ipsum belli committendi bene munita habeant ac roborata. B

9. Ipso conflictationis tempore andreatum, id est, apparatum prope habere minime necessarium est, sed in fossato sive castris relinquatur. Persæpe enim tumultu aliquo facto, animis concidunt, si pauca palicaria, id est, pauci ex administris capti fuerint.

10. Sin pedestris acies adfuerit sive in regione tua, sive in intercapedine inter tuam et hostilem terram, ubi bellum sine ulla dilatione aut intermissione futurum est, ad aliquem firmum locum, ubi et pastiones et aquæ futuræ sunt, triginta aut quinquaginta millibus ab eo loco inutile tuldum et superfluum relinquito, et supervacanea jumenta C reliquaque arma, quæ ipso belli tempore utilia non erunt, omnia traduces.

11. Quosdam in medio intervallo tuldi et prœlii collocabis, homines notos omnibus, neque obscuros, neque sceleratos, eosque in media via instrues. Illos præfecto tuldi (semper enim peculiarem aliquem præfectum habere debent) ostendes qui sint, ut in belli exitu significari illi possint, utrumne manendum in illo loco, an ad aliquem munitiorem locum procedendum, an potius ad exercitum commigrandum illis sit.

12. Proficiscentes ad prœlium a tuldo sagmaria auferant, et sagmam duplicem, aut duplicem D tentam, id est, duplex tentorium, alterum pro integumento, si usus ferat, alterum pro tenta, sive camarda habeant.

13. Commeatus paxamadii, sive biscocti, aut alterius cujusquam expeditæ rei habeas viginti aut triginta libras, et tum castra ponas quocunque

NOTÆ.

(60) *Ἀδέστρατα*. Legebatur Δίστρατα. Apud Constantinum scribitur, διάστρατα. Apud Mauritium, ἀδέστρατα. Pro impedimentis sumi hanc vocem clarum est, sed ejus origo obscura. Amplius investigemus.

(61) *Καὶ ἐν μὲν τοῖς κούρσοις*. Legebatur, μεθόδοις, κουόσσοις. Jam κοῦρσα, sunt *cursus*. Excursiones. Vide *Glossarium* nostrum.

(62) *Ἀδέστρατον*. Scribebatur, ἀδεῶς στρατόν. Correxi e codice Regio ac Pistoriano.

(63) *Οὐκ ἀναγκαῖον κρίνομεν*. Scribebatur, οὐκ ἀναγκαίως κρίνεσθαι.

(64) *Διὰ τό*. Scribebatur, διὰ τῶν.

(65) *Τὸν πλίονα*. Scribe, τὰ πλείονα.

(66) *Εἰς διάστατα*. Scribe, εἰς ἀδέστρατα.

(67) *Καὶ ὑπόδειξον τόπους*. Scribe, καὶ ὑ. τούτους.

(68) *Ἀδρέστατα*. Scribe, ἀδέστρατα.

voluctis loco, et fossato, quando ad prœliandum A cum hostibus contendunt.

14. Fossatum vel lapidum, vel laterum aggere, etiam munias, quanquam ad unum solum diem ibi commoraturus es.

15. Unumquodque bandum, id est, cohors, fenum aut paleas unius diei secum circumferant, ut si, quod usu venire potest, aliqua offensio belli contingat, si vel ibi permaneant, habeat tamen jumentis suis unius diei pabulum, neque in tanto belli ardore vel ad pastionem ire, vel fenum secare, quibus rebus lædi ab hostibus possent, vel vagari et circumcursare ad pabulum comparandum, hostibus jam imminentibus, vel discedere jam, in tanta hominum jumentorumque fame et miseria, B atque adeo interire cogantur.

16. Si discedat exercitus tuus, nulliusque rei indigeat, exures fenum omnesque fruges agrorum, et sic proficisceris, propter hostes, qui post te venturi timentur.

17. In omni itinere, hostibus imminentibus, in medio exercitus tui tuldum habeas, ne si aliquo rejiciuntur, ab hostibus invadantur.

18. In itinere, quemadmodum supra præscripsimus, non confuse milites et permiste cum tuldo ambulent, sed distincte et separatim, ut post turmam suam tuldum cum viris ad id constitutis, quos euplictos nominant, seorsim procedat.

19. Habeat autem tuldum, quemadmodum ante memoravimus, separatum aliquem præfectum, qui C universum illud gubernet et dirigat in omnes partes; ante universum exercitum, si ex hostili terra discedis; post universas copias, si hostilem regionem invadis; hinc aut illinc, si alicui e lateribus times; in medio, si omnia tibi æque suspecta sint. Atque hæc de tuldo, sive impedimentis, paucis tibi explicavimus, sive in curribus inter pedites, sive in sarciniis inter equites, sive aliqua quapiam præparatione in permista turba, ut nulla ex parte, quoad ejus fieri potuit, aliquid abesset. Restat jam, ut de aplictorum, id est, castrorum forma disputemus.

CONSTITUTIO XI.

De aplictis, id est castris.

1. Aplicta igitur, sive fossatum (nam aplictum proprie fossatum totius exercitus est) valide quantum potes munies. Si in locis spatiosis laxisque commode castra ponere potueris, ita facias: sin minus, non negligenter, sed sedulo et firmiter et dense castra pones. Illa autem loca in primis fugies, quæ aliquid prope celsius ac eminentius habent, ne illud inimici noctu et confertim anticipantes, multa mala vobis ex eo loco inferant.

δόξῃ γίνεσθαι τόπῳ, ὅτε πρὸς τὴν τῶν ἐχθρῶν μάχην ἀποκινήσωσιν.

ιδ'. Τοῦτο δὲ τὸ φοσσάτον ἢ ἀπὸ οἰκοδομῆς λίθων, ἢ πλίνθων, ὀχυρῶσαι, κἂν πρὸς μίαν ἡμέραν συμβῇ μένειν ἐκεῖσε.

ιε'. Ἕκαστον δὲ βάνδον ἀποτίθεσθαι χόρτον ἢ ἄχυρον μιᾶς ἡμέρας, ἵνα ἐάν, ὡς εἰκὸς, ἐναντίως τὰ τοῦ πολέμου ἐξέλθῃ, ἐν τῷ ὑποστρέφειν τὸν στρατὸν μετὰ σπουδῆς ἐν αὐτῷ ἢ μεῖναι ἐν αὐτῷ τῷ φοσσάτῳ, ἔχειν τὴν τῶν ἀλόγων ἀποτροφὴν μιᾶς ἡμέρας, καὶ μὴ ἀναγκάζεσθαι ἐν τοιούτῳ θορύβῳ ἢ βόσκειν, ἢ χορτολογεῖν ποιεῖν (69), καὶ βλάπτεσθαι ἑτοίμως ὑπὸ τῶν ἐχθρῶν, ἢ γυρεύειν ἐγχωρίοις διὰ δαπάνας τῶν ἐχθρῶν ἐπικειμένων, ἢ καὶ παρελθεῖν ἐν τοιαύτῃ ἐνδείᾳ αὐτῶν τε καὶ τῶν ἀλόγων, καὶ ἐκλυθῆναι.

ιϛ'. Εἰ δὲ ἄρα καὶ παρέρχονται, καὶ οὐχ ἔχουσί τινος χρείαν, ἀφορίσεις τινὰς ὥστε καίειν τὸν χόρτον καὶ οὕτως ἐπὶ τὰ ἔμπροσθεν περιπατεῖν διὰ τοὺς ἐλπιζομένους ὀπίσω ἐπέρχεσθαι πολεμίους.

ιζ'. Ἐν δὲ ταῖς ὁδοιπορίαις πολεμίων ἐγγιζόντων ἀναγκαῖόν ἐστιν ἀεὶ μέσον ἔχειν τὸ τοῦλδον, ἵνα μὴ ἀφύλακτον ὂν ἐπηρεάζηται.

ιη'. Τὰς δὲ ὁδοιπορίας, ὡς ἤδη καὶ ἄνω που εἴπομεν, μὴ ποιεῖσθαι μεμιγμένας μετὰ τούλδου, ἀλλὰ διακεκριμένας καὶ κεχωρισμένας, ὥστε ἰδίως τὸ τοῦλδον ὄπισθεν τοῦ ἰδίου μέρους ὁδοιπορεῖν, καὶ ἰδίως στρατιώτας εὐπλήκτους.

ιθ'. Ἀεὶ δὲ τὸ τοῦλδον, ὡς εἴρηται ἡμῖν ἀνωτέρω, καὶ ἡγεμόνα ἔχειν ἴδιον, ὥστε αὐτὸ καὶ διατάξαι, καὶ διευθύνειν, καὶ ἄγειν αὐτὸν οὕτως, ἢ πρὸ τῆς παρατάξεως, ἐὰν ἐκ πολεμίας γῆς ὑποστρέφῃς· ὀπίσω δὲ τῆς παρατάξεως, ἐὰν εἰς πολεμίαν γῆν ἐμβάλλῃς, ἔνθεν δὲ ἢ ἐκεῖθεν, ἐὰν τὰ πλάγια τῆς παρατάξεως φοβούμενος πορεύῃ, ἐντὸς δὲ τῆς φάλαγγος, ἐὰν τὰ πανταχόθεν ὕποπτα ἔχῃς. Τοσαῦτα μὲν οὖν καὶ περὶ τοῦ τούλδου διὰ βραχέων σοι διεξήλθομεν, ὦ στρατηγέ, εἴτε ἐν ἁμάξαις μετὰ πεζικοῦ στρατοῦ, εἴτε ἐν σαγμαρίοις μετὰ καβαλλαρίων, εἴτε ἄλλης ἀποσκευῆς τοιαύτης μετὰ συμμίκτου, ὡς ἂν ἐν μηδενί, ὅσον ἐστὶ τὸ δυνατὸν ἡμῖν, ἐλλείπῃ σοι κεφαλαίῳ ἡ ἡμετέρα παρακέλευσις. Ἐχόμενον δὲ τούτων καὶ τὰ περὶ τῶν λεγομένων ἀπλίκτων διασαφήσομεν τῇ σῇ ἐνδοξότητι.

D

ΔΙΑΤΑΞΙΣ ΙΑ'.

Περὶ ἀπλίκτων.

α'. Δεῖ οὖν τὰ ἄπλικτα, ἤτοι τὰ φοσσάτα (κυρίως γὰρ φοσσάτον τὸ ἄπλικτον τοῦ ὅλου στρατοῦ καλεῖται), ταῦτα οὖν ἀσφαλῶς σε ποιεῖν. Καὶ ἡ μὲν (70) ἐνδέχεται, εἰς ἀραιοτέρους τόπους κατασκηνοῦν τὰ στρατιωτικά, εἰ δὲ οὐ κατὰ πάντα, μὴ ἀμελῶς, ἀλλὰ σφιγκτῶς καὶ ὀχυρῶς ἀπλικεύειν, καὶ ἀποφεύγειν τοὺς τόπους (71) ἐκείνους ὅσοι ἔχουσιν ἐκ τοῦ πλησίον ὑψηλοτέρους αὐτῶν, ἵνα μὴ ἐκείνους οἱ ἐχθροὶ ἀθρόον ἢ ἐν νυκτὶ προκαταλαβόντες κακά τινα διαθήσουσι τῷ φοσσάτῳ.

NOTÆ

(69) Ἢ χορτολογεῖν ποιεῖν. Scribe, ἢ χορτολογὴν π.

(70) Καὶ ἡ μέν. Scribe, καὶ εἰ μεν.

(71) Τοὺς τόπους. Scribebatur, τοὺς τύπους.

β'. Ὅταν τοίνυν ἐν τῇ τῶν ἐχθρῶν χώρᾳ στρατοπεδεύῃς, περιβάλλου τάφρον βαθεῖαν (72), κἂν εἰς μίαν μόνην, ὡς εἴρηται, ἡμέραν μέλλῃς ἀπλικεύειν. Ἀμετανόητος γὰρ ἡ τοιαύτη στρατοπεδεία, καὶ ἀσφαλὴς, διὰ τὰς αἰφνιδίους καὶ ἀοράτους ἐπιβουλάς (73). Καταστήσεις δὲ καὶ φύλακας, κἂν μακρὰν εἶναι νομίζῃς τοὺς πολεμίους, ὡς ἐγγὺς ὄντων.

γ'. Ὅπου δὲ μέλλεις ποιεῖσθαι χρόνιον τὸ ἄπλικτον, μὴ ἐχθρῶν ἔφοδον δηλονότι ὑφορώμενος, καὶ φθείρειν χώραν ἐναντίαν βουλόμενος, ἐκλέγου χωρία χρήσιμα, μὴ ὑλώδη, ἤγουν ὕλας καὶ πηλὸν καὶ βάλτας ἔχοντα, καὶ ὕδατα σεσημμένα. Τὰ γὰρ τοιαῦτα διὰ τὰς ἀναθυμιάσεις καὶ τὰς ἀπὸ τῶν τόπων δυσωδίας νοσερά εἰσι, καὶ λοιμοὺς καὶ νόσους φθαρτικὰς ἐμβάλλει εἰς τὰ στρατεύματα, καὶ πολλοὺς μὲν πολλάκις ἐκάκωσε τῇ νόσῳ, πολλοὺς δὲ καὶ ἀπώλεσεν· ὥστε μὴ μόνον ὀλίγον ἐκ τούτου γενέσθαι, ἀλλὰ καὶ ἀσθενὲς τὸ στράτευμα.

δ'. Χρήσιμον δὲ καὶ σωτήριον τῷ στρατῷ γίνεσθαι, ἐὰν μὴ ἐπὶ τοῦ αὐτοῦ μένῃ ἀπλίκτου πολὺν χρόνον, εἰ μὴ ἄρα χειμάζει, καὶ διὰ τὸν καιρὸν ὥσπερ πεπολισμένα ἔχει τὰ ἄπλικτα τὸ στράτευμα. Καὶ γὰρ καὶ αἱ σωτηριώδεις ἐκκρίσεις ἐπὶ τῶν αὐτῶν γινόμενα τόπων ἀτμοὺς διεφθαρμένους ἀναπέμπουσι, καὶ συμμεταβάλλουσιν εἰς νόσον καὶ τὴν τοῦ περιέχοντος ἀέρος εὐεξίαν.

ε'. Ἐν δὲ ταῖς παραχειμασίαις πάντως, ὡς ἄνω που εἴρηται, γύμναζε τὰ στρατόπεδα, καὶ πολεμικὰ ποίει, καὶ ἵνα συνεθίζωνται τοῖς πόνοις, ἵνα μήτε ἀργῶσι, μήτε ῥαθυμῶσιν.

ς'. Οὐ μόνον [οὐ]δὲ ὑγιεινῶν σε δεῖ φροντίζειν ἀπλίκτων, ὅταν ἄδειαν ἔχῃς ἀπὸ τῶν πολεμίων, ἀλλὰ καὶ πολλὰς καὶ διαφόρους ἔχειν αὐτὰ τὰς χορηγίας, καὶ μάλιστα ἐν τῷ ἐξπεδίτῳ, ἤγουν ἐν τῇ κατὰ καιρὸν τοῦ ὅλου στρατοῦ συναγωγῇ, ἔνθα μάλιστα καὶ χρονίζειν δέον.

ζ'. Φροντίζειν δὲ καὶ τῶν ἐμπόρων, ἵνα μὴ ἀδικούμενοι λυποῦνται, καὶ οὐ φέρουσι τὰς χορηγίας τῶν ἐπιτηδείων.

η'. Εἰ δέ τις καὶ ἐλπὶς ἐναντία ἐνοχλεῖ, ἀσφαλίζεσθαι ἢ ὀρύγμασιν, ἢ πάλοις (74), ἢ ὁλοκλήρῳ τάφρῳ, ὃ λέγουσι φόσσα, ἢ τριβόλοις ἢ οἰκοδομαῖς, ἢ ἀπὸ ξύλων ἢ ἀπὸ λίθων, ἢ ἄλλως, ὡς δύνασαι ἐπινοῆσαι.

θ'. Ἔχειν δὲ καὶ βίγλας ἔξωθεν, ἀλλὰ καὶ ἁμάξας, εἰς χαρακώσεις, ἐάν εἰσι, λίαν δυνατόν. Ἡ χάρακα πήξεις, ὃ λέγεται σταβαρῶσαι, εἴτε ἀραιῶς, εἴτε πυκνότερον, ὡς ἡ δύναμις ἔχει, ἤτε διὰ ξύλων τελείων, ἢ δένδρων κοπέντων.

ι'. Δεῖ γὰρ πάντως ἀσφάλειαν ἔχειν τὸ ἄπλικτον, εἰ μὴ ἄρα ἐν τῇ ἡμετέρᾳ ἐστὶν χώρᾳ, ἢ γυμνασίας χάριν γίνεται, ἢ ἄλλου τινὸς χρειώδους τρόπου ἢ τοῦ στρατηγοῦ (75) κίνησις.

ια'. Μάλιστα δὲ φροντίσεις καὶ τῶν πλησιοχώρων

A 2. Quando hostili in terra castra ponis, circumda tuos taphro, id est, fossa, quanquam ad unum diem ibi solum permansurus es. Secura enim hujusmodi castra sunt, et adversus omnes nec opinatas et subitas hostium incursiones tuta. Custodias etiam adhibebis, quasi hostes prope adsint, quanquam longe eos abesse noveris.

3. Ubi diuturna castra uno aliquo in loco positurus es, non hostium incursionem timens, sed illorum regionem populaturus, loca eliges non condensa, cœnosa, paludosa, aut stagnis abundantia : hujusmodi enim halitum emittunt insalubrem, et odores graves ad gignendum morbos idoneos : multas enim ægritudines et ardentes B pestes inferunt, et sæpe exercitum graviter vexant, sæpe etiam universum delent, ut non solum parvus ex eo, et debilis, sed etiam consumptus et nullus fiat.

4. Utile et salutare exercitui est, in eodem loco diu non consistere, nisi si hiberna faciant : atque ea tum ad civitatis formam muniant. Nam excretiones fæculentæ corporum in eisdem semper locis factæ, depravatos halitus exspirant, et omnem aeris salubritatem in insalubritatem transferunt.

5. Hibernis in omnibus, copias tuas ad contentiones bellicas et militares labores exerce, ut iis C assuefacti, otium ac desidiam, pestem ac labem exercitus, devitent.

6. Neque vero castrorum salubrium solum suscipienda cura est, cum securus ab hostibus es, sed etiam ut omnium rerum necessariarum affluentiam habeant, idque potissimum in expedito, id est, eo tempore quo omnes milites in unum conveniunt, ubi diutius commorandum est.

7. Providebis etiam mercatoribus, ne illi injuriosius tractati, rerum necessariarum invectionem prætermittant.

8. Sin vero aliquis metus hostium impendet, muniantur castra vel fossis, vel palis, vel integris fossis, vel tribulis, id est, muricibus, vel ædificiis, sive ex ligno, sive ex lapide, aut alia quavis ma- D teria confectis, quemadmodum excogitare poteris.

9. Speculatores foris collocandi sunt, et currus omnes ad vallum faciendum congregabis. Vallabis autem castra pro copiarum ratione, vel laxius, vel densius, ex lignis integris, aut ex cæsis arboribus.

10. Tuta et munita castra semper esse oportet, nisi in nostra regione vel exercitationis causa, vel alterius alicujus necessitatis gratia castra moventur.

11. Procurabis etiam, ne vicinæ regiones quæ

NOTÆ.

(72) *Τάφρον βαθεῖαν*. Scribebatur, ταῦρον βαθ.
(73) *Ἐπιβουλάς*. Scribe, ἐπιβολάς.
(74) *Ἢ πάλοις*. Legebatur, ἢ πάλιν. In codice Pistoriano erat, παλης.
(75) *Τοῦ στρατηγοῦ*. Scribe, τοῦ στρατοῦ.

sub nostro imperio sunt, aliquod damnum accipiant, in primis autem ut agricolæ sine offensione conserventur. Duæ enim hæ artes maxime utiles esse videntur ad reipublicæ constitutionem et conservationem. Agricultura, quæ nutrit ac promovet milites, et ars militaris, quæ defendit et propugnat agricolas : reliquæ vero artes istis inferiores esse videntur, atque ideo necesse est istis providere, et illarum curam non abjicere, ut milites juste ab illis nutriti strenue se gerant, et agricolæ honeste tractati bonis votis illos prosequantur.

12. Hostibus imminentibus, et exspectato jam bello, si anticipatis hostibus castra feceris, duorum aut trium dierum pabulum, sive paleam, sive hordeum, pro jumentis tuis præ manu habeas, quemadmodum tibi in capite *De itinere exercitus* explicavi. Sin illinc ad alia castra transire volueris, unius saltem diei commeatum eo tecum paleam aut fenum feras, et in castris reponas, ne forte pueri administri vi ab hostibus detineantur, et eo die prohibeantur vel pabulum colligere, vel jumenta ad pastum ducere.

13. Si admodum prope hostes fuerint, non absurdum erit singulos milites inter eundum pabulum colligere, quia castris jam positis, si multi ex hostibus equites fuerint, pueri administri exitu et feni pabulique sectione prohibebuntur.

14. Par est in casus adversos sæpe intueri, et quæ inde perturbationes oriri possunt considerare, ne postea te horum pœniteat : maximeque de commeatu et pabulo militum et jumentorum laborabis, et castra munita pones idoneis in locis, ubi si quando res id exigat, vel aqua fluvii, aut locus arduus, aut alia firma munitio, defendere fossatum temporibus necessariis possit.

15. Difficultas temporis si quæ pedestri aciei contingat, carris et plaustris eorum castra circumcirca quasi vallo defendes, sive pedestri aciei, sive equestri, sive permistæ contingat, et circum exædificabis pro loci ratione, quemadmodum a me supra est dictum ; et exterius fossam ducere ad latitudinem quinque pedum aut sex, ad altitudinem autem septem aut octo pedum, et aggerem fossæ interius conjicies, et extra hanc fossam tribulos et foveas parvas palis infixis facies, quæ ab exercitu universo cognoscendæ sunt, ne illorum ignoratione lædantur.

16. Ambitus fossati, sive castrorum, quatuor portas majores et publicas habeat, portulas autem parvas præterea complures. Juxta unamquamque portam, id est, egressum, præfectus aliquis castra ponat ad ejus custodiam. Interius autem juxta ipsos

A ὑποτελῶν τῆς βασιλείας ἡμῶν, ἵνα μὴ ἀδικοῦνται παρὰ τῶν στρατιωτῶν, καὶ κατ' ἐξαίρετον τῶν γεωργῶν. Δύο γὰρ ταῦτά μοι δοκοῦσιν ἐπιτηδεύματα λίαν ἀναγκαῖα πρὸς ἔθνους σύστασιν καὶ διαμονήν· γεωργικὴ μὲν τρέφουσα καὶ αὔξουσα τοὺς στρατιώτας, στρατιωτικὴ δὲ ἐκδικοῦσα καὶ περιφυλάττουσα τοὺς γεωργούς· αἱ δ' ἄλλαι ἐπιτηδεύσεις δεύτερα τούτων ἐμοὶ καταφαίνονται. Διὰ τοῦτο καὶ ἀναγκαῖον ἀεὶ τούτων ἐπιμελεῖσθαι, καὶ τὰ ὑπὲρ αὐτῶν φροντίζειν ἑκάστοτε, ὡς ἂν καὶ οἱ στρατιῶται δικαίως τρεφόμενοι ἀνδραγαθῶσι, καὶ οἱ γεωργοὶ μὴ ἀδικούμενοι εὐχαῖς αὐτοὺς ταῖς ἁρμοζούσαις προπέμπωσιν.

ιβ'. Πολεμίων δὲ ἐγγιζόντων, καὶ προσδοκωμένου πολέμου, ἐὰν προλαβὼν ἐν φοσσάτῳ διάγῃς, στρατηγὲ, καὶ τοὺς ἐχθροὺς ἀναμένῃς, ἐκεῖσε δεῖ εὐτρεπίζειν καὶ ἀποτιθέναι χόρτον, ἢ ἄχυρον, ἢ κριθὴν B μιᾶς ἢ δευτέρας ἡμέρας τῶν ἀλόγων, ὡς ἤδη σοι καὶ ἐν τῷ *Περὶ ὁδοιπορίας* κεφαλαίῳ προδιεθέμεθα. Καὶ πάλιν ἐὰν ἐκεῖθεν βουληθῇς εἰς ἕτερον ἄπλικτον ἀπελθεῖν καὶ ἐκεῖθεν παρατάξασθαι, ἀναγκαῖον χόρτον καὶ ἄχυρον κἂν μιᾶς ἡμέρας βαστάζειν, καὶ οὕτως ἐν τῷ γινομένῳ φοσσάτῳ ἀποτίθεσθαι τοῦτον· ἴσως γὰρ οὐ συγχωροῦνται ὑπὸ τῶν ἐχθρῶν οἱ εἰς δουλείαν ἀφωρισμένοι παῖδες αὐτῇ τῇ ἡμέρᾳ ἐξελθεῖν καὶ χορτολογῆσαι, οὔτε δὲ τὰ ἄλογα εἰς βοσκὴν ἐκβαλεῖν.

ιγ'. Εἰ δὲ καὶ πολὺ ἐγγίζουσιν οἱ ἐχθροὶ, οὐκ ἄτοπον ἐν τῷ περιπατεῖν, ὡς εἴρηται, ἕκαστον συνάγειν τὸν χόρτον τὸν ὀφείλοντα ἀποτεθῆναι· οὐδὲ γὰρ μετὰ τὸ ἀπλικεῦσαι πολλάκις συγχωροῦνται οἱ παῖδες ἐξελθεῖν καὶ χορτολογῆσαι, πλειόνων μάλιστα καβαλλαρίων τῶν ἐχθρῶν εὑρισκομένων.

C ιδ'. Καὶ πῶς γὰρ οὐ δίκαιον καὶ τὰ εἰς δευτέραν τύχην ἀφορμὴν πολλάκις, καὶ τὰς ἐκεῖθεν ἐναντιώσεις σκοπεῖν, καὶ προασφαλίζεσθαι τὰ μέλλοντα, μὴ μεταμέλεσθαι ὕστερον, καὶ μάλιστα τὰς ἀποτροφὰς (76) ἡμερῶν ὀλίγων τῶν τε στρατιωτῶν (77) καὶ τῶν ἀλόγων, καὶ φοσσάτα ὀχυρὰ ποιεῖν ἐπιτηδείους τόπους ἔνθα δυνατὸν, εἴτε ὕδωρ ποταμοῦ, εἴτε τόπος δυσχερὴς, εἴτε ἄλλο τι ὀχύρωμα διεκδικεῖν τὸ φοσσάτον ἐν καιρῷ ἀνάγκης;

ιε'. Ἐν δὲ τοῖς ἀναγκαίοις τοῦ πεζικοῦ ἀπλίκτου καὶ τὰς ἁμάξας, ὡς εἴρηται, περικύκλῳ καθίστα τοῦ ἀπλίκτου, εἴτε ἐν πεζικῷ στρατῷ, ἢ καὶ ἐὰν εἰσι καὶ ἐν καβαλλαρικῷ, ἢ συμμίκτῳ, καὶ οἰκοδομεῖν, ὥς μοι εἴρηται, ἐὰν ὁ τόπος ἔχῃ, καὶ ἔξωθεν τάφρον ποιεῖν, πλάτους μὲν ποδῶν ε' ἢ ς'· ἔξωθεν βάθους D δὲ ζ' ἢ η', καὶ τὸ χῶμα ἐν τῇ ἐσωτέρᾳ ὄψει τεθῆναι· ἔξωθεν δὲ ταύτης τριβόλους καὶ λάκκους μικροὺς ἔχοντας πάλους ἐντὸς πεπηγμένους, οὓς δεῖ ἐν γνώσει ποιεῖν τοῖς τοῦ στρατοῦ, διὰ τὸ μὴ ἀγνοοῦντας ὑπ' αὐτῶν βλάπτεσθαι.

ις'. Ἔχειν δὲ καὶ τὴν περίμετρον τοῦ φοσσάτου τέσσαρας μὲν παρὰ τὰς (78) μεγαλοτέρας καὶ δημοσίας, παραπόρτια δὲ μικρὰ πλείονα, καὶ καθ' ἑκάστην πόρταν ἤγουν ἔξοδον ἔχειν ἄρχοντα τὸν πλησίον ἀπλικεύοντα πρὸς παραφυλακὴν αὐτῆς. Ἔσω δὲ

NOTÆ.

(76) *Τὰς ἀποτροφάς*. Scribebatur, τὰς ἀποστροφάς.

(77) *Τῶν τε στρατιωτῶν*. Scribebatur, τόν τε στρατόν.

(78) *Παρὰ τάς*. Scribe, πόρτας.

παρ' αὐτὰς τὰς ἁμάξας τὰς τῶν ψιλῶν τέντας ἁπλᾶς παρακειμένας, ἤγουν τῶν τε ἀκοντιστῶν καὶ τῶν τοξοτῶν, καὶ ἀπ' ἐκείνων εὔκαιρον διάστημα (79), ὡς ποδῶν τ', ἢ υ', καὶ τότε τὰς λοιπὰς ταγῆναι τέντας, ὥστε ἐν ταῖς τῶν ἐχθρῶν τοξείαις μὴ πλήττεσθαι τὰς ἐν τῷ μέσῳ, ἀλλ' ἐν τῷ εὐκαίρῳ τόπῳ πίπτειν τὰς σαγίττας.

ιζ'. Ἐν τῷ μέσῳ δὲ τοῦ φοσσάτου σταυροειδῆ πλατεῖαν εἶναι στράταν, τὸ πλάτος μ' ἢ ν' ποδῶν, καὶ ἔνθεν κἀκεῖθεν παρακεῖσθαι αὐτῇ τὰς τέντας ῥυμοειδῶς κατ' ὄρδινον ἐχούσας αὐτὰς ὀλίγον ἀπ' ἀλλήλων διάστημα, καὶ ἕκαστον τουρμάρχην μέσον τῶν ὑπ' αὐτὸν ἀπλικεύειν.

ιη'. Σὺ δὲ τὸν στρατηγὸν εἰς ἓν μέρος, καὶ μὴ ἐν τῷ μέσῳ τῆς πλατείας, ἵνα μὴ καὶ τῇ μέσῃ ἐμποδίζῃς πρὸς πάροδον καὶ ὑπὸ τῶν παρερχομένων ὀχλῆσαι. Τοὺς δὲ καβαλλαρίους, ἐὰν γένηται καιρὸς εἰσελθεῖν, ἐν τῷ μέσῳ τοῦ φοσσάτου ἀπλικεύειν, καὶ μὴ ἐν τοῖς ἄκροις.

ιθ'. Τοὺς δὲ χρησιμωτέρους τῶν κομήτων μετὰ τῶν ὑπ' αὐτοὺς ταγμάτων εἰς τὰς πόρτας τοῦ φοσσάτου ἀφορίζεσθαι, ὥστε μετὰ τὰς ἑσπερινὰς μίσσας μηδένα θαῤῥεῖν μέχρι τοῦ δεδομένου σημείου παρὰ γνώμην τοῦ στρατηγοῦ αὐτῶν εἰσέρχεσθαι ἢ ἐξέρχεσθαι ἐν τῷ φοσσάτῳ.

κ'. Τὰς δὲ νυκτερινὰς βίγλας τῶν καβαλλαρίων ἔσωθεν ὄντων ἀσφαλῶς γίνεσθαι. Ἕκαστος δὲ τουρμάρχης ἵνα ἴδιον μανδάτορα ἀφορίσῃ, ὥστε εἶναι εἰς τὴν κόρτην τοῦ στρατηγοῦ προσεδρεύοντα. Ὁμοίως δὲ καὶ τοὺς δρουγγαρίους καὶ κόμητας εἰς τὴν τένταν τοῦ τουρμάρχου· ἵνα διὰ τούτων συντόμως γινώσκωσι πάντες τὰ ἐντελλόμενα.

κα'. Ἔχειν δέ σε, ὦ στρατηγέ, περὶ ἑαυτὸν βουκινάτορας καὶ μικρῶν βουκίνων καὶ μεγάλων, καὶ τοῦ εἰθισμένου βουκίνου σαλπίζοντος περὶ ἑσπέραν παύεσθαι τῶν πόνων, καὶ δειπνοῦντας ψάλλειν τὸν τρισάγιον ὕμνον (80).

κβ'. Ἀφορίζεσθαι δὲ καί τινας ἰδικοὺς σου ἀνθρώπους πιστούς, ἵνα καταμανθάνωσι τὰς βίγλας, καὶ πᾶσι παραγγέλλωσι σιωπὴν ἔχειν, ὥστε ἐξ ὀνόματος μὴ θαῤῥεῖν μετὰ κραυγῆς καλεῖν τὸν ἑταῖρον αὐτοῦ· πολλὰ γὰρ τὰ ἐκ τῆς σιωπῆς ἀγαθά. Καὶ ὅτι πολλάκις κατάσκοποι πολεμίων ἐκ τούτου τοῦ τρόπου ἐν τῷ στρατοπέδῳ λανθάνοντες ἐφωράθησαν καὶ ἐκρατήθησαν, ὥσπερ καὶ ἐκ τῆς κραυγῆς πολλὰ τὰ συμβαίνοντα βλαβερά.

κγ'. Κωλύειν δὲ καὶ τὰς ὀρχήσεις, καὶ μάλιστα τὰς ἑσπερινάς, καὶ ἄλλο εἴ τι παίγνιον, ὡς μὴ μόνον ἀκόσμους καὶ θορυβοειδεῖς ποιοῦντα ἀταξίας, ἀλλὰ καὶ κόπους ἀνωφελεῖς παρέχοντα.

κδ'. Ἐὰν δὲ μέλλῃς μεθιστᾷν εἰς ἕτερον τόπον ἀπὸ ἀπλίκτου τὸ στράτευμα, καὶ βούλῃ λαθεῖν τοὺς πολεμίους, ἢ τόπους ὀχυροὺς προκαταλαβέσθαι προ-

A carros levium, id est, jaculatorum et sagittariorum simplices tentas, sive tentoria ponas, et a curribus trecentorum, aut quadragintorum pedum intervallo distantes, tumque reliquæ ita constituantur tentæ, id est, tentoria, ut dum hostes sagittas jaciunt, minus in medio collocatæ tentæ feriantur, sed opportuno in loco sagittæ cadant.

17. In medio castrorum platea strata sit ad crucis formam transversa, quadraginta aut quinquaginta pedum latitudine, et hinc atque illinc tentæ et castra, serie quadam et ordine compitorum a se distantia ponantur. Unusquisque autem turmæ præfectus in medio suorum castra habeat.

18. Tu vero, imperator, una aliqua ex parte, et non in media platea castra habeas, ne aliorum B itinera et transitum impedias, tuque ipse a transeuntibus perturbere. Equites, si opportunitas id ferat, in mediis castris, et non in extremis, constitues.

19. Aptissimos quoque comites cum suis cohortibus ad portas fossati collocabis, ut post vespertinas missas nemo audeat præter imperatoris voluntatem, nisi dato signo ingredi, aut e fossato egredi.

20. Nocturnæ equitum excubiæ intus tuto fiant. Unusquisque turmarcha suum mandatorem ad imperatoris cohortem amandet, ut ibi permaneat. Similiter drungarii, id est tribuni et comites, ad C turmarcharum castra suos mittant, ut per eos celeriter cognoscant, quæ agenda sunt.

21. Habeas tecum, o imperator, buccinatores tum majorum buccinarum, tum minorum, et consueta buccina vesperi sonante, desinant a laboribus, et ubi cœnaverint, τρισάγιον, id est, ter sanctum hymnum (81) canant.

22. Quosdam etiam singulares viros fideles constitues, ut excubias perlustrent, et omnibus præcipiant silentium, ut ne nomine quisquam socium suum appellare audeat; multa enim ex silentio bona proficiscuntur. Persæpe enim ad hunc modum hostium speculatores deprehensi in exercitu atque adeo capti sunt, quemadmodum con- D tra ex clamore et tumultu multa sæpe mala exsistunt.

23. Prohibeas etiam orcheseis (82) et maxime nocturnas, et si quid aliud ludicrum est, quæ non solum indecoras et tumultuosas ordinis perturbationes faciunt, sed etiam labores inutiles præbent.

24. Si exercitum a castris ad alia castra transferre cupis, idque clam hostes facere, vel locum aliquem firmum hostibus præripere studes, aut

NOTÆ.

(79) *Εὔκαιρον διάστημα.* Scribebatur, καιρὸν διάστημα.

(80) *Ψάλλειν τὸν τρισάγιον ὕμνον.* De hoc hymno plene nos in *Glossario* nostro commentati sumus.

(81) Hoc est, saltationes, choreas.

(82) Trisagion non est hymnus ter sanctus, sed hymnus, in quo Deus ter seu tribus vicibus sanctus prædicatur.

loca quædam fugis propter offensiones quæ ab hostibus oriri possunt, et in necessitatem prœliandi venire nolueris, ignes multos facito, et discede; hostes enim eos ignes si cernant, arbitrabuntur te in castris esse, sicque quod cupis efficies.

25. Hoc Nicephorum copiarum nostrarum imperatorem, quando in Syriam ingenti cum exercitu a nobis missus est, fecisse novimus. Nam cum magnam prædam in media hostili terra fecisset, hostibus permultis adversus eum congregatis, quos Apulpher eunuchus Saracenorum et barbaricarum copiarum imperator coegerat, tamen ad hunc modum populata hostili terra, captivos suos reliquamque prædam integram abduxit.

26. Adversum Bulgarorum expeditionem tale aliquid ab eodem excogitatum est, quod nequaquam oblivioni mandandum est: simul enim ad vecturam expeditum, et ad custodiam necessarium fuisse advertebatur. Radios duos quæ canonia vocant, æquales, trium dodrantium aut paulo amplius longitudine, ad formam Λ, id est, *lambda* litteræ jungebat: alterum autem radium sive canonion, quinque aut sex drodantium longitudine, menauli, id est jaculi instar ad bipes illuc adjungens, tripes fecit, firmatis inter se in jungendo pedibus. In summo autem illo quasi menaulo cuspis quædam magna et ampla injecta est, e tripode eminens duos dodrantes, aut paulo amplius. Itaque ligneos istos tribulos sive murices quando volebat iterum conjungens ad munitionem simul et arma in necessariis temporibus habebat, si quando hostium equites in castra nostra irruptionem atque impressionem facere moliebantur, qui hoc quasi vallo impedirentur; sæpe et vulnerabantur invadentes, cum facile tolli, gestari et defigi possit. Sæpe autem quando fossa non ducebatur, hæc tamen arma ad incolumitatem parata semper habebat.

27. Quando autem secure et sine timore castra moves, mandata pridie vesperi mandatori danda sunt, rursumque post lucem diei quo castra moventur, buccinam ter significare hoc oportet, omnesque ordine atque instructa acie procedant, et primo graves, deinde currus, et si quid aliud ad militarem usum vehi oportet.

28. Tribulorum, id est, muricum usus in castris pernecessarius est. Si enim vel saxosus locus fuerit, vel fodere non potuerint, vel tempore destituantur, eumdem in castris ponendis usum tribuli idonee collocati afferunt, quem et fossa ipsa apportat.

29. Diversos situs et formas fossatorum antiqui tradiderunt in castris ponendis. laudabilis autem

A αἱρῆσαι, ἢ τοὺς ὄντας τοιούτους φεύγῃς διά τινας ἐκ τῶν πολεμίων βλάβας, καὶ οὐ βούλῃ ἐλθεῖν εἰς ἀνάγκην τοῦ μάχεσθαι, πυρὰ πολλὰ καύσας ἀναχώρει· βλέποντες γὰρ οἱ πολέμιοι τὰ φῶτα δόξουσιν ἔτι ἐν τῷ ἀπλίκτῳ σε μένειν, καὶ ἐκτελέσεις σου τὸ βούλημα.

κε'. Τοῦτο δὲ καὶ Νικηφόρον ἴσμεν τὸν ἡμέτερον στρατηγὸν πεποιηκέναι, ὅτε κατὰ Συρίας ἀπεστάλη παρ' ἡμῶν μετὰ δυνάμεως ἱκανῆς, πολλήν τε ποιησάμενος λεηλασίαν, καὶ οὕτω μετατεθεὶς ἐν μέσῃ τῇ πολεμίᾳ, τῶν ἐχθρῶν αὐτοῦ που συνηγμένων οὓς Ἀπουλφὲρ ὁ εὐνοῦχος ὁ τῶν Σαρακηνῶν στρατηγὸς ἐπεφέρετο, ἤγουν τῶν βαρβαρικῶν δυνάμεων, τήν τε αἰχμαλωσίαν τὴν βαρβαρικὴν, καὶ πᾶσαν τὴν ἄλλην πραῖδαν ἣν εἶχεν ἀβλαβῶς διεσώσατο ληϊλατήσας τὴν πολεμίαν.

μη'. Τῆς δὲ εἰρημένης ἡμῖν ἀναλογίας, ἤγουν τοῦ μέτρου, φυλαττομένης ἐκ τοῦ περισσεύοντος στρατοῦ τὴν δευτέραν καταστήσεις τάξιν.

B μθ'. Κελεύομεν δέ σοι καὶ τὰ κοντουβέρνια τῶν στρατιωτῶν ἀπὸ παλαιῶν καὶ νέων γίνεσθαι ἀναλόγως, ἵνα μὴ οἱ παλαιοὶ μόνοι τασσόμενοι καθ' ἑαυτοὺς ἀσθενεῖς εἰσιν, μηδὲ οἱ νεώτεροι ἄτακτοι εὑρεθῶσιν ὡς ἄπειροι.

ν'. Ὁπλίσεις δὲ τὴν παράταξιν οὕτως· τὸν μὲν πρωτοστάτην τῆς πρώτης τάξεως, καὶ τὸν μετὰ ἐκεῖνον ἱστάμενον, τοῦτ' ἔστι τὸν δεύτερον, ἔτι δὲ καὶ τὸν ἑστῶτα ὀπίσω πάντων, ἤγουν τὸν οὐραγὸν, κονταράτους ποιήσεις μετὰ τῆς λοιπῆς αὐτῶν ἐξοπλίσεως· τοὺς δὲ λοιποὺς πάντας τοὺς ἐν μέσῳ ἐκείνων τασσομένους, ὅσοι τοξεύειν οἴδασι, χωρὶς κονταρίων εἶναι ποιήσεις. Οὐδὲ γὰρ δυνατόν ἐστι δεόντως περιάγειν τινὰ τόξον ἐπάνω ἵππου, ἐὰν ἐν τῇ ἀριστερᾷ C αὐτοῦ καὶ τὸ σκουτάριν κατέχῃ καὶ τὸ τόξον. Εἰ δὲ γυμνασθῇ ὁ στρατιώτης ὥστε ἡνίκα τοξεύει εὐφυῶς πέμπει τὸ σκουτάριον, οὐδὲ τοῦτο ἄχρηστον ἡμῖν καταφαίνεται.

να'. Πρὸς τούτοις κελεύομέν σοι, ὦ στρατηγὲ, ἵνα ἀφορίσῃς καὶ μάλιστα εἰς τὴν πρόμαχον παράταξιν τοὺς λεγομένους δεσποτάτους, τοῦτ' ἔστι τοὺς ἐπιμελητὰς τῶν τραυματιζομένων στρατιωτῶν. Καὶ καταστήσεις ὀκτὼ ἢ δέκα ἄνδρας καθ' ἕκαστον βάνδον ἐκ τοῦ αὐτοῦ τάγματος ἐλαφροὺς καὶ γοργοὺς ἄνευ ὅπλου, τοὺς ὀφείλοντας ὄπισθεν ὡς ἀπὸ ἑκατὸν ποδῶν τοῖς ἰδίοις τάγμασιν ἀκολουθεῖν, ἵνα τοὺς ἐν ταῖς συμπλοκαῖς τοῦ πολέμου, ὡς πολλάκις γίνεται, τραυματιζομένους ἐπικινδύνως, ἢ ἐκπίπτοντας ἀπὸ τῶν ἵππων, καὶ μὴ δυναμένους μάχεσθαι, ἀναλέγωνται καὶ περιποιῶνται, ἵνα μὴ καταπατῶνται ὑπὸ τῆς D δευτέρας παρατάξεως οἱ ἀληθῶς γενναῖοι στρατιῶται, καὶ ἐκ τῆς ὀλιγωρίας τῶν τραυμάτων διαφθείρωνται, καὶ ἵνα οἱ διασώζοντες αὐτοὺς λαμβάνωσιν ὑπὲρ μισθοῦ ἀπὸ τοῦ ταμείου τῆς βασιλείας ἡμῶν κατὰ ἕνα ἕκαστον στρατιώτην διασωζόμενον παρ' αὐτῶν νόμισμα ἕν.

52. Tales deinde, postquam versi in fugam hostes fuerint, et secunda acies transierit, spolia, quæ in primæ conflictationis loco inventa fuerint, congregent, et præstitibus, sive contubernii sui decanis post confectum prælium tradant : cujus laboris et ipsi quoque aliquam mercedem habeant. Hanc enim rerum fortuitarum præstitibus in bello prærogativam justam atque idoneam esse arbitramur, quia in prima belli conflictatione maxima pericula et discrimina subeunt. Hac ex re hæc præterea utilitas

νβ'. Εἶτα δὲ οἱ τοιοῦτοι μετὰ τὸ τραπῆναι τοὺς ἐχθροὺς, καὶ παρελθεῖν τὴν δευτέραν παράταξιν, τότε τὰ σκῦλα τὰ εὑρισκόμενα ἐν τῷ τόπῳ τῆς πρώτης συμβολῆς αὐτοὶ συνάγουσι, καὶ τοῖς δεκάρχοις ἤγουν τοῖς πρωτοστάταις τοῦ ἰδίου τάγματος μετὰ τὸ λυθῆναι τὴν μάχην παρέχουσιν αὐτά. Λαμβάνουσι δὲ καὶ αὐτοὶ ὑπὲρ τούτου παρὰ τῶν δεκάρχων εἰς παραμυθίαν αὐτῶν μοῖράν τινα. Τοῦτο γὰρ τοῖς πρωτοστάταις ἐν ταῖς μάχαις προνόμιον δίκαιον καὶ ἁρμόδιον ἐν ταῖς ἐπιτυχίαις ἔχειν κελεύομεν, καθ'

ὅτι πλέον τῶν λοιπῶν τῆς ἀνάγκης μετέχουσιν ἐν τῇ πρώτῃ συμβολῇ τοῦ πολέμου· ἀγαθὸν δὲ καὶ ἕτερον γίνεται, ἵνα μὴ διὰ τὸ σκυλεῦσαι τοὺς πίπτοντας ἐχθροὺς, τινὲς ἐκ τῶν ἵππων κατέρχωνται, καὶ τὴν παράταξιν διαλύωσιν.

A accedit, quod ob hostes cadentes despoliandos nulli ex equis descendunt, et stationem suam deserunt.

νγ'. Ἵνα δὲ εὐκόλως ἐπὶ τῶν ἵππων ἀναβαίνωσιν οἵ τε λεγόμενοι δεσποτάτοι καὶ οἱ τραυματιζόμενοι στρατιῶται οἱ ἀπὸ τῶν ἵππων πίπτοντες, πρέπον ἐστὶν, ἵνα ὁ δεποτάτος τὰς δύο σκάλας εἰς τὸ ἀριστερὸν μέρος τῆς σέλλας ἔχῃ· τοῦτ' ἔστι τὴν μίαν πρὸς τῷ ἐμπροσθοκουρβίῳ, καὶ τὴν ἑτέραν πρὸς τῷ ὀπισθοκουρβίῳ, ἵνα ὅταν μέλλουσιν οἱ δύο ἐπὶ τοῦ ἵππου ἀνέρχεσθαι, ὁ μὲν διὰ τῆς σκάλας τῆς ἔμπροσθεν, ὁ δὲ διὰ τῆς ἑτέρας σκάλας ἀνέρχεται. Ἀναγκαῖον δέ ἐστι τοὺς λεγομένους δεσποτάτους καὶ εἰς φλασκεῖα ὕδωρ βαστάζειν διὰ τοὺς πολλάκις λιποθυμοῦντας τραυματίας.

53. Ut vero facile conscendere equos possint tum despotati, tum milites vulnerati, qui ex equis ceciderunt, par est, ut despotati duas scalas ad lævam partem sellæ habeant, unam ad emprosthocurbium, id est antifenam, alteram ad episthocurbium, id est postifenam, ut quando hi duo equum conscensuri sunt, alter ad scalam anticam, alter ad posticam conscendat. Ferant autem despotati secum in phlasciis aquam, quia sæpe sauciati animo deficere solent.

B

νδ'. Ἐν δὲ τῷ καιρῷ τῆς μάχης φλάμουλα τὰ κοντάρια μὴ ἐχέτωσαν. Ὅσον γάρ εἰσιν εἰς ἐπίδειξιν καὶ κόμπον ἀναγκαῖα τὰ φλάμουλα, τοσοῦτόν εἰσιν ἐν ταῖς μάχαις ἄχρηστα. Ἐὰν γάρ τις βούληται εὐκαίρως ῥίψαι, ἢ ἀκοντίσαι, ἢ τοξεῦσαι, οὐ συγχωρεῖ τὸ φλάμουλον εὐστόχως εἰς ὀρθὸν, ἢ εἰς μῆκος βάλλεσθαι τὸ ῥιπτόμενον. Ἐὰν δὲ καὶ τοξείας καιρὸς γένηται, παρεμποδίζει τοῖς ὄπισθεν τοξεύουσιν, ἀλλὰ καὶ εἰς τὰς ἐξελασίας καὶ εἰς τὰς ἐπιστροφὰς καὶ εἰς τὰς ἀντιστροφὰς οὐκ ὀλίγον ἐμποδισμὸν ποιοῦσιν. Καὶ διὰ τοῦτο ἐν ταῖς μάχαις ταῦτα χρηματίζειν οὐ πρέπει.

54. Belli ipsius tempore, hastæ ne habeant flamula; in quo enim ad ostentationem et pompam necessaria sunt, in eo ad bellum gerendum inutilia sunt. Si enim quis opportune conjicere voluerit, sive jaculum, sive sagittam, flamulum magno impedimento ad id erit, ut vel prope ad scopum, vel ad spatium aliquod longum projiciatur. Sin sagittarum jaciendarum tempus fuerit, flamula admodum retardabunt sagittarios a tergo sagittas emittentes. Ad excursiones autem omnes, conversiones, reversiones, haud parvo impedimento sunt· itaque in bello minime illis utendum est.

C

νε'. Ἀλλὰ διὰ μὲν τὸν κόμπον τῆς παρατάξεως, ὥστε φαίνεσθαι μήκοθεν ἔχειν μὲν τὰ φλάμουλα εἰς τὰ κοντάρια, ἕως ἂν οἱ ἐχθροὶ φθάσωσιν ἀπὸ μιλίου ἑνός· ἀπὸ τότε δὲ ἵνα συστέλλωσιν αὐτὰ καὶ ἐν τοῖς θηκαρίοις αὐτῶν ἀποτιθῶσιν.

55. Ad splendorem aciei honestandum, ut eminus ab hostibus flamula in hastis cernantur, dum hostes intra unum milliare sunt, valent; tum vero retrahant ea, et in thecis suis reponant.

νς'. Πρὸς τούτοις κελεύομέν σοι, ἵνα ἀπὸ τῶν ἰσχυρῶν καὶ δυνατῶν ταγμάτων καθ' ἕκαστον τάγμα, ἀπὸ δὲ τῶν ἄλλων ὑποδεεστέρων καθ' ἑκάστην τούρμαν σκουλκάτορας ἤγουν βιγλεύοντας ἀφορίσεις, δύο μὲν κατὰ τάγμα, ὀκτὼ δὲ ἢ δώδεκα κατὰ τούρμαν ἀγρύπνους καὶ διεγηγερμένους καὶ γοργοὺς, οἵτινες καὶ πρὸ τοῦ πολέμου καὶ ἐν αὐτῷ τῷ πολέμῳ ἐν τοῖς ἰδίοις αὐτῶν μέρεσιν εἰς οὓς καὶ τάσσονται τόπους ἀπὸ διαστημάτων σκουλκεύειν ὀφείλουσιν ἕως τῆς τελείας τοῦ πολέμου ἐκβάσεως, ἵνα μὴ ἀπὸ ἐγχρύμματος ἐπιδρομὴ ἢ δόλος αὐτοῖς ὑπὸ τῶν ἐχθρῶν γενήσεται.

56. Ad hæc præcipimus, ut si fortes ac strenuæ fuerint cohortes, singulis cohortibus duo, sin minus, ex singulis turmis octo, aut duodecim sculcatores, et biglevontes, quos speculatores et excubias appellamus, vigilantes, industrii, truces eligantur, qui ante bellum, et ipso in bello usque ad totius belli exitum, iis in locis, in quibus eminus collocantur, diligenter suis turmis et cohortibus prospiciant, et speculentur, ne qua ex insidiis incursio aut dolus hostium obversetur.

D

νζ'. Καὶ τοὺς μινσουράτορας δὲ τοσούτους εἶναι τοὺς ὀφείλοντας προλαμβάνειν, καὶ τὰ ἄπλικτα μετρεῖν, καὶ τὰς ὁδοὺς προγινώσκειν, καὶ πρὸς τὰ ἄπλικτα τὸν στρατὸν ὁδηγεῖν. Καὶ περὶ μὲν τούτων τοσαῦτα εἰρήσθω.

57. Mensuratores autem totidem esse oportet, qui aplicta, id est castra anticipare et dimetiri debent, viasque providere, atque ad castra exercitum ducere. Ac de iis hæc a nobis dicta sunto.

νη'. Χρὴ δὲ τὴν σὴν ἐνδοξότητα τὰ μὲν τῆς πρώτης παρατάξεως μέρη παρασκευάζειν, ὥστε πλησίον ἀλλήλων περιπατεῖν μὴ ἀπὸ πολλοῦ διαστήματος ἤτοι διαλείμματος τὸ μεταξὺ αὐτῶν ἀπὸ μέρους εἰς μέρος, ἀλλ' ὅσον μὴ συντρίβεσθαι ἐν τῷ περιπατεῖν, μηδὲ διακεκριμένα ἀπ' ἀλλήλων φαίνεσθαι.

58. Primam aciem sic dignitas tua instruet, ut prope se mutuo ambulent, neque longius intervallum aut spatium interjectum sit, quam ut se se mutuo in itinere affligant, ne nimis a se partes distare videantur.

νθ'. Τοὺς δὲ πλαγιοφύλακας μέχρι μὲν τοῦ ἐγγίζειν τοὺς ἐχθροὺς ἐγγὺς εἶναι, ὅταν δὲ ἐγγίζωσιν

59. Laterani usquedum hostes prope affuerint, aciei reliquæ adjuncti sint: tum autem sagittæ

unius jactu, neque plus eo, ad lævam recedant, idque potissimum quando longitudine hostium acies nostram aciem superat, qui ad circumcludendos hostes collocati sunt, ad dextram partem faciant.

60. Partes, sive turmas secundæ aciei ad latera, id est, oblique unius sagittæ jactæ intervallo collocabis ; a tergo autem, sive post primam aciem ambulent. Itaque quandiu hostes longe a loco prœlii ad unum milliare, aut eo plus absunt, tam longe sequantur, ut ab hostibus cerni advertique nequeant, ne si advertantur, aliquas insidias molitionesque adversus eas hostes instruant. Ubi autem hostes jam prope fuerint, et emergente atque in conspectum secunda jam acie adventante, minime apparare aliquas copias adversum eas hostes potuerint, ad sagittæ quater jactæ intervallum secunda acies accedat, et primam aciem diligenter observet. Neque enim abesse longe ipsius conflictationis tempore acies debet, ut ne omni præsidio destitutam eam relinquat, neque rursus nimis prope accedat, ne pulvere maximo excitato, ea cum prima acie permista sit, et antequam discesserint hostes insequi primam aciem putetur.

61. Cohortes, quæ post oras secundæ aciei hinc atque illinc utrimque locantur, unius sagittæ jactu a cæteris constituantur, atque ita sequantur.

62. Insignia, quæ in exercitu sunt, cohortium minora et leviora sint : merarcharum, vel drungariorum, seu tribunorum majora et distinctiora : turmarcharum autem insignia admodum diversa a tribunorum suorum insignibus. Principis tui, sive proprætoris, multum distincta sint insignia. Tuum autem insigne a cæteris omnibus insignibus diversum esse debere nemo ignorat, ut in rebus perturbatioribus in insigne intuentes, revocare eos domum, et ad sua loca transferre præfecti possint.

63. Omnibus cohortibus æquabiliter in fronte collocatis, strenuos ex illis milites undeviginti aut viginti eliges, qui ad custodiam uniuscujusque illorum et administrationem constituentur.

64. Præfectos majores tuto et firmo loco in exercitu collocabis, ne impetu quodam incitati præcipites in periculum ruant, atque inde magna perturbatio militibus oriatur. Ex minoribus enim præfectis si quis trucidetur, nemini facile patelit, nisi suæ ipsius solum cohorti : sin quis ex nobilibus ceciderit, per multorum hominum ora pervagatus rumor, universo exercitui perturbationem afferet.

65. Princeps, sive proprætor tuus, reliquique turmarchæ in fronte cohortium suarum consistentes, circumspiciant et appareat aciem usquedum

A ὡς ἀπὸ σαγιττοβόλου τοῦ ἀριστεροῦ μέρους παρεκβαίνειν, καὶ μὴ πλέον, ἐὰν μάλιστα ὑπερέχει εἰς μῆκος ἡ τῶν ἐναντίων παράταξις. Ὁμοίως δὲ καὶ τοὺς ὑπερκεράστας, ἤγουν τοὺς κυκλοῦν τοὺς πολεμίους ὀφείλοντας, τάξεις δὲ εἰς τὸ δεξιὸν μέρος.

ξ'. Τὰ δὲ μέρη τῆς δευτέρας παρατάξεως κατὰ μὲν πλευρὰν ἀλλήλων ἤτοι εἰς τὰ πλάγια ἀπὸ ἑνὸς σαγιττοβόλου τάξεις· κατὰ οὐρὰν δὲ, ἤγουν κατὰ ὄπισθεν, τῆς πρώτης παρατάξεως περιπατεῖν· ὥστε μέχρι μὲν οἱ πολέμιοι μακρὰν ἀφεστήκασιν ἀπὸ ἑνὸς ἢ καὶ πλέον μιλίου πρὸς τὴν τοῦ τόπου θέσιν, ὅσον δυνατόν ἐστιν ἀφανῶς ἐπακολουθεῖν εἰς τὸ μὴ καθορᾶσθαι μήκοθεν ταύτην τοῖς πολεμίοις καὶ μεθοδεύεσθαι ἢ ἐπιβουλεύεσθαι ὑπ' αὐτῶν. Ὅταν δὲ οἱ ἐχθροὶ ἐγγίζουσιν, καὶ λοιπὸν φαινομένης τῆς B δευτέρας οὐ φθάζουσιν ἁρμόσασθαι, τότε ἐπιφαίνεσθαι αὐτὴν, καὶ ἕως τεσσάρων σαγιττοβόλων ἐγγίζειν τῇ πρώτῃ, καὶ κανονίζειν ἤγουν ἐπισκοπεῖν αὐτήν. Οὐδὲ γὰρ μήκοθεν πολὺ ὀφείλει εἶναι ἡ δευτέρα τῆς πρώτης ἐν καιρῷ τῆς συμβολῆς, ἵνα μὴ ἀβοήθητον αὐτὴν καταλείπῃ. Οὐδὲ πάλιν πολὺ ἐγγὺς, ἵνα μὴ συμφύρηται τῇ πρώτῃ ἐν ταῖς συμβολαῖς, κονιορτοῦ μάλιστα κινουμένου, καὶ πρὸ τοῦ διαλυθῆναι τοὺς πολεμίους καταδιώκουσα τὴν πρώτην εὑρεθῇ.

ξα'. Τὰ δὲ τάγματα τὰ ὄπισθεν τῶν ἄκρων τῆς δευτέρας ἑκατέρωθεν τασσόμενα, ἤγουν ἐντεῦθεν καὶ ἐκεῖθεν, δεῖ ὡς ἀπὸ ἑνὸς σαγιττοβόλου αὐτῶν εἰς νώτου φυλακὴν ταγῆναι, καὶ οὕτως ἀκολουθεῖν.

C ξβ'. Τὰ δὲ βάνδα, ἤγουν τὰ σημεῖα αὐτῶν, χρὴ καθ' ἑκάστην τοῦρμαν, τὰ μὲν τῶν ταγμάτων μικρότερα εἶναι καὶ ἐλαφρά· τὰ δὲ τῶν μοιραρχῶν, ἤτοι τῶν δρουγγαρίων, μεγαλώτερα καὶ ἐξηλλαγμένα· ὁμοίως δὲ καὶ τὰ τῶν τουρμαρχῶν ἐξηλλαγμένα πρὸς τὰ τῶν ὑπ' αὐτοὺς τασσομένων δρουγγαρίων. Τὸ δὲ ὑποστρατήγου βάνδον διαφορὰν ἔχειν παρὰ τὰ τῶν τουρμαρχῶν βάνδα, ὥσπερ οὖν καὶ τὸ τῆς σῆς ἐνδοξότητος ἐνηλλαγμένον ὀφείλει εἶναι καὶ διαφανὲς παρὰ τὰ ἄλλα πάντα, καὶ πᾶσιν εὔγνωστον, ἐφ' ᾧ ἐν δευτέρᾳ τύχῃ πρὸς αὐτὸ βλέποντας εὐκόλως, ὡς εἴρηται, συνάγεσθαι, καὶ ἑαυτοὺς ἀνακαλεῖσθαι τούς τε ἄρχοντας καὶ τοὺς στρατιώτας.

ξγ'. Πάντων δὲ τῶν βάνδων ἰσομετώπων ἐν τάξει ἱσταμένων, δέον ἐκ τῶν περὶ αὐτὰ τασσομένων στρα- D τιωτῶν τοὺς γενναιοτέρους καὶ πεντεκαίδεκα ἢ καὶ εἴκοσι ἄνδρας ἀφορίσαι ἐπὶ τῇ ἑκάστου αὐτῶν φυλακῇ καὶ διεκδικήσει.

ξδ'. Τοὺς δὲ ἄρχοντας τοὺς μείζονας ἀσφαλῶς δεῖ τάσσεσθαι εἰς τὸ μὴ προπετευομένους ἐν ταῖς μάχαις διαπίπτειν, καὶ ἐντεῦθεν ὀλιγωρίαν τοῖς στρατιώταις ἐγγίγνεσθαι· ἐκ μὲν γὰρ τῶν μικροτέρων ἀρχόντων, εἰ συμβῇ παραπεσεῖν τινα, οὐδενὶ εὐκόλως γινώσκεται, ἀλλ' ἢ τοῖς τοῦ ἰδίου τάγματος μόνοις· εἰ δέ τις τῶν ἐμφανῶν διαπέσῃ, ἢ τοῖς πᾶσιν, ἢ τοῖς πολλοῖς δηλούμενος ὁ θάνατος αὐτοῦ ὀλιγωρίαν τῷ ὅλῳ στρατῷ εἰσάγει.

ξε'. Διὸ πρέπον ἐστὶν, ὦ στρατηγὲ, τὸν ὑποστράτηγον καὶ τοὺς τουρμάρχας μέχρι μὲν ἀπὸ ἑνὸς ἢ δευτέρου σαγιττοβόλου τῆς τῶν ἐχθρῶν παρατάξεως

ἰσομετώπους τάσσεσθαι μετὰ τῶν βάνδων, καὶ ἐπιβλέπειν καὶ ἁρμόζειν τὴν τάξιν· ὅταν δὲ μέλλῃ συμβολὴ γίνεσθαι, ἐκ τῶν ἰδικῶν αὐτῶν ἀνθρώπων τοὺς γενναιοτέρους εἰς τὸ πλάγιον αὐτῶν παρατάσσεσθαι, καὶ προέρχεσθαι εἰς ὄψιν αὐτῶν, καὶ σκέπειν, καὶ ἐκείνους μᾶλλον χεῖρας μιγνύειν.

ξϛ'. Τὴν δὲ σὴν ἐνδοξότητα κελεύομεν, μέχρι μὲν ὁ καιρὸς τῆς συμβολῆς γένηται, τάσσειν, καὶ ἐπιβλέπειν, καὶ ἁρμόζεσθαι τῇ τῶν ἐχθρῶν κινήσει. Τότε δὲ ἐν τῷ ἰδικῷ σου ἔρχεσθαι τάγματι, ὅπερ οὐ πρὸς μάχην, ἀλλὰ πρὸς σκοπόν τινα καὶ κανόνα τῆς πρώτης καὶ δευτέρας τάξεως τέτακται· τοῦτ' ἔστιν ἐν τῷ μέσῳ χωρίῳ τῆς δευτέρας τάξεως.

ξζ'. Πολλὰ δὲ βούκινα λαλεῖν ἢ κινεῖν ἐν καιρῷ μάχης, ὡς ἐπιβλαβὲς ὂν οὐ συμβουλεύομεν, ἵνα μὴ ἐκ τούτου θόρυβός τις καὶ σύγχυσις γένηται· καὶ γὰρ διὰ τοῦτο οὐδὲ τὰ παραγγελλόμενα καλῶς ἐξακούεσθαι δύναται. Ἀλλ' εἰ μὲν ὁ τόπος ὁμαλὸς εὑρεθῇ, ἀρκεῖ τὸ βούκινον τοῦ μέσου μέρους ἑκατέρᾳ παρατάξει. Εἰ δὲ ἀνώμαλός ἐστιν, ἢ ἄνεμος, ὡς πολλάκις, ταραχώδης κινεῖται, ἢ ἦχος ὕδατος παρεμποδίζει τῇ φωνῇ τοῦ καθαρῶς διακούεσθαι, οὐκ ἄτοπον τότε καὶ ἐν τοῖς λοιποῖς μέρεσιν ἓν βούκινον ἐν ἑκάστῳ μέρει λαλεῖν, ὥστε τρία λαλεῖν βούκινα ἐν ὅλῃ τῇ παρατάξει. Ὅσον γὰρ ἡ ἡσυχία φυλάττεται, τοσοῦτον καὶ οἱ νεώτεροι ἀτάραχοι, καὶ τὰ ἄλογα ἄπτυρτα γίνεται, καὶ ἡ τάξις φοβερωτέρα τοῖς ἐχθροῖς φαίνεται, καὶ τὰ μανδᾶτα εὐκόλως γινώσκονται.

ξη'. Διὸ οὐδὲ τὴν οἵαν οὖν φωνὴν ἀκαίρως δεῖ ἀκούεσθαι μετὰ τὸ κινεῖσθαι τὴν παράταξιν ἐπὶ πόλεμον, ἀλλ' ἅμα τοῦ ἐξελθεῖν ἀπὸ τοῦ φοσσάτου ἤγουν τοῦ ἀπλίκτου τὸν στρατὸν ἐπὶ τὴν μάχην παντοίαν ἡσυχίαν ἄγειν καὶ μηδὲν ἀκαίρως φθέγγεσθαι. Τοῦτο γὰρ οὐ μόνον τὸν στρατὸν ἀτάραχον φυλάττει, ἀλλὰ καὶ τὰ τῶν ἀρχόντων βάνδα μετὰ προσοχῆς ἀποσκοπεῖσθαι ποιεῖ.

ξθ'. Τὸ δὲ μέτρον καὶ τὴν ποιότητα τῆς συμβολῆς αὐτὸ τὸ πρᾶγμα δοκιμάζει, καὶ ἡ σφίγξις ἡ πρέπουσα, καὶ ἡ τῶν ἐχθρῶν παρουσία. Καὶ κινοῦντα μὲν πρὸς τὴν συμπλοκὴν τὴν συνήθη νικητήριον τοῦ σταυροῦ φωνὴν ἀνακράζειν δεῖ.

ο'. Ὅταν δὲ εἰς χεῖρας ἔλθῃ ὁ στρατὸς, τότε ἀλαλάζειν, ἢ ὠρύεσθαι, καὶ μάλιστα τοὺς ὄπισθεν τασσομένους τῶν ἰδίων οὐκ ἄτοπόν ἐστιν.

οα'. Ἁρμόδιον δὲ ἡμῖν καταφαίνεται ἐν τῷ τῆς συμπλοκῆς καιρῷ καὶ τὸ τῶν λεγομένων καντατόρων ἔργον. Οὗτοι δέ εἰσιν οἱ τὸν στρατὸν διὰ λόγων παροτρύνοντες, καὶ συμβουλεύοντες, καὶ κατεπᾴδοντες, καὶ παρακαλοῦντες πρὸς τοὺς ἀγῶνας, καὶ ἵνα, εἰ δυνατὸν, ἐξ αὐτῶν ἐκείνων τῶν στρατιωτῶν ἢ τῶν ἀρχόντων τὸ τοιοῦτον ἔργον ποιεῖται. Ἐπιλέγονται δὲ τοιούτους λογίους ἄνδρας οἱ ἄρχοντες καὶ δυνατοὺς διὰ λόγων ὁμιλεῖν τῷ στρατῷ. Ἡ γὰρ κοινωνία τοῦ καμάτου καὶ τῶν πόνων εὐπειθεστέρους ποιεῖ τοὺς ἀκούοντας τοῖς παρακολουθοῦσι συστρατιώταις.

οβ'. Λέγειν δὲ τοὺς καντάτορας πρὸς τὸν στρατὸν προ-

A intra unius aut alterius sagittæ jactum hostes fuerint : ubi autem committendæ acies sunt, strenuissimos quosque ex suis viris ad latus suum instruant, et in illorum conspectum veniant, illosque ad manus conserendas impellant.

66. Dignitati tuæ præcipimus, ut usque ad conflictationis tempus instruas, perlustres, atque adpares exercitum adversus hostium impetum : consertis jam manibus ad tuam ipsius cohortem venias, non ut ibi prœlieris, sed ut speculeris, et perlustres tum primam, tum secundam aciem, hoc est ad medium locum secundæ aciei.

67. Multas buccinas concitare atque inflare, belli tempore inscitum atque inconsultum esse videtur, B quia ex eo perturbatio et confusio orietur, neque enim bene imperata exaudiri possunt. Si enim locus æquabilis fuerit, mediæ turmæ buccina utrique aciei satis fuerit. Sin inæqualis fuerit, aut ventus, quod sæpe fit, turbulentus flet, vel aquarum susurrus vocem clare exaudiri impediat, haud abs re fuerit in reliquis turmis unam buccinam in unaquaque turma personare, ut in acie universa tres solum buccinæ sonent. Quanto enim magis silentium servatur, tanto magis adolescentiores firmiori animo sunt, et jumenta magis intrepida, aciesque ipsa hostibus terribilior esse videtur, imperataque celerius nota fiunt.

68. Itaque ubi exercitus ad bellum procedit, C nullam oportet vocem aut sonum a quoquam temere emitti, sed simul ut e castris ad prœlium vadit acies, tacita iter faciat, nihilque temere loquatur : hoc enim non modo exercitum animosiorem facit, sed et præfectorum cohortes attentius animadverti facit.

69. Modum et formam confligendi res ipsa, et commoda densatio, et inimicorum præsentia, efficient. Cum vero jam ad conflictationem movet exercitus, consueta Christianis vox usurpanda est, νικητήριον τοῦ σταυροῦ, crucis victoria.

70. Manibus jam consertis clamores quam maximos altissimosque edere non inutile fuerit, atque eos in primis, qui a tergo aciei instruuntur, tum D ad hostes perterrefaciendos, tum ad suos confirmandos.

71. Cantatorum quoque munus in prœlio negligendum non est : ii sunt, qui exercitum universum oratione sua ad prœlium incitant, impellunt, consulunt, adhortantur. Si fieri poterit, iidem milites præfectique, qui ad dimicationem procedunt, ad hoc munus faciendum eligantur. Eligantur autem eloquentes viri, quique oratione sua vertere in omnes partes militum animos possint. Societas enim operæ laborumque, magis obedientes atque alacres ad exhortationes approbandas persequendasque facit.

72. Cantatores autem suasoria quædam atque

exhortationes tales adhibeant. Primum commemorent mercedem fidei in Deum : deinde regiam beneficentiam : beneficia ante collata : causam susceptam pro Deo, et ejus dilectione, ac pro universa natione, atque adeo pro fratribus omnibus fidelibus, et si usus ferat, pro uxore, liberis, patria : sempiternam esse memoriam eorum qui strenue se in bello pro fratrum libertate gerunt : contra Christi hostes hoc bellum susceptum esse : nos Deum habere propitium, in cujus manu omne belli momentum ponitur : illos propter incredulitatem contrario in statu esse, et si quid tale excogitatum sit, quod illorum mentes ad bellum inflammare possit. Ejusmodi enim oratio commode habita, animos hominum magis impellit, quam magnus pecuniæ numerus.

A τρεπτικά τινα πρὸς τὸν πόλεμον τοιαῦτα· πρῶτον μὲν ἀναμιμνήσκοντας τῶν μισθῶν τῆς εἰς Θεὸν πίστεως, καὶ τὰς ἐκ βασιλέως εὐεργεσίας, καί τινων ἐπιτυχιῶν προγεγενημένων. Καὶ ὅτι ὁ ἀγὼν ὑπὲρ Θεοῦ ἐστι, καὶ τῆς εἰς αὐτὸν ἀγάπης, καὶ ὑπὲρ ὅλου τοῦ ἔθνους. Πλέον δὲ ὑπὲρ ἀδελφῶν τῶν ὁμοπίστων, εἰ τύχοι, καὶ ὑπὲρ γυναικῶν, καὶ τέκνων, καὶ πατρίδος· καὶ ὅτι αἰωνία μένει μνήμη τῶν ἀριστευόντων κατὰ πολέμους ὑπὲρ τῆς τῶν ἀδελφῶν ἐλευθερίας· καὶ ὅτι κατὰ τῶν τοῦ Θεοῦ ἐχθρῶν ὁ τοσοῦτος ἀγών· καὶ ὅτι ἡμεῖς μὲν τὸν Θεὸν ἔχομεν φίλον τὸν ἔχοντα ἐξουσίαν τῆς ῥοπῆς τοῦ πολέμου, ἐκεῖνοι δὲ ἐναντίον αὐτὸν ἔχουσι διὰ τῆς εἰς αὐτὸν ἀπιστίας, καὶ εἴ τι ἕτερον τούτοις ὅμοιον ἐπινοοῦντας ποιεῖσθαι τὴν προτρεπτικὴν νουθεσίαν. Πολλὰ γὰρ ἰσχύει τοιοῦτος B λόγος εὐκαίρως γινόμενος διεγεῖραι ψυχὰς μᾶλλον ἢ χρημάτων πλῆθος.

73. Hoc autem prætereundum non est : quoniam hostes facile, pro numero insignium, integram multitudinem exercitus cognoscere possunt, necessarium esse arbitramur duo similia in unaquaque cohorte esse insignia, unum quidem comitis nomine, alterum centurionis : et utraque insignia usque ad diem belli gestentur. Die autem ipso belli, authentica banda sola eleventur ut ne multis insignibus elevatis omnia misceantur, minusque cognita sint suis ipsorum militibus : hac enim ratione fiet, ut permagnus exercitus pro numero insignium videatur, et ipso die belli authentica atque omnibus cognita proferantur.

ογ'. Ἔτι δέ σοι καὶ τοῦτο οὐ παραλείψω· ἐπειδὴ γὰρ δυνατόν ἐστι καταστοχάσασθαι τοὺς ἐναντίους τῆς ποσότητος τοῦ ἡμετέρου στρατοῦ ὡς ἐπὶ πολὺ διὰ τοῦ ἀριθμοῦ τῶν βάνδων, ἀναγκαῖον εἶναι λογιζόμεθα δύο ὅμοια βάνδα καθ' ἕκαστον τάγμα, ἓν μὲν τὸ αὐθεντικὸν τὸ ὀφεῖλον ἐπ' ὀνόματι εἶναι τοῦ κόμητος, ἕτερον δὲ τὸ τοῦ κεντάρχου, καὶ ἀμφότερα τὰ βάνδα βαστάζεσθαι μέχρι τῆς ἡμέρας τοῦ πολέμου. Κατὰ αὐτὴν δὲ τὴν ἡμέραν τῆς συμβολῆς τὰ αὐθεντικὰ καὶ μόνα βάνδα ὑψοῦσθαι, ὥστε μὴ πολλῶν βάνδων ὑψουμένων φύρειν ἅπαντα, ἢ καὶ ἀνεπίγνωστα γενέσθαι τοῖς ἰδίοις αὐτῶν στρατιώταις· ἐντεῦθεν γὰρ δυνατόν ἐστι καὶ πολὺν τὸν στρατὸν φαίνεσθαι ἐκ τοῦ ἀριθμοῦ αὐτῶν, καὶ τῇ ἡμέρᾳ τοῦ πολέμου τὰ αὐθεντικὰ ὡς εὐεπίγνωστα φαίνεσθαι.

74. Ante belli diem, et aliquot præterea ante diebus, exhortationes quædam fiant ad exercitationes reliquosque motus bellicos alacriter suscipiendos : unusquisque enim turmarcha suos advocabit, et apud eos verba ad hunc aut consimilem modum faciet : Non temere hæc exercitationum genera a majoribus nostris, atque etiam ab imperatoribus tum recentioribus, tum antiquioribus instituta sunt. Neque sine causa hæ artificiosæ acierum instructiones, tum orbiculatæ, reliquique motus bellici adinventi sunt. Si enim agrestes feræ, ut lepores, damæ, ac reliquæ contemptæ bestiæ, cum eas venando consequimur, non omnino longius in directum aufugiunt, sed in contentionem et impetum venatorum intuentes, sic se accommodant, ut evadere possint : quanto magis homines intelligentia præditos, et de magnis rebus contendentes, attente et industrie tum persequendis hostibus, tum declinandis, in prœlio operam navare oportet, neque quasi aqua in hanc aut illam partem jactari atque effundi, si vel magna aliqua incursio ab illis fiat, vel aliquis a nobis in illos impetus exsistat, immodice alterutram in partem ferri, sed omnia sustinere, ut victoriam tandem adipiscantur.

C οδ'. Πρὸ δὲ τινων ἡμερῶν τοῦ καιροῦ τῆς συμβολῆς ὅτε μάλιστα καὶ προγυμνασίαν δεῖ γενέσθαι τῶν τε παραγγελμάτων καὶ τῶν μερικῶν κινήσεων, δεῖ τοὺς ἑκάστης τούρμας ἄρχοντας μετακαλέσασθαι καὶ διαλαλῆσαι πρὸς τοὺς τοῦ ἰδίου μέρους τὰ ἁρμόδια, οἷον· ὅτι Οὐ μάτην αἱ γυμνασίαι τῶν στρατιωτῶν παρά τε τῶν παλαιῶν καὶ τῶν νέων στρατηγῶν ἐξετέθησαν, καὶ αἱ κατὰ τέχνην παρατάξεις καὶ αἱ ἐπ' εὐθείας καὶ κατὰ κύκλους καὶ ἄλλα σχήματα κινήσεις. Εἰ γὰρ ἄγρια ζῶα διωκόμενα, οἷον ἔλαφοι καὶ λαγωοὶ, ἢ ἄλλο τι τῶν εὐτελῶν ζώων ἐν τοῖς κυνηγίοις οὐ πάντως ἔξωθεν ἔξω καὶ ἐπ' εὐθείας τὴν φυγὴν ποιοῦνται, ἀλλ' ἀποβλέποντα πρὸς τὸν τόνον καὶ τὴν ὁρμὴν τῶν ἐπιτιθεμένων αὐτοῖς, οὕτως καὶ τὰς ὑποχωρήσεις ποιοῦνται· πόσῳ δεῖ D μᾶλλον τοὺς ἀνθρώπους ἐν συνέσει ὄντας, καὶ ὑπὲρ μεγάλων πραγμάτων ἀγωνιζομένους προσεχόντως καὶ τὰς διώξεις καὶ τὰς ὑποχωρήσεις ποιεῖσθαι ἐν ταῖς μάχαις! Καὶ μὴ ὥσπερ ἐπὶ ὕδατος ἐπὶ τὰ ἔμπροσθεν ἢ ἐπὶ τὰ ὀπίσω ἐκχέεσθαι, μικρᾶς, ὡς εἰκὸς, τινὸς ὠθήσεως ἢ τοῖς ἐχθροῖς γενομένης, ἢ παρ' αὐτῶν ἐπαγομένης καὶ ἀμέτρως οὕτως ἐλαυνομένους κινδυνεύειν, ἀλλὰ πάντα ὑπομένειν, ὥστε ἐξ οἱουδήποτε τρόπου σπουδάζειν νικᾷν τὸν ἐχθρόν.

75. Neque enim ad parvum spatium insequi hostes, et tum dimittere, victoria putanda est : neque rursus paululum retrocedere, rursusque in eos con-

Οὐδὲ γὰρ τὸ πρὸς ὀλίγον διῶξαι τὸν ἐναντίον καὶ ἀφιέναι τελεία νίκη ἐστίν· οὐδὲ τὸ πρὸς μ...ρὸν ὑποχωρῆσαι, καὶ πάλιν ἀντιστραφῆναι, αἱ ἧτται, ἀλλὰ

ἀπὸ τοῦ πέρατος τοῦ πολέμου ἑκάτερα δείκνυται, καὶ A πρὸς αὐτὸ δεῖ ἀγωνίζεσθαι. Ταῦτα καὶ τούτοις ὅμοια τῷ στρατῷ διαλαλεῖν χρεωστοῦσιν οἱ ἑκάστου μέρους τουρμάρχαι καὶ ἰδίως τοῖς ἰδίοις στρατιώταις.

οϛ'. Σὺ δὲ μετὰ τὴν ἰδιάζουσαν τῶν τουρμαρχῶν καὶ γυμνασίαν καὶ διαλαλιὰν, ὦ στρατηγὲ, τάξεις εἰς τὸ ἅπαξ ἢ καὶ τὸ πολὺ δεύτερον τὴν ὅλην παράταξιν, καὶ ὁμοίως καταστήσεις αὐτοὺς καὶ διὰ λόγων καὶ δι' ἔργων ἑτοίμους εἶναι καὶ ἐμπείρους πάντοτε πρὸς τοὺς πολεμικοὺς ἀγῶνας.

οζ'. Παραγγείλῃς δὲ τοῖς τῆς πρώτης ἤτοι τῆς προμάχου τάξεως ἄρχουσιν, ὥστε τῷ μέσῳ πείθεσθαι μέρει, ἔνθα τὸν ὑποστράτηγόν σου συμβαίνει τάσσεσθαι, ἤτοι τὸν λεγόμενον νῦν τοῦ θέματος B μεράρχην, καὶ ἰσοῦσθαι αὐτῷ, καὶ ἅμα τὴν συμβολὴν ποιεῖσθαι.

οη'. Καὶ ταύτης γενομένης ἐὰν τραπῶσιν οἱ ἐχθροὶ, τοὺς μὲν κούρσορας σὺν ἐλασίᾳ ὁρμᾷν κατὰ αὐτῶν εἰς ἐπιδίωξιν ἕως αὐτοῦ τοῦ φοσσάτου αὐτῶν· τοὺς δὲ διφένσορας ἐπακολουθεῖν ἐν τάξει, καὶ μὴ ἀπομένειν· ἵνα τῶν ἐχθρῶν, ὡς εἰκὸς, ἀντιστρεφομένων, ἐὰν μὴ δυνηθῶσιν βαστάσαι οἱ κούρσορες, ἐκ τοῦ πλησίον εἰς τοὺς διφένσορας καταφεύγοντες πάλιν ἑαυτοὺς ἀνακαλέσονται.

οθ'. Ἐὰν μέντοι ἐν αὐτῇ τῇ συμβολῇ συμβῇ ἢ ἐν μέρος ἢ τὰ ὅλα τραπῆναι, ὑποχωρεῖν τοὺς κούρσορας ὡς ἐπὶ τὴν δευτέραν τάξιν ἐπὶ ἓν ἢ δεύτερον σαγιττόβολον, καὶ πάλιν ἀντιστρέφεσθαι κατὰ τῶν ἐχθρῶν (92), τῶν συνήθων καὶ ἁρμοδίων φωνῶν ἤτοι C παραγγελμάτων λεγομένων.

π'. Καὶ εἰ μὲν δυνηθῶσιν εἰς φυγὴν τρέψαι τοὺς ἐχθροὺς, διώκειν κατὰ αὐτῶν· εἰ δὲ μή γε, ὑποχωρεῖν, καὶ πάλιν ἀντιστρέφεσθαι. Εἰ δὲ ἅπαξ ἢ δεύτερον ἐγχειροῦντες μὴ ἰσχύσωσιν ἀντωθῆσαι τοὺς ἐχθροὺς, τότε τῆς δευτέρας τάξεως ἐπιφθανούσης καταφεύγειν πρὸς αὐτὴν, καὶ διὰ τῶν εὐκαίρων αὐτῆς χωρίων παρέρχεσθαι, καὶ ἐν τῷ μεταξὺ διαστήματι κατὰ οὐρὰν τῆς δευτέρας καὶ τρίτης ἐξελισσομένης ἅμα τῇ δευτέρᾳ τάξει δρουγγιστὶ ἤγουν ὁμοῦ ἐσφιγμένως τοῖς ἐχθροῖς ἐπέρχεσθαι, καὶ ἐὰν τραπῶσιν, ἐπακολουθεῖν αὐτοῖς ὀξέως.

πα'. Παραγγείλῃς δὲ καὶ τοῖς πλαγιοφύλαξιν, ὥστε ἐὰν μὲν μακρότερον εὑρεθῇ τὸ ἄντις κέρας σπουδάζειν ἐπὶ κέρας, τοῦτ' ἔστιν ἐπὶ σκουτάριν κλίνοντας D συνεκτείνεσθαι αὐτῷ, ἵνα μὴ ὑπ' αὐτοῦ κατακυκλωσις τῷ μέρει γένηται. Εἰ δὲ κοντότερον εὑρεθῇ τὸ ἄντις κέρας, σπουδάζειν μηνοειδῶς ἤγουν κατὰ ἡμικύκλιον ἐπικλίνεσθαι καὶ ἐμπεριλαμβάνειν αὐτὸ ἔσωθεν πρὶν ἢ τὸ μέρος φθάσῃ συμβαλεῖν, τοῦτ' ἔστιν ὅταν μέλλῃ ἡ φωνὴ τῆς συμβολῆς γίνεσθαι τῆς μάχης. Εἰ δὲ ἴσον ἐστὶν τὸ ἄντις, μένειν ἐν τῇ ἰδίᾳ τάξει ὡς διφένσορας, καὶ συμβάλλειν μετὰ τοῦ μέρους.

πβ'. Παραγγείλῃς δὲ καὶ τοῖς ὑπερκεράσταις ὅτι

verti, offensio belli indicanda est, sed ex belli exitu omnia æstimanda, atque ad eum conferenda sunt. Hæc atque iis similia turmis suis turmarchæ narrent, singulique præterea militibus suis præcipiant.

76. Tu autem, imperator, post singulorum turmarcharum reliquorumque præfectorum privatas militum suorum exercitationes atque adhortationes, semel atque ad summum iterum universam aciem instrues, similiterque factis ac dictis paratos reddes, atque ad omnem bellicum usum habiles.

77. Præcipies etiam primæ, sive propugnatricis aciei præfectis, ut mediæ suæ turmæ obtemperent, ubi princeps, sive proprætor, qui nunc suæ ditionis μεράρχης, sive turmarcha dicitur, constitutus est, et æqua fronte cum illo incedant, eodemque tempore prœlium committant.

78. Hac acie instructa, si vertantur hostes in fugam, cursores statim ad insequendos eos, usquedum ad fossatum illorum pervenerint, omnibus viribus contendant; defensores autem in acie instructi sequantur, et non consistant, ne, si hostes convertantur iterum, et illorum impetum cursores sustinere nequeant, prope ad defensores confugiendo rursum seipsos colligant.

79. Sin inter confligendum una aliqua turma, aut omnes etiam in fugam vertantur, ad secundam aciem ad unius atque alterius sagittæ jactum se recipiant, rursumque se ad invadendos hostes confirment, consuetis et idoneis in principio pugnæ vocibus et cæremoniis adhibitis.

80. Si hostes poterunt in fugam verti, insequendi primo sunt, deinde recedendum iterum ab eis, et ad eos statim vertendum est. Sin semel atque iterum hoc tentando non proficitur, secunda acie cominus jam adventante confugiant ad eam, et ad opportuna quædam loca intus se recipiant, hocque intervallo spatii ad extremam aciem iterum se evolvente, simul cum secunda drungisti, id est confertim ac dense, invadant, et si in fugam versi fuerint, omni alacritate eos insequantur.

81. Lateranis etiam præcipies, ut si longius inveniatur cornu hostium esse, conentur ad cornu, id est, ad scutum, sive lævam inclinantes, ad eamdem quoque longitudinem produci, ut ne ab hostibus turmæ nostræ includantur. Sin concisius fuerit adversum cornu, lunare eos oportet, et ad semicirculi formam adducere, et intra complexum suum hostes coercere, priusquam turma confligere cum hoste incipiat, hoc est, priusquam consuetæ voces ante manus conserendas usurpentur. Sin æquale fuerit hostium cornu, in sua ipsorum acie quasi defensores stent, et turmam suam adjuvent.

82. Præcipies etiam cornistitibus, quando prope

NOTÆ.

(92) *Κατὰ τῶν ἐχθρῶν*. Scribebatur, καὶ τῶν ἐχθρῶν.

te fuerint hostes, ut duobus, aut tribus sagittæ jactibus, clam dextrum cornu consequantur, una cohorte in anteriore parte ad frontem constituta cum decanis quintanisve suis, qui ad quinque virorum solum altitudinem erunt, si strenui fuerint, reliqua cohorte universa drungisti, id est dense et confertim, illud sequente.

83. Banda, id est, capita illorum sive insignia, ne sursum erecta teneant, sed inclinata, dum usus poscat ea in lucem educi, ne si erecta in conspectu hostium essent, qui ea gestant magis ab hostibus insidiis appetantur.

84. Si longius adversum cornu inveniatur, primo ad cornu, id est, hastam sive lævam, declinandum est, paululumque dextrum cornu in procedendo retardet se, et ad dimidium sagittæ jactum producat se, ut adversum cornu longitudine superent, atque ita declinantes, illosque circumvenientes dicant, Ἔξελθε, exi, statimque a tergo illorum cohors milliaria, quam drungum vocant, de improviso et acri cum incursione invadat.

85. Profligatis hostibus, non statim illos fugientes persequantur, sed confestim, qui a tergo steterint, cum reliquis cohortibus procedant. Quod si contractiores hostes fuerint, statim exeant, et lunata quasi forma circumcludant eos; sin æquales fuerint, paululum producant se, et hostium longitudinem superent; hocque modo irruptio in il:'s fiat.

86. Quod si cum cornistites suos producunt, hoc idem facere conantur, invadendi statim illi sunt, dum in hac mutationis perturbatione sunt; nam dum illi ad cornu, id est, lævam, convertuntur, dextras illorum nudas esse, et densationem illorum dissolutam esse, necesse est.

87. In hostibus circumdandis non solum cornistites, id est, qui dextri cornu propugnatores sunt, elaborare, ne vel nimis retardentur, vel nimis cito incipiant, sed et partis illius, id est, turmæ, præfectum, sive is turmarcha, sive alius quispiam fuerit. Itaque invadentibus eos cornistitibus, et hostibus jam tumultuari incipientibus, adversum eos universa turma incedat.

88. Curæ præfecto esse debet ut, si fieri possit, adversas copias longitudine superet; sin minus, saltem exæquet: si enim longior nostra, quam adversariorum acies fuerit, cornistites munus suum sedulo ac fructuose facient.

89. Cornistites ideo necessarii sunt, quia in nudis locis incursiones facere opportunius possunt.

90. Secundæ similiter aciei præcipies, ut medium locum, in quo dignitas tua constituta erit, diligenter observet, et sedulo advertat, ut conflictationis tempore duos aut tres sagittæ jactus a prima acie absint, ut, si in fugam conjiciantur

A μέχρις οὗ γένωνται οἱ ἐχθροὶ ὡς ἀπὸ δύο σαγιττοβόλων ἢ τριῶν τῆς παρατάξεως, λεληθότως χρὴ παρακολουθεῖν τῷ δεξιῷ κέρατι· τοῦ μὲν ἑνὸς τάγματος ἐπιμέτωπον ἤγουν ἔμπροσθεν ἔχοντος τοὺς δεκάρχας ἢ πεντάρχας· ἀρκοῦσι γὰρ ἀπὸ πέντε μόνον τὸ βάθος, ἐὰν εἰσὶ χρήσιμοι· τοῦ δὲ ἑτέρου τάγματος δρουγγιστὶ ἤγουν πυκνοὺς καὶ ὁμοῦ ὄπισθεν αὐτοῦ ἀκολουθοῦντας.

πγʹ. Τὰ δὲ βάνδα, ἤγουν τὰς κεφαλὰς αὐτῶν, μὴ ὀρθὰ κρατεῖν, ἀλλὰ ἐπικεκλιμένα, ἕως καιρὸς γένηται χρείας τοῦ φαίνεσθαι αὐτά, εἰς τὸ μὴ προφαινόμενα τοῖς ἐχθροῖς ἐπιγινώσκεσθαι, καὶ μᾶλλον ἐπιβουλεύεσθαι ὑπ' αὐτῶν τοὺς κρατοῦντας αὐτά.

πδʹ. Καὶ ἂν μακρότερον τὸ ἄντις κέρας εὑρεθῇ, πρότερον ἐπὶ κέρας κλίνεσθαι, τοῦτ' ἔστιν ἐπὶ κοντάριν, καὶ ὀλίγον τοῦ δεξιοῦ μέρους ἐν τῷ
B περιπατεῖν ἐμβραδύνοντος παρεκτεῖναι μέχρι καὶ ἡμίσου σαγιττοβόλου διὰ τὸ ὑπερβάλλειν τὸ ἄντις κέρας. Εἶθ' οὕτως ἐκνεύοντας κατὰ αὐτοὺς καὶ κυκλοῦντας παραγγέλλειν τὸ, Ἔξελθε· καὶ εὐθέως ἐπιπέμψαι κατὰ τοῦ νώτου αὐτῶν τὸν λανθάνοντα δροῦγγον ἄφνω κατὰ ἐλασίας ὀξείας.

πεʹ. Τρεπομένων δὲ τῶν ἐχθρῶν μὴ ἐπιδιώκειν τοὺς φεύγοντας, ἀλλὰ εὐθέως κατὰ τοῦ νώτου ἱσταμένους ἔρχεσθαι, ἅμα τῷ ἑτέρῳ τάγματι. Εἰ δὲ κοντότερόν ἐστιν, εὐθέως ἐξέρχεσθαι, καὶ μηνοειδῶς ἐπιλαμβάνεσθαι αὐτοῦ· εἰ δὲ ἴσον ἐστὶν, ὀλίγον παρεκτείνειν καὶ ὑπερβάλλειν τὸ ἄντις. Εἶτα οὕτως,
C ὡς εἴρηται, ὁρμᾷν κατὰ αὐτοῦ.

πϛʹ. Ἐὰν μὲν οὖν, ὅταν παρεκτείνονται οἱ ὑπερκεράσται βουληθῶσιν καὶ οἱ ἄντις ὁμοίως παρεκτείνεσθαι, δεῖ ὁμοίως καὶ εὐθέως κατὰ αὐτῶν ὁρμᾷν ἐν ὅσῳ ἀκατάστατοι εὑρίσκονται· ἀνάγκη γὰρ στρεφομένων αὐτῶν ἐπὶ κέρας καὶ τὰ δεξιὰ αὐτῶν γυμνὰ ἔχειν, καὶ τὴν σφίγξιν διαλελυμένην.

πζʹ. Ταύτας δὲ τὰς κυκλώσεις μὴ μόνον δέον τοὺς ὑπερκεράστας κανονίζειν, ἤγουν τοὺς τοῦ δεξιοῦ μέρους προμάχους εἰς τὸ μὴ πολὺ ἐμβραδύνειν, μηδὲ πάλιν πρὸ πολλοῦ ποιεῖν, ἀλλὰ καὶ τὸν τοῦ μέρους ἄρχοντα, εἴτε τουρμάρχης ἐστὶν, εἴτε ἕτερός τις, ὥστε ἐγχειρούντων τῶν ὑπερκεραστῶν καὶ ἀρχομένων τῶν ἄντις θορυβεῖσθαι, τότε καὶ αὐτοῖς τὸ ὅλον
D μέρος ἐπάγειν.

πηʹ. Λόγος δὲ τῷ ἄρχοντι γίνεσθαι ὀφείλει, ἵνα εἰ μέν ἐστι δυνατὸν αὐτῷ ὑπερβάλλειν τὸ ἄντις μέρος· εἰ δὲ μή γε, κἂν ἰσοῦσθαι αὐτῷ, ἐὰν καὶ μακροτέρα εὑρεθῇ τῶν ἐναντίων ἡ παράταξις· ὥστε ἐντεῦθεν ἁρμοδίως δύνασθαι τοὺς ὑπερκεράστας τὸ ἔργον αὐτῶν ποιεῖν.

πθʹ. Γίνωσκε δὲ ὅτι οἱ ὑπερκεράσται διὰ τοῦτό εἰσιν ἀναγκαῖοι, καθ' ὃ καὶ ἐν γυμνοῖς τόποις τὰς ἐπιδρομὰς ποιεῖν ἀσφαλεστέρως δύνανται.

ϙʹ. Ὁμοίως δὲ καὶ τῇ δευτέρᾳ τάξει παραγγείλῃς ὥστε τὸν μέσον τόπον, ἐν ᾧ συμβαίνει τάσσεσθαι τὴν σὴν ἐνδοξότητα, πείθεσθαί σοι καὶ κανονίζειν, ἤγουν στοχάζεσθαι, ὥστε ἐν τῷ καιρῷ τῆς συμβολῆς ἀπὸ τριῶν ἢ τεσσάρων σαγιττοβόλων τῆς

πρώτης παρατάξεως εὑρεθῆναι αὐτήν· ἵνα ἐὰν A τραπῶσιν οἱ ἐχθροί, ὡς διφένσωρ αὐτὴ ἤγουν ἐκδικητὴς καὶ βοηθὸς ἐν τάξει ἐπακολουθῇ καὶ μὴ ἀπομείνῃ.

ϟαʹ. Εἰ δὲ τραπῇ τι τῶν τῆς πρώτης τάξεως ταγμάτων, ὑποδέχεσθαι τὸ βαρούμενον καὶ ἐρχόμενον μέρος εἰς καταφυγήν, καὶ ἅμα τοῖς τῆς πρώτης τάξεως ἐπέρχεσθαι συντεταγμένως, καὶ μὴ διαλύεσθαι μέχρι τελείας ἐκβάσεως τοῦ πολέμου, καὶ τῆς ἐπὶ τὸ φοσσάτον ὑποστροφῆς, ἀλλὰ ἀφιέναι οὕτως συντεταγμένως φυλάττεσθαι, καὶ μὴ ἐπιδιώκειν ἀτάκτως τοὺς ἐχθρούς.

ϟβʹ. Ἐὰν δὲ ἀμφίβολος ἡ μάχη τῆς πρώτης τάξεως φαίνηται, καὶ διώξεις καὶ ἀντιδιώξεις γίνωνται, χρὴ ἀναμένειν καὶ θεωρεῖν τὴν τοῦ πράγματος ἔκβασιν, καὶ ἐκβάλλειν δεύτερον ἢ τρίτον B φωνὰς βρυγμώδεις πρός τε διανάστασιν τῶν μαχομένων καὶ κατάπληξιν τῶν ἐχθρῶν, μὴ σπουδάζειν δὲ προχείρως συμμίγνυσθαι ἢ ἐγγίζειν πολὺ τῇ πρώτῃ παρατάξει, ἵνα μήτις φύρσις καὶ ἀλλόκοτος τροπὴ ἐν τῇ συμβολῇ τῆς μάχης παρακολουθήσῃ.

ϟγʹ. Εἰ δέ, ὡς πολλάκις συμβαίνει, καὶ ἡ δευτέρα παράταξις τραπῇ μέχρι τῶν νωτοφυλάκων, ἤγουν τῆς τρίτης τάξεως, ἐρχομένην σπουδάζειν ἀναλαμβάνεσθαι αὐτήν.

ϟδʹ. Ἐὰν δὲ ἀπὸ ἐνέδρας τινὸς διὰ νώτου ἤγουν ἀπὸ ὄπισθεν ἔφοδος μηνυθῇ καὶ ἐπέλευσις ἐχθρῶν· ἐὰν μὲν ὀλίγοι εἰσὶν οἱ μηνυόμενοι, καὶ ἀρκοῦσιν οἱ τῆς τρίτης τάξεως, τότε αὐτὴν κατὰ ἐκείνων ἐκπέμπειν. Εἰ δὲ μὴ ἀρκοῦσιν, τότε καθὼς ἐστιν ἡ τάξις ἀντιστρεφομένων τῶν προσώπων ὁμοίως δὲ καὶ τοῦ C βάνδου μετὰ τοῦ ἄρχοντος εἰς οὐρὰν ἤγουν ὀπίσω ἐρχομένων ὡς ἀμφιστόμου ἡ τάξις τὴν συμβολὴν ἁρμοδίως ποιεῖται, καὶ τρεπομένων τῶν ἐχθρῶν τότε τοὺς νωτοφύλακας, εἴτε ἓν εἴτε δύο βάνδα εὑρεθῶσιν, ὡς κούρσορας κατ' αὐτῶν ἐπαφιέναι.

ϟεʹ. Ἐὰν δὲ πολλοί εἰσιν οἱ μηνυόμενοι τὴν ἔφοδον ποιεῖν, τότε παραγγείλῃς τό, Μετάλλαξον. Καὶ ἔρχονται οἱ δεκάρχαι ἐπὶ οὐράν, ἤγουν στρέφονται ὄπισθεν κατὰ τάγμα, ὥστε ἐκεῖνο τὸ μέρος τῆς οὐρᾶς μέτωπον γίνεσθαι.

ϟϛʹ. Καὶ ταύτας μὲν τὰς παραγγελίας ποιήσεις πρὸ ὀλίγου καιροῦ τῆς μάχης καὶ τῶν ἀγώνων, ἵνα γινώσκωσιν οἱ στρατιῶται τὰ ἁρμόζοντα. Ὁ γὰρ τῶν ἀγώνων καιρὸς τὰ τοιαῦτα διδάσκειν τοὺς μήπω D τούτων πεῖραν λαβόντας οὐκ ἐπιτρέπει, εἰ μὴ ἄρα μετ' ὀξύτητος τὰ σύντομα παραγγέλματα μόνα.

ϟζʹ. Πάλιν δὲ ἐὰν πρὸ πολλοῦ χρόνου παραγγείλῃς, εἰς λήθην γίνεται τὰ λεχθέντα. Καὶ διὰ τοῦτο χρή σε πρὸ μικροῦ (93) καιροῦ τοῦ πολέμου τὰς ἀναμνήσεις ποιεῖσθαι. Παραγγείλῃς δὲ καὶ καθόλου πᾶσιν, ὥστε μηδένα θαῤῥῆσαι τὴν δευτέραν τάξιν παρελθεῖν, κἄν, ὡς εἰκός, τροπή τις τῇ πρώτῃ τάξει γένηται, ἵνα μὴ πρὸς τὴν ζωὴν κινδυνεύσῃ, εἴτε παρὰ τῶν ἐχθρῶν, εἴτε καὶ παρὰ τῶν ἰδίων ὡς ἄξιος, εἰ μὴ ἄρα, ὡς εἴρηται, τοσαύτη ἀπαραίτητος ἀνάγκη παρακολουθήσῃ.

hostes, quasi propugnatrix atque subsidiaria non consistat, sed aciem sequatur.

91. Quod si quæ cohortes primæ aciei profligatæ fuerint, hanc afflictam partem et perfugium quærentem excipiat, ac etiam cum prima acie ordinate ac disposite incedat, neque aciem instructam ante belli exitum, et priusquam se in castra sua receperint, dissolvat, sed sic ad conservationem primæ aciei ordinate sequatur, non autem ad persequendos hostes confuse ruat.

92. Si anceps prœlium primæ aciei fuerit, et persecutiones fugæque fuerint, permanendum est, et exitus rei contemplandus, vocesque ac clamores graves iterum ac tertio profundendi sunt, tum ad nostros exsuscitandos, tum ad hostes exanimandos. Neque statim coneris manus conserere, aut ad primam aciem accedere, ne aliqua confusio ac fuga quædam indigna hanc conflictationem sequatur.

93. Sin, quod sæpe accidere solet, secunda acies usque ad tergistites, seu tertiam aciem in fugam vertatur, hæc tertia adventans conetur recuperare eam.

94. Sin insidiis ullis factis a tergo aliqua incursio atque impetus hostium fiat, si pauci hi fuerint, qui adoriuntur eos, tertiaque acies adversum eos satis est, hæc tertia tum emittatur; sin ea satis non fuerit, conversis tum ad caudam, id est, ultimam aciem, cohortes cum præfectis ita se præparent quasi ἀμφίστομος, id est, anceps acies esset; sic acies cum illis confligat, profligatisque hostibus tergistites, sive una, sive plures cohortes fuerint, quasi cursores in illos immittantur.

95. Si magnus numerus eorum esse videatur qui incursionem fecerint, tum præcipies iis verbis, Μετάλλαξον id est, commuta; qua voce decani ad caudam venient, id est, ad posticam partem transferent se cohortes, ut cauda, quæ fuit, jam frons fiat.

96. Hæc parvo tempore ante bellum et dimicationem ipsam præcipe, ut quid facto opus sit milites cognoscant. Ipso enim tempore prœlii milites harum rerum rudes atque ignaros tale aliquid docere haud par est, nisi ea solum quæ levia sunt, et breviter efficiuntur.

97. Nam si longo tempore ante prœlium præcipies, hæc oblivioni mandabuntur, ac propterea paululum ante bellum hæc commemoranda sunt. Præcipies autem omnibus, ut nemo audeat secundam aciem transgredi, quamvis prima acies penitus profligata fuerit, ut ne (nisi ingens atque inevitabilis aliqua necessitas) vel per inimicos, vel per suos quasi dignus de vita periclitetur.

NOTÆ.

(93) *Χρήσε πρὸ μικροῦ.* Scribebatur, χρῆσαι π. μ.

98. Quoniam autem ex insidiis etiam cum hostium acie confligendum est, qui in insidiis et occultis latebris sunt, ante omnia exploratores quosdam emittant, ut ne nimis confertim in hostium impetum de improviso incurrant, vel alias ad latus, vel a tergo, sive post universam aciem, insidias sustineant.

A ϟη'. Ἐπειδὴ δὲ καὶ ἀπὸ ἐνέδρας δέον κατὰ τῆς παρατάξεως τῶν ἐχθρῶν συμβάλλειν, χρὴ τοὺς εἰς τὴν ἐνέδραν ἤγουν ἔγκρυμμα τασσομένους παραγγελθῆναι ὥστε πρὸ πάντων βίγλας προπέμπειν, ἵνα μὴ ἀπάντημα, ὡς εἰκὸς, ὑπὸ τῶν ἐχθρῶν ἀθρόως ὑπομείνωσιν, ἢ ἐνέδραν ἐκ πλαγίου, ἢ καὶ ἀπὸ νώτου, ἤγουν ἀπὸ ὄπισθεν τῆς τῶν ἐχθρῶν παρατάξεως.

99. Sæpe inimicorum copiæ in duas acies dividuntur, ac nisi diligenter instructa prima fuerit acies, insidiis magis ex adverso adoriundi sunt.

ϟθ'. Πολλάκις γὰρ καὶ οἱ ἐχθροὶ εἰς δύο τάσσονται τάξεις, καὶ ἐὰν μὴ προσεχόντως γίνωνται αἱ κατὰ τῆς πρώτης αὐτῶν παρατάξεως δι' ἐγκρυμμάτων ἐπελεύσεις, ἐνεδρεύονται μᾶλλον ἐκ τοῦ ἐναντίου.

100. Si hostes in duas similiter acies dividantur, haud sane par est a tergo, id est postica parte, insidias struere, sed ad cornu aliquod, sive una ex parte incursio futura sit, sive utraque ex parte.

ρ'. Ἐὰν οὖν οἱ ἐχθροὶ ὁμοίως εἰς δύο τάξεις τάσσωνται, οὐκ ἔστι πρέπον τῷ νώτῳ ἤγουν τῷ ὀπισθίῳ μέρει τῆς πρώτης αὐτῶν τάξεως ἐφεδρεύειν, ἀλλὰ B τῷ ἄκρῳ αὐτῆς, ἤγουν τῷ κέρατι, εἴτε ἐξ ἑνὸς μέρους ἡ ἔφοδος γίνηται, εἴτε ἐκ τῶν δύο, ὡς εἴρηται.

101. Incursionis tempus conjectare tecum oportet, et animo quasi dimetiri, ne vel antevertas aciem, vel retarderis, sed quando duos aut tres sagittæ jactus acies a se mutuo abfuerint, impetus in hostes ex insidiis et occultis latebris faciendus est.

ρα'. Τὸν δὲ καιρὸν τῆς κατ' αὐτῶν ἐγχειρήσεως κανονίζειν σε χρὴ καὶ στοχάζεσθαι , ὥστε μήτε προλαμβάνειν πολὺ τῆς ἡμετέρας παρατάξεως, μήτε ὑστερεῖν· ἀλλ' ὅταν ὡς ἀπὸ δύο ἢ τριῶν σαγιττοβόλων αἱ παρατάξεις ἀλλήλων γένωνται, τότε ἐγχειρεῖν κατὰ τῶν ἐχθρῶν τοὺς ἐπὶ τὸ ἔγκρυμμα ἤγουν τὴν ἐνέδραν ἀπερχομένους.

102. Hæc, quæ diximus, non ad exercitationem, sed in dimicatione ipsa assumenda sunt.

ρβ'. Ταῦτα δὲ πάντα οὐχ ἐπὶ γυμνασίας, ἀλλ' ἐπὶ τῶν πραγμάτων αὐτῶν παραλαμβάνονται.

103. Hæc a dignitate tua præcipienda et distribuenda sunt. Unicuique turmarchæ præcipies, aut scripto trades, quæ ante mandavimus, ut suæ ipsius partis sive turmæ constitutionem agnoscat. Unusquisque turmarcha universæ partis suæ trientem in cursores, sive proclastas, conferat, et hinc atque illinc turmæ suæ eos collocet.

ργ'. Ταῦτα μὲν οὖν τὴν σὴν ἐνδοξότητα καὶ παραγγέλλειν καὶ διασκευάζειν κελεύομεν, ἀλλὰ καὶ C ἑκάστῳ τουρμάρχῃ προστάξαι ἢ καὶ ἐγγράφως ἀποδοῦναι ἅπερ καὶ σοὶ προειρήκαμεν, ἵνα γινώσκῃ καὶ αὐτὸς τοῦ ἰδίου μέρους τὴν κατάστασιν. Ὥστε ἕκαστον τουρμάρχην τὸ τρίτον ποσὸν τοῦ ὑπ' αὐτὸν ὅλου στρατοῦ ποιῆσαι κούρσορας, ἤγουν προκλάστας, καὶ ἔνθεν καὶ ἐκεῖθεν τοῦ μέρους τάσσειν αὐτούς. Τὸ δὲ δίμοιρον τοῦ στρατοῦ τῷ ἐν μέσῳ τάξαι εἰς διφένσορας ἤγουν ἐκδικοῦντας (94).

104. Contaria, id est hastæ, conflictationis tempore flamula non habeant, sed de hastis detrahant, et in thecas suas conjiciant, quando ad unum milliare jam hostes adventaverint. Antea autem omnino in hastis habeant.

ρδ'. Καὶ τὰ κοντάρια δὲ αὐτῶν μὴ ἔχειν φλάμουλα ἐν τῷ καιρῷ τῆς τοῦ πολέμου συμβολῆς, ἀλλ' ἵνα ἐπαίρωσι καὶ βάλλωσιν αὐτὰ εἰς τὰ θηκάρια αὐτῶν ὅταν φθάσωσιν οἱ ἐχθροὶ ἀπὸ ἑνὸς μιλίου. Πρότερον δὲ τοῦ καιροῦ τούτου ἔχειν αὐτὰ πάντως εἰς τὰ κοντάρια.

105. Banda, id est insignia, comitum minora sint; drungarum, id est tribunorum, perfectiora et diversa. Turmarchæ insigne diversum longe a reliquis sit, quemadmodum antea a me explicatum est.

ρε'. Τὰ δὲ βάνδα τῶν ταγμάτων μικρότερα εἶναι ἤτοι τῶν κομήτων, τῶν δὲ δρουγγαρίων τελειότερα καὶ ἀλλοῖα· ὁμοίως δὲ καὶ τὸ τουρμάρχου ἐνηλλα- D γμένον πρὸς τὰ ἄλλα γίνεσθαι, ὥς μοι εἴρηται.

106. Conflictationis tempore post vocem victoriæ crucis magnos, atque altos clamores edere oportet, atque eos in primis, qui a tergo sunt, ut qui in fronte sunt magis animentur.

ρϛ'. Ἐν δὲ τῷ καιρῷ τῆς συμβολῆς τοῦ πολέμου μετὰ τὴν φωνὴν τῆς τοῦ σταυροῦ νίκης ἀλαλάζειν δεῖ καὶ ὠρύεσθαι, μάλιστα τοὺς ὄπισθεν, καὶ προθυμοποιεῖν καὶ ἀλλήλους καὶ τοὺς ἔμπροσθεν.

107. Buccinæ multæ prœlii tempore ne sonent, turmarchæ enim buccina satis fuerit. Turmarcha in medio turmæ suæ, id est, in medio defensorum

ρζ'. Καὶ τὸ μὴ λαλεῖν ἐν καιρῷ μάχης πολλὰ βούκινα· ἀρκεῖ γὰρ καὶ τὸ τουρμάρχου μόνον. Τὸν δὲ τουρμάρχην μέσον τοῦ μέρους τάσσεσθαι τῆς ὑπ'

NOTÆ.

(94) In codice Laurentiano hic initium capitis sumitur, et cuilibet capitis divisioni, seu paragrapho, titulus rubrica præfigitur; sed cum titulorum pars maxima evanida sit fugientibus litteris, nec oculorum acie assequi sit quomodo se illi tituli habeant, satius visum est cunctos omittere.

αὐτῶν τάξεως, τοῦτ' ἔστι μέσον τῶν διφενσόρων, A τοὺς δὲ δρουγγαρίους εἰς τὰ ἑκατέρωθεν μέρη μέσον τῶν βάνδων τῶν κουρσώρων.

ρη'. Ἐν δὲ τῷ καιρῷ τῆς παρατάξεως προερευνᾷν δέον διὰ μανδατόρων τοὺς τῆς συμβολῆς τόπους, τοῦτ' ἔστι τοὺς μέσον τῆς ἰδίας παρατάξεως καὶ τῆς τῶν ἐχθρῶν, μήποτε λάκκοι εἰσὶν, ἢ ὀρύγματα, ἢ τέλματα ἅπερ λέγεται πάλματα, ἢ δόλοι τινὲς, ὡς εἰκὸς, παρὰ τῶν ἐχθρῶν μελετώμενοι· καὶ ἐάν τι τοιοῦτον εὑρεθῇ, ἀναμένειν τὴν ἡμετέραν τάξιν ἵνα οἱ ἐχθροὶ αὐτοὺς παρέλθωσιν· καὶ τότε ἡ ἡμετέρα παράταξις ἐν τῷ καθαρῷ κάμπῳ ἀπαντήσῃ.

ρθ'. Τὸ δὲ βάνδον τοῦ τουρμάρχου, ὡς εἴρηται, μόνον ἐξηλλαγμένον τὸ εἶδος παρὰ τὰ ἄλλα τὰ ὑπ' αὐτὸν βάνδα ποιῆσαι, ἵνα ἐστὶν εὐεπίγνωστον πᾶσι τοῖς ὑπ' αὐτὸν βανδοφόροις. B

ρι'. Ἀλλὰ καὶ διὰ κινήσεώς τινος ξένης καὶ διαφόρου χωρίζεσθαι αὐτὸ, ἢ ἐν τῷ ἵστασθαι ἢ ἄνω ἢ κάτω, ἢ δεξιὰ ἢ ἀριστερὰ, ἢ συνεχῶς ἐπικλίνεσθαι, ἢ ἐγκλίνειν τὴν κεφαλὴν τοῦ βάνδου, ἢ πυκνῶς τινάσσειν ὀρθὸν, ὥστε καὶ εἰς τὴν σύγχυσιν εὐκόλως ὑπὸ τῶν λοιπῶν βάνδων γνωρίζεσθαι.

ρια'. Οὐ δεῖ δὲ ὅλων τῶν τουρμαρχῶν τὰ βάνδα ἓν σημεῖον ἔχειν, ἀλλὰ ἐνηλλαγμένα σύμβολα ἑκάστην τούρμαν, ἅτινα καὶ ὀφείλουσιν ἐθίζειν τοὺς στρατιώτας διὰ προγυμνασίας γνωρίζειν. Οὐ μόνον γὰρ ἐκ τούτου τὰ ὑπὸ τὸν τουρμάρχην ἕκαστον βάνδα ὠφελοῦνται τὸ μέρος αὐτῶν συντόμως στερίζοντα, ἀλλὰ καὶ οἱ ἐν αὐτοῖς τεταγμένοι τὸ τοῦ τουρμάρχου βάνδον ἐπιγινώσκοντες δι' αὐτοῦ εὐκόλως καὶ τὰ ἴδια, ὡς εἰκὸς, πλανώμενοι εὑρίσκουσιν. C

ριβ'. Ἀεὶ γὰρ ἀεὶ ἐν ἑκάστῃ μάχῃ, ἐάν καί τι συμβῇ, τὸν στρατιώτην, ὥστε ἀποχωρισθῆναι μακρὰν τοῦ βάνδου τοῦ ἰδίου τάγματος, παντὶ τρόπῳ σπουδάζειν ἑνοῦσθαι αὐτῷ· ἵνα ἡ τάξις ἄφυρτος διαμένουσα τὴν σωτηρίαν σημαίνῃ τοῦ στρατοῦ.

ριγ'. Ἐὰν δὲ συμβῇ εἶναι ἐν τῷ στρατῷ τινας ὁμοφύλους τῶν πολεμίων, δέον πρὸ τῆς ἡμέρας τοῦ πολέμου χωρίζειν αὐτοὺς, καὶ ἐν ἑτέροις τόποις μετὰ εὐλόγου προφάσεως προπέμπειν.

ριδ'. Καὶ τοῖς μὲν τουρμάρχαις ταῦτα πράττειν προστάξεις. Ἀλλὰ καὶ ἑκάστῳ δρουγγαρίῳ καὶ κόμητι ἅμα αὐτοῖς παρακελεύου, καὶ πρόστασσε, ὥστε ἐπιζητεῖν αὐτοὺς ἐκ παντὸς τὰ δέοντα ἐπιτελεῖν τὸν D στρατόν.

ριε'. Χρεὼν γὰρ, εἴτε ἐν φοσσάτῳ διάγει ἕκαστον τάγμα ἤτοι τὸ βάνδον, εἴτε καὶ καθ' ἑαυτὸ ὁπουδήποτε ἀπλικεύει, πρωΐας εἰς αὐτὸν τὸν ὄρθρον πρὸ παντὸς πράγματος, καὶ εἰς ἑσπέραν ὁμοίως μετὰ τὸ δεῖπνον καὶ τὰς μίσσας τὸ τρισάγιον ψάλλεσθαι, καὶ τὰ λοιπὰ κατὰ τὴν συνήθειαν.

ρις'. Τὰ δὲ κοντουβέρνια, ἤτοι τὰ οἷον μικρὰ βάνδα τῶν ἀκιῶν, καθὼς καὶ σοὶ αὐτῷ πρώην ὡρίσαμεν, προστάξαι ἀπὸ παλαιῶν καὶ νέων αὐτοὺς ποιεῖν.

ριζ'. Τὸν δὲ πρῶτον καὶ δεύτερον τῆς ἀκίας, καὶ τὸν οὐραγὸν, ἤγουν τὸν ὄπισθεν, καὶ τὸν πρὸ αὐτοῦ

collocetur, drungarii, id est tribuni, in reliquis utrinque turmis, in medio cohortium cursorum.

108. Aciei instructæ tempore exploranda sunt loca per mandatores, ubi conflictatio futura est, id est, medium spatium inter nostram jam aciem instructam, atque hostium, nec ubi fossæ, aut putei, aut dolus aliquis ab hostibus molitus sit; quod si tale aliquid inventum fuerit, præstoletur acies nostra dum hostes eum locum transierint, et cum hostibus integro in loco ac securo pugnent.

109. Bandum, id est insigne, turmarchæ longe diversum distinctumque forma sit a cæterorum præfectorum suorum bandis, ut facile ab omnibus signiferis agnoscatur.

110. Motu autem aliquo peregrino ac vario etiam bandum hoc distinguatur, vel quod sursum aut deorsum, aut dextrorsum, aut sinistrorsum locetur, aut continue inclinetur, id est demittatur, caput hujus insignis, aut crebro directe moveatur, ut omni in confusione ac perturbatione a reliquis insignibus facile cognoscatur.

111. Omnium turmarcharum banda unum signum ne habeant, sed diversas notas singulæ turmæ habeant, ad quæ cognoscenda milites ante assuefaciendi sunt. Non modo enim singula ex eo turmarcharum banda adjuvantur, et partem suam facile confirmant, sed etiam si quando aberraverint, ad suas cohortes facile redeunt.

112. Miles si qua ratione contingat a bando suæ cohortis abesse, omnibus modis eo revocandus est, ut acies minime confusa aut perturbata exercitus salutem ac præsidium præ se ferat.

113. Si in exercitu aliqui populares hostium fuerint, ante diem belli separandi sunt, et ad alia quædam loca honesta cum causa amandandi.

114. Ac turmarchis ista præcipies. Unicuique autem drungario, et comiti etiam mandabis, ut diligenter exquirant ea, quæ alicui usui copiis nostris esse possint.

115. Par est autem, sive in fossato versetur unumquodque bandum sive cohors, sive alicubi castra ponat, mane cum prima luce, ante alia omnia, ut vesperi post cœnam ac missas, τρισάγιον ὕμνον, id est ter sanctum hymnum, pro more cæteraque canere.

116. Contubernia, sive manipuli, quæ quasi parvæ quædam cohortes sunt, ut ante descripsimus, ex majoribus et minoribus natu simul junctis conficiantur.

117. Primanus et secundanus contubernii, ac præterea etiam ultimanus, hastati sint; tertius et

quartus sagittarii, quique in medio sunt, quemadmodum necessitas requirit maxime instruantur.

118. Flamula hastarum, quemadmodum supra admonuimus, tempore belli minime in hastis esse permittantur, ne hastæ tum iis qui gestant, tum iis qui a tergo sunt, tum etiam sagittis in acie conjectis impedimento sint.

119. Despotatos, quos ad conservandos et recuperandos eos, qui in bello sauciati erant, milites antea constituebamus, ex unaquaque cohorte sex, aut octo ex debilissimis separari jubebis, ut ubi tempus requirit, qui in bello graviter vulnerantur, ab illis serventur.

120. Duo speculatores, sive exploratores diligentes, vigilantes, ac strenui eligendi sunt; duo præterea mandatores, et contuberniis etiam duo viri eligantur, qui belli tempore bandum diligenter custodiant.

121. Cantator idoneus atque eloquens unus aliquis eligendus est, qui ipso in prœlio exacuat atque incitet militum animos, et suasoria oratione ad alacritatem et cupiditatem bellandi, quemadmodum supra memoravi, omnes inflammet.

122. Magnis in cohortibus duo banda ante belli diem fiant, alterum præfecti cohortis, id est comitis, alterum primi centurionis. Ipso autem belli die non duo gestentur aut erigantur, sed comitis solum.

123. Ipso belli die unusquisque miles gestet ad sellam suam secum aquam in phlasciis, et paxamadium, id est biscoctum, in sellopungio, et farinæ unam atque alteram libram, ut necessario tempore hæc habeant ad refocillationem et recreationem sui atque aliorum, qui in aliquam animi defectionem, aut valetudinis infirmitatem incidunt.

124. Tempore prœlii, ut cognoscant milites ante belli exitum neminem spoliandum esse, sæpius hoc militibus inculcetur.

125. In itinere faciendo, tuldum, sive impedimenta, cum militibus permiscendum non est, hostibus præsertim imminentibus, sed separatim, et cohortem aliquam post tuldum separatam, aut aliter etiam, si quando id usus exigat, quemadmodum in capite de tuldo antea mentionem fecimus. Hæc quæ nos tibi præcipimus, tu iterum singulis comitibus, et drungariis, et turmarchæ unicuique cognoscenda et conficienda dabis, atque etiam ipse quantum potes ad eadem eos exhortaberis et præparabis.

126. Occasione atque opportunitate in bello idonee utaris. Primum autem ejusmodi occasiones vitabis, ex quibus offensiones belli esse possunt. Iisdem deinde tu occasionibus adversus hostes utaris.

A κονταράτους εἶναι, τὸν δὲ τρίτον καὶ τέταρτον τοξότας, καὶ τοὺς ἐν μέσῳ, ὡς ἡ χρεία ἀπαιτεῖ.

ριη'. Τὰ δὲ φλάμουλα τῶν κονταρίων ἐν τῷ καιρῷ τοῦ πολέμου μὴ ἀφίειν, ὡς εἴρηται, εἰς τὰ κοντάρια, ἵνα μὴ τοῖς ὄπισθεν καὶ αὐτοῖς ἔχουσι κοντάρια ἐμποδίζωσιν· οὐ μόνον δὲ, ἀλλὰ καὶ ταῖς βαλλομέναις παρὰ τῶν τοξοτῶν σαγίτταις.

ριθ'. Τοὺς δὲ λεγομένους δεσποτάτους, καθώς σοι καὶ ἔμπροσθεν διεταξάμεθα, οὓς εἰς θεραπείαν καὶ πρὸς τὸ ἀνασιώζειν τοὺς πληγάτους στρατιώτας ὡρίσαμεν, προστάξεις ἵνα καθ' ἕκαστον τάγμα αὐτῶν ἓξ ἢ ὀκτὼ ἐκ τῶν ὑποδεεστέρων ἀφορίσωσιν, ἵνα ἐν καιρῷ περιποιοῦνται τοὺς τραυματιζομένους.

ρκ'. Δύο δὲ σκουλκάτορας ἤγουν κατασκόπους ἢ B βιγλάτορας χρησίμους καὶ ἀγρύπνους καὶ ἀνδρείους ἐπιλέγεσθαι, καὶ δύο μανδάτορας. Ἀφορίσωσι δὲ καὶ ἐκ τῶν εἰς τὰς ἀκίας τασσομένων δύο ἄνδρας χρησίμους εἰς φυλακὴν τοῦ βάνδου ἐν καιρῷ πολέμου.

ρκα'. Πάντως δὲ καὶ τὸν λεγόμενον καντάτορα ἐπιλέγεσθαι ἐπιτήδειον καὶ λόγιον ἕνα στρατιώτην, καὶ ἀφορίσαι ὥστε ἐν αὐτοῖς τοῖς ἀγῶσι περιτρέχοντα κατεπᾴδειν τῷ στρατῷ τοῦ τάγματος, καὶ διεγείρειν εἰς προθυμίαν διὰ προτρεπτικῶν λόγων, κατὰ τὸν τύπον ὅνπερ σοι προδιωρισάμεθα.

ρκβ'. Ποιείτωσαν δὲ ἐν τοῖς μεγάλοις τάγμασιν καὶ διπλᾶ βάνδα καὶ πρὸ τοῦ πολέμου, τὸ μὲν ἓν τὸν ἄρχοντα ἔχειν τοῦ τάγματος, τὸ δὲ ἄλλο τὸν πρῶτον ἑκατοντάρχην. Ἐν δὲ τῇ ἡμέρᾳ τοῦ πολέμου μὴ τὰ C δύο βαστάζεσθαι ἤτοι ὀρθοῦσθαι, ἀλλὰ τὸ τοῦ ἄρχοντος μόνον.

ρκγ'. Χρὴ οὖν καὶ ἐν τῇ ἡμέρᾳ τοῦ πολέμου ἕκαστον στρατιώτην ἐν ταῖς σέλλαις αὐτῶν ἐπιφέρεσθαι ὕδωρ εἰς τὰ λεγόμενα φλασκία, καὶ παξαμάτιν ἐν τῷ σελλοπουγγίῳ, καὶ ἄλευρον μίαν ἢ καὶ δύο λίτρας, ὥστε ἔχειν ἐν ἀνάγκης καιρῷ καὶ ἑαυτοῖς εἰς εὐψυχίαν καὶ παραμυθίαν, καὶ ἑτέροις, ὡς εἰκὸς, εἰς τὴν ἀπὸ ὀλιγωρίας ἀνάκτησιν.

ρκδ'. Ἐν δὲ καιρῷ μάχης ἵνα γινώσκωσιν ὅτι οὐ δεῖ στρατιώτην πρὸ τῆς ἐκβάσεως τοῦ πολέμου σκυλεύειν ἐχθρὸν, καὶ τοῦτο πολλάκις αὐτοῖς προπαραγγελεῖς.

ρκε'. Εἰς δὲ τὰς ὁδοιπορίας μὴ συγκαταμιγνύειν D μετὰ τοῦ τούλδου τοὺς στρατιώτας, καὶ μάλιστα ἐχθρῶν προσδοκωμένων, ἀλλὰ τὸ μὲν βάνδον ἔμπροσθεν ἰδίως, τὸ δὲ τοῦλδον ὄπισθεν ἢ καὶ ὡς ἡ χρεία καλέσοι, καθὼς καὶ ἐν τῷ περὶ τοῦ τούλδου ἡμῖν κεφαλαίῳ εἴρηται. Ταῦτα ἅπερ σοι διεταξάμεθα, καὶ αὐτὸς ἑκάστῳ κόμητι καὶ δρουγγαρίῳ, ἀλλὰ καὶ τουρμάρχῃ ἰδίως καὶ προγινώσκειν καὶ ἐπιτελεῖν καὶ παραγγελεῖς καὶ παρασκευάσεις.

ρκς'. Σοὶ δε κελεύομεν, ὦ στρατηγὲ, ὥστε ἁρμοδίως κεχρῆσθαι τοῖς καιροῖς ἐν ταῖς μάχαις, καὶ πρότερον μὲν φυλάττεσθαί σε τὰς ἀφορμὰς δι' ὧν αἱ βλάβαι παρὰ τῶν ἐχθρῶν συμβαίνουσι γίνεσθαι, καὶ τότε διὰ τῶν τοιούτων ἀφορμῶν κατὰ τῶν ἐχθρῶν ἐγχειρεῖν.

ρκζ'. Καὶ πρὸ πάντων δέον σε τὰς παρὰ τῶν ἐναντίων μελετωμένας ἐνέδρας ἐρευνᾷν διὰ βιγλῶν πυκνῶν κατὰ τῶν τεσσάρων μερῶν τοῦ τόπου ἔνθα ἡ παράταξις γίνεται, καὶ ἀπέχεσθαι τῶν ἀτάκτων καὶ ἐσκορπισμένων διώξεων.

ρκη'. Προπετεῖς ἐγχειρήσεις διὰ σεαυτοῦ ποιεῖν οὐκ ἐπιτρέπομέν σοι, ἀλλὰ διὰ τῶν ἁρμοδίων ἀρχόντων ταῦτα γίνεσθαι. Ἐὰν μὲν γὰρ ἐκ τῶν ἄλλων ἀρχόντων παράπτωμα ἢ ἀστοχία γένηται, ἔστιν ἐλπὶς σύντομος ἐπανορθώσεως· εἰ δὲ ὁ πρῶτος τοῦ στρατοῦ πταίσῃ, ἀναρχίας πρόφασις ἡ τούτου διάπτωσις γίνεται.

ρκθ'. Σοφὸς δὲ στρατηγὸς καὶ ἄριστος ὁ πρὸ τοῦ πολέμου τὰ τῶν ἐχθρῶν πολυπραγμονῶν καὶ πρὸς μὲν τὰ πλεονεκτήματα αὐτῶν φυλαττόμενος, πρὸς δὲ τὰ ὑστερήματα ἐπιβαλλόμενος, οἷον ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ὑπὲρ σὲ καβαλλαρίους ἔχει ὁ ἐχθρὸς πλείονας, δέον σε τὰς βοσκὰς ἀφανίζειν διὰ τὸ τοὺς ἵππους δαπάνης ὑστερεῖν· ἐὰν δὲ εἰς πλῆθος ἀνδρῶν πλεονεκτῇ, τὰς τούτου δαπάνας περίστελλε, ἢ ἀφάνιζε.

ρλ'. Ἐὰν δὲ ἀπὸ διαφόρων ἐθνῶν συνέστηκεν, δώροις καὶ χαρίσμασιν καὶ ἐπαγγελίαις ὑπονόθευε τοὺς σὺν αὐτῷ.

ρλα'. Ἐὰν δὲ μάθῃς ὅτι ἐναντίας τὰς γνώμας πρὸς ἀλλήλας ἔχουσιν οἱ ἐχθροί, τοὺς πρώτους αὐτῶν μεταχειρίζου.

ρλβ'. Κονταρίοις μάχεται τὸ ἔθνος; εἰς δυσχωρίας αὐτὸ προσκαλοῦ ἐπὶ μάχην.

ρλγ'. Ἐὰν δὲ τοξόται εἰσίν, εἰς κάμπους τάσσεσθαι αὐτούς, καὶ τὴν ἐκ χειρὸς μάχην ποιεῖσθαι.

ρλδ'. Ἐὰν δὲ ἀφυλάκτως ὁδοιποροῦσιν, ἢ ἀπλικεύουσιν ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ, τούτοις ἀδοκήτως ἐνέδρευε.

ρλε'. Ἐὰν δὲ θρασέως καὶ ἀτάκτως τὰς μάχας ποιοῦνται, καὶ τοῦ κακοπαθεῖν ἄπειροί εἰσιν, σχημάτιζου μὲν αὐτοὺς ὡς πρὸς συμβολήν, ἀνάβαλλου δὲ καὶ παράσυρε μέχρις οὗ τὸ ζέον τοῦ θυμοῦ ἐνδώσει, καὶ ὅταν ἀποκινήσωσι, τότε τὴν συμβολὴν κατ' αὐτῶν ποίησον.

ρλς'. Ἐὰν δὲ ἐν πλήθει πεζῶν προτερεύῃ, εἰς ὁμαλοὺς τόπους τούτους προτρέπου· καὶ μὴ σύνεγγυς, ἀλλὰ μήκοθεν δι' ἀκοντίων τὰς μάχας ποιεῖσθαι.

ρλζ'. Τὰ γὰρ τῶν πολεμίων κυνηγίοις εἰσὶν ὅμοια· ὥσπερ γὰρ ἐκεῖ διὰ κατασκόπων καὶ ἐγκρυμμάτων καὶ κατακυκλώσεων, καὶ τοιούτων σοφισμάτων μᾶλλον ἢ δυνάμει ἡ τούτων θήρα γίνεται, οὕτως δεῖ καὶ ἐπὶ τῶν πολεμίων ἁρμόζεσθαι, εἴτε πρὸς πλείονας, εἴτε πρὸς ὀλίγους γίνονται.

ρλη'. Τὸ γὰρ φανερῶς καὶ χειρὶ δι' ὄψεως μόνον βιάζεσθαι τοὺς ἐναντίους, ὅτε καὶ δόξει τις τούτους νικᾷν μετὰ κινδύνου καὶ ζημίας, οὐ τῆς τυχούσης ἡ τοῦ πράγματος ἀπόβασις αὐτῷ συμβαίνει, ὅπερ τῶν ἀλογίστων ἐστίν, ἀνάγκης μεγίστης χωρὶς μετὰ ζημίας νίκην κτᾶσθαι καινὴν (95) καὶ ματαίαν ὑπό-

A 127. Ante omnia ab hostibus molitas ac structas insidias explores per excubias quatuor in partibus aciei collocatas. Ab omni autem confusa et dissipata insectatione hostium abstinendum in primis est.

128. Temerariæ atque audaces rerum aggressiones abs te minime suscipiendæ sunt, sed ab aliis quibusdam idoneis præfectis. Si enim aliqua offensio aut gravis casus illis contingat, aliqua spes est ejus reficiendi; sin præcipuus, et nobilissimus in exercitu aliquid hujusmodi pateretur, ejusmodi offensio magnas perturbationes inveheret.

129. Prudens et circumspectus imperator ante bellum in res hostium diligenter intuebitur, et præsidia quibus abundat sedulo vitabit, defectus autem
B suos quantum potest vexabit: ut verbi causa si plures quam tu equites hostis habeat, pastiones omnes vastandæ sunt, ut equi deficiantur pabulo; sin virorum multitudo fuerit, illorum commeatus omnis atque alimenta circumvenienda tibi et præripienda ab illis sunt.

130. Si diversis ex nationibus hostium copiæ exsistant, donis, muneribus, pollicitationibus corrumpendi tibi sunt.

131. Sin diversarum partium sententiarumque fuerint, præcipuos quosque ex illis ad te tuasque partes sollicitabis.

132. Hastis si utantur, in aliquam difficultatem asperitatemque locorum illos ad prœlium evoca.

C 133. Si sagittarii fuerint, in planitiem et loca campestria trahantur, ut ibi cominus consertis manibus dimicent.

134. Si negligenter aut solute die vel nocte ambulent hostes, insidiis de improviso adoriendi sunt.

135. Sin animose et audacter ad bellum venerint, et ab omni offensione immunes esse videbuntur, præ te feras quasi bellum cum illis statim gesturus sis, rejice tamen bellum ac differto donec fervor omnis animorum elanguescat, et ubi hic impetus consederit, tum bellum illis conferto.

136. Si peditum numero hostibus præstiteris, ad plana et campestria loca illos deducito, non ut cominus, sed ut eminus jaculis cum illis confli-
D gas.

137. Bellicæ enim decertationes venationibus similes sunt; quemadmodum enim ibi excubiis, insidiis, circuitionibus, atque hujusmodi astutiis potius quam viribus fera capitur, sic bellum cum hostibus, sive plures, sive pauciores fuerint, gerendum est.

138. Coram enim ac manibus solum consertis velle cum hostibus aperte confligere, quando aliqua victoriæ spes illis adfuerit, sine periculo ac gravi offensione belli eventus esse non potest. Temerarium autem ac inscitum est, nulla necessitate impellente victoriam talem cum damno quærere,

NOTÆ.

(95) Καινήν. Scribe, κενήν.

quæ hoc modo parta, nomen tantum inane atque umbratile magis habebit, quam ea, quæ certissimo ac constantissimo in bellicis rebus judicio suscepta est. Deinceps jam, quæ ante belli diem facienda sunt, quando necessitas te ad bellum cogit, cum hostibus gerendum, dilucide ac breviter exponam.

CONSTITUTIO XIII.

De die ante bellum.

1. Turmarchæ, ut banda omnia integra sint, atque ad usum militarem apta, ante diem belli unum atque alterum præparabunt, atque adeo bandophoris, id est signiferis, cohortium dentur. Cohortis uniuscujusque comes sua constituat contubernia, et si qua sint defecta, expleat.

2. Exploratoribus et speculatoribus sedulo hostium statum exquires, qui motus illorum, quanta multitudo, qualis acies; itaque te adversum eos præparabis, ut ne subito ac de improviso invadare ab illis.

3. Ubi vacaverit autem, exercitum tuum per drungos, id est cohortes milliarias, et turmas congregabis; neque enim omnes simul unum in locum coges, narrabisque illis quæ dictu necessaria sunt, vel tu ipse, vel præfecti tui, antiquas illis commemorando victorias prioresque felicitates; talibusque dictis animabis illos. Regis præterea largitatem, studiumque referendæ gratiæ, præmiaque benemeritis proposita repetes. Recensenda quoque mandata sunt reliquæque præceptiones, quæ vel abs te, vel a singulis præfectis singulæ turmæ ante acceperunt.

4. Si quosdam ex hostibus contingat ab excubiis capi, vel ad nos deficere, si generoso corpore armatique fuerint, exercitui nequaquam ostendendi sunt, sed ad alium quempiam locum clanculum amandandi. Sin humiles ac viles fuerint, qui defecerunt, universo exercitui monstrabis. Captivos autem nudos circumduces, mandabisque ut ab omnibus militibus voce contendant ne ab illis interficiantur, quo militibus nostris omnes hostes miserabiles esse videantur.

5. Hostibus autem jam imminentibus, communique bello jam exspectato, præfectis cohortium præcipies, ut ne excursiones contra inordinate vagantes milites faciant, sed diligenter observent ne militem ullum ex suis lassatum reddant, aut etiam vexent; sed eos qui in aliqua mentis perturbatione aut sollicitudine excruciantur, aut opinionem alicujus anxietatis afferunt, relevent atque ad aliquam hilaritatem et alacritatem traducant. Sin ne sic quidem a mœstitia et mœrore avocari possunt, ad paululum temporis secernes eos, et ad alium locum, justa aliqua causa adhibita, usque ad belli exitum ablegabis, ut ne ad inimicos transfugientes aliquid indicent, quod minime patefaciendum fuit. Populares autem atque indigenæ hostium, quemadmodum supra ostendimus, longe ante tempore segregandi sunt, neque in bello adversum suos pugnare permittantur.

6. Quando ad pugnam dimicationemque ipsam venturus es, adversos casus belli mente pertracta,

A λῆψιν μόνην φέρουσαν. Ἐπὶ τούτοις παρακελευόμεθά σοι, ὦ στρατηγὲ, καὶ ὅσα χρὴ σε ποιεῖν πρὸ τῆς τοῦ πολέμου ἡμέρας, ὅτε καὶ ἀνάγκη σε κατεπείγῃ πρὸς μάχην ἐξελθεῖν κατὰ ἐχθρῶν.

ΔΙΑΤΑΞΙΣ ΙΓ'.

Περὶ τῆς πρὸ τοῦ πολέμου ἡμέρας.

α'. Ὥστε παρασκευάζειν τοὺς τουρμάρχας πρὸ μιᾶς ἢ δευτέρας ἡμέρας τοῦ πολέμου τὰ βάνδα, ἁγιάζειν διὰ τῶν ἱερέων, καὶ οὕτως ἐπιδιδόναι τοῖς βανδοφόροις τῶν ταγμάτων. Τὸν δὲ ἑκάστου τάγματος κόμητα προκαθιστᾷν τὰ κοντουβέρνια, καὶ ἀναπληροῦν τὰ λιπόντα σώματα.

β'. Σπουδάσῃς δὲ τὰ κατὰ τῶν ἐχθρῶν πολυπραB γμονῆσαι διὰ βιγλῶν ἀκριβῶς καὶ διὰ κατασκόπων, τήν τε κίνησιν αὐτῶν καὶ τὸ ποσὸν τοῦ πλήθους αὐτῶν, καὶ τὴν σύνταξιν, καὶ οὕτως ἁρμόζεσθαι εἰς τὸ μὴ αἰφνιδιασθῆναι παρ' αὐτῶν.

γ'. Συνάξεις δὲ ἐπὶ σχολῆς τὸν στρατὸν κατὰ δρούγγους καὶ κατὰ τούρμας, καὶ πάντα ὁμοῦ εἰς ἓν ἐν ἑνὶ τόπῳ, καὶ διαλαλήσεις αὐτοῖς τὰ πρέποντα, ἢ δι' ἑαυτοῦ, ἢ διὰ τῶν ἰδίων ἀρχόντων, παλαιᾶς τε ἀναμιμνήσκων νίκης καὶ προτέρων ἐπιτυχιῶν, καὶ διὰ τοιούτων προθυμοποιεῖν αὐτοὺς, ἐπαγγέλλεσθαί τε τὴν ἐκ τῆς βασιλείας ἡμῶν ἀμοιβὴν καὶ εὐεργεσίαν καὶ τὸν ὑπὲρ τῆς εὐνοίας τῆς πολιτείας μισθόν· ἔτι δὲ προσυπομιμνήσκειν καὶ τὰ διδόμενα μανδάτα καὶ τὴν ἄλλην παραγγελίαν, ἣν παρά τε σοῦ αὐτοῦ καὶ παρὰ τῶν ἰδικῶν αὐτῶν ἀρχόντων C ἔλαβον καθ' ἕκαστον τάγμα.

δ'. Ἐὰν δέ τινας τῶν ἐχθρῶν συμβῇ εἰς βίγλας κρατηθῆναι ἢ προσρυῆναι· εἰ μὲν γενναῖοί εἰσι τοῖς σώμασι καὶ ἔνοπλοι, τούτους μὴ δημοσιεύειν τῷ στρατῷ, ἀλλ' ἐν ἑτέρῳ τόπῳ ἀφανῶς ἐκπέμπειν αὐτούς. Εἰ δὲ εὐτελεῖς εἰσι, τοὺς μὲν προσρεομένους ἐπιτηδεύεις ἐπιδείκνυσθαι τῷ στρατῷ παντὶ, τοὺς δὲ κρατουμένους γυμνοὺς περιάγῃς, καὶ ὑποθήσεις αὐτοὺς παρακαλεῖν τοὺς στρατιώτας μὴ φονευθῆναι, εἰς τὸ πάντας τοὺς ἐχθροὺς ἐλεεινοὺς εἶναι νομίζεσθαι παρὰ τῶν στρατιωτῶν.

ε'. Ἐχθρῶν δὲ ἐγγιζόντων, καὶ δημοσίου προσδοκωμένου πολέμου, παραγγείλῃς τοῖς ἄρχουσι τῶν ταγμάτων, ὥστε μὴ ποιεῖν ἐν ἐκείναις ταῖς ἡμέραις D συνεξελεύσεις κατὰ τῶν ἀτακτούντων στρατιωτῶν, φυλάττεσθαι δὲ παντοίως μὴ κακῶσαι τὸν στρατιώτην. Ἀλλὰ καὶ τοὺς ἐν ὑποψίᾳ ὄντας λύπης τινὸς ἕνεκα μεταχειρίζεσθαι εἰς εὐθυμίαν· εἰ δὲ ἀμεταχείριστοι οἱ τοιοῦτοι μένουσι, χωρίσεις αὐτοὺς πρὸς μικρὸν, καὶ ἑτέρῳ παραπέμψεις τόπῳ μετὰ προφάσεως εὐλόγου μέχρι τῆς τοῦ πολέμου ἐκβάσεως, ἵνα μὴ τοῖς ἐχθροῖς προσφυγόντες εἴπωσίν τι ὧν οὐ χρὴ γινώσκειν αὐτούς. Τοὺς δὲ ὁμογενεῖς τῶν ἐχθρῶν, ὡς ἤδη προείπομεν, πρὸ πολλοῦ χωρίζειν, καὶ ἐν πολέμῳ τούτους μὴ φέρειν κατὰ τῶν ἰδίων.

ϛ'. Ὅταν δὲ μέλλῃς συμβαλεῖν εἰς μάχην, ὦ στρατηγὲ, χρή σε καὶ τὰ εἰς δευτέραν τύχην ἀποσκοπεῖν,

καὶ τὰς ἐκεῖθεν ἐναντιώσεις προασφαλίζεσθαι. Καὶ μάλιστα, ὡς πολλάκις ἡμῖν εἴρηται, τὰς ἀποτροφὰς ἡμερῶν ὀλίγων τῶν τε στρατιωτῶν καὶ τῶν ἵππων συνάγειν, καὶ φοσσάτα ὀχυρώτερα ποιεῖν, καὶ ἐν ἐπιτηδείοις τόποις, ἔνθα δυνατὸν τὸ ὕδωρ πάντως ἐκδικεῖσθαι ἐν καιρῷ ἀνάγκης.

ζ'. Μὴ ἀμελήσῃς δὲ τῆς ἀριστοποιίας τοῦ στρατοῦ. Εἰ μὲν γὰρ ὅτε συμβουλευθῇ ἡ συμβολὴ γίνεται, πάντως ἐν ᾧ ἂν δοκιμάσῃς καιρῷ τὸ ἄριστον τοῦ στρατοῦ γινέσθω. Εἰ δὲ τοῦτο μὴ ἔστιν, μέλλοντος τοῦ πολέμου πάντως τὸ πρωῒ γίνεσθαι τὸ ἄριστον, ἵνα, εἰ τύχοι, καὶ εὔρωστοί εἰσι, καὶ δι' ὅλης πολλάκις τῆς ἡμέρας τοῦ πολέμου κρατοῦντος μὴ ἐκλυθῶσιν.

η'. Χρὴ δέ σε πάντως, ὦ στρατηγὲ, μὴ μόνον ἐν τοῖς ἄλλοις καιροῖς, ἀλλὰ καὶ ἐν τῷ τοιούτῳ ἐγγὺς τοῦ πολέμου καιρῷ μὴ ἀμελεῖν τοῦ συμβουλεύεσθαι, ἀλλὰ καὶ τότε μάλιστα συγκαλέσεις τοὺς ὑπὸ σὲ τουρμάρχας, καὶ εἴ τινα ἕτερον δοκιμάσεις ἀγχίνουν καὶ φρόνιμον, εἰς τὴν κατὰ τὸν καιρὸν ὀφειλομένην γίνεσθαι συμβουλήν· καὶ οὕτως βουλεύσασθαί σε δέον τὰ περὶ τοῦ πολέμου.

θ'. Κατανοεῖν δὲ ἀκριβῶς καὶ τὸν τόπον ἔνθα ἡ συμβολὴ τοῦ πολέμου μέλλει γίνεσθαι.

ι'. Προπαραγγείλῃς δὲ τοῖς ἄρχουσιν ἵνα κατὰ τὴν πρώτην φωνὴν τοῦ βουκίνου ἐν τῇ νυκτὶ τῆς τοῦ πολέμου ἡμέρας τοὺς ἵππους ἐπὶ τὸν ποτὸν παρασκευάσωσιν ἐξαγαγεῖν ἵνα μὴ, ὡς εἰκὸς, ἀμελοῦντες τούτου ἐν τῷ καιρῷ τῆς παρατάξεως ἀπολείπωνται.

ια'. Παραγγείλῃς δὲ, καθὼς ἀνωτέρω ἡμῖν εἴρηται, ἵνα καὶ εἷς ἕκαστος στρατιώτης ἐν τῷ κινεῖν πρὸς παράταξιν ἔχῃ ἐν τῷ σελλοπουγγίῳ αὐτοῦ (96) μίαν ἢ καὶ δύο λίτρας ἄρτου, ἢ ἀλεύρου, ἢ πίστου ἑψητοῦ, ἢ παξαμάδας, ἢ κρέας. Ἔχειν δὲ καὶ φλασκὶν μικρὸν ἐν τῇ ἀργαβίᾳ ὕδατος γέμον, καὶ μὴ οἴνου, διά τε τὰς τυχηρὰς περιστάσεις, καὶ τὰς, ὡς εἰκὸς, ἀπαντώσας χρείας. Πολλάκις γὰρ τρεπομένων ἐχθρῶν, καὶ ὀχυρώματι προστρεχόντων, χρεία παρακαθίσαι αὐτοῖς διὰ νυκτὸς καὶ ἡμέρας, ἢ πάλιν τὴν συμβολὴν μέχρι τῆς ἑσπέρας παρατείνεσθαι· καὶ ἀναγκαῖόν ἐστιν ἐπιφέρεσθαι δαπάνην, ἵνα μὴ τῇ ἐλλείψει τῆς δαπάνης τὸ πρακτέον ἐμποδίζηται.

ιβ'. Ἐὰν δὲ πρὸς δυνατὸν ἔθνος ἐστὶν ὁ πόλεμος, καὶ ἐκ προλήψεώς τινος ἐν δειλίᾳ ἐστὶν ὁ στρατὸς, μὴ σπουδάσῃς συμπλέκεσθαι δημοσίως εὐθὺς, ἀλλὰ πρότερον ἀσφαλῶς ἐπιτήδευε πρὸ τῆς ἡμέρας τοῦ πολέμου μετὰ ἐξαπλίκτων καὶ χρησίμων ἀνδρῶν λεληθότως καὶ μὴ φανερῶς ἐπέρχεσθαί τινι μέρει αὐτῶν. Ἐὰν γὰρ φονευθῶσί τινες τῶν ἐναντίων, ἢ ζῶντες συλληφθῶσιν, νομίσῃ τὸ πλῆθος τῶν στρατιωτῶν ὅτι δυνάμει ἐγένετο τὸ συμβὰν, καὶ προθυμότεροι γίνονται τὴν δειλίαν ἀποβαλλόμενοι, καὶ οὕτως μετὰ μικρὸν ἐθίζονται τολμᾷν, καὶ κατὰ αὐτῶν ἐγχειρεῖν.

ιγ'. Ἐὰν δὲ αἰφνιδιασμὸς γένηται ὑπὸ τῶν ἐχθρῶν, καὶ μὴ συμβαίνῃ τῇ τοῦ πολέμου χρείᾳ ἢ ὁ τό-

A et illas calamitates quantum fieri potest anteverte. Imprimis autem, quemadmodum sæpe a me commemoratum est, dierum aliquot commeatus pro militibus equisque provehatur. Castra munitiora fiant, idoneisque in locis, ubi aqua omnino defendi potest, ponantur.

7. Curæ tibi quoque prandium militum sit. Si enim quando communi consilio decretum est bellum incipiet, tum quo tempore optimum judicabis prandeat exercitus. Sin hoc minime futurum sit, jam impendente bello, milites mane prandeant, ut magis firmi fiant, et per integrum diem, si tandiu bellum duraverit, minus viribus deficiantur.

B 8. Non modo aliis temporibus, verum etiam appetente jam belli tempore, consilium abs te minime negligendum est, sed turmarchas tuos, et si quem præterea solertem prudentemque virum judicas, ad consilium ex tempore capiendum advocabis, et de rebus agendis deliberabis.

9. Advertendus diligenter etiam locus in quo conflictatio belli futura est.

10. Præcipies etiam præfectis, ut ad primum sonum buccinæ ejus noctis, quæ diem belli antecedit, equos aquatum educant, ne si hoc prætermittatur, equorum vires in bello deficiant.

C 11. Præcipies etiam, quemadmodum supra a nobis mandatum est, ut unusquisque miles, quando ad dimicationem belli procedit, habeat in sellopungio suo unam aut duas libras panis, aut farinæ, aut biscocti, aut paxamadii, aut carnis : habeat etiam phlascium in argabia plenum aqua, non vino, adversus omnes fortuitas res circumstantes et casus nec opinatos. Sæpe enim, profligatis hostibus et ad munitionem aliquam accurrentibus, obsidendi a nobis diem unam ac noctem sunt : aut si usque ad diem conflictatio producenda sit, necesse est commeatum afferri, ut ne commeatus penuria res agendæ impediantur.

12. Si adversus potentem nationem bellum futurum est, et in timore aliquo ac demissiore animo D exercitus noster fuerit, ne statim aperte ac publice cum illis confligas, sed ante diem belli cum delectis quibusdam strenuisque militibus, clam, et non aperte, illorum partem aliquam adoriaris. Si enim quidam ex hostibus vel omnino interficiantur, vel vivi capiantur, exercitus illud fortitudine ac robore effectum judicabit, et vires colliget, timoremque deponet, atque adeo paulatim assuefient audaciores esse, et hostes alacrius invadere.

13. Si hostes te nec opinato opprimant, neque id ad usum tuum pertinet ut cum illis dimices, vel

NOTÆ.

(96) In codice Laurentiano desunt paragraphi qui sequuntur.

quia locus asper atque condensus est, vel tempus importunum, ut, magnis frigoribus aut caloribus, ne tum coneris cum illis prœliari, sed teipsum collige potius, et locum idoneum ad castra ponenda quære, et prœlium differ donec commoditatem temporis ac loci aliquam habeas : neque committas ut invitus cum illis confligas. Hoc si feceris, non inimicos fugies, sed incommodum locum devitabis.

14. Deo victoriam dante, et hostibus profligatis, abstineant omnino milites a cadaveribus inimicorum spoliandis. Nam cadavera aut impedimenta aut castra hostium ante perfectum belli exitum invadere, valde periculosum ac perniciosum est. Itaque præcipiendum omnino est, ut istis rebus milites abstineant. Sæpe enim victores talibus de causis non superati, verum iterum funditus deleti sunt, hostibus de improviso incursantibus et periculum inferentibus.

15. Hostibus jam appropinquantibus, et imminente bello, quemadmodum ante admonuimus, non modo si in *fossato*, id est, castris copiæ tuæ fuerint, ibique hostes exspectaverint, fenum aut palea unius atque alterius diei jumentis reponetur, sed etiam si castra moveat exercitus, et ad alia loca commeare velit, atque aciem ibi instruere, fenum aut paleam unius diei secum ferant, ac in castris suis reponant : fortassis enim pueri et administri militum ab hostibus prohibeantur eo die exire, et fenum secare, aut pabulum colligere, aut jumenta ad pastum emittere.

16. Sin hostes immineant multi, non absurdum fuerit, quemadmodum ante diximus, unumquemque in itinere faciendo frumentari ac pabulari, atque illud in castris reponere. Neque enim castris jam positis, pueri et administri ab hostibus, si præsertim equites multi fuerint, pabulatum et frumentatum ire sinentur. Hæc abs te ante belli diem, partim præcipienda, partim conficienda sunt, ut perfectior ac dispositior præfectorum militumque tuorum constitutio fiat. Restat ut de ipso belli die, quidque persequendum tibi tuisque, et a quibus refugiendum sit, paucis explanemus.

CONSTITUTIO XIV.

De die belli.

1. Hoc ante omnia præcipiendum est, ut purus ac sanctus exercitus tuus sit, et pridie vesperi preces efficaces ac diuturnæ adhibeantur, omnesque Deo consecrentur, verbis factisque persuadeantur se Deum adjutorem habere, atque hoc modo ad bellum puros, sinceros, alacresque procedere.

2. Ipso belli die ne multum te fatiges, ne las-

A πος ὡς δασὺς καὶ δυσχερὴς, ἢ ὁ καιρὸς ἀπρόσφορός ἐστιν οἷον πολλοῦ χειμῶνος, ἢ ὁμοίως καύματος, μὴ ἐπιτηδεύσῃς συμβαλεῖν αὐτοῖς ἢ τότε ἢ ἐκεῖσε· ἀλλὰ σπούδαζε μᾶλλον συνάγειν σεαυτὸν, καὶ τόπον ἴδιον κρατεῖν εἰς ἄπλικτον, καὶ ὑπερτίθου μέχρις ἂν καὶ τόπου ἐπιτηδείου καὶ καιροῦ ὁμοίως εὐπορήσῃς, καὶ μὴ ἀκουσίως συμβάλῃς. Τοῦτο γὰρ ποιῶν οὐχὶ ἐχθρῶν φεύξῃ, ἀλλὰ τὸν ἀνεπιτήδειον καὶ ἀσύμφορον τόπον φυλαττόμενος ἔσῃ.

ιδʹ. Θεοῦ δὲ νίκην παρέχοντος ἐὰν οἱ πολέμιοι τραπῶσιν, ἀπέχεσθαι τοῖς στρατιώταις παράγγελλε τοῦ σκυλεύειν τοὺς νεκροὺς τῶν ἐχθρῶν· τὸ γὰρ ἢ νεκροὺς σκυλεύειν, ἢ τοὔλδῳ ἢ φοσσάτῳ πολεμίων ἐπέρχεσθαι πρὸ τελείας ἐκβάσεως τοῦ πολέμου, πρᾶγμα ὀλέθριον καὶ ἐπικίνδυνόν ἐστιν. Διὸ χρή σε B προπαραγγέλλειν τὸ παντοίως ἀπέχεσθαι τούτων. Πολλάκις γὰρ καὶ οἱ νικήσαντες διὰ τοιούτων τρόπων οὐ μόνον ἡττήθησαν, ἀλλὰ καὶ ἀπώλοντο σκορπίσαντες ἑαυτοὺς, καὶ ὑπὸ τῶν ἐχθρῶν αἰφνιδιασθέντες, καὶ οὕτως κινδυνεύσαντες.

ιεʹ. Ὅπερ δὲ ἡμῖν καὶ πρότερον εἴρηται, δεῖ μάλιστα τῶν πολεμίων ἐγγιζόντων, καὶ προσδοκωμένου πολέμου, ἵνα ἐὰν διάγῃ ἐν φοσσάτῳ ὁ στρατὸς, καὶ τοὺς ἐχθροὺς ἀναμένῃ ἐκεῖθεν, μὴ μόνον εὐτρεπίζειν, καὶ ἀποτιθέναι χόρτον ἢ ἄχυρον μιᾶς ἢ δευτέρας ἡμέρας τῶν ἀλόγων, ἀλλὰ καὶ ἐὰν κινήσῃ ὁ στρατὸς, καὶ βούληται καὶ ἐν ἑτέρῳ πλήκτῳ (97) ἀπελθεῖν, κἀκεῖθεν παρατάξεσθαι, ἀναγκαῖόν ἐστιν ὥστε χόρτον ἢ ἄχυρον κἂν μιᾶς ἡμέρας βαστάζειν, καὶ οὕτως ἐν τῷ γενομένῳ φοσσάτῳ ἀποτίθεσθαι C τοῦτον· ἴσως γὰρ οὐ συγχωροῦνται ὑπὸ τῶν ἐχθρῶν οἱ ὑπηρετοῦντες παῖδες αὐτῇ τῇ ἡμέρᾳ ἐξελθεῖν, καὶ χορτολογῆσαι, οὔτε δὲ τὰ ἄλογα εἰς βοσκὴν ἐκβαλεῖν.

ιςʹ. Εἰ δὲ οἱ ἐχθροὶ πολὺ ἐγγίζουσιν, οὐκ ἄτοπον ἐν τῷ περιπατεῖν, ὡς καὶ ἀλλαχοῦ ἡμῖν εἴρηται, ἕκαστον συνάγειν τὸν χόρτον τὸν ὀφείλοντα ἀποτεθῆναι. Οὐδὲ γὰρ μετὰ τὸ ἀπλικεῦσαι πολλάκις συγχωροῦνται οἱ παῖδες ἐξελθεῖν καὶ χορτολογῆσαι, πλειόνων μάλιστα καβαλλαρίων τῶν ἐχθρῶν εὑρισκομένων. Ταῦτα μέν σοι πρὸ τῆς τοῦ πολέμου συμβολῆς, τὰ μὲν διατάσσεσθαι, τὰ δὲ διαπράττεσθαι εἰς ἐντελεστέραν μάθησιν τῶν τε ὑπὸ σὲ ἀρχόντων καὶ τῶν στρατιωτῶν παρακελεύομεν· ἑξῆς δὲ καὶ ὅσα χρὴ εἴτε ποιεῖν εἴτε παραφυλάττεσθαι μετὰ τῆς ὑπὸ D σὲ δυνάμεως ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς συμβολῆς τοῦ πολέμου, κατὰ δύναμιν ἤδη ἐροῦμεν.

ΔΙΑΤΑΞΙΣ ΙΔʹ.

Περὶ τῆς ἡμέρας τοῦ πολέμου (98).

αʹ. Ὑποτιθέμεθα οὖν σοι, ὦ στρατηγὲ, πρό γε πάντων ἐν τῇ ἡμέρᾳ τοῦ πολέμου καθαρὸν εἶναι τὸν στρατὸν, καὶ εὐχὴν γενέσθαι διὰ τῆς νυκτὸς ἐκτενῆ, καὶ διὰ τῶν ἱερέων ἁγιασθῆναι πάντας, καὶ οὕτως καὶ ἔργοις καὶ λόγοις πεισθῆναι ὅτι τὸν Θεὸν ἔχουσι βοηθὸν, καὶ ἐπὶ τοῦτο κινῆσαι πρὸς τὸν πόλεμον λαμπροὺς καὶ προθύμους.

βʹ. Σὺ δὲ πολλὰ πονεῖν ἐν τῇ ἡμέρᾳ τῆς συμβολῆς,

NOTÆ.

(97) *Πλήκτῳ*. Scribe, ἀπλήκτῳ.

(98) Codex Laurentianus his duobus primis paragraphis mutilus est.

ἵνα μὴ τῷ πολλῷ κόπῳ καὶ τῇ συντριβῇ τῶν ἀναγκαίων ἐπιλανθάνῃς, μηδὲν κατολιγωρεῖν σε ἀπὸ τῆς φροντίδος, ἀλλὰ ἀνθηρῶς καὶ εὐθαρσῶς παρέρχεσθαι τὴν παράταξιν, καὶ προθυμοποιεῖν πάντας διὰ λόγων.

γ'. Καὶ μὴ συμπλέκεσθαι τοῖς πολεμίοις διὰ χειρός· στρατιώτου γὰρ ἢ στρατηγοῦ (99) τοῦτό ἐστιν· ἀλλὰ ποιεῖν σε μὲν τὰ ἁρμόζοντα πάντα, ἐν ἐπιτηδείῳ δὲ ἵστασθαι τόπῳ, ὅθεν ὁρᾷν δύνασαι τούς τε ἀγωνιζομένους, καὶ τοὺς, ὡς εἰκὸς, ἀμελοῦντας, καὶ ἐπεύχεσθαι τὰ δέοντα. Καὶ σπουδάζειν διὰ τῶν ἐν ὑποβοηθείᾳ ὄντων συναίρεσθαι τῷ δεομένῳ μέρει, τοῦτ' ἔστι διὰ τῶν πλαγιοφυλάκων καὶ νωτοφυλάκων.

δ'. Ἐὰν μὲν οὖν ἐν ταῖς παρατάξεσί σου πρὸς τοξότας ἐστὶν ὁ πόλεμος, τοὺς δυσχερεῖς τόπους, καὶ τοὺς πρόποδας τῶν ὀρέων, ἤγουν τὰς πρώτας ἀναβάσεις ἐπὶ τὰ ὄρη, τούτους φυλάττου, καὶ μὴ ἐν αὐτοῖς σύμβαλλε τὴν μάχην, εἴ γε δυνατόν ἐστιν. Καὶ ἢ ἐν τῷ ὕψει τὴν παράταξιν ἔκτασσε, ἢ τελείως ἀπόβαινε τοῦ ὄρους, καὶ ἐν ὁμαλωτέρῳ καὶ γυμνῷ τόπῳ παρατάσσου, ἵνα μὴ τῶν ἐχθρῶν, ὡς εἰκὸς, ἐκεῖθεν ἐνεδρευόντων ἀπὸ τοῦ ὕψους ἡ παράταξις (1) ἀθρόως βιάζηται.

ε'. Ἀλλὰ μηδὲ συμπλέκου παρατάξει πολεμίων, μηδὲ τὴν ἰδίαν σου προδείκνυε αὐτοῖς, πρὶν ἂν τὴν τάξιν αὐτῶν κατανοήσῃς, καὶ τάς, ὡς εἰκὸς, μελετωμένας παρ' αὐτῶν ἐνέδρας ἤτοι ἐγκρύμματα (2) πολυπραγμονήσῃς.

ϛ'. Ἐὰν δὲ οἱ τόποι, ἐν οἷς μέλλῃς συμβάλλειν, γυμνοί εἰσι καὶ πεδινοί, καὶ οὐκ ἔστιν εὐκόλως τὴν δευτέραν σου τάξιν κρύπτειν ἐν αὐτοῖς, εἰς τὸ μὴ τοὺς ἐχθροὺς προγινώσκειν ἐν τῷ κινεῖν τὸν στρατὸν εἰς τὴν μάχην, ἐντεῦθεν ἤδη τὴν δευτέραν τάξιν κατόπισθεν τῆς πρώτης πλησίον συνακολουθεῖν ποίησον, ὥστε τὰς δύο εἰς μίαν τοῖς ἐναντίοις φαίνεσθαι. Ὅταν δὲ ἀπὸ ἑνὸς (3) μιλίου τῆς τῶν πολεμίων γένηται παρατάξεως· τότε τὴν δευτέραν χρεὼν κατ' ὀλίγον ἐμβραδύνουσαν χωρίζειν αὐτὴν τῆς πρώτης τὸ εἰρημένον διάστημα, καὶ εἰς τὸ ἴδιον σχῆμα καθιστᾷν, ὥστε εἶναι δευτέραν παράταξιν· ἐντεῦθεν γὰρ τοῖς πολεμίοις οὐκ εὔγνωστος πρὸ πολλοῦ ἡ τάξις γίνεται.

ζ'. Τὰς δὲ ὑποχωρήσεις καὶ φυγὰς τῶν ἐχθρῶν σκέπτου, καὶ μὴ ἀκρατῶς ἐπίτρεχε, διὰ τὰ σοφίσματα, ὡς εἰκὸς, γινόμενα, ἀλλὰ μετὰ συντάξεως δίωκε, ἕως λάβῃς πληροφορίαν τῆς ἀσφαλείας τῆς νίκης.

η'. Ἐὰν δὲ ἀπὸ τῶν ἐχθρῶν ἐπέλευσις μηνυθῇ κατὰ τῆς πρώτης παρατάξεως, καὶ οὐκ ἔστι πῶς ἢ διὰ τῶν πλαγιοφυλάκων, ἢ διὰ τῶν εἰς ἐνέδραν κατὰ τῶν ἐχθρῶν πεμπομένων βοηθεῖν, τότε δέον ἐκ τῶν εἰς τὰ ἄκρα τῆς δευτέρας παρατάξεως τασσομένων βάνδων μετατίθεσθαι εἰς αὐτούς· εἰ μὲν ἐξ ἑνὸς πλαγίου ἔρχονται, ἐξ ἐκείνου τοῦ μέρους, εἰ δὲ ἐκ τῶν δύο, ἐξ ἑκατέρωθεν. Ὁμοίως δὲ καὶ

A situdine ac perturbatione aliqua rerum necessariarum obliviscaris, neque cura aut sollicitudine excrucieris, sed strenue atque alacriter aciem transeas, et oratione tua omnium animos excites.

3. Neque enim manibus consertis cum hoste confligere imperatoris est, sed quæ facto opus sunt providere, et idoneo | in loco stare, ubi aspicere dimicantes possit, et solutos ignavosque incitet ad alacriter bellum gerendum, atque afflictæ parti studeat subsidiis suis, id est lateranis et tergistitibus, opem ferre.

4. Si adversum sagittarios bellum copiis tuis suscipiendum erit, locorum asperitates et pedes B lateraque montium primosque conscensus devita, et si fieri possit, nequaquam in ea parte confligas, et vel in editiori parte montis copias tuas locato, vel omnino a monte recedas, et in æquabiliori loco magisque plano aciem instruas, ut ne hostes insidias molientes, ex eminentiore loco in vos invadant.

5. Nec vero cum hostium acie confligas, neve tuam illis aciem commonstres, priusquam illorum aciem instructam animadverteris, et illorum insidias molitionesque exquisiveris.

C 6. Si loca in quibus conflicturus es, aperta et campestria sint, et haud satis commode liceat secundam aciem tuam occultare, ut ne in itinere faciendo adversum hostes appareat, eam jam prope primam aciem abducito, ut duæ hæ acies una solum esse hostibus videantur; quando vero ad unius milliaris spatium ab hostium copiis abfuerint, tum secunda acies paululum se retardet, atque a prima acie ad justum intervallum se separet, et ad suam formam, quam ante secundæ aciei descripsimus, redeat : inde fiet, ut nostræ aciei apparatus quam minime ab hostibus cognoscatur.

7. Discessiones fugasque hostium diligenter attende, D neque intemperanter propter hostium fallaces dolos insequere illos, sed ordinate ac instructis copiis, idque potissimum si aliquam certam victoriæ fiduciam habeas.

8. Si hostibus incursio quædam in primam aciem fiat, eamque neque lateranis, neque insidiis adversum eos structis defendere possis, extremas secundæ aciei oras assumes, illucque transferes : si uno ex latere veniant, ad eam partem; sin utroque ex latere ad utramque partem. Similiter adversum eos, qui a tergo secundæ aciei veniunt, si tergistites multi ad illos repellen-

NOTÆ.

(99) Ἢ στρατηγοῦ. Scribe, μὴ στρατηγοῦ.
(1) Ἡ παράταξις. Scribebatur, ἢ παρὰ τὸ ἔξω.
(2) Ἐνέδρας, ἤτοι ἐγκρύμματα. Scribebatur, ἐνέδρ... ἐγ.
(3) Ἀπό. Scribebatur ὡς.

dos non fuerint, hoc idem facies, ne cæteri distracti ad præsidia primæ aciei minus valeant.

9. Si ingens hostium fuerit exercitus, et multitudine hominum ac jumentorum afflictus, ac pene oppressus fuerit, ne coneris eminus jam hostibus venientibus, copias tuas ad celsum aliquem locum deducere, ne multitudine conspecta animum jam tui despondere incipiant, sed humili et cavo in loco eos instrue, ubi neque hostes visuri sunt, neque ab hostibus cerni poterunt; et quando uno aut dimidio signo hostes abfuerint, ad excelsiorem locum ducantur, ut confligere possint priusquam animo deficere, aut languescere incipiant.

10. Sin talis locus non inveniatur, sed eminus hostes exercitui tuo appareant, copiis tuis ipsa in acie instructis dices, non hominum, sed jumentorum atque impedimentorum ibi permagnum esse numerum.

11. Si hostibus adhuc minus instructis adoriri eos atque invadere potes, majus damnum illis facies.

12. Omnino autem semel atque iterum consiste, quando ad spatium unius, aut duorum milliarium ab hostium acie ante bellum distas, ut exercitus tuus varie instruatur, ut ne securos se putent hostes, quia per exploratores nostras copias ante cognoverunt, et contra eas aliquid molitionis machinati sunt.

13. Si pedestris exercitus non fuerit, militum pueros, id est, administros in castris relinques, et per universum castrorum ambitum ad fossam custodiendam dividantur, armisque interiorem ejus partem muniant, sive sagittis, sive jaculis, sive funda valeant; una quoque cohors cum illis excubias aget, portasque castrorum atque universi ambitus defendet, unus istis præfectus honestus atque integer.

14. Neque tuldum tecum in acie circumferas, si aliter fieri poterit; prompta enim atque exposita hostibus præda est, si in bello esse advertatur.

15. Si proficiscenti tibi de improviso subita hostium incursio fuerit, neque castris satis commode et tuto in loco tuldum ponere poteris, tum dextrum ad latus secundæ aciei obliquabis, ibique unam et alteram cohortem, quæ ex superfluis hominibus est, ad ejus custodiam segregabis.

16. Si nullum jumentis repositum in castris pabulum habeant, ipso belli die cæteris ad bellum procedentibus, palicaria, id est administri militum et præfectorum pabulatum eant ad partem a tergo aciei relictam, et dum bellum geritur quantum possunt pabuli comparent. Pabulatoribus autem istis dentur banda et signa quædam diversis et editioribus in locis, ut adverso aliquo

A τοῖς κατὰ νώτου τῆς δευτέρας τάξεως ἐρχομένοις, ἐὰν μὴ ἀρκῶσιν οἱ νωτοφύλακες αὐτοὺς δι' ἑαυτῶν ἁρμόζεσθαι, τὰ αὐτὰ ποιήσεις· ἵνα οἱ λοιποὶ ἀπερίσπαστοι μένωσι πρὸς βοήθειαν τῆς πρώτης παρατάξεως.

θ. Ἐὰν δὲ πολύς ἐστιν ὁ τῶν ἐχθρῶν στρατὸς, καὶ διὰ πλῆθος ἀλόγων ἢ ἀνδρῶν κόμπος ἤγουν ἐξωγκωμένος φαίνεται, μὴ ἐπιτήδευε εὐθὺς εἰς ὑψηλὸν τόπον τὸν στρατὸν τάσσειν μηκόθεν τῶν ἐχθρῶν ὄντων, ἵνα μὴ τῇ θέᾳ τοῦ πλήθους προκαταλαμβανομένους δειλιάσῃ προχείρως, ἀλλ' ἐν κοιλοτέρῳ τόπῳ τάσσε αὐτοὺς, ὁπόθεν οὐδὲ κατοπτεύῃ τοὺς ἐχθροὺς, οὐδὲ καθορᾶται ὑπὸ τῶν ἐχθρῶν. Καὶ ὅταν ἢ ἀπὸ ἑνὸς ἢ ἀπὸ ἡμίσεως σημείου γένωνται οἱ ἐχθροὶ, τότε ἐν τῷ ὕψει φέρειν τὸν στρατὸν, ἵνα πρὶν δειλιάσῃ ἡ συμβολὴ γένηται.

B

ι'. Εἰ δὲ μὴ εὑρίσκεται τόπος τοιοῦτος, ἀλλὰ μήκοθεν οἱ ἐχθροὶ τῷ στρατῷ φαίνονται, πρόλεγε τῷ στρατῷ ἐν αὐτῇ τῇ παρατάξει, ὅτι ἀλόγων ἢ τούλδου πλῆθός ἐστι τὸ φαινόμενον, καὶ οὐκ ἀνθρώπων μόνων.

ια'. Ἐὰν δέ σοι δυνατόν ἐστιν καὶ πρὸ τοῦ παρατάξασθαι τοὺς πολεμίους συμβαλεῖν αὐτοῖς ἔτι ἀσυστάτοις οὖσιν, μᾶλλον αὐτοὺς βλάψαι ἰσχύσεις

ιβ'. Πάντως δὲ ἓν ἢ καὶ δεύτερον ἔχε ὡς ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου τῆς παρατάξεως πρὸ τοῦ πολέμου ἐν ὅσῳ τάσσεται ὁ στρατὸς, ἵνα μὴ ἄδειαν ἔχωσιν οἱ πολέμιοι πρὸ τῆς μάχης κατασκοπεῖν τὴν τάξιν, καὶ σοφίζεσθαι κατ' αὐτῆς.

C

ιγ'. Καὶ ἐὰν πεζικὸς οὐκ ἔστι στρατὸς, τοὺς παῖδας τῶν στρατιωτῶν, ἤτοι τοὺς δουλεύοντας αὐτοῖς, καταλίμπανε ὥστε διαμερίζεσθαι δι' ὅλου τοῦ ἐν τῷ φοσσάτῳ ἀπλίκτου ἕκαστον περὶ τὴν ἔσω τάφρον μετὰ ὅπλων, εἴτε τοξεύειν δύνανται, εἴτε ἀκοντίζειν, εἴτε σφενδονᾷν· ἀλλὰ καὶ ἓν βάνδον μετὰ αὐτῶν τὸ ὀφεῖλον βιγλεύειν, καὶ τὰς πόρτας τοῦ φοσσάτου φυλάττειν, ἤγουν τοῦ περιφραγμένου ἀπλίκτου, καὶ ἄρχοντα δὲ χρήσιμον τοῦ ὅλου τοιούτου φοσσάτου.

ιδ'. Μηδέποτε τοῦλδον ἐπὶ παρατάξεως περίφερε, εἰ δυνατόν ἐστι· καὶ γὰρ ἕτοιμον τοῖς ἐχθροῖς βρῶμα γίνεται, ἐὰν ἐν μάχῃ εὑρεθῇ.

D

ιε'. Ἐὰν μέντοι, ὡς εἰκὸς, ὁδοιποροῦντός σου ἀδόκητος ἐπέλευσις παρὰ τῶν ἐχθρῶν γένηται, καὶ οὐ φθάσῃς ἀπλικεῦσαι καὶ ἀσφαλίσασθαι τὸ τοῦλδον, τότε φέρε αὐτὸ κατὰ τοῦ δεξιοῦ μέρους ἐκ πλαγίου τῆς δευτέρας παρατάξεως, καὶ ἐκεῖ τάσσε, καὶ ἓν ἢ δεύτερον βάνδον ἐκ τῶν περισσῶν εἰς παραφυλακὴν αὐτοῦ ἀφόριζε.

ις'. Ἐὰν δὲ μὴ ἔτυχον, ὡς εἴρηται, προαποθέμενοι χόρτον καὶ ἐν αὐτῇ τῇ τοῦ πολέμου ἡμέρᾳ, τῶν ἄλλων ὁπλιτῶν ἐπὶ τὴν παράταξιν κινούντων, τὰ παλλικάρια τῶν στρατιωτῶν καὶ τῶν ἀρχόντων ἵνα ἐξέρχωνται εἰς τὸ μέρος τὸ ὀπίσω τῆς παρατάξεως τοῦ ὅλου στρατοῦ μετὰ ὀλίγων βιγλατόρων ἐκ τοῦ τῆς παρατάξεως μέρους καταλιμπανομένων, καὶ συνάγουσι τὸν ἀρκοῦντα χόρτον, ἐν ὅσῳ ὁ πόλεμος

A γίνεται· τοῖς δὲ χορτολογοῦσιν ὁρίσεις δοθῆναι βάνδα καὶ σημειώσεις ἐν ὑψηλοτέροις τόποις καὶ διαφόροις, ὥστε ἐναντίου τινὸς συμβαίνοντος τὸ ἀνακλητικὸν πρὸς συνήθειαν, τότε ἀναχωρεῖν αὐτοὺς δρομαίως, καὶ ἐπὶ τὸ φοσσάτον σώζεσθαι, ἵνα μὴ ἔξω ἀποκλεισθῶσιν. Τοῦτο δὲ ἀναγκαῖόν ἐστι γενέσθαι, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως. Ἐὰν γὰρ ἐναντίως ἐξέλθῃ τὸ πρᾶγμα, δαπάνην ἔχοντες καὶ ἑαυτῶν καὶ τῶν ἀλόγων οἱ στρατιῶται ταχέως αὐτοὺς πρὸς τὸ ἀναμάχεσθαι ἀνακαλοῦνται, ἤγουν καὶ πάλιν πολεμῆσαι καὶ νικῆσαι. Ἢ εἰ μὴ τοῦτο, εὐθέως ἀναχωρήσουσιν μετὰ τάξεως, ἔτι ἐν δυνάμει τῶν ἵππων αὐτῶν εὑρισκομένων, πρὶν ἢ τά τε τῶν ἀνθρώπων φρονήματα ἐπὶ πλέον καταπέσωσι, καὶ αἱ τῶν ἵππων δυνάμεις. Ὅπερ γενέσθαι δύναται, ἐὰν μὴ B ἐστιν ἐν ἑτοίμῳ ἡ δαπάνη. Μετὰ γὰρ ἧτταν οὐδεὶς θαῤῥεῖ ἐξέρχεσθαι εἰς συλλογὴν χόρτου, καὶ οἱ ἵπποι λιμώττοντες ἀθυμίαν τοῖς στρατιώταις παρέχουσι, καὶ βουλὴν πρὸς συμφέρον οὐκ ἔστι γενέσθαι, τῆς ἐνδείας καὶ τοῦ φόβου βιαζομένων αὐτήν. Ἀλλὰ χρὴ πάντως καὶ τὴν τῶν ἀλόγων ἀποτροφὴν παρατίθεσθαι μιᾶς ἢ καὶ δευτέρας ἡμέρας, εἰ δυνατὸν, καὶ πλέον, μάλιστα ἐὰν καὶ πλησίον τοῦ φοσσάτου εἰσὶν αἱ βοσκαί

casu incidente, revocari illis possint, et ad castra cursu contendant, ut ne intercludantur, sed ab hostium impetu serventur. Hoc propter incerti belli eventum fieri debet. Si enim adversum aliquid ceciderit, commeatum et pabulum in promptu milites si habeant, ad pugnam facile statim prodeunt, et offensionem acceptam bellandi strenuitate resarciunt : vel si id minus efficere possint, integris copiis atque instructa acie, dum adhuc equi firmi sunt, recedant, priusquam vel animi equitum magis labefactentur : quod facile usu venit, si commeatus in promptu non fuerit. Nam post offensionem belli nemo pabulatum prodire audet, equique fame laborantes magnam anxietatem militibus injiciunt : utile autem ac salutare consilium capi non potest, inopia simul ac formidine prementibus. Omnino autem pabulum jumentorum ad unum atque item alterum diem repositum habeant, eoque etiam amplius, si pastiones prope fuerint.

ιζʹ. Εἰ δὲ κατὰ τὴν πρώτην ἡμέραν τῆς συμβολῆς τοῦ πολέμου ἐναντία ἔκβασις παρακολουθήσει, ὃ μὴ γένοιτο, ἡμῖν μὲν παντοίως ἀπρόσφορον καὶ ἀσύμφορον φαίνεται τὸ κατὰ τὰς αὐτὰς ἡμέρας, ἤγουν κατὰ τὸν αὐτὸν καιρὸν, πάλιν πρὸς δημόσιον πόλεμον ἐγχειρῆσαι τοὺς ἐκ τῆς παρατάξεως ἡττηθέντας. Διὸ οὐδὲ συμβουλεύομέν σοι, ὦ στρατηγὲ, πρὸς τοῦτο ἐπιτηδεύειν. Πᾶσι γὰρ πάντοτε δυσχερές ἐστι τοῦτο, καὶ οὐδεὶς εἴωθεν εὐθέως τὰς ἥττας C ἀναμάχεσθαι. Σπάνιον γὰρ τοῦτο, καὶ Ῥωμαίοις ἀνοίκειον. Ὥστε εἰ καὶ σφάλμα παρακολουθήσῃ, καὶ ἐλπίσει ὁ στρατηγὸς τοῦτο διὰ τῆς δευτέρας μάχης τοῦτο διορθοῦσθαι, οὐκ ἔστιν ἱκανὸν τὸ πλῆθος τὴν αἰτίαν διαγινῶσκον προαιρέσει εἰς δημοσίαν μάχην εὐθέως ἐλθεῖν· ὡς γὰρ ἐκ θείας ψήφου οὕτως τὸ ἀποτέλεσμα δεχόμενον ἐν πάσῃ δειλίᾳ γίνεται.

17. Si primo conflictationis die adversus belli exitus cadat, quod absit, inutile nobis atque inidoneum esse videtur, eodem statim tempore conari hoc quod amissum est recuperare, et fusos superatosque ad aliquod publicum prœlium redire velle. Neque vero hoc ut facias consilium tibi darem : perdifficile enim omnibus hoc est, neque statim offensio accepta refutari potest. Rarum autem hoc est, et Romanis inusitatum. Itaque etiam si nihil adversum caderet, speraveritque imperator amissam dignitatem secundo prœlio se recuperaturum, multitudo tamen militum si causam cognoscat, ad conserendas manus minus est habilis : hic enim exitus belli, quasi divinitus ante decretus esset, magnam animi formidinem perturbationemque invehit.

ιηʹ. Διὸ χρή σε ἀνάγκης καὶ περιστάσεως χωρὶς μὴ ἐπιτηδεύειν φανερῶς συμβάλλειν μάχην μετὰ δημοσίαν ἧτταν διὰ παρατάξεως, ἀλλὰ δόλῳ καὶ ἀπάτῃ σπούδαζε καιροσκοπῶν ὅπως αἰφνιδιάσῃς, καὶ τὸ δὴ λεγόμενον φυγομαχήσῃς, ἕως ἂν εἰς λήθην τῆς δειλίας ἐκείνης γενόμενος ὁ στρατὸς θαῤῥήσει τοῦ πάλιν ποιήσασθαι συλλογὴν δι' εὐλόγους αἰτίας D πολλάκις ἐπισυμβαινούσας, ἃς ἀντιγράφειν οὐκ ἔστιν εὔκολον.

18. Itaque sine gravi ac necessaria causa, ne coneris coram atque aperte instructis copiis cum hoste post offensionem belli acceptam dimicare, sed dolo atque astu, occasione se offerente conare illos subito adoriri, et juxta vetus dictum, post fugam, pugnam redintegrabis, ut ad veteris offensionis oblivionem exercitus veniat, atque iterum coire in societatem multitudinis, et cogere justis causis sæpe oblatis se audeat, quas omnes perscribere facile haud fuerit.

ιθʹ. Ἐὰν δὲ καὶ ἅπαξ θαῤῥήσῃς συμβαλεῖν μετὰ τὴν ἀποβολὴν τῆς δειλίας, δεῖ τὴν πρόμαχον τάξιν ὡς καταχρουσθεῖσαν εἰς δευτέραν τάξιν ποιεῖν, καὶ τὴν δευτέραν εἰς πρόμαχον μετὰ τῶν ἐπιλέκτων ταγμάτων τῶν ἐν τῇ πρώτῃ. Μικροτέρα γὰρ οὖσα τῆς πρώτης καθ' ἑαυτὴν οὐκ ἐπαρκεῖ.

19. Sin post offensionem acceptam iterum tamen cum hoste confliges, prima acies quasi antea profligata in secundam aciem conferenda est : secunda autem quibusdam e prima acie delectis viris ad primam traducatur. Nam cum hæc minor prima sit, ipsa per seipsam satis esse non potest.

κʹ. Ἀλλ' οὐδὲ ἐμβραδύνειν δεῖ ἀσκόπως ἐπὶ ταῖς ἐναντίαις ἐκβάσεσι τοῦ πολέμου, εἰ μή που ἐλπὶς συμμαχίας ἢ ἕτερος τρόπος βοηθείας προσδοκᾶται, ἢ, ὡς εἰκὸς, ἀπόκρισις παρὰ τῶν ἐχθρῶν γίνεται, ἥνπερ ἀναγκαῖον μὴ πουβλικίζειν προχείρως, ἀλλ'

20. Retardare autem in belli eventu minus prospero haud utile est, nisi aliqua spes societatis aut alius modus præsidii exspectetur : vel, quod sæpe fit, responsio ab hostibus afferatur, quam divulgari necesse non sit, sed a præfectis solum

cognosci. Quod si fieri statim possit quod ab hostibus proponitur, non differatur, sed sedulo vel jurejurando, vel alio quopiam pacto transigatur. Sin perniciosum et ad contemptum alicujus, aut universæ multitudinis contumeliam fuerit, hæc atque illis duriora in vulgus nostrum efferenda sunt, ut exercitus ita concitatus, ac necessitate compulsus, impetuosius adversum hostes procedat, atque obedientior præfectis suis sit : quanto enim major tardatio fuerit, tanto magis superati milites formidolosiores erunt, et victores audaciores exsistent.

21. Priusquam autem universum robur tuorum considat, adhortandi tibi per turmarchas, per decanos, quintanos, milites tui sunt, commemorandumque est illis, non esse jam tempus ignaviæ ac socordiæ, sed impressionum atque incursionum in hostes faciendarum, et quæ clades atque offensio ante accepta fuit, ea jam virtute ac rebus gerendis delenda atque obliteranda est. Hæc atque iis similia illis narranda sunt.

22. Si spes aliqua est acie instructa prœlium recuperari posse, hac via quam supra dixi procedatur. Sin hoc modo non proficiatur, pro periculorum ratione optimam sibi viam conquiret.

23. Si peditatus hostium vincat, cum equis ordinate discessiones atque demigrationes ex eo loco fiant, atque ita permaneant.

24. Sin equites fuerint, superflua et gravia tum jumenta, tum alia quæcunque prætermittenda sunt, peditesque constituendi, et sine jumentis equitibusque universos in duas phalanges sive acies, aut in unam quadratam oblongam formam instrues, in medio jumenta atque impedimenta ponas, extra hæc milites in acie, quemadmodum prædiximus, atque ultra eos sagittarios : atque ita discessiones demigrationesque tuto facies.

25. Rursum si prospere ad victoriam bellum inclinet, et Deo jam propitio victor evadis, ne sola depulsione hostium contentus sis, quasi imperitus qui tempore uti nescit : neque importunum illud audias, Vince, sed ne nimis vincas : ne, si lubrico tempore cedas, majores tibi molestias accumules, et incertum rerum futurarum eventum reddas, sed eversione hostium absoluta utendum omnino est.

26. Si ad aliquam munitionem hostis confugit, vel vi et manu, vel aliis quibusvis formis, hominibus et jumentis, instructa acie in summas angustias coercendus est, vel alia quavis consentiente atque idonea utilitate, usquedum perfecte illum everteris : neque tum defatigari oportet, quando paulum illum repuleris : neque rei universæ exitum propter exiguam amplius laborum patientiam abjicere debes, post tantos labores atque sudores, post tanta belli pericula : quoniam et in venatione quod pene effectum est, perinde est ac si nihil esset.

A ἢ δεῖ ταύτην μανθάνειν. Καὶ ἐὰν τὸ προτεινόμενον παρευθὺ γίνεσθαι δύναται, μὴ ἀναβάλλεσθαι, ἀλλὰ πράττειν αὐτὸ ἀσφαλῶς δι' ὀψίδων, ἢ ὅρκου. Εἰ δὲ ἐπιβλαβές ἐστιν, καὶ δι' ὑπέρθεσίν τινος καὶ χαύνωσιν τοῦ ὄχλου λέγεται, τὰ ἐναντία δεῖ φημίζειν σκληρότερα τῶν προτεινομένων, ἵνα μᾶλλον ὁ στρατὸς πρὸς ὀργὴν διανιστάμενος τῇ ἀνάγκῃ ἰσχυροτέρως τοῖς ἐχθροῖς ἀντικαταστῇ, καὶ ἔτι πειθήνιος τῷ ἄρχοντι γένηται· ὅσον γὰρ βραδύτης γίνεται, τοσοῦτον οἱ ἡττηθέντες δειλότεροι γίνονται, καὶ οἱ νικήσαντες τολμηρότεροι.

κα'. Πρὶν ἢ οὖν εἰς τέλειον τὰ φρονήματα καταπέσωσι, χρή σε, ὦ στρατηγὲ, διά τε τῶν ἀρχόντων τῶν ταγμάτων, καὶ τῶν δεκάρχων, καὶ B πεντάρχων προτρέψασθαι τὸν στρατὸν, καὶ εἰπεῖν, ὡς οὐκ ἔστι καιρὸς δειλιάσαι, ἀλλὰ ὁρμηθῆναι μᾶλλον κατὰ τῶν ἐχθρῶν, καὶ τὸ γενόμενον παρά τινων σφάλμα ἀνδρείως ἀνακαλέσασθαι. Ταῦτα καὶ τὰ ὅμοια δεῖ σε διαλαλῆσαι.

κβ'. Καὶ εἰ μὲν ἐστιν ἐλπὶς τοῦ διὰ τῆς παρατάξεως δημοσίας τὴν μάχην ἀνακαλέσασθαι, τῇ προειρημένῃ μεθόδῳ τῆς τάξεως χρήσῃ. Εἰ δὲ τοῦτο οὐ προβαίνει, δεῖ συμφερόντως τῶν κινδύνων κατατολμᾷν.

κγ'. Καὶ εἰ μὲν πεζοί εἰσιν οἱ νικήσαντες ἐχθροὶ, σπουδάζειν μετὰ τῶν ἵππων εὐτάκτως τὰς ἀναχωρήσεις ἤτοι μεταστάσεις τοῦ φοσσάτου ἐκείνου C ἀσφαλῶς ποιεῖσθαι, καὶ μὴ ἀναμένειν.

κδ'. Εἰ δὲ καβαλλάριοι ὦσιν, μάλιστα τῶν περισσῶν καὶ βαρυτέρων ἀλόγων καὶ πραγμάτων δεῖ περιφρονεῖν, καὶ πεζῇ καθίστασθαι, καὶ ἄνευ ὀλίγων καβαλλαρίων πάντας εἰς δύο φάλαγγας ἤτοι τάξεις, ἢ καὶ εἰς ἓν τετράγωνον πλινθίου σχῆμα παρατάξεσθαι, καὶ μέσον μὲν τὰ ἄλογα ἢ τὸ τοῦλδον φέρειν, ἔξωθεν δὲ ἔχειν τοὺς στρατιώτας, ὡς εἴρηται, ἐν τάξει, καὶ τοὺς τοξότας ἐξωτέρω, καὶ οὕτως τὰς μεταστάσεις καὶ ἀναχωρήσεις ποιεῖσθαι ἀσφαλῶς.

κε'. Πάλιν δὲ ἐὰν αἰσίως τὰ τοῦ πολέμου ἐξέλθῃ, καὶ Θεοῦ βοηθοῦντος ἄρξηται ἡ νίκη, οὐ δεῖ ὠθήσει καὶ μόνῃ ἀρκεῖσθαι ὡς ἀπειροκάλους μὴ εἰδότας χρήσασθαι τῷ καιρῷ, ἀλλὰ ἀκαίρως ἀκούειν φιλοῦντας τὸ, Νίκα, καὶ μὴ ὑπερνίκα, καὶ ἐνδιδόντας σφαC λερῶς καὶ μείζονα διὰ τῆς ἐνδόσεως τοῦ καιροῦ κάματον ἐπισωρεύοντας, καὶ ἄδηλον τὴν μέλλουσαν ἔκβασιν ἑαυτοῖς κατασκευάζοντας, ἀλλὰ δεῖ τῇ τοῦ ἐχθροῦ τελείᾳ καταλύσει ἐπιμένειν.

κς'. Εἰ δὲ ἐν ὀχυρώματι καταφεύγῃ, σπουδάζειν ἢ χειρὶ ἢ διὰ τῶν λειπόντων εἰδῶν τοῖς ἀνθρώποις, ἢ τοῖς ἀλόγοις, διὰ παραφυλακῆς στενοχωρεῖν αὐτὸν μέχρι τελείας αὐτοῦ καταλύσεως, ἢ ἐπωφελῶν ἡμῖν γινομένων συμφώνων, καὶ μηδὲ ἐκλύεσθαι τῇ ὀλίγῃ ὠθήσει, μηδὲ ἀμελεῖν τῆς τοῦ πράγματος ἐκβάσεως δι' ὀλίγην καρτερίαν μετὰ τοσοῦτον πόνον, καὶ κάματον καὶ μετὰ τοσοῦτον ἐκ τοῦ πολέμου κίνδυνον· ἐπεὶ καὶ ἐπὶ τοῦ κυνηγίου τὸ παρὰ μικρὸν ἀντὶ τοῦ μηδενός ἐστι.

κζ'. Μήτε μὴν περιφρονεῖν τῆς τῶν στρατιωτῶν εὐταξίας ἀπὸ τῆς νίκης μάλιστα, ἀλλὰ συντεταγμένους διώκειν, καὶ μετὰ ἐπιστήμης καὶ νουνεχίας ἐπισκοποῦντα τὸν στρατηγὸν τὰ δέοντα. Οὐκ ἀρκεῖ γὰρ δύναμις μόνη εἰς ἀσφάλειαν ἰδίαν ἢ βλάβην τῶν ἐχθρῶν, ἀλλὰ μετὰ τὴν Θεοῦ βοήθειαν καὶ ἡ τοῦ στρατηγοῦ διοίκησις ἀναγκαία καὶ πρώτη τυγχάνει.

κη'. Πρέπον σε οὖν, ὦ στρατηγὲ, τοῖς τε καιροῖς καὶ τοῖς τόποις ἁρμοδίως κεχρῆσθαι· καὶ ἐὰν δοκιμάσῃς τοῦ πάντως γενέσθαι πόλεμον δημόσιον, πάντα σκοπήσεις, καὶ τόπον ἐπιτήδειον γυμνόν τε καὶ ὁμαλὸν διὰ τοὺς κονταράτους (4). Καὶ μὴ μόνον τὰ δεξιὰ καὶ ἀριστερὰ καὶ ὀπίσθια μέρη προερευνᾷν δεῖ καὶ ἀπὸ δύο καὶ τριῶν ἡμερῶν τῆς παρατάξεως μέχρι τοῦ πέρατος τοῦ πολέμου, ἀλλὰ καὶ τοὺς περικειμένους τόπους ψηλαφᾷν, μήποτε λάκκοι εἰσὶν, ἢ αὐτοφυεῖς, ἢ ὀρωρυγμένοι, ἢ δόλος τις ἄλλος πρόκειται.

κθ'. Κατὰ δὲ τὴν τοῦ πολέμου ἡμέραν, ὡς ἄνω εἴπομεν, τῶν βιγλῶν προεξερχομένων ἅμα πρωῒ εἰς τέσσαρα μέρη τοῦ τόπου ἔνθα ἡ συμβολὴ γίνεται ἀπὸ δύο καὶ τριῶν μιλίων ἐν διπλαῖς βίγλαις παραγγέλλειν αὐτοὺς μὴ μόνον πρὸς τὴν τῶν ἐχθρῶν κίνησιν ἀποβλέπειν καὶ μηνύειν, ἀλλὰ καὶ πρὸς τοὺς θέλοντας προσρυῆναι (5), ὡς εἰκὸς, τοῖς ἐχθροῖς ἀποσκοπεῖν καὶ συνέχειν αὐτούς. Ἐντεῦθεν γὰρ καὶ τοὺς ἀποφεύγοντας ἐκ τοῦ στρατοῦ ῥᾳδίως κωλύουσι, καὶ τοὺς ἐκ τῶν ἐχθρῶν βουλομένους προσρυῆναι, καὶ ἐπιφερομένους, ὡς εἰκὸς, ἤδη τινὰς μετὰ ἀσφαλείας ὑποδέχονται, εἰς τὸ μὴ ἐπηρεάζεσθαι αὐτοὺς παρά τινων κακῶν ἀνθρώπων, ὅπερ καὶ ἀεί σε χρὴ παραφυλάττειν εἰς τοὺς προσφεύγοντας μετά τινων πραγμάτων τῇ ἡμετέρᾳ πολιτείᾳ ὡς ἀναγκαῖον καὶ δίκαιον.

λ'. Εἰ δὲ κατὰ τὰ ἔμπροσθεν μέρη τῆς παρατάξεως βιγλεύοντες ἄχρι ἑνὸς σαγιττοβόλου τῆς τῶν ἐχθρῶν παρατάξεως, ἔμπροσθεν τῆς ἰδίας περιπατείτωσαν καὶ ὁδηγείτωσαν, μήπως, ὡς εἴρηται, φόσσαι ἤγουν ὀρύγματά εἰσιν, ἢ ἕτερος δόλος [με]μελέτηται παρὰ τῶν ἐχθρῶν· καὶ ἀναστέλλειν τοὺς ἰδίους εἰς τὸ μὴ ἀδοκήτως περιπίπτειν.

λα'. Ἐν γὰρ τοῖς ἀναγκαίοις τόποις καὶ καιροῖς μὴ μόνον, ὡς εἴρηται, ἁπλᾶς βίγλας κατὰ τῶν αὐτῶν τόπων ποιεῖσθαι, ἀλλὰ καὶ διπλᾶς· ἵνα τῆς μιᾶς, ὡς εἰκὸς, λανθανομένης τὴν ἑτέραν μὴ διαλάθῃ.

λβ'. Καὶ ἐὰν ἕτοιμός ἐστιν ἡ τάξις, καὶ ὁ τόπος ἐπιτήδειος, μὴ ἀναμένειν τοὺς ἐχθροὺς ἐν τῇ συμβολῇ, ἵνα μὴ κανονίζωσι καὶ μεθοδεύωσι τὴν τάξιν, ἀλλὰ ἀσφαλῶς ὁρμᾷν καὶ ἐπιτίθεσθαι τοῖς ἐχθροῖς.

λγ'. Ἐὰν δὲ ὑπέρθεσιν ἔχῃ, ὡς εἰκὸς, τὰ τῆς συμβολῆς διά τινας εὐλόγους αἰτίας, ἀναγκαῖόν ἐστιν τὴν δευτέραν μάλιστα τάξιν ἐν ταῖς εὑρισκομέναις ὕλαις ἢ τοῖς κοιλοτέροις τόποις ὄπισθεν κρύπτειν· ἵνα μὴ πρὸ πολλοῦ τοῖς ἐχθροῖς ἀκαίρως προφαινομένη αὐτὴ μεθοδεύηται, καὶ ἐπιβουλεύηται ὑπὸ ἐγκρυμμάτων, ἢ καὶ ὑπὸ ἄλλων ἐγχειρήσεων κατασοφίζηται.

λδ'. Ἐπεὶ δὲ περὶ βιγλῶν ἐμνημονεύσαμεν, δεῖ σε

A 27. Militum tuorum ordinis conservatio post victoriam negligenda tibi non est, sed instructis copiis cum scientia et attentione militari prosequantur hostes, imperatorque ipse attendat diligenter quid facto opus sit. Neque enim ad incolumitatem vestram, in hostiumque perniciem potentia sola valet, sed secundum Dei benignitatem, imperatoria ac diligens rerum administratio, præcipua ac summe necessaria est.

28. Temporibus ac locis idonee commodeque utaris. Si bellum publicum futurum perspexeris, omnia loca perlustrabis, nuda atque exposita loca hastatis tuis eliges. Neque solum dextræ sinistræque positæ partes perscrutandæ sunt omni ex parte aciei usque ad belli finem, sed et finitima loca exB ploranda sunt, ne fossæ, vel naturales vel artificiosæ sint, vel dolus aliquis lateat.

29. Ipso belli die, quemadmodum prædiximus, excubiis simul cum prima luce in quatuor partes illius loci ubi conflictatio futura est divisis, aut duo aut tria circumcirca milliaria, præcipies, ut non modo motus hostium advertant et significent, sed etiam eos qui ab hostibus deficere volunt perlustrent, et apud se detineant. Hoc modo enim eos qui ab exercitu nostro aufugiunt facile prohibebunt, et eos qui ab inimicis volunt ad nos deficere, cum omni incolumitate ab aliorum contumelia integros conservabunt, ne a quibusdam malis viris exagiC tentur: quod abs te erga eos, qui ad nostras partes profugiunt, quasi justum et necessarium conservetur.

30. Quæ in anteriore parte exercitus excubiæ sunt, ante suam partem, usquedum intra unius sagittæ jactum venerint aciei hostium, ambulent, eamque ducant, ne fossæ ullæ ac lacus fiant, aut dolos ullus susceptus sit, suosque tum admoneant, ne de improviso in aliquod malum veniant.

31. Necessariis locis ac temporibus non modo simplices, verum etiam duplices vigiliæ constituendæ sunt, ut si quid alteram lateat, ambas latere non possit.

D 31. Si instructa acies, si locus idoneus fuerit, ne exspectent dum hostes eos invadant, ut ne malum aliquod ac dolum machinentur, sed confestim in eos omni impetu ac incursione ruendum est.

33. Si dilatio aliqua conflictationis habeatur, secunda acies in locis condensis silvosisque atque asperioribus occultanda est, ut ne si hostes longo ante tempore eam animadverterint, insidiis aliisque molitionibus multis appetant atque invadant.

34. Quoniam de excubiis mentionem fecimus,

NOTÆ.

(4) *Κονταράτους*. Scribebatur, κοντάρους.

(5) *Προσρυῆναι*. Scribebatur, πρὸς ῥυῆναι.

ostendendum quemadmodum hæ firmandæ sunt. A Excubias in duas partes divides; ut alteræ vigilent, alteræ vicissim dormiant. Nemini enim fidem habeas, quamvis receperit se integram noctem vigilaturum. Somnus enim ac sopor de improviso sponte quadam sua opprimunt. Cum vigilare volunt, recti pedibus consistant: sessiones enim ac recubationes corpora in somnum præcipitant: stationes autem pedum mentem indormientem excitant.

35. Bello jam confecto, qui sauciati fuerant relevandi consolandique sunt; qui ceciderunt honestum funus habeant, laudibusque multis cohonestentur, qui pro fide Christiana, pro fratribus, suam ipsorum vitam profuderunt. Hoc autem justum religiosumque factu est, et alacritatem B multam viventibus affert.

36. Si liberi illis fuerint, aut conjux, si hoc constet strenue illos atque alacriter in prœlio dimicasse, honestis modis abs te relevandi sunt.

37. Quoniam Romanos omnesque alias nationes videmus acies suas ita instruere, ut quam maxime eminus cerni possint, trucem magis aspectum vultu ac facie, quam armis lucentem et coruscantem aciem in bello præ se ferant: quanquam hoc umbratile cito evanescit: nam secundum Dei voluntatem, imperatoris administratione, et exercitus alacritate, bella conficiuntur: propter eos tamen qui hæc requirunt, si silvosa aut cava loca fuerint, ibi copiæ occultandæ, et longo ante tempore hostibus non ostentandæ sunt, ut ne si ante unum aut C alterum signum ab hostibus cognoscantur, insidiæ illis dolique struantur.

38. Si nudus locus purusque aer fuerit, cassides suas non capite, sed manibus gestent, donec prope hostes venerint: scuta autem parva coram in pectore ferant, tegantque galeas et cassides: vel a tergo humeris gestent, si scuta ferrea ac splendida habeant: sed et ferrum hastarum prædicto modo occultetur: ut arma eminus nullo modo luceant, cum præsertim ejusmodi signo si consignentur hostes, mentes illorum anticipentur, et in formidinem quamdam ante bellum cadant.

39. Insidias autem occultas atque abditas eo D modo facies, quem tibi ante descripsi. Si enim idonee opportuneque fiant, maximas utilitates in bello afferunt, magnasque admodum copias ita deleverunt, ut nullus locus confligendi aciei universæ relinqueretur.

40. Qui enim locorum opportunitate ad hæc abundabant, vel condensis in locis, vel cavis in recessibus, vel in colle aliquo magno, vel vallibus, vel montibus finitimis usque ad hostium copias productis, ut ab hostium notitia hoc modo occul-

αὐτὰς ὀχυρὰς ποιεῖν, καὶ διαιρεῖν τοὺς βιγλεύοντας, ἵνα οἱ μὲν ὑπνῶσιν, οἱ δὲ ἐγρηγορῶσιν, καὶ οὕτως ἐναλλάσσοντας ἀλλήλους βιγλεύειν. Μὴ γὰρ πιστεύσῃς τινί, κἂν ὑπόσχεσιν ποιεῖται ὅλην τὴν νύκτα γρηγορῆσαι ἄγρυπνον· καὶ γὰρ ἐνδέχεται καὶ αὐτόματον ὕπνον ἐπελθεῖν· ἐν δὲ ταῖς ἄλλαις βίγλαις, ὅτε χρεία, πάντως καὶ ὀρθοὺς ἱσταμένους βιγλεύειν. Αἱ γὰρ καθέδραι καὶ αἱ ἀνακλίσεις τὰ σώματα μαραίνουσιν εἰς ὕπνον· ἡ δὲ τῶν σκελῶν στάσις διέγερσιν τῆς διανοίας ποιεῖ.

λε'. Ἀναγκαῖον δέ σοι μετὰ τὸν πόλεμον, ὦ στρατηγέ, τοὺς πληγωθέντας ἐν αὐτῷ τῶν στρατιωτῶν παραμυθεῖσθαι, καὶ τοὺς διαπίπτοντας ἐν τῷ πολέμῳ ταφῆς ἀξιοῦν, καὶ μακαρίζειν διηνεκῶς, ὡς ὑπὲρ τῆς πίστεως καὶ τῶν ἀδελφῶν μηδὲ τὴν ἑαυτῶν ζωὴν προτιμήσαντας· ἐπειδὴ καὶ ὅσιόν ἐστιν, καὶ προθυμίαν τοῖς ζῶσιν ἐμποιεῖ.

λϛ'. Εἰ δὲ τέκνα αὐτοῖς εἰσιν, ἢ σύμβιος, καὶ φανερόν ἐστιν [ὅτι] ἀγωνιζόμενοι προθύμως ἐτελειώθησαν, καὶ ταῦτα παραμυθίας ἀξιοῦν τῆς προσηκούσης.

λζ'. Ἐπειδὴ δὲ εὑρίσκομεν καὶ Ῥωμαίους καὶ πάντας τοὺς ἐθνικοὺς ὡς ἐπίπαν μηκοθέντας ἀλλήλων παρατάξεις ὁρῶντας ἐπισημαίνεσθαι τὴν στυγνοτέραν μᾶλλον τῇ ὄψει ἐπιτυγχάνειν ἐν ταῖς μάχαις, ἥπερ τὴν ἐν τοῖς ὅπλοις λάμπουσαν· καὶ τάχα ψευδές ἐστιν τὸ χυδαῖον τοῦτο. Μετὰ γὰρ τῆς κρίσεως τοῦ Θεοῦ τῇ τοῦ στρατηγοῦ διοικήσει καὶ προθυμίᾳ τοῦ στρατοῦ πόλεμος κρίνεται· ἀλλ' οὖν διὰ τοὺς τὰ τοιαῦτα στοχαζομένους δέον ἐστὶν, ὥστε εἰ μὲν ὕλαι ἢ κοῖλοι τόποι πρόκεινται, ἐκεῖσε τὸν στρατὸν ἀποκρύβειν, καὶ πρὸ πολλοῦ τοῖς πολεμίοις μὴ ἐπιδεικνύειν· ὥστε μὴ κατασοφίζεσθαι καὶ ἐπιβουλεύειν αὐτὸν, εἰ μήπω ἔλθωσιν ἀπὸ ἑνὸς ἢ δευτέρου σημείου.

λη'. Εἰ δὲ γυμνὸς ὁ τόπος καὶ καθαρὸς ὁ ἀὴρ ἐστιν, τότε τὰς κασσίδας παρασκευάζειν μὴ πρὸ πολλοῦ φορεῖσθαι, ἀλλὰ ταῖς χερσὶ κατέχεσθαι μέχρις ἂν ἐγγίσωσιν οἱ ἐχθροί. Ἀλλὰ καὶ τὰ σκουτάρια μικρὰ ὄντα ἔμπροσθεν εἰς τὸ στῆθος φέρειν, καὶ σκέπειν δι' αὐτῶν καὶ τὰ λωρίκια καὶ τὰς κασσίδας· ἢ ὄπισθεν κατὰ τῶν ὠμοπλατῶν φέρειν, εἰ ἔχουσι σιδηρᾶ σκουτάρια λαμπρά. Ἀλλὰ καὶ τὰ σίδηρα τῶν κονταρίων ἀποκρύπτειν, εἰς τὸ παντοίως τὰ ὅπλα μήκοθεν διαλάμπειν διὰ τὸν εἰρημένον τρόπον, ἀλλ' ὥστε καὶ διὰ τοιούτου σημείου, ὅπερ σημειοῦνται οἱ ἐναντίοι, προκαταλαμβάνεσθαι τὰς γνώμας αὐτῶν, καὶ εἰς δειλίαν καὶ πρὸ τῆς μάχης μεταπίπτειν.

λθ'. Κελεύομέν σοι, ὦ στρατηγέ, μάλιστα καὶ τὰς ἐνέδρας ἤτοι ἐγκρύμματα ἐν τῇ μάχῃ κατὰ λόγον ποιεῖσθαι, ἤτοι κατὰ τὸν πρώην ἡμῖν διατυπωθέντα τρόπον. Αὗται γὰρ ἐπιτηδείως καὶ πρεπόντως γινόμεναι μεγίστας ὠφελείας ἐν ταῖς μάχαις ποιοῦσι, καὶ διαφόρως μεγάλας δυνάμεις ὑπὸ ὀλίγων κατέλυσαν, ὥστε μηδὲ καιρὸν γενέσθαι τὴν ὅλην παράταξιν συμπλακῆναι.

μ'. Εἰ μὲν γὰρ τόπων ἐπιτηδείων πρὸς ταῦτα εὐπορήσαντες, οἷον ἢ ὕλης δασείας, ἢ κοιλάδος, ἢ βουνοῦ μεγάλου, ἢ φαράγγων, ἢ ὀρέων ἐγγιζόντων, καὶ μέχρι τῆς τῶν ἐχθρῶν παρατάξεως συνεκτεινομένων, ὥστε δι' αὐτῶν λαθεῖν καὶ μὴ πόῤῥωθεν

ὁρώμενον τὸ ἔγκρυμμα μεθοδευθῆναι πρὸς ἐπιβουλήν. Οὕτως οὖν τοῖς νώτοις τῶν ἐχθρῶν ὄπισθεν ἄφνω ἐπελθόντες πρὸ τῆς συμπλοκῆς διετάραξαν καὶ ἔτρεψαν αὐτούς.

μα'. Ἄλλοι δὲ οὐ πλησίον τῶν ἐχθρῶν τῆς παρατάξεως ταύτην ἐποίησαν ἐπιτήδειον οὐκ ἔχοντες τόπον, ἀλλὰ ἐκ πλαγίου αὐτῶν μέσον τῆς ἰδίας καὶ τῆς τῶν ἐχθρῶν τάξεως ποιήσαντες, ἢ καὶ ὄπισθεν τῆς ἰδίας ἐκ πλαγίου, καὶ τὴν μὲν μείζονα δύναμιν εἰς ἐγκρύμματα ἔταξαν, τὴν δὲ ἐλάττονα σχηματικῶς ἔμπροσθεν ἔταξαν.

μβ'. Ἄλλοι δὲ μέρος τοῦ στρατοῦ ἔταξαν εἰς ἔγκρυμμα, καὶ οὐ τὸ μεῖζον μέρος, ἀλλὰ τὸ ὀλιγότερον· τῆς δὲ συμβολῆς γενομένης ἑκουσίως τῶν προταγέντων εἰς φυγὴν ὁρμησάντων, καὶ τῶν ἐχθρῶν τὴν δίωξιν ἀτάκτως ποιουμένων, μετὰ τὸ παρελθεῖν αὐτοὺς τὸν τόπον τῆς ἐνέδρας ἐξελθόντες οἱ τὸ ἔγκρυμμα ποιήσαντες κατὰ τοῦ νώτου ὄπισθεν τῶν ἐχθρῶν ἐπέστησαν· εἶτα καὶ οἱ φυγόντες ἀντίστροφοι γινόμενοι πρὸς τὸ σύνθημα ὅπερ προώρισαν ἐν τῷ μέσῳ ἀπέλαβον αὐτούς. Τοῦτο δὲ ὡς ἐπὶ πολὺ ἐπὶ τῶν βορειοτέρων καὶ Σκυθικῶν ἐθνῶν γίνεται διὰ τὸ ἄτακτα εἶναι, οἷον Τούρκων καὶ τῶν ὁμοίων αὐτοῖς.

μγ'. Ἐὰν δέ τις φόσσαν βαθεῖαν, ἤγουν ὄρυγμα ἐπὶ ὀκτὼ ἢ δέκα πόδας τὸ πλάτος ἐπὶ ἱκανὸν διάστημα ὀρύξῃ, καὶ σκεπάσῃ ταύτην ξύλοις λεπτοῖς χόρτῳ τε καὶ χώματι, ὥστε ἡνωμένην καὶ ὁμοίαν τὴν ἐπιφάνειαν τοῦ ὀρύγματος εἶναι τῇ ἐγγιζούσῃ αὐτῷ γῇ, καὶ κατὰ μηδὲν διαλλάττειν. Ἀλλὰ μηδὲ τὸ ἐπαρθὲν χῶμα ἐάσῃ παρακεῖσθαι αὐτῷ, ἵνα μὴ ἐμφαίνῃ τινὰ ξενοπρέπειαν· ἐν τῷ μέσῳ δὲ τοῦ αὐτοῦ ὀρύγματος καταλίπῃ τινὰς τόπους στερεοὺς σεσημειωμένους καὶ ἐγνωσμένους πρὸς τὸ παρὸν τῷ ἰδίῳ στρατῷ. Ἑκατέρωθεν δὲ, ἤγουν ἔνθεν κἀκεῖθεν, ἐκ τοῦ πλησίον τοῦ ὀρύγματος ἔγκρυμμα εἰς ἀφανεῖς τόπους ποιήσῃ, καὶ παρατάξει τοὺς λοιποὺς πρὸ τοῦ ὀρύγματος· εἶτα συμβολῆς γενομένης ἑκουσίως οἱ προταγέντες τὴν τροπὴν σχηματισάμενοι αὐτοὶ μὲν διὰ τῶν ἐγνωσμένων αὐτοῖς τόπων καὶ στερεῶν ἀκινδύνως παρέλθωσιν. Οἱ δὲ ἐναντίοι σφοδρῶς καὶ ἀσχέτως τὴν δίωξιν ποιησάμενοι ἐμπέσωσιν ἐν τῷ ὀρύγματι, ὑπεξελθόντες δὲ ἄφνω οἱ τὸ ἔγκρυμμα ποιησάμενοι, εἶτα ἐπαναστρέψαντες καὶ οἱ τὴν ὑποχώρησιν σχηματισάμενοι, τοὺς πλείους τῶν ἐχθρῶν ἀπολέσωσι πάντως, τοὺς μὲν ὡς ἐμπεσόντας εἰς τὸ ὄρυγμα, τοὺς δὲ ὡς τραπέντας ἀτάκτως ἐπὶ τῷ ἀδικήτῳ (6) συμπτώματι, εἰ μὴ ἄρα παρὰ τῶν ἐχθρῶν προγνωσθῇ, ἢ διά τινων προσρυέντων αὐτοῖς καταμηνυθῇ.

μδ'. Ἐὰν δὲ τὸν ὅμοιον τρόπον καὶ διὰ πάλων πεπηγμένων τις ποιήσῃ, δύο καὶ ἢ τρεῖς εἰσόδους ἀπαθεῖς ἐπινοήσῃ ἐγνωσμένας τῷ παρατασσομένῳ στρατῷ, εἶτα πρὸ τῶν πάλων ἐκείνων παρατάξηται· σχηματισάμενος ἐν τῇ συμβολῇ κατὰ τὸν ὅμοιον τρόπον τὴν φυγὴν προτρέψηται τοὺς ἐχθροὺς τοῖς πάλοις περιπεσεῖν. Καὶ ἐξαίφνης ἐπελθόντες οἵ τε τὸ ἔγκρυμμα ἔχοντες ἐκ πλαγίου, καὶ οἱ σχηματισάμενοι τὴν φυγὴν κατὰ κράτος, καὶ οὕτως τοὺς ἐχθροὺς ἀπολέσουσιν.

με'. Γίνεται δὲ τοιοῦτος δόλος κατὰ τῶν ἐχθρῶν

A tari possint, et molitiones idoneas struere, insidias suas positas habebant : isti a tergo hostium de improviso irruentes, ante manus consertas fuderunt eos, et in fugam verterunt.

41. Alii prope hostium copias, cum locum non haberent idoneum, hoc minime fecerunt, sed a latere in medio suæ hostiumque aciei eos collocantes, vel a tergo suæ aciei obliquantes, majores copias in insidiis collocaverunt, et minores ad coram confligendum cum hostibus instruxerunt.

42. Alii partem exercitus non majorem, sed minorem in insidiis locaverunt, conflictatione jam incepta fugæ voluntariæ iis qui in acie instructi erant sese mandantibus, et hostibus illos confuse insequentibus, et locum illum ubi insidiæ sunt locatæ B transeuntibus : qui in insidiis positi erant a tergo hostes invadant : qui vero ante aufugerunt, tessera facta quam ante sibi proposuerant, conversi iterum in hostes, insequuntur eos. Hoc autem fere plerumque adversus aquilonares homines Scythicasque nationes maxime fit, ut Turcæ, et qui sunt iis similes.

43. Si quis fossam altam ad octo aut decem pedum latitudinem satis longo intervallo effoderit, hancque lignis tenuibus, cespite, feno atque aggere contexerit, quasi una eademque cum finitimis locis terræ superficies esset, nihilque a circumstante terra distet, eductum autem aggerem universum ibi jacere non sinat, ne aliquam novitatis suspicio- C nem afferat, in medio autem ejusdem fossæ loca quædam firma reliquerit, ad id tempus notata, et designata exercitui tuo, et utrinque hinc, atque illinc prope fossam insidias abditis locis clam collocaverit, et ante fossam reliquos instruxerit, deinde conflictatione incepta voluntariam fugam, qui instructi in acie sunt, simulaverint, et per cognita firmaque loca secure transierint, hostes autem impetuose ac vehementer insequantur, deinde ii, qui fugam simulabant conversi in eos, aliis in fossam præcipitatis, aliis inopinata hac machinatione in fugam conjectis, magnam partem hostium delebunt, nisi ab hostibus hoc ante animadversum, vel a quibusdam transfugis indicatum D sit.

44. Similiter si palis quis defixis fecerit duos aut tres ingressus, securus, integrosque relinquens, et instructæ aciei cognitos; deinde ante palos eos aciem instruat, et in ipsa conflictatione fugam simulans incitet hostes, ut in hos palos ruat, et subito a latere intervenientes insidiæ, hostes magnopere lædent.

45. Hujusmodi etiam dolus adversus hostes sine

NOTÆ.

(6) Ἀδικήτῳ. Scribe, ἀδοκήτῳ.

fossis, et palis suscipitur, si quis ferreos tribulos, id est, murices ad tempus vinculis constrictos projiciat, qui post usum expletum contrahi in se iterum possint, ad latitudinem aciei instructæ; in medio quatuor aut quinque transitus relinquito centum pedum latitudine, qui exercitui bellaturo noti sint, ramis magnis, aut hastarum cuspidibus peregrinis, aut terræ aggeribus ad modum tumuli, aut acervi lapidum cumulatis, aut aliis evidentibus signis non ad initium, sive frontem longitudinis horum tribulorum positis, sed ad exitum altitudinis ad utramque oram transitus notati. Conflictatione jam incepta fugam simulent, et ubi hæc nota signa exercitus transierit, auferantur ea, aut dejiciantur a certis quibusdam equitibus ad hoc constitutis; insidiæ tum hinc atque illinc utroque ex latere adversus hostes irruant, ubi jam in hos tribulos irruerint, nec antrorsum aut retrorsum procedere possunt.

A καὶ ἄνευ ὀρύγματος, ἢ πάλων, ἐάν τις τριβόλους σιδηρᾶς ἀσυμφανῶς ῥίψῃ πρὸς ὥραν ἐν σφηκώμασιν (7) ὑποδεδεμένας εἰς τὸ ἑτοίμως συστέλλεσθαι μετὰ τὴν χρείαν, τουτέστιν ἐπὶ πλάτος μὲν ρ' ποδῶν, καὶ πρὸς μῆκος δὲ πρὸς τὸ τῆς παρατάξεως διάστημα· ἐν τῷ μέσῳ δὲ τέσσαρας ἢ πέντε παρόδους καταλείπῃ ἀπὸ τριακοσίων ποδῶν πλάτος ἐγνωσμένας τῷ συμβάλλοντι στρατῷ, καὶ σεσημειωμένας ἀπὸ κλάδων μεγάλων, ἢ κονταρίων κεφαλὰς ξενοπρεπεῖς ἐχόντων, ἢ γῆς ἀναβολῶν ὡς τυμβίων, ἢ λίθων ἀποτιθεμένων, ἢ ἕτερον εὔδηλον σημεῖον, οὐ μόνον κατ' αὐτὰς τὰς ἀρχάς, ἤτοι τῶν μετώπων τοῦ μήκους τριβόλων, ἀλλὰ καὶ κατὰ τοῦ βάθους ἤτοι τοῦ πλάτους παρ' ἑκάτερα τῶν παρόδων, ὥστε τῆς συμβολῆς γενομένης σχηματίσασθαι τροπήν, καὶ μετὰ B τὸ παρελθεῖν διὰ τῶν τοιούτων ἐγνωσμένων παρόδων τὸν στρατὸν ἐπαίρεσθαι τὰ τοιαῦτα σημεῖα, ἤτοι καταστρέφεσθαι παρὰ τῶν εἰς τοῦτο ἀφοριζομένων καβαλλαρίων, εἶθ' οὕτως τὴν ἐνέδραν ἐκ τῶν δύο πλαγίων ὑπεξέρχεσθαι ἔνθεν κἀκεῖθεν κατὰ τῶν ἐχθρῶν περιπιπτόντων τοῖς τριβόλοις, καὶ οὐ δυναμένων οὐδὲ πρόσω οὐδὲ ὄπισθεν εὐκόλως ὑποχωρεῖν.

46. Hæc fieri sine tribulis eodem modo possunt, si quis rotundas quasdam fossas varie dispersas, quas antiqui hippoclastas nominabant, ducat ad spatium unius, ad altitudinem duorum aut trium pedum, aut acutos palos defigat in illis; has diversas, et distantes a se trium pedum omni ex parte intervallo, fodies ad universi spatii latitudinem pedum centum quinquaginta, ad longitudinem totius aciei intervalli. Hoc confecto quando ad conflictationem ventum est, par est, ut prima acies ad unius milliaris spatium ante eum locum instruatur, secunda post universum intervallum duobus aut tribus sagittæ jactibus ab eo loco absit, ut si opus fuerit, et qui e prima acie in fugam versi sunt, secure per ea loca evadant, eisdem intervallis secunda acies sine offensione transeat, atque adeo hostes invadat.

πς'. Τί γίνεσθαι δὲ δύναται καὶ κατὰ τὸν ὅμοιον τρόπον καὶ ἄνευ τριβόλων, ἐάν τις στρογγύλα ὀρύγματα, ἃ ἔλεγον οἱ παλαιότεροι ἱπποκλάστας, ὀρύξῃ διεσπαρμένα ἀπὸ ἑνὸς ποδὸς τὸ διάστημα ἔχοντα, καὶ βάθος δύο ἢ τριῶν ποδῶν, καὶ πάλους ὀξεῖς ἐμπήξῃ ἐν αὐτοῖς. Ταῦτα δὲ παρηλλαγμένα ὀρύξει καὶ μὴ ἐπ' εὐθείας, ἢ ἀπὸ τριῶν ποδῶν ἀλλήλων κατὰ τὰ τέσσαρα μέρη ἀφεστηκότων, ἐπὶ πλάτος δὲ πόδας ρν', μῆκος δὲ πρὸ τῆς παρατάξεως διάστημα. C Καὶ τούτου γενομένου ἐν τῇ συμβολῇ, ὅταν μὲν ἡ πρώτη τάξις προπαρατάσσηται, πρέπον ἵνα ὡς πρὸ ἑνὸς μιλίου τοῦ τοιούτου σοφίσματος ἡ αὐτῇ ἵσταται, ἡ δὲ δευτέρα ὄπισθεν αὐτοῦ δι' ὅλου τοῦ διαστήματος εἰς τὰ λείμματα τῶν ὀρυγμάτων ὡς ἀπὸ δύο ἢ τριῶν σαγιττοβόλων ὄπισθεν· ἵνα ἐὰν χρεία γένηται, καὶ οἱ τρεπόμενοι τῆς πρώτης διὰ τῶν ἀκινδύνων παρέρχωνται, καὶ τὴν δευτέραν τάξιν, ἐὰν χρεία ἐστὶν ἐπιθέσθαι τοῖς ἐχθροῖς διὰ τῶν αὐτῶν εὐκαίρων διαλειμμάτων εὐκαίρων διερχομένην, καὶ ἀνεμποδίστως οὕτως ἐπιτίθεσθαι τοῖς ἐχθροῖς.

47. Quando non ante fraudem hanc apparatam, sed post eam acies instruitur, tres sagittæ jactus ab eo loco acies instruatur: et quando hostes vel transierint, vel in loco fraudis molitæ fuerint, occurrant illis nostri, ut pro celeritate equi illorum lædantur. Loca autem istius fraudis opportuna, et integra ad transeundum, lata admodum relinqui non oportet, ut ne magnus hostium numerus secure non acriter adoriatur.

μζ'. Ὅταν δὲ οὐ πρὸ τοῦ σοφίσματος ἡ παράταξις γένηται πᾶσα, ἀλλὰ ὄπισθεν αὐτοῦ, δέον ἀπὸ τῶν τριῶν σαγιττοβόλων τούτου ὄπισθεν τὴν παράταξιν ἵστασθαι, καὶ ὅταν οἱ ἐχθροὶ παρέλθωσιν ἢ καταλάβωσι τὸ σόφισμα, τότε ὑπαντιάζειν αὐτοῖς, ἵνα φλάσωσιν οἱ ἵπποι αὐτῶν ἐμπεσόντες ἀφανισθῆναι. Ἀλλὰ τότε οὐ χρὴ πολὺ πλατέα τὰ εὔκαιρα χωρία τοῦ D σοφίσματος καταλιμπάνειν, ὅταν ἡ παράταξις ὀπίσω αὐτῶν ἐστιν, ὥστε μὴ τοὺς πολλοὺς τῶν ἐχθρῶν παροδεύοντας ἀκινδύνως τῆς μάχης προσάπτεσθαι.

48. Hæ rerum aggressiones atque doli clam et a paucis fidelibusque hominibus vel ipso die belli, vel uno ante die, ad vesperam vel noctu fiant, eo ipso loco quo bellum exspectatur, ibique hostes præstolari. Ad hoc tempus autem quibusdam ex exercitu muniantur, præcipue autem signiferis, ut sciant se asservari: et post banda densati am-

μη'. Τὰ δὲ τοιαῦτα ἐγχειρήματα ἤγουν σοφίσματα, λανθανόντως σε δεῖ ποιεῖν, ὦ στρατηγέ, δι' ὀλίγων καὶ πιστῶν ἀνθρώπων, ἢ ἐν αὐτῇ τῇ τοῦ πολέμου ἡμέρᾳ, ἢ πρὸ μιᾶς αὐτοῦ ἡμέρας περὶ τὰς δειλινὰς αὐτοῦ ὥρας, ἢ νυκτός, ἐν ἐκείνῳ δηλονότι τῷ τόπῳ ἐν ᾧ ἡ μάχη προσδοκᾶται, κἀκεῖσε τοὺς ἐχθροὺς ἀναμένειν, καὶ πρὸς ὥραν θαρρεῖν τοῖς τοῦ στρατοῦ,

NOTÆ.

(7) *Ἐν σφηκώμασιν*. Scribebatur, ἐν ἀφηκώμασιν.

καὶ κατ' ἐξαίρετον τοῖς βανδοφόροις. Ἵνα δὲ εἰδότες A φυλάξονται, καὶ ὄπισθεν τῶν βάνδων σφιγκτοὶ ἀκολουθοῦσιν, ὡς οἱ εὔκαιροι τόποι ἐπιδέχονται.

μθ'. Τοῦτο δὲ πάντες παραγγελθῶσιν, ἵνα τοῖς βάνδοις ἑαυτῶν ἐν τῷ ὑποχωρεῖν μάλιστα ἀκολουθῶσιν, ἵνα μή, ὅπερ μὴ γένηται, πλανώμενοι αὐτοὶ περιπίπτουσι τῇ παγίδι.

ν'. Πάντων δὲ τῶν εἰρημένων σοφισμάτων, ὡς ἡγούμεθα, ἡ διὰ τῶν τριβόλων ἀπάτη εὐκολωτέρας ὡς καὶ μᾶλλον λεληθότως ἐν ἑκάστῳ τόπῳ δύναται γίνεσθαι. Διὰ τοῦτο οὖν χρὴ πρὸς τοὺς τόπους καὶ τὴν τάξιν ἁρμόζεσθαι.

να'. Καὶ ἐὰν δόξῃ σοι συμφέρον τὴν ἔφοδον κατὰ τῆς τῶν ἐχθρῶν παρατάξεως γενέσθαι, ὡς ἤδη ἡμῖν εἴρηται, ἀφορίσεις ἀπὸ ἑνὸς ἢ καὶ δευτέρου βάνδου, ἢ πρὸς τὸ πόσον τοῦ ὄντος στρατοῦ πλείονας μετὰ B ἀρχόντων ἀνδρείων καὶ τολμηρῶν καὶ φρονίμων καὶ στρατιωτῶν χρησίμων. Εἰς μὲν τὸ ἴδιον δεξιὸν μέρος, τοῦ τόπου δηλονότι συμπράττοντος· μίαν ἐνέδραν ὁρίσωσιν κατὰ τῆς τῶν ἐχθρῶν ἐγχειρῆσαι παρατάξεως, κατὰ δὲ ἀριστερὸν τὴν ἄλλην ἐνέδραν.

νβ'. Καὶ ἐὰν μὲν παρὰ τῶν ἐχθρῶν ἐγχείρηται ταύτην τὴν ἐγχειρεῖν βουλομένην τῶν ἐχθρῶν ἀναστέλλειν, καὶ μὴ δοῦναι καιρὸν ἐλθεῖν καὶ ταράξαι τὴν παράταξιν. Εἰ δὲ μὴ ἐγχειρῆται παρὰ τῶν ἐχθρῶν ἐπέρχεσθαι, ἵνα διὰ τοῦ μέρους ἐκείνου ἢ εἰς τὸ τοῦλδον τῶν ἐχθρῶν, ὡς εἰκὸς, ἐκεῖσε εὑρισκόμενον ἐπέλθωσιν, ἢ καὶ τοῖς τῶν ἐχθρῶν νώτοις, ἢ τῷ κέρατι, ἤγουν τῷ κυκλοῦντι μέρει τῆς τῶν ἐχθρῶν παρατάξεως, ἵνα μή, ὡς εἰκὸς, καὶ τῶν ἐχθρῶν ἐν δευτέρᾳ τάξει τασσομένων, ἢ καὶ αὐτῶν C ἔγκρυμμα ὄπισθεν τῆς ἰδίας αὐτῶν τάξεως ἐχόντων εὑρεθῶσι τὰ σὰ ἐγκρύμματα ἐκ τοῦ ἐναντίου ὑπ' αὐτῶν βλαπτόμενα. Δεῖ γὰρ καὶ αὐτοὺς τοὺς εἰς ἔγκρυμμα ἀπερχομένους προσκουλκεύειν ἀσφαλῶς, καὶ οὕτως ἁρμόζεσθαι τῇ κατὰ τῶν ἐχθρῶν ἐπιθέσει.

νγ'. Τὸν δὲ καιρὸν τοῦ ἐγκρύμματος ἐπιμελῶς κανονίζειν, καὶ μηδὲ πρὸ πολλοῦ τῆς παρατάξεως ἐγχειρεῖν· ἵνα μὴ ὡς ὀλίγους ἔχουσα ἡ ἐνέδρα ὑπὸ τῶν ἐχθρῶν βαρῆται, μηδὲ πάλιν ὑστερεῖν, ἵνα μὴ φθάσῃ ἡ συμβολὴ τοῖς παρατάξεως γενέσθαι καὶ ἀνωφελὴς αὐτῇ εὑρεθῇ.

νδ'. Ἀλλὰ πρέπον ἐν τῷ ἅμα μὲν κινεῖν τήν τε παράταξιν καὶ αὐτὰ εἴτε ἓν εἴτε δύο γίνονται ἐγκρύμματα· μᾶλλον δὲ ὀλίγον προκινῆσαι τὴν παράταξιν· ἵνα ἡ μὲν παράταξις διὰ τῶν φανερῶν τόπων ἐρχομένη ἐκεῖθεν τοὺς ἐχθροὺς ἀντιπερισπᾷ· D ἡ δὲ διὰ τῶν ἀφανῶν ὁμοίως περισπᾷ καὶ ἀλλήλους διὰ σκούλκας καὶ σημείου καὶ εἰκασμοῦ κανονίζειν· καὶ τὸν, ὡς εἰκὸς, διὰ συντομίας τοῦ τόπου προλαμβάνοντα ἐμβραδύνειν καὶ ἀναμένειν τὸν ἄλλον, ὥστε ὡς ἐνδέχεται ἴσως τὰς ἀμφοτέρας τήν τε ἐνέδραν ἤγουν τὸ ἔγκρυμμα καὶ τὴν παράταξιν εὑρίσκεσθαι κατὰ τῶν ἐχθρῶν, καὶ ὀλίγον τι τὴν ἐνέδραν μᾶλλον προκρύειν· ἵνα ὅταν ἄρξωνται οἱ ἐχθροὶ ὑπὸ τῆς ἐνέδρας διαταράττεσθαι, τότε ἡ παράταξις ἐγγὺς εὑρισκομένη συμβάλῃ.

νε'. Διὰ οὖν τοῦτον τὸν τρόπον, ἐὰν οἱ τόποι ἐπιτήδειοί εἰσιν, ἐκ τῶν δύο μερῶν δεῖ σε τὰ ἐγκρύμματα ἐκπέμπειν, μάλιστα ἐὰν πολὺν καὶ μέγαν

bulent, quemadmodum opportunitas locorum recipit.

49. Hoc omnibus mandandum est, ut in retrocedendo iterum banda sequantur, ne, quod absit, quidam palantes, in has pedicas incidant.

50. Ex iis prædictis machinationibus omnibus, quemadmodum nos arbitramur, hæ tribulorum machinationes tum facillime tum obscurissime singulis in locis fiunt, ideoque ad locorum naturam acies instruatur.

51. Si tibi utile videbitur incursiones adversus hostium aciem facere, ut jam nobis dictum est, ad unam et alteram cohortem, vel pro exercitus tui numero plures etiam, præfectosque illorum fortes atque audaces, prudentes strenuosque deliges, eosque ad dextrum latus loci, si idoneus fuerit, unas insidias contra hostium copias, et ad lævum itidem alias collocabis.

52. Si ab hostibus invadantur, hic apparatus hostium coercendus est, neque permittendum illud tempus vacuum esse quo se instruant. Sin ab hostibus non invadantur, ex ea parte vel in tuldum hostium quod ad eam partem locatur, invadant, vel in extremum agmen et tergum hostium, vel in cornu, id est, partem ambientem extremas oras aciei hostium, ut ne hostes aut secunda acie instructa, vel insidiis post copias illorum collocatis, tuas insidias suis lædant. Insidias enim tuas in excubiis esse oportet, ut tuto incursionem hostium sustineant, eosque opportune invadant.

53. Insidiarum tempus diligenter advertas, neque longo tempore ante aciem instructam eas loces, ne cum pauci in insidiis sint, ab hostibus opprimantur: nec rursus nimis tardentur, ne conflictatio si aliquandiu ante inceperit, inutiles atque inanes insidiæ sint.

54. Sed dum universa acies procedit, ipsæ quoque insidiæ sive unæ sive duæ sint, adversus hostes, se præparent, sed ita ut paulum ante eas, acies procedat. Ex eo fiet, ut acies per loca exposita ambulans, ad se aciem hostium pertrahat, insidiæ per latebrosa loca incedentes similiter se attrahant, seque mutuo speculando, significando, conjectando observent, quive priores alteros anteverterint, retardent se et præstolentur eos, ut simul quantum fieri possit utræque tum copiæ tum insidiæ hostes adoriantur. Insidiæ autem paulo nunc anteeant, ut quando hostes insidiis cœperint commoveri, acies tum prope adducta confligat.

55. Hoc modo, si loca idonea fuerint, duobus ex lateribus insidiæ collocandæ sunt, si potissimum magnum habeas exercitum, ut alteræ insidiæ

incursantes reprimant, alteræ autem hostes invadant.

56. Si cum invaserint minus secunde res illis processerit, vel cum acies tota profligata est, tum illi invadere cœperint, ne sic quidem retrocedant, aut hostes dimittant, neque ad secundam aciem veniant, et cum iis qui se in fugam dederunt, permisceant, sed eminus consistant, illosque a tergo adoriri atque invadere conentur, ut hoc modo a fuga suos retardent.

57. Tutum hoc arbitramur esse, ut qui ad insidias vel ad incursionem a tergo atque a latere alicujus aciei mittuntur, vel ad tuldi custodiam, vel ad celere subsidium alicujus partis afflictæ, vel ad tergum aciei custodiendum, sive ad excubias, drungisti magis, id est, simul, confertim, quasi maza, sine ordine instruantur, neque in longam aciem, id est, ad ordinem contubernii aut decuriæ aut quincuriæ; hic enim apparatus splendidior ac illustrior, fortior atque ordinatior est, et tuto conflictationes in prælio facit, tardior tamen minus flexibilis ad usum est. Hæc autem drungisti apparatio, omnia contraria habet, et in insidiis facilius latere potest : minore loco contenta, confestim manus conserere potest : itaque exercitatione ac usu exploranda hæc opportune sunt, et quod maxime utile est experiendo teneatur.

58. Sed hoc pro magnitudine exercitus ad hoc emissi, et pro locorum situ fiat : si enim æquales copiæ, aut majores, quam quæ in conspectu acies instruitur, ad insidias emittuntur, ut uno e loco exeant, tum in contubernia dividantur : sin pauci emittantur, iique ad diversa loca separentur, tum drungisti sive confertim absque ordine densati ambulent.

59. In iis enim, quemadmodum dixi, differentia quædam est. Nam quæ ordine insidiæ struuntur, fortiter et tuto pugnare possunt : illæ quæ confuse et conferte densantur, ad subsidia celeriter afferenda, et persecutiones vehementesque incursiones ac turbas valent.

60. Hanc igitur idoneam aciem equitum continuatione, quemadmodum prædiximus, ad optimam, quantum fieri potest, formam traduces, si imperita harum rerum fuerit : sin ea satis edocta fuerit, neque mandatis belli tempore, neque ulla alia præceptione opus erit : ipsa enim instructio atque exercitatio unumquemque docent quid facto potissimum opus sit.

61. Omissiores autem quidam atque imperitiores, hanc aciem ad instruendum variam et multiplicem esse, atque adeo laboriosum existimant. Hi intelligant, athletas et aurigas, aliosque ejus generis homines qui ad lusum atque oblectationem se exercent, qui si assequantur quod cupiunt, medio-

A στρατὸν ἔχῃς, ἵνα τὸ μὲν ἐν ἔγκρυμμα τοὺς ἐπερχομένους ἀναστέλλῃ, τὸ δὲ ἕτερον ἁρμοδίως τοῖς ἐχθροῖς ἐπιχειρῇ.

νϛʹ. Ἐὰν δὲ ἐγχειροῦντες, ὡς εἰκὸς, μὴ ἐπιτύχωσιν ἢ καὶ τροπὴ τῆς παρατάξεως ἐν τοσούτῳ παρακολουθήσῃ, μὴ δὲ οὕτως ἐνδιδόναι ἢ ἀφιέναι τοὺς ἐχθροὺς, μηδὲ ἐπὶ τὴν δευτέραν τάξιν ἔρχεσθαι, καὶ συναπλέκεσθαι (8) τοῖς φεύγουσιν, ἀλλὰ ἔξωθεν ἀπομένειν καὶ σπουδάζειν αὐτοῖς τῷ νώτῳ τῶν ἐχθρῶν, ἤτοι ὄπισθεν ἐνεδρεύειν καὶ ἐπέρχεσθαι, καὶ ἐντεῦθεν ἀνακαλεῖσθαι τὴν τῶν ἰδίων φυγήν

νζʹ. Ἀσφαλὲς δὲ ὑπολαμβάνομεν, ἵνα οἱ πρὸς ἐγκρύμματα πεμπόμενοι εἴτε εἰς ἐπέλευσιν ἀπὸ ὄπισθεν ἢ ἐκ πλαγίων τινὸς παρατάξεως, εἴτε εἰς τούλδου φυλακὴν, εἴτε εἰς ὀξεῖαν βοήθειαν μέρους B τινὸς, ὡς εἰκὸς, βαρουμένου, εἴτε εἰς νώτου παρατάξεως φυλακὴν, εἴτε εἰς βίγλαν, ὀλίγοι οἱ τοιοῦτοι, ἁρμόδιόν ἐστιν, ἵνα μᾶλλον δρουγγιστὶ τάσσωνται, ἤγουν ὁμοῦ ὡς μάζα ἄνευ ὀρδίνων οὐχὶ δὲ ἐπὶ μακρᾶς παρατάξεως, τουτέστι κατ' ὄρδινον ἀκίας ἢ δεκαρχίας ἢ πενταρχίας. Αὕτη γὰρ κομπὴ καὶ ἐξογκωμένη καὶ ἰσχυροτέρα καὶ εὐτακτοτέρα ἐστὶ, καὶ ἀσφαλῶς τὰς συμβολὰς ἐν ταῖς μάχαις, ποιεῖται· βραδεῖα δὲ καὶ δυσμετάθετος ἐστὶ ταῖς χρείαις, ἡ δὲ δρουγγιστὶ τασσομένη τὰ ἐναντία ἔχει καὶ ἐν ταῖς ἐνέδραις μᾶλλον εὐκόλως λανθάνει δύναται ὀλίγῳ τόπῳ ἀρκουμένη καὶ συντόμως μετατίθεσθαι πρὸς τὰς χρείας· διὸ χρὴ μετὰ γυμνασίας δοκιμάσαι εὐκαίρως, καὶ τὸ ἀναγκαιότερον δι' αὐτῆς τῆς πείρας ἐπιλέξασθαι.

C νηʹ. Ἁρμόζει δὲ καὶ πρὸς τὸ ποσὸν, τοῦ στρατοῦ, τοῦ ἐπὶ τούτῳ πεμπομένου καὶ πρὸς τὰς τῶν τόπων θέσεις· ἐὰν γὰρ ἡ μείζων δύναμις ἢ ἰσόμερος τῆς φανερῶς τασσομένης πέμπηται εἰς ἔγκρυμμα δι' ἑνὸς τόπου ἐγχειρῆσαι προσδοκοῦσα, τότε δέεται κατὰ δεκαρχίαν τάσσεσθαι· εἰ δὲ ὀλίγων οἱ πεμπόμενοι, ἢ κατὰ διαφόρων τόπων, τότε δρουγγιστὶ καὶ ὁμοῦ ἄνευ ὀρδίνων σφιγκτοὺς τάσσεσθαι.

νθʹ. Ἐν τούτοις γὰρ ἐστὶν ἡ διαφορὰ, ὡς εἴρηται, ἀμφοτέρων, ὅτι ἡ μὲν ἐν συντάξει γινομένη ἐνέδρα τὸ ἰσχυρῶς καὶ ἀσφαλῶς μάχεσθαι ἔχει, ἡ δὲ δρουγγιστὶ γινομένη τὸ ὀξέως παρέχειν τὰς βοηθείας καὶ τὰς διώξεις καὶ τὰς ἀθρόας ἐπελεύσεις καὶ ταραχὰς ποιεῖσθαι.

D ξʹ. Ταύτην οὖν τὴν τάξιν ἐπὶ τῶν καβαλλαρίων ἁρμοδίαν νομίζομεν, ἣν δεῖ σε κατορθοῦν διὰ συνεχοῦς γυμνασίας, καθ' ὃν εἰρήκαμεν τρόπον, εἴγε μὴ ἐν πείρᾳ ταύτης προγέγονας· ἐὰν γὰρ αὐτὴ δεόντως κατορθωθῇ, οὐδὲ μανδάτων χρεία ἐν καιρῷ πολέμου, οὐδὲ ἄλλης παραγγελίας· αὕτη γὰρ ἡ τάξις καὶ γυμνασία ἕκαστον διδάσκει τὰ δέοντα.

ξαʹ. Ἴσως δέ τινες τῶν ὀκνηροτέρων καὶ ἀσφαλέστερον λογίζονται, ποικίλην τινὰ καὶ πολυειδῆ τὴν τάξιν ταύτην εἶναι, καὶ ἐντεῦθεν ἐπὶ κόπον (9). Οὐς εἰδέναι δέον, ὅτι οἱ ἀθληταὶ καὶ ἡνίοχοι καὶ ἄλλοι τινὲς τῶν εἰς παίγνια καὶ τέρψιν ἀγωνιζομένων, ὧν ἡ μὲν ἐπιτυχία ὀλίγων ἐστὶ χρημάτων εὐπορία, ἡ δὲ

NOTÆ.

(8) *Συναπλέκεσθαι*. Scribe, συμπλέκεσθαι.

(9) *Ἐντεῦθεν ἐπὶ κόπον*. Scribe, ἐπίκοπον.

ἀστοχία ἀζήμιός ἐστι λύπη. Οὗτοι οὖν τοσοῦτον μόχθον καὶ κάματον ὑπομένουσι μετὰ νηστείας βρωμάτων καὶ παραφυλακῆς καὶ ἀνενδότου γυμνασίας, εἰς τὸ δυνηθῆναι μαθεῖν, ποῖα μέν εἰσι τὰ πρὸς βλάβην τῶν ἀντιπάλων γινόμενα, τίνα δὲ τὰ φυλάττοντα τὴν ἐξ αὐτῶν ἐγχειρουμένην ἐργασίαν. Πόσῳ μᾶλλον ἐνταῦθα χρὴ ἀόκνως καὶ πολυτρόπως καὶ σεσοφισμένως τὰς παρατάξεις καὶ γυμνασίας ποιεῖσθαι, ὅπου τὸ μὲν σφάλμα παρευθὺς, ἢ τὸν θάνατον, ἢ τὴν χείρονα θανάτου φυγὴν φέρει, ἡ δὲ ἐπιτυχία χαρὰν καὶ κέρδος, καὶ ὑπόληψιν ἀγαθὴν, καὶ μνήμην ἔνδοξον ἀληθάργητον.

A crem inde pecuniam colligunt: sin frustrentur, dolore quadam haud ita damnoso affictantur, multum laboris sudorisque sustinere, magnam inediam cibi, magnas vigilias, irrequietam exercitationis molestiam perferre, ut quæ adversariis suis offensioni esse possunt, et quæ ad suæ industriæ conservationem valent, cognoscant; quanto major operosiorque cura cum omni diligentia, provisioneque suscipienda est, ut exercitationes bellicæ acierumque instruendarum rationes cumprimis teneantur, ubi si qui offensio fuerit, vel morte statim, vel deteriorem morte fugam affert, fructus autem ingentem lætitiam, magnas commoditates, existimationem bonam, memoriam nulla oblivione obscurandam habet.

ξβ'. Πῶς γὰρ οὐκ ἄτοπον καὶ ἐπιβλαβὲς καὶ ὀλέθριον, ἐνὶ καὶ τῷ αὐτῷ ἁπλῷ τρόπῳ τάσσεσθαι καὶ ἐκ τυχόντος σφάλματος κρίσιν τοσούτου πλήθους ἀνδρῶν γίνεσθαι, καὶ μηδὲ ἐπιγινώσκεσθαι τὸν ἁμαρτήσαντα, ἀλλὰ τῷ σφάλματι τοῦ ἑνὸς πάντας ὑπάγεσθαι ὁπόταν οὐδὲ πολλὰ εἰσὶ τάχα τὰ κεφάλαια τὰ ὀφείλοντα γίνεσθαι, ἀλλ' οἱ λογισμοὶ τῶν αἰτιῶν (10) αὐτῶν ἐμήκυναν τὸν λόγον.

B 62. Absurdum enim, noxium et perniciosum est, uno eodemque modo omnino instrui, et quavis fortuita offensione totius multitudinis hominum periculum exsistere: neque eum qui peccaverit potius cognosci debere, quam reliquos secum omnes in discrimen pertrahat, quando non multa rerum capita per se agenda sunt, sed adversariorum consilia orationem nostram provexerunt.

ξγ'. Τοσαῦτα μὲν οὖν περὶ τῆς καβαλλαρικῆς τάξεως ἡμῖν εἰρήσθω, περὶ δὲ τῆς πεζικῆς καὶ τῆς συμμίκτου ἤδη ἐροῦμεν ἅπερ ἀναγκαῖα κατὰ τὸν τοῦ πολέμου καιρὸν γενέσθαι νομίζομεν· περὶ ὧν ἀκριβέστερον ἡμῖν καὶ ἐν ἑτέρῳ λόγῳ προδιώρισται.

63. Atque hæc nobis de equestribus et admistis copiis: jam ea dicemus, quæ ipso belli tempore opportuna judicamus, de quibus accuratius alio loco verba fecimus.

ξδ'. Τούτων γὰρ οἱ μέν εἰσι σκουτάτοι λεγόμενοι, οὓς καὶ ὁπλίτας καλοῦμεν. Καὶ τοὺς μὲν σκουτάτους ὁρίσεις οὕτως· πρότερον μὲν ποιήσεις τὰς ἀκίας, ἤγουν τοὺς ὀρδίνους τοῦ τάγματος ἑκάστου, τινὲς ἀριστερὰ, καί τινες δεξιὰ τοῦ βάνδου, ἤγουν τοῦ ἄρχοντος τάσσονται.

C 64. Ex iis alii scutati sunt, qui et graves appellantur. Scutatos igitur ad hunc modum describes: primum instrues contubernia, sive manipulos cohortis uniuscujusque, quænam ad dextram, et quæ ad lævam præfecti cohortis esse debeant.

ξε'. Καὶ προπορευομένου τοῦ ἄρχοντος ἅμα τῷ βανδοφόρῳ καὶ τῷ βουκινάτωρι καὶ τοῖς λοιποῖς κατὰ συνήθειαν ἐπακολουθοῦσιν ὡς ὡρίσθησαν οἱ λοχαγοί· πρῶτον οἱ τοῦ ἀριστεροῦ μέρους, εἶτα οἱ τοῦ δεξιοῦ.

65. Præcedente præfecto simul cum signifero et buccinatore suo, reliquisque qui illum sequi consueverunt, procedant primo lochagi sive præstites sinistræ partis, deinde dextræ.

ξϛ'. Γινομένων δὲ αὐτῶν ἐν τῷ τῆς παρατάξεως τόπῳ, ἵσταται ὁ ἄρχων, καὶ μετὰ αὐτὸν ὁ βανδοφόρος, καὶ οἱ πρὸς συνήθειαν. Καὶ παρατάσσονται αὐτῷ ἑκατέρωθεν αἱ ἀκίαι ὡς ὡρίσθησαν, πρῶτον ἐν ἀραιοτέρῳ διαστήματι, ἵνα μὴ συντρίβωνται ὑπ' ἀλλήλων ἀπὸ ἑξκαίδεκα τὸ βάθος ἔχουσαι καὶ τοὺς ψιλοὺς ὄπισθεν(11). Τὰ δὲ ξίφη τῶν κονταρίων τέως ἄνω βλέποντα, ἵνα μὴ ἐμποδίζωνται ὑπ' αὐτῶν.

66. Ubi in ipso aciei instruendæ loco fuerint, consistat præfectus et signifer ejus, et qui assolent, cum eo sint. Instruantur utrinque contubernia quemadmodum a nobis præscriptum est, primum laxiore intervallo, ut ne se mutuo angustiis affligant, ad sedecim virorum altitudinem, et leves a D tergo illorum. Cuspides hastarum sursum spectent, ut ne ab illis impediantur.

ξζ'. Ἔμπροσθεν δὲ τοῦ μετώπου περιπατοῦσιν ὁ καμπιδούκτωρ, ἤγουν ὁ τοὺς τόπους ἐρευνῶν, καὶ ὁ μανδάτωρ ὁ μὲν ἐπὶ τοὺς τόπους ὁδηγῶν, ὁ δὲ τὰ μανδάτα γνώμῃ τοῦ ἄρχοντος διδούς.

67. Ante frontem ambulent campiductor, vel qui loca explorant, et mandator, alter qui ad loca deducat, alter qui mandata ex imperatoris sententia det.

ξη'. Ὅταν δὲ κατασταθῶσιν τὰ τάγματα, καθὼς προδιωρισάμεθα εἰς μοίρας, καὶ εἰς μέρη, ἤγουν εἰς τοὺς δρούγγους αὐτῶν, καὶ εἰς τὰς τούρμας, καὶ γένηται ἡ πᾶσα παράταξις τῶν σκουτάτων, τότε παρατάξεις καὶ τοὺς ψιλοὺς λεγομένους κατὰ διαφόρους τόπους.

68. Cohortibus, ut antea statuimus, jam in mœras, drungos, id est, cohortes milliarias et turmas adductis, acies universa instruatur, levesque diversis in locis constituantur.

NOTÆ.

(10) *Τῶν αἰτιῶν*. Scribe, τῶν ἐναντίων.

(11) *Ἀ... ὄπισθεν*. Scribe, ἀπὸ ὄπισθεν.

69. Sagittarios a tergo uniuscujusque contubernii, pro numero eorum qui in contubernio sunt, locabis : id est, singulis sedecim-scutatis quatuor leves, ut in quaternarium numerum divisis scutatis et gravibus unus illis a tergo sagittarius adjungatur : sin usus requirat aciei, in altitudine alternis scutatum et sagittarium constitues, interdum in contubernia et cornua aciei. Interius equitibus conferes, sæpe etiam exterius, parvo ab illis spatio, paucis cum scutatis, ut equites exteriores defendant. Si multi fuerint leves, hoc observetur. Qui vel rhictaria vel tzicuria vel tale aliquid gestant, vel a tergo contubernii scutatorum locandi sunt, vel ad summas oras aciei, et non in medio : funditores autem omnino ad summas oras aciei locabis.

A ξθ'. Τοὺς μὲν τοξότας ὄπισθεν ἑκάστης ἀκίας πρὸς τὸ μέτρον τῶν ὄντων, τουτέστιν εἰς τοὺς ἑξκαίδεκα σκουτάτους τέσσαρας ψιλοὺς, ἵνα καὶ μέχρι τεσσάρων μεριζομένης τῆς τῶν ὁπλιτῶν, ἤτοι τῶν λεγομένων σκουτάτων ἀκίας εὑρεθῇ εἷς τοξότης ὄπισθεν αὐτῆς· ἐὰν δὲ ἀπαιτῇ, τάξεις αὐτοὺς εἰς τὸ βάθος τῶν ἀκιῶν ἕνα παρ' ἕνα σκουταράτον καὶ τοξότην. Ποτὲ δὲ καὶ εἰς τὰς ἀκίας, καὶ εἰς τὰ κέρατα τῆς παρατάξεως, τουτέστιν ἔσωθεν τῶν καβαλλαρίων, πολλάκις δὲ καὶ ἔξωθεν αὐτῶν, ἀπὸ μικροῦ διαστήματος, μετὰ καὶ ὀλίγων σκουταράτων, εἰς τὸ διεκδικεῖν τοὺς ἐξώτερον ἑστῶτας καβαλλαρίους. Τοῦτο δὲ ἐὰν πολλοί εἰσιν οἱ ψιλοί. Οἱ δὲ ῥικτάρια ἢ τζικούρια ἤ τι τοιοῦτον ἔχοντες, ἢ ὄπισθεν τῶν ἀκιῶν τῶν σκουταράτων, ἢ εἰς τὰ ἄκρα τῆς παρατάξεως, B καὶ οὐκ ἐν τῷ μέσῳ. Οἱ δὲ σφενδοβολισταὶ πάντως εἰς τὰ ἄκρα τῆς παρατάξεως.

70. Ad summas oras peditatus, equites constituantur : majores autem cohortes cum præfectis suis exterius. Et si multi fuerint equites, id est plures duodecim millibus, ad decem virorum altitudinem contuberniorum instructio fiat : sin pauciores hoc numero fuerint, ad quinque virorum altitudinem apparentur. Sint vero præterea a tergo ad subsidium extra currus collocati, ut si qui hostes a tergo nostrorum immineant, repellantur : sin minus, ad latera adjungantur : primo autem ad lævam, ut ne impedimenta sint ubi tempus fuerit, et forma stationis commutanda erit.

ο'. Εἰς δὲ τὰ ἄκρα τῆς πεζικῆς παρατάξεως τάσσεσθαι τοὺς καβαλλαρίους κελεύομεν. Τὰ δὲ μείζονα τάγματα μετὰ τῶν ἀρχόντων αὐτῶν ἐξωτέρω. Καὶ ἐὰν μὲν πολλοί εἰσιν οἱ καβαλλάριοι, τουτέστι πλέον τῶν δώδεκα χιλιάδων, ἀπὸ δέκα τὸ βάθος ἤγουν τὸ πάχος τῆς ἀκίας τὴν παράταξιν γίνεσθαι. Εἰ δὲ καὶ ὀλιγότεροι τοῦ μέτρου τούτου, ἀπὸ πέντε εἶναι δὲ ἐκ περισσοῦ τινας ὄπισθεν εἰς ὑποβοήθειαν αὐτῶν ἔξω τῶν ἁμαξῶν, ἵνα ἐὰν μέν τινες τῶν ἐχθρῶν διὰ τοῦ νώτου ἤγουν τῶν ὄπισθεν φανῶσιν ἀποσοβήσωσιν αὐτούς. Εἰ δὲ μήγε, προστεθῶσι τοῖς πλαγίοις καὶ αὐτοί. Τάσσονται δὲ καὶ αὐτοὶ εἰς τὸ ἀριστερὸν πρότερον διάστημα, ἵνα μὴ ἐμποδίζονται. Ὅτε γένηται καὶ καιρὸς καὶ μέλλουσι μεταβάλλεσθαι τὸ σχῆμα τῆς στάσεως αὐτῶν.

71. Equitibus præcipies, ne nimis impetuose C ruant in hostes, neque a pedestri acie longius discedant, quamvis profligentes hostes, ut ne insidiis ab hostibus structis, aliquo longo intervallo, reliqua acie nudati, vexentur, nempe pauciores : sed si ab hostibus opprimantur, post aciem confugiant, et currus non transeant : ex equis descendant, et pedibus seipsos defendant.

οα'. Τοὺς δὲ καβαλλαρίους παραγγείλῃς μὴ κατατρέχειν τῶν ἐχθρῶν, μηδὲ ἀφίστασθαι τῆς πεζικῆς παρατάξεως ἐπὶ πολὺ διάστημα. Κἂν τάχα καὶ τραπῶσιν οἱ ἐχθροὶ, ἵνα μὴ ἐνέδρας ἤγουν ἐγκρύμματος παρ' αὐτῶν γενομένου, ἐάν περ ἀπὸ διαστήματός εἰσι γυμνούμενοι τῆς παρατάξεως ἐπηρεασθῶσιν, ὡς ὀλιγώτεροι. Ἀλλὰ καὶ ἐὰν βιασθῶσιν, ὡς εἰκὸς, ὑπὸ τῶν ἐναντίων κατὰ τοῦ νώτου ἤγουν ὄπισθεν τῆς παρατάξεως προσφεύγωσι, καὶ μὴ παρέρχωνται τὰς ἁμάξας. Ἐὰν δὲ μὴ οὕτως ἀντέχωσι, κατέρχεσθαι αὐτοὺς ἐκ τῶν ἵππων, καὶ οὕτως πεζῇ ἑαυτοὺς ἐκδικεῖν.

72. Si aciem instruere vis, non tamen eo ipso die prælium committere, et in equites tuos hostes irruerint, et eos sustinere non possint equites tui, ne ad cornua aciei, et curruum illos præstolentur : quod si fecerint, majore in medio intervallo opus est, ut commutatis, quod sæpe fit, equitibus, non angustia premantur, neque hostium sagittæ illos lædant.

οβ'. Ἐὰν δὲ βουληθῇς παρατάξεσθαι μὲν τὸν στρατὸν, μὴ συμβάλλειν δὲ τὴν μάχην κατὰ τὴν αὐτὴν ἡμέραν, καὶ ὁρμήσωσιν οἱ ἐχθροὶ κατὰ τῶν καβαλλαρίων, καὶ μὴ βαστάσωσιν αὐτοὺς ἐκεῖνοι, μὴ ἀναμένειν αὐτοὺς εἰς τὰ κέρατα τῆς παρατάξεως καὶ τῶν ἁμαξῶν. Ἀλλ' εἰ τοῦτο γένηται, τότε χρεία μείζονος τοῦ ἐν τῷ μέσῳ διαστήματος, ἵνα μεταβαλ- D λομένων, ὡς εἰκὸς, τῶν καβαλλαρίων μὴ στενοχωρηθῶσιν, μηδὲ αἱ τῶν ἐχθρῶν σαγίτται βλάψωσιν αὐτούς.

73. Haud ignoramus nos complura ex istis in capite de exercitatione recensuisse : sed absurdi nihil est, illa eadem in belli apparatione iis qui in militia sunt repetere. Sic enim antea rem totam pertractavimus, ut omnia quæ ad bellum pertinerent, ad exercitationem quoque aptarentur, nisi quod sine ferro tota exercitatio suscipi debet : unde commemorandi harum rerum gratia non ve-

ογ'. Οὐκ ἀγνοοῦμεν δὲ ὅτι τῶν νῦν εἰρημένων τινὰ καὶ ἐν τῇ περὶ γυμνασίας διατάξει εἰρήκαμεν. Ἀλλ' οὐδὲν ἄτοπον καὶ ἐν τῇ περὶ τοῦ πολέμου διατάξει προσυπομνῆσαι περὶ αὐτῶν τοὺς ἐντυγχάνοντας. Οὕτω γὰρ σκοποῦμεν, ὥστε πάντα τῷ πολέμῳ ἁρμόζοντα καὶ ἐν τῇ γυμνασίᾳ δεῖν ἁρμόζειν, πλὴν μόνου τοῦ ἀσίδηρον γίνεσθαι τὴν ἔκταξιν, καὶ ἄμαχον. Ὅθεν καὶ πάλιν τοῖς ὁμοίοις ἐμφιλοχωρῆσαι οὐκ

ὀκνήσαμεν ὑπομνήσεων χάριν ἐκείνων. Οὐ γὰρ μικρὸν τὸ παρὰ μικρόν.

οδ'. Τάξεις δὲ τὰ μέρη τῆς παρατάξεως ἀπὸ ἑκατὸν ἢ διακοσίων ποδῶν (12) ἀλλήλων διακεκριμένα, ἵνα μὴ στενοχωρῶνται ὑπ' ἀλλήλων ἐν τῷ περιπατεῖν, ἐν δὲ τῷ καιρῷ τῆς συμβολῆς ἑνοῦνται, καὶ βοηθῶσιν ἑαυτοῖς, καὶ παραγγέλλωνται τῷ μέσῳ μέρει πείθεσθαι, ἔνθα τὸ τοῦ στρατηγοῦ ἢ τινος ἑτέρου τεταγμένου ἄρχοντος βάνδον ὀφείλει τάσσεσθαι. Τὸν γὰρ μέσον τόπον τῆς παρατάξεως οἱ ἀρχαῖοι διὰ τοῦτο στόμα ἐκάλεσαν καὶ ὀφθαλμὸν, ἵνα αὐτῷ τὰ μέρη πειθῶνει.

οε'. Ἐπειδὴ δὲ τὸ σφίγγεσθαι ἤτοι πυκνοῦσθαι πρὸς τὸ ἀραιοῦσθαι καὶ πλατύνεσθαι συντομώτερον καὶ ἀσφαλέστερόν ἐστιν, οὐ χρὴ ἀπὸ προοιμίων ἑξκαίδεκα τὸ βάθος τῶν ὀρδίνων ἤτοι τῶν ἀκιῶν τάσσεσθαι, ἀλλὰ ἀπὸ τεσσάρων, ἵνα καὶ κομπωδεστέρα φαίνηται τοῖς πολεμίοις ἡ παράταξις, καὶ ἀνετώτεροι γίνωνται οἱ ὁπλῖται ἐν τῷ περιπατεῖν μάλιστα ἐπὶ διάστημα. Ἐὰν γὰρ γένηται χρεία ἢ ἀπὸ ὀκτὼ, ἢ ἀπὸ ἑξκαίδεκα γενέσθαι τὸ βάθος, ἐν τῷ περιπατεῖν συντόμως γίνεται καὶ σφίγγεται.

ος'. Εἰ μέντοι σφιγκτῆς καὶ κοντῆς οὔσης τῆς παρατάξεως χρεία γένηται ἐκταθῆναι τὸ μῆκος αὐτῆς, πολλῆς ὥρας δεῖται εἰς τοῦτο, καὶ οὐκ ἔστι χρειῶδες τῶν πολεμίων ἐγγιζόντων ἐκτείνειν τὴν παράταξιν.

οζ'. Οἱ δὲ βανδοφόροι μέχρι μὲν τῆς παρατάξεως καβαλλάριοι μετὰ τῶν ἀρχόντων αὐτῶν, ἐν δὲ τῇ παρατάξει καὶ αὐτοὶ πεζοὶ ὀφείλουσιν ἵστασθαι.

οη'. Ὥστε ἀνάγκη μηδὲ τῶν ἑξκαίδεκα πλέον τὸ βάθος τῶν ἀκιῶν γίνεσθαι, κἂν ἡ τῶν ἐναντίων βαθυτέρα ἐστὶν, μηδὲ τῶν τεσσάρων ἔλαττον, κἂν εἰ λεπτοτέρα ἐστὶ τῶν ἐναντίων ἡ παράταξις. Ὥστε τὸ μὲν πλέον τῶν ἑξκαίδεκα ἄχρηστον, τὸ δὲ ὀλιγώτερον τῶν τεσσάρων ἀσθενές. Μέση δὲ τάξις τῶν ὀκτὼ σκουταράτων λεγομένων ἤγουν ὁπλιτῶν ἐστιν.

οθ'. Παραγγελίας δὲ ὥστε πᾶσαν ἡσυχίαν γενέσθαι ἐν τῷ στρατῷ. Καὶ οἱ ἑκάστης ἀκίας οὐραγοὶ ἐὰν ἕως ψιθυρισμοῦ ἀκούσωσι παρά τινος τῶν μετὰ αὐτῶν, μετὰ τῶν ἀστιλιῶν νύσσουσιν αὐτούς· καὶ ἐν ταῖς συμβολαῖς δὲ ἤγουν ἐν τῇ μάχῃ ὠθοῦσι τοὺς ἔμπροσθεν αὐτῶν εἰς τὸ μὴ τινας τῶν ὁπλιτῶν ἐξ ὀλιγωρίας, ὡς εἰκὸς, ἀπομένειν.

π'. Μὴ ἐπιτηδεύσῃς δὲ ἐπὶ πολὺ διάστημα τοὺς πεζοὺς ὡπλισμένους περιπατεῖν, ἀλλὰ καὶ ἐὰν ἐμβραδύνωσιν οἱ ἀντιτασσόμενοι καὶ χρεία τοῦ ἀναμεῖναι τὴν παράταξιν γένηται κατὰ τὸν καιρὸν μὴ ἀναγκάζειν αὐτοὺς ἵστασθαι πολλὰς ὥρας, ἵνα μὴ ὡς βαρεῖαν ὅπλισιν ἔχοντες ἐν τῇ συμβολῇ κεκοπιωμένοι εὑρεθῶσιν, ἀλλὰ παρασκευάζειν αὐτοὺς καθέζεσθαι, καὶ ἀναπαύεσθαι, καὶ ὅταν ἐκ τοῦ πλησίον ἔλθωσιν τότε ἐγείρειν αὐτοὺς, ἵνα ἄκοποι καὶ ἀσύντριπτοι μένωσιν.

A rebimur illis similia iterum recensere. Non enim hoc leve admodum esse putandum est, sed cumprimis necessarium.

74. Partes aciei instructæ centum aut ducentorum pedum spatio a se mutuo separabis, ut ne in itinere faciendo semet mutuo affligant. Conflictationis tempore jungantur, et adhærescant hæc partes divisæ, et sibi mutuo opem ferant, mediæque parti, ubi imperatoris aut alterius delecti principibandum locandum est, obtemperent. Medium enim aciei locum propterea os et umbilicum antiqui vocaverunt, ut illi cæteræ partes obtemperent.

75. Quoniam contrahi et densari cum brevius tum tutius est, quam rarefieri et dilatari, minime B initio viarum committendum est ut ad sedecim virorum altitudinem contubernia sive manipuli instruantur, sed ad quatuor virorum altitudinem, ut longe amplior hostibus videatur esse exercitus, et graves laxioresque inambulent. Usus enim aliquis si fuerit, ad octo vel sedecim in itinere facile deducentur et addensabuntur.

76. Si enim addensata jam contractaque acie, in longitudinem producenda ea est, longo ad id conficiendum tempore opus est: et periculosum est, hostibus jam cominus adventantibus, aciem in longitudinem producere.

77. Signiferi usque ad instructam aciem equis vehebantur cum præfectis suis, in acie autem pedibus C consistere debent.

78. Itaque neque plures sedecim virorum altitudine, quanquam hostium acies altior fuerit, instruantur: neque pauciores quatuor, quanquam tenuiores hostium copiæ fuerint. Nam plures esse sedecim inutile est: pauciores quam quatuor esse imbecillum est: media autem acies quatuor scutatorum sive gravium est.

79. Summum silentium ut in exercitu sit providebis: et contubernii uniuscujusque ultimani, si susurrum aliquem suorum audiverint, hastilibus hastarum suarum pungant eos, et in conflictationibus sive in prælio ipso anteriores impellant, ut ne quidam ex illis ignavia retardentur.

D

80. Ne committas ut longum iter pedites graves ambulent, sed si hostes tardaverint et cunctentur, et permanendum aciei nostræ est, ibi tum diu stare eos non permittes, ne gravi armatura pressi in prælio lassati inveniantur: sed sedes illis requietemque parabis, et quando cominus venerint, tum excitabis eos, ut ne lassati ac debilitati maneant.

πα'. Μηδὲ ἐν καιρῷ μάχης ἔμπροσθεν τῆς παρατάξεως περιπατεῖν, πλὴν τῶν τουρμαρχῶν καβαλλα-

81. Neque prælii tempore ante aciem ambulent ulli, præter turmarchas, equites, mandatores duos,

NOTÆ.

(12) *Ἀπὸ ἑκατὸν ἢ διακοσίων*. Scribebatur, ἀπὸ ρ' ἢ ς.

campiductores duos, cum stratore uno, quemadmodum a nobis prædictum est, donec hostes propius advenerint, tum unusquisque ad suas partes veniat, et ibi consistat.

82. Si caragum, id est currus sequi oportet aciem, instruatur unius sagittæ jactu ab acie, suasque partes ordine sequatur : tantumque intervalli currus obtineant, quantum acies ipsa occupat, ut ne si eminus ab ea absint, omni subsidio destituantur.

83. Uniuscujusque currus extrema pars cilicio tegatur, ut singuli aurigæ alte consistentes et pugnantes quasi ex propugnaculis et pinnis murorum opem ferant bovesque a conjectis sagittis tuti conserventur. Currus autem balistarios vel sagittarios vel manganicis alacatiis refertos, per universum intervallum divides : complures autem ex illis maxime utiles summis in oris instruas.

84. Aurigas autem vel fundarum vel tzicuriorum vel matzuciorum, vel sagittarum conjectores esse oportet : interius autem reliquum ponatur tuldum ut medio in loco curruum atque aciei collocentur, quo si aliqua occasio sese offerat, in duplicatam aciem scutati dividantur, sive equites sive pedites, nullum habeant impedimentum, neque confundantur, si aliquando vis ulla curribus inferatur.

85. Si magnæ hostium copiæ fuerint, et a tergo in currus impetum faciant, et aurigæ illis vel in duplicatam aciem separati obsistere nequeant, paucos tribulos sive murices conjicere oportet : quibus conjectis diligenter observandum est, ut ne per eam viam, sed per aliam viam incedant ut offensio omnis tribulorum vitetur.

86. Hoc autem in primis præcipiendum est, ut die belli pedestri et permista acie instructa si multi equites hostium et longe supra nostrum numerum fuerint, et caragus noster nos non sequatur, ne con:ris æquo in loco atque exposito aciem instruere, sed in locis asperis, et difficilibus potius, ut limosis, arundinosis, saxosis, inæqualibus, condensis.

87. Curabis etiam ut quæ a tergo vel a lateribus incursiones fieri possunt, hæ, quemadmodum sæpe admonui, excubiis adhibitis provideantur. Quosdam autem scutatos ad extremas oras curruum et in medio collocabis, ut hostibus resistant incursionem vel in currus, vel in aciem, vel in equites facientibus.

88. Si hostibus adhuc in castris et in confusione

A ρίων, καὶ μανδατώρων δύο, καὶ καμπιδουκτώρων δύο, καὶ στράτωρος ἑνὸς, καὶ σπαθαρίου ἑνὸς, ὡς μοι καὶ ἔμπροσθεν εἴρηται, καθ' ἕκαστον ἄρχοντα, μέχρις οὗ ἐγγίσωσιν οἱ πολέμιοι· τότε δὲ ἕκαστον ἀσφαλῶς ἐν τῷ ἰδίῳ μέρει ἔρχεσθαι καὶ ἵστασθαι.

πβʹ. Ἐὰν δὲ δόξῃ σοι τὸν καραγὸν ἤγουν τὰς ἁμάξας ἀκολουθῆσαι τῇ παρατάξει, τάσσεσθαι αὐτὸ ἀπὸ ἑνὸς τελείου σαγιττοβόλου τῆς παρατάξεως· καὶ συνακολουθεῖν ἐν τάξει τῷ ἰδίῳ μέρει, τοσοῦτον δὲ διάστημα κρατεῖν τὰς ἁμάξας, ὅσον ἡ παράταξις ἔχει, ἵνα μὴ ἔξωθεν γινόμενοι ταύτης ἀβοήθητοι μείνωσιν.

πγʹ. Ἑκάστην δὲ τῶν ἁμαξῶν κιλικίῳ τὸ ὄπισθεν μέρος σκέπεσθαι, ἵνα καὶ οἱ ἁμαξελάται ἄνω ἱστάμενοι καὶ μαχόμενοι ὡς ἀπὸ προμαχόντων βοηθοῦν- B ται, καὶ οἱ βόες φυλάττονται ἀπὸ τῶν βαλλομένων σαγιττῶν, τὰς δὲ βαλιστοφόρους ἁμάξας, ἤτοι τὰς ἐχούσας τὰς λεγομένας τοξοβολίστρας, καὶ τὰ μαγγανικὰ ἀλακάτια, δι' ὅλου μὲν καταμερίζειν τοῦ διαστήματος, τὰς δὲ πλείονας καὶ χρειώδεις ἐν τοῖς ἄκροις τάσσειν.

πδʹ. Τοὺς δὲ ἁμαξελάτας ἀκοντιστὰς δεῖ εἶναι ἢ σφενδοβόλων, ἢ τζικουρίων, ἢ ματζουκίων, ἢ σαγιττῶν· ἔσωθεν δὲ τῶν ἁμαξῶν εὐθέως τὸ λοιπὸν τάσσεσθαι τοῦλδον· ἐφ' ᾧ τὸν μέσον τόπον τῶν ἁμαξῶν καὶ τῆς παρατάξεως εὔκαιρον εἶναι. Ἵνα κἂν πρὸς διφαλαγγίαν καιρὸς γένηται μερισθῆναι τοὺς σκουτάτους βιαζομένων τῶν ἁμαξῶν, εἴτε τοὺς καβαλλαρίους, εἴτε τοὺς πεζοὺς, μὴ ἔχωσιν ἐμπόδισμα μηδὲ συγχέωνται.

C πεʹ. Ἐὰν δὲ πολλὴ δύναμις τῶν ἐναντίων ἐκ τῶν ὄπισθεν ταῖς ἁμάξαις ἐνοχλῇ, καὶ οὐκ ἀντέχωσιν οἱ ἁμαξηλάται, ἢ, ὡς εἰκὸς, πρὸς διφαλαγγίαν μεριζόμενοι τότε ῥίπτεσθαι ὀλίγας τριβόλους. Ἀλλ' ἐὰν ῥίπτωνται, παραφυλάττεσθαι (13) χρὴ τοῦ μὴ δι' αὐτῆς τῆς ὁδοῦ ὑποστρέψαι τὸν στρατὸν, ἀλλὰ δι' ἑτέρας, ἵνα μὴ βλάβη τις ὑπὸ τῶν τριβόλων γένηται αὐτῷ.

πϛʹ. Καὶ τοῦτό σοι κελεύομεν, ὦ στρατηγὲ, ἵνα κατὰ τὴν ἡμέραν τοῦ πολέμου τῆς πεζικῆς, ἢ καὶ συμμίκτου παρατάξεως, ἐὰν πολλοί εἰσιν οἱ καβαλλάριοι τῶν ἐναντίων, καὶ ὑπὲρ τὸ ἡμέτερόν ἐστι τὸ πλῆθος αὐτῶν, καὶ καραγὸν οὐκ ἀκολουθεῖ τοῖς ἡμετέροις, μὴ ἐπιτηδεύῃς εἰς ἴσον καὶ ἐπίπεδον καὶ D παρατάσσεσθαι, ἀλλὰ μᾶλλον εἰς τόπους δυσχερεῖς καὶ δυσβάτους, τουτέστιν ἢ ἑλώδεις καὶ παλματώδεις, ἢ πετρώδεις καὶ ἀνωμάλους, ἢ δασεῖς.

πζʹ. Φροντίσεις δὲ καὶ τὰς, ὡς εἰκὸς, κατὰ τοῦ νώτου καὶ τῶν πλαγίων ἐπελεύσεις, καθὰ πολλάκις εἰρήκαμεν, τὸ ἀσφαλίζεσθαι διὰ βίγλας. Ἔχῃς δὲ καὶ ὀλίγους σκουτάτους εἰς τὰ ἄκρα τῶν ἁμαξιῶν, καὶ εἰς τὸ μέσον αὐτῶν· ἵνα ἐὰν χρεία γένηται, ἐπιβοηθοῦσιν ἐκ τῶν, ὡς εἰκὸς, βουλομένων παρενοχλεῖν ἐχθρῶν ἢ αὐταῖς, ἢ τῇ παρατάξει, καὶ τοῖς καβαλλαρίοις αὐτῆς.

πηʹ. Ἐὰν δὲ ποτε δυνηθῇς ἀπληκευόντων (14) τῶν

NOTÆ.

(13) In cod. Laur. παραφυλάττεσθαι· atque ita persæpe in verbis ubi duplex τ occurrit; quod et in aliis antiquis manuscriptis frequenter offendit.

(14) Ἀπληκευόντων. Scribe, ἀκευόντων.

πολεμίων καὶ ἐν ἀκαταστάτῳ ὄντων κλέψαι τὸν πόλεμον, καὶ τότε συμβάλλειν αὐτοῖς, πάντως ἂν τὰ μέγιστα βλάψεις αὐτούς.

πθ'. Πολλοὺς δὲ καβαλλαρίους ἐν ταῖς πεζικαῖς μάχαις μὴ βάλλειν, ἀλλ' ὀλίγους κατὰ τῶν ἄκρων τῆς παρατάξεως· ἄχρι τριῶν ἢ τεσσάρων χιλιάδων λωρικάτων, καὶ χρησίμους τοὺς ὀφείλοντας, εἰ καιρὸς γένηται, τοὺς τρεπομένους τῶν ἐναντίων ἐπιτίθεσθαι καὶ διώκειν. Τὸ γὰρ τούτου πλέον ἐν συμμέτρῳ πεζικῷ οὐκ ἀσφαλές.

ϟ'. Ἐὰν δὲ οἱ ἐχθροὶ καβαλλάριοι ὄντες ἐδειλίασαν πρὸς τὴν πεζικὴν μάχην, καὶ πολλοί εἰσιν οἱ καβαλλάριοι ἡμῶν, ὀλίγοι δὲ οἱ πεζοί, τοὺς μὲν καβαλλαρίους τάσσειν εἰς τὰ ἔμπροσθεν μέρη, ὄπισθεν δὲ τὴν πεζικὴν παράταξιν ἐπακολουθεῖν ἐν τάξει ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου τῶν καβαλλαρίων. Καὶ παραγγείλῃς τοῖς καβαλλαρίοις τοῦ διαστήματος τούτου μὴ ἀφίστασθαι τῆς πεζικῆς παρατάξεως. Εἰ δὲ καὶ βαρηθῶσιν ὑπὸ τῶν ἐχθρῶν, διὰ τῶν πλαγίων καὶ τοῦ νώτου τῆς παρατάξεως, ἤγουν ὄπισθεν αὐτῆς προτρέχειν, καὶ μὴ διὰ ὄψεως, ἵνα μὴ διαλύσωσιν αὐτῆς.

ϟα'. Ἐν δὲ τῇ ἡμέρᾳ τῆς συμβολῆς μὴ σπουδάζειν τὴν πεζικὴν παράταξιν, ὥς μοι καὶ πρόσθεν εἴρηται, ἐπὶ πολὺ διάστημα κινεῖν περαιτέρω δύο μιλίων ἔξωθεν τοῦ φοσσάτου, ἵνα μὴ τῷ βάρει καὶ ὁπλίσει συντρίβηται, ἀλλ' ἐὰν ὑπερτίθενται οἱ ἐχθροὶ τὴν τοῦ πολέμου συμβολὴν, καθέζεσθαι, καὶ ἀναπαύεσθαι, μέχρις οὗ μέλλωσιν.

ϟβ'. Εἰ δὲ καιρὸς θέρους ἐστὶν καὶ τὰς κασσίδας αὐτῶν ἐπαίρειν, ἵνα διαπνέωνται αἱ κεφαλαὶ αὐτῶν. Οἴνου δὲ ἐν τοῖς τοιούτοις καιροῖς μεταλαμβάνειν τοὺς στρατιώτας οὐ χρὴ, ἵνα μὴ ἀναζέων οὗτος σκοτώσῃ αὐτούς, ἀλλὰ ὕδωρ ἐν ταῖς ἁμάξαις βαστάζειν, καὶ καθ' ἕνα διδόναι τοῖς δεομένοις ὡς εἰσιν ἐν τῇ παρατάξει αὐτῶν.

ϟγ'. Πρὸ δὲ τοῦ καιροῦ τοῦ πολέμου δεῖ καὶ αὐτὸν τὸν πεζικὸν στρατὸν ὥσπερ καὶ ἐπὶ τῶν καβαλλαρίων ἐνέγκαι ἐν ἡμέρᾳ μιᾷ ὁμοῦ συνηγμένον. Καὶ εἰ μὲν οἴδασιν οἱ στρατιῶται τὰ διὰ τοῦ νόμου μανδάτα, ἤγουν τὰ στρατιωτικὰ ἐπιτίμια, ὑπομνῆσαι αὐτοῖς ἅπαντα· εἰ δὲ μή γε, εἰπεῖν αὐτοῖς διὰ τῶν ἰδικῶν αὐτῶν ἀρχόντων τῶν ἰδίως ἑκάστῳ τάγματι, ἅπερ εἴρηται ἡμῖν ἐν τοῖς ἀνωτέρω κειμένοις, περὶ τῶν τοῖς ἁμαρτάνουσι στρατιώταις κειμένων ἐπιτιμίων ἐν μάχης καιρῷ· καὶ ταῦτα γινώσκοντας οὕτως ἐλθεῖν ἐπὶ τὴν παράταξιν.

ϟδ'. Οὐκ ἄχρηστον δέ σοι, ὦ στρατηγὲ, ὡς ἐν ἐπιτόμῳ καὶ τὴν τῶν παλαιοτέρων τακτικῶν ὑποδεῖξαι διατύπωσιν, ἣν ἐν τοῖς πεζικοῖς τε καὶ τοῖς συμμίκτοις ἐποιοῦντο στρατεύμασιν, ὅτε μάλιστα καὶ πολλοῦ εὐπόρουν στρατοῦ.

ϟε'. Τὴν γὰρ ἅπασαν πεζικὴν στρατιὰν εἰς δέκα ἓξ χιλιάδας καὶ τριακοσίους ὀγδοήκοντα τέσσαρας ἄνδρας ἐμέτρουν ὡς τοῦ ἀριθμοῦ τούτου ἐκ πολλῶν τακτικῶν ἀριθμῶν συνηγμένου καὶ ἀρκοῦντος εἰς τελείαν παράταξιν, καὶ δυναμένου διαιρεῖσθαι καὶ καταμερίζεσθαι ἴσως ἀπὸ τοῦ τοσούτου πλήθους μέχρι καὶ ἑνὸς, καὶ τὸ μὲν ὅλον τοῦ στρατοῦ ἐκάλουν τελείαν φάλαγγα.

A versantibus, bellum inferre et confligere cum illis poteris, magnopere illos lædes.

89. Multos equites in pedestribus præliis ne admisceas, sed in extremis oris aciei paucos ad tria aut quatuor millia equites loricatos atque idoneos constitues, qui si occasio ulla tulerit, profligatos jam hostes insequantur atque invadant. In pedestri enim exercitu majorem equitum numerum ponere haud satis tutum est.

90. Si hostes, cum equites sint, pertimescant cum peditibus nostris confligere, multique equites nostri fuerint, pauci autem pedites, equites in anteriore parte collocabis, post autem pedites ad unum aut alterum milliare distantes in acie collo- B cabis, equitibusque mandabis longius hoc intervallo se non separent, aut ab acie pedestri recedant. Quo si ab hostibus premantur, non directe ad aciem pedestrem redeant, sed ad latus se obliquent, et a tergo peditum ad aciem suam perveniant, ne directa declinatione peditum instructa acies dissolvatur.

91. Conflictationis ipsius die pedestres copias, quemadmodum a me prædictum est, longum spatium ultra duorum milliarium intervallum a castris non movebis, ne gravi armatura opprimantur. Quod si hostes prælii conflictationem distulerint, consideant et requiescant donec hostes cominus fuerint.

92. Si æstas fuerit, cassides suas detrahant, ut C capita perflentur. Vino abstineant eo omni tempore, ne effervescens caliginem cerebro offundat : sed aquam in curribus gestent, et sigillatim aquam singulis dent, quando ordine in acie consistunt.

93. Ante tempus belli pedestres copias universas uno aliquo die coges in unum locum, quemadmodum equitibus facies ; et si noverunt milites mandata legis, id est multas militares, commonefaciendi horum omnium sunt ; sin minus, per præfectos singulos in unaquaque cohorte sui admoneantur de iis multis, quæ belli tempore futuræ sunt ; et hæc cum cognoverint, sic ad aciem ipsam veniant. D

94. Haud abs re fuerit, brevi tibi antiquæ aciei instruendæ formam demonstrare, quam in pedestribus et permistis copiis usurpabant, quando maxime exercitu magno destituebantur.

95. Universas pedestres copias in sedecim millia trecentos octoginta quatuor viros conferebant, quoniam cum hic numerus ex multis milliaribus conficitur, ad perfectam aciem efficiendam satis valet, et a tanta multitudine dividi partirique usque ad unitatem potest, atque universam aciem perfectam phalangem vocabant.

96. Hæc phalanx apud eos in duas æquales partes dividitur, et a fronte phalangis, sive aciei, æqualiter usque ad caudam, id est, extremum agmen, per universam altitudinem hæc æqualis partitio transeat; et dimidia pars, dextrum cornu, et caput appellatur, in qua octo millia virorum, et centum nonaginta duo viri esse definiuntur; alteram dimidiam partem lævum cornu, et caudam nominant, æquo et pari numero cum priore contentam, id est, octo mille centum nonaginta duos viros habentem. Medium interstitium, sive inanis ille, ac intermedius locus, umbilicus vocatur, et ostium phalangis, in quo imperatoris statio est, ad intuendum ea quæ in bello fiunt, et omnia, quantum fieri potest, diligenter administranda.

97. Universa hæc acies graves vocantur, qui scutis integris, et hastis, et spathis aliisque armis stipati, graviorem reliquo exercitu armaturam habent.

98. Post hanc duplicem gravium aciem, levium acies instruitur, qui multo expeditiorem levioremque armaturam gravibus gestant, quia facile, quo volunt, percurrere possunt; in quibus jaculatores sunt. Istorum acies dimidia numero esse debet primæ aciei, id est octo millia virorum et nonaginta duo.

99. Deinceps post hanc, equitum acies armatorum instruatur; horum etiam acies dimidium numeri levium contineat, id est quatuor millia quadraginta sex.

100. Pedites in quatuor partes instruebant, graves simul, et leves, quemadmodum usus postulat, admiscentes; et ad latera gravium leves in duas partes distribuebant, vel etiam in anteriori parte, quemadmodum imperatori commodissimum videbatur.

101. Equites in duas distribuebant partes, hinc atque illinc, vel a tergo peditum, et post eos, vel ad latera, quemadmodum usus exigebat. Imperator enim, non quemadmodum vult, sed quemadmodum necessario cogitur, instruit exercitum. Nam adversus hostium equitatum, suum instruet, ut laxum spatium habentes non impediantur agere, quæ equites par est ad peditum subsidium defensionemque facere sive ante, sive ad latus, sive post a tergo constituantur.

102. Melius esset, si leves ante gravium aciem, vel, si id necessitas postularet, ad latus instruerentur. Nam si in medio collocantur, inutilia atque irrita illorum arma fiunt; qui enim jacula vel sagittas, vel fundas vibrant, in altum emittere coguntur, et ex eo suos magis quam hostes lædunt. Tela enim per ante stantium capita deferuntur. Funditores autem impediuntur, quia justum spatium ad fundas manibus versandas habere non possunt.

103. Si hostibus plures leves adfuerint, quam

A ϞϚʹ. Αὕτη δὲ ἡ φάλαγξ παρ' αὐτοῖς εἰς δύο διαιρεῖται μέρη διχοτομουμένη ἐξ ἴσου ἀπὸ τοῦ μετώπου τῆς φάλαγγος, ἤτοι τῆς παρατάξεως, μέχρι τῆς οὐρᾶς διὰ τοῦ βάθους, ἤτοι τοῦ πάχους τῆς τομῆς διερχομένης. Καὶ τὸ μὲν ἥμισυ μέρος δεξιὸν καλεῖται κέρας, καὶ κεφαλή, ἐν ᾧ χιλιάδες ὀκτὼ καὶ ἑκατὸν ἐνενήκοντα δύο ἄνδρες εἶναι ὁρίζονται· τὸ δὲ ἕτερον ἥμισυ μέρος ἀριστερὸν λέγεται κέρας, καὶ οὐρὰ, ἐν ᾧ καὶ αὐτὸ κατὰ τὸ ἴσον μέτρον τοῦ δεξιοῦ τάττονται ὁμοίως ὀκτάκις χίλιοι ἑκατὸν ἐνενήκοντα δύο. Ἡ δὲ διὰ μέσου γινομένη διχοτομία, ἤγουν ὁ κενὸς τόπος, ὀμφαλὸς καλεῖται καὶ στόμα τῆς φάλαγγος, ἐν ᾧ καὶ ἡ τοῦ στρατηγοῦ γίνεται στάσις, πρὸς τὸ ἐπιβλέπειν τὰ ἐν τῷ πολέμῳ πραττόμενα, καὶ διακυβερνᾷν, ὡς ἐνδέχεται.

B ϞΖʹ. Αὕτη δὲ ἡ πᾶσα παράταξις ὁπλῖται καλοῦνται, διά τε σκουταρίων τελείων καὶ κονταρίων καὶ σπαθίων καὶ τῶν ἄλλων ὅπλων περιπεφραγμένη, βαρυτέραν ἔχοντες ὅπλισιν τοῦ ὅλου στρατοῦ.

ϞΗʹ. Ὄπισθεν δὲ ταύτης τῆς διπλῆς τῶν ὁπλιτῶν παρατάξεως τάσσεται ἡ τῶν ψιλῶν λεγομένων στρατιωτῶν ἐλαφροτέραν ὅπλισιν ἐχόντων τῆς πρώτης παρατάξεως, διὰ τὸ εὐχερῶς ἔνθα βούλονται τρέχειν, ἐν οἷς εἰσι καὶ ἀκοντισταὶ, καὶ τοξόται, καὶ σφενδονισταί. Τούτων δὲ ἡ παράταξις εἶναι ὀφείλει ἡμίσεια τὸν ἀριθμὸν τῆς προτέρας παρατάξεως, ἤγουν χιλιάδες ὀκτὼ καὶ ἐνενήκοντα δύο.

ϞΘʹ. Ἐφεξῆς δὲ ταύτης ὄπισθεν ἡ τῶν καβαλλαρίων παράταξις τάσσεται καθοπλισμένων, καὶ τούτων δὲ ὁ ἀριθμὸς ἥμισυ πάλιν ἔχει τῆς τῶν λεγομένων

C ψιλῶν παρατάξεως, ἤτοι τετρακισχιλίους τεσσαράκοντα ἕξ.

ρʹ. Καὶ τοὺς μὲν πεζοὺς εἰς τέσσαρα μέρη ἐποίουν συντάσσοντες ἅμα καὶ τοὺς ὁπλίτας καὶ τοὺς ψιλοὺς, ὡς ἂν χρεία ἀπαιτεῖ, εἴτε παρὰ τὰ πλάγια τῶν ὁπλιτῶν τοὺς ψιλοὺς εἰς δύο ἑτέρας παρατάξεις, εἴτε ἔμπροσθεν, ἢ ὡς ἂν ἐδόκει τῷ στρατηγῷ χρήσιμον.

ραʹ. Τοὺς δὲ καβαλλαρίους εἰς δύο διεμέριζον. Ἔνθεν κἀκεῖθεν, ἐπὶ νώτου τῶν πεζῶν ἤγουν ὄπισθεν, ἢ εἰς τὰ πλάγια, ἢ ὡς ἂν ἡ χρεία ἀπῄτει. Ὁ γὰρ στρατηγὸς, οὐχ ὡς βούλεται, ἀλλὰ μᾶλλον ὡς ἀναγκάζεται, οὕτως καὶ τάσσει τὸ στράτευμα. Πρὸς γὰρ τὸ ἀντιπολέμιον καβαλλαρικὸν, καὶ τὸ ἴδιον

D στήσει ἵνα εὐρυχωρίαν ἔχοντες μὴ ἐμποδίζωνται πράττειν ὅσα δεῖ ποιεῖν τοὺς καβαλλαρίους εἰς τὴν τῶν πεζῶν βοήθειαν, εἴτε κατὰ πρόσωπον, εἴτε ἐκ πλαγίου, εἴτε ὄπισθεν κατὰ τοῦ νώτου.

ρβʹ. Κρεῖττον δὲ ποιήσει τις ἐὰν τῶν λεγομένων ψιλῶν τὴν παράταξιν πρώτην τάξῃ τῆς τῶν ὁπλιτῶν παρατάξεως, ἢ χρείας οὕτω καλούσης ἐκ πλαγίων. Εἰ γὰρ μέσοι ταγῶσιν, ἀνενέργητα αὐτῶν τὰ ὅπλα γίνεται· οἱ γὰρ ἀκοντίζοντες ἢ τοξεύοντες ἢ σφενδονοῦντες ἀναγκάζονται εἰς ὕψος πέμπειν, καὶ μᾶλλον τοὺς ἰδίους βλάπτουσιν ἢ τοὺς ἐναντίους. Καὶ γὰρ τὰ βέλη κατὰ κεφαλῆς ἐνεχθήσονται τῶν ἔμπροσθεν. Οἱ δὲ σφενδονοῦντες ἐμποδισθήσονται τὰς χεῖρας αὐτῶν μὴ δυνάμενοι τὴν σφενδόνην ἑλίσσειν.

ργʹ. Ἐὰν δὲ οἱ πολέμιοι πλέον ἔχωσι ψιλοὺς ὑπὲρ

τοὺς ἡμετέρους, τότε τοὺς ὁπλίτας ἤγουν τοὺς πρωτοστάτας ἔμπροσθεν δεῖ τάσσεσθαι ἔχοντας σκουτάρια μεγάλα ἐπιμήκη, ἅπερ λέγουσι θυρεούς, ὥστε σκέπειν ὅλα τὰ σώματα, ἀνδρὸς ἔχοντα μῆκος. Οἱ δὲ μετὰ τούτους ὄπισθεν τασσόμενοι καὶ μέχρι τῶν ὀπισθίων ὑπὲρ κεφαλῆς ἄραντες τοὺς θυρεοὺς αὐτῶν προσερχέσθωσαν, ἕως ἂν ἐντὸς γένωνται τῶν ῥιπτομένων σαγιττῶν ἢ ῥικταρίων· οὕτως γὰρ ὡς εἰπεῖν κεραμωθέντες οὐδὲν πάθωσι κακὸν ἀπὸ τῶν ῥιπτομένων παρὰ τῶν πολεμίων βελῶν.

ρδʹ. Εἰ δὲ καὶ ἔνθεν κἀκεῖθεν ἡ παρὰ τῶν ψιλῶν βοήθεια πάρεστιν, οὗτοι πρῶτοι, πρὶν ἢ γένηται ἡ συμβολή, καὶ σαγίττας, καὶ ῥικτάρια ῥίψωσι κατὰ τῶν πολεμίων· ἢ καὶ μετὰ τὴν συμβολὴν τῆς μάχης ἐκ πλαγίων τῆς τῶν ἐχθρῶν παρατάξεως ἐπιτιθέντες πεμπέτωσαν τὰ βέλη κατ' αὐτῶν, ἵνα συνελαυνόμενοι καὶ ἀπὸ τῶν πλαγίων θορυβοῦνται, καὶ ἐλαττοῦνται πρὸς τοὺς ἔμπροσθεν.

ρεʹ. Ἐὰν δὲ παράκειται ὀχύρωμα, τοῦτο μᾶλλον τοὺς ψιλοὺς βοηθήσει· βάλλοντες γὰρ τὰ βέλη κατὰ τῶν πολεμίων, καὶ εἰς αὐτὸ κατατρέχοντες, ἀφοβώτεροι γίνωνται. Οἷον εἴτε κρημνώδης τόπος, εἴτε ποταμοῦ ὄχθη, ἢ καὶ βουνὸς ὑπερανέχων, ἢ καὶ ἕτερόν ἐστιν ὀχύρωμα.

ρηʹ. Ὀφείλει δὲ εἶναι διάστημα εἰς τὰς παρατάξεις, ἵνα ἐὰν οὕτως συμβῇ, καὶ οἱ ψιλοὶ ἐκκενώσουσιν τὰ βέλη αὐτῶν, καὶ οὔπω ἐγένετο ἡ συμβολή, ἀλλ' ἔτι προάγουσιν οἱ πολέμιοι, τότε ἐπιστρέψουσιν οἱ ψιλοὶ μετὰ εὐταξίας, καὶ διελθόντες μέσην τὴν φάλαγγα ταράχως ἐπὶ τὰ ὄπισθεν διασωθῶσιν. Οὐ γάρ ἐστιν ἀσφαλὲς κυκλεύειν αὐτοὺς ἔξωθεν τὸ στράτευμα, καὶ οὕτω διέρχεσθαι· ἵνα μὴ παρὰ τῶν ἐχθρῶν ἐρχομένων μέσοι γενόμενοι διαπέσωσιν· οὔτε δὲ πόλεις εἰς τὰ ὅπλα μέσους ἐμπίπτειν· πεπυκνωμένης οὔσης τῆς τάξεως, καὶ οὕτω βιάζεσθαι.

ρζʹ. Ἑτέρας δὲ τάξεις ἔχειν ἐνόπλους καὶ ἑτοίμους, ἵνα ὅταν οἱ ψιλοὶ τὰ ὅπλα κενώσωσι, τότε ἐκεῖνοι ἀντεισέλθωσιν, καὶ τὴν χρείαν ἐκείνων τελέσωσιν.

ρηʹ. Ἐπειδὴ δὲ τὸ πάχος τῆς παρατάξεως πρὸς τὰς χρείας ἐκτεινομένης αὐτῆς ἐπὶ μῆκος συστέλλεται καὶ λεπτύνεται, δέον ἐστὶν μὴ ἐκτείνειν τὴν παράταξιν τοσοῦτον, ὥστε πᾶσαν ἀσθενῆ καὶ χωρὶς βάθους ποιῆσαι, ἤγουν κατὰ τὸ πάχος, φοβούμενον τὰς κυκλώσεις· συμβαίνει γὰρ τοὺς πολεμίους ταχὺ διακόψαι αὐτήν, καὶ δίοδον ποιῆσαι, καὶ μηκέτι ἀπὸ ἔμπροσθεν μόνον ἐνεργεῖν τὴν κύκλωσιν, ἀλλὰ καὶ διὰ τοῦ μέσου διελθόντας ἀπὸ ὄπισθεν εὑρεθῆναι, καὶ οὕτω ποιῆσαι τὴν βλάβην. Τοῦτο δὲ δεῖ τὸν στρατηγὸν μὴ μόνον φυλάττεσθαι, ἵνα πάθῃ, ἀλλὰ καὶ ζητεῖν ὅπως τοιοῦτον ποιήσῃ κατὰ τῶν πολεμίων.

ρθʹ. Πάλιν δὲ μὴ οὕτως πυκνῶσαι τὴν παράταξιν εἰς πάχος, ὥστε εὐκόλως κυκλώσεις παθεῖν παρὰ τῶν πολεμίων, ἀλλὰ μᾶλλον καὶ τοὺς ἐκ πλαγίων καὶ τοὺς εἰς τὸ ὄπισθεν ἑστῶτας στρατιώτας κατὰ τὸ ἴσον ὁπλίσαι τῶν πρωτοστατῶν· οὗτοι γὰρ καὶ δύνανται τὰς κυκλώσεις μᾶλλον ἀπαντῆσαι τῶν πολεμίων.

A nobis, graves præstites ante collocandi a nobis sunt, qui scuta magna atque oblonga, quos thyreos vocant, ad universi corporis longitudinem tegendam gestent, qui vero ad tergus illorum stant, supra caput anteriorum scuta sua attollentes sic procedant, donec intra sagittarum telorumque jactum fuerint; sic enim tecti, atque ut ita loquar, incrustati, nihil mali ab hostium conjectis telis capient.

104. Si hinc atque illinc nobis levium subsidium fuerit, ii primi, antequam conflictatio fiat, sagittas et tela in hostes conjiciant, vel etiam post inceptam conflictationem ad latera hostium aciei invadentes, tela in eos immittant, ut simul, et ad latera perturbentur, et coram ex adverso labefactentur. B

105. Si aliqua munitio adfuerit, ea leves admodum juvabit; nam ad eam concurrentes, in hostes securius, atque audacius tela conjicient, ut si præcipitium aliquod, aut ripa fluvii, aut collis eminens, aut si quid hujus generis munitio fuerit.

106. Inter acies autem intervallum quoddam esse debet, ut si leves omnia tela emiserint priusquam conflictatio esse cœperit, et adhuc cominus hostes magis ac magis veniunt, cum ordinis quadam conservatione leves redeant, et mediam phalangem C pertranseuntes, secure sine offensione ad extremam aciei partem perveniant. Neque enim tutum est, ut circum se per extremas oras aciei obliquent, et sic eo deveniant, ut ne in medio ab hostibus intervenientibus perimantur, neque in arma gravium, densata jam contractaque acie, incidentes vulnerentur.

107. Alias acies armatas, atque instructas habeas, ut quando leves omnia tela conjecerint, tum alii apparati accedant, et loca illorum expleant.

108. Quando altitudo aciei, usu hoc interdum postulante, ad longitudinem ducitur et attenuatur, non eousque diducenda acies est, ut universa sine ulla altitudine imbecillis fiat, ne ab hostibus statim circumcludatur; facile enim continget in bello D circumdari hostibus, et transitum quoque per medium aperiri, neque anteriore solum ex parte circumveniri eos, sed etiam irruptione per medium facta, a tergo illos nostrarum copiarum inveniri, atque adeo magnum damnum hostibus nostris inferre. Hoc autem imperator diligenter laborabit, non modo ut devitet, sed etiam ut quærat tale aliquid adversus hostes moliri.

109. Neque vero sic aciem tuam in altitudinem denses, ut facile ab hostibus circumveniatur, sed milites ad latus, atque a tergo stantes, æque ac præstites armabis; ita enim poterunt hostium circumventioni magis obviam ire.

110. Solertis prudentisque imperatoris est, in ejusmodi locis, si id assequi possit, aciem instruere, in quibus neque circumcludi, neque ullam aliam offensionem belli accipere possint, quemadmodum a nobis supra commemoratum est. Multum enim belli tempore ad utilitates inveniendas prudentia imperatoria valet, quod divinæ clementiæ benignitatisque donum ego aio, et arbitror imperatoribus a Deo dilectis solere dari, ad virtutem suam amplificandam.

A ρι'. Σοφοῦ δὲ καὶ φρονίμου στρατηγοῦ, τὸ, εἰς τοιούτους τόπους, παρατάσσεσθαι, ἐὰν ἄρα καὶ ἐπιτύχῃ τοῦ σκοποῦ, ἐν οἷς οὔτε κυκλώσεις, οὔτε ἄλλο τι τοιοῦτον δύναται γίνεσθαι, ὡς ἀνωτέρω ἡμῖν δεδήλωται· πολλὰ γὰρ ἰσχύει φρόνησις στρατηγοῦ ἐν καιρῷ πολέμου ἐφευρίσκουσα τὰ συμφέροντα ὅπερ τῆς ἄνωθεν τοῦ Θεοῦ ῥοπῆς καὶ εὐμενείας δῶρον ἐγὼ καλῶ καὶ ἐπίσταμαι τοῖς ἀξίοις τοῦ Θεοῦ διὰ τὴν αὐτῶν ἀρετὴν παρεχόμενον.

111. Quidam olim tempore prælii hostibus jam meliores partes habentibus falsum quoddam, et facetum commentum animo architectabatur, exclamans hostium imperatorem interfectum esse. Quoniam vero tempus jam instans nequaquam celeriter urgiebatur omnibus quid facto opus esset excogitandi, hostes procul ab imperatore cum essent, et hoc verum existimarent, repente animo concidebant; milites autem præfecti sic exclamantis magis animati robur colligentes, quasi vera jam fama esset, alacriores reddebantur. Hoc rumore sic disperso, victor evasit, qui hunc rumorem injecerat. Itaque solertia opportunitate rerum capta, persæpe hostes omnes profligat.

ρια'. Καί ποτέ τις ἐν καιρῷ μάχης τῶν πολεμίων προτερευόντων ψεῦδος ἐφήμισε, βοήσας· Τέθνηκεν ὁ τῶν πολεμίων στρατηγός. Ταύτης δὲ τῆς φωνῆς δοθείσης, ἐπειδὴ ὁ καιρὸς ὀξὺς ὢν οὐκ ἐδίδου τάχος τὸ δέον πᾶσι νοεῖν, οἱ μὲν πολέμιοι πόῤῥω τοῦ ἰδίου B ὄντες στρατηγοῦ οἱ μὲν ἀπέγνωσαν, οἱ δὲ τοῦ φημίσαντος στρατηγοῦ θάρσος ἀναλαβόντες, ὡς ἀληθοῦς τῆς φήμης, εὐψυχότεροι ἠγωνίζοντο· καὶ οὕτω τῆς σεσοφισμένης φήμης κατισχυσάσης τὴν νίκην ὁ φημίσας ἤρατο. Οὕτως ἀγχίνοια ἐπικαίρως τῶν πραγμάτων ἐπιλαμβανομένη πολλάκις κατεστρατήγησε σοφισαμένη τοὺς ἀντιπάλους.

112. A recentioribus rei militaris peritis præceptum est, ut hostibus acies tua instructa minus splendida videatur, sed armorum fulgorem usque ad ipsum belli tempus occultet, propter pervagatam apud alios ea de re famam. Onosander autem in scriptis suis de re militari, contrarium potius præcipere videtur, ut omnino illustris splendidaque acies nostra hostium aciei videatur.

ριβ'. Εἴρηταί τε τοῖς νεωτέροις περὶ τοῦ μὴ λαμπρὰν φαίνεσθαι τοῖς πολεμίοις τὴν σὴν παράταξιν, ἀλλὰ κρύπτειν τῶν ὅπλων τὴν στίλψιν, ἕως αὐτῆς τῆς διὰ χειρῶν συμβολῆς, διὰ τὴν ἐπικρατοῦσαν τοῖς ἔθνεσι φήμην. Ὀνήσανδρος δὲ καὶ αὐτὸς στρατηγικὸν συντάξας λόγον οὐχ οὕτω λέγειν, δοκεῖν, ἀλλὰ μᾶλ- C λον λαμπρὰν κελεύει τὴν παράταξιν φαίνεσθαι πρὸς τὴν τῶν πολεμίων παράταξιν.

113. Ac mihi hic videtur ignorare, talem rumorem solere admodum diffundi, ea quæ ante prælium gerenda sunt omnia prætermittere, et ipso conflictationis tempore, quemadmodum recentioribus, et mihi quoque videtur, subito et confertim fulgorem armorum demonstrare; major enim perturbatio animorum invehitur, quando non eminus venientium armatorum fulgor aciem oculorum perstringit, et consuetum familiaremque aspectum habet, sed quandoque videbatur, et putabatur acies valde sordida esse, ea subito et de improviso splendida atque illustris apparet: hoc enim divini præsidii signum, atque omen hostes capient. Utile autem tibi fuerit, imperator, ipso belli die, aciem tuam non ante demonstrare, priusquam illorum copias intellexeris, quomodo et quali cum forma instruantur.

ριγ'. Ἐμοὶ δὲ δοκεῖ, ἢ ἀγνοεῖν ἐκεῖνον τότε την τοιαύτην φήμην ὡς νεωτέραν γενομένην, ἢ τὰ μὲν πρὸ τῆς συμβολῆς ἀφεῖναι, κατὰ αὐτὴν δὲ τὴν συμβολὴν, καὶ αὐτὸς σὺν τοῖς νεωτέροις καὶ ἡμῖν ὁμοίως παραγγέλλει λαμπρὰ τὰ ὅπλα δεικνύειν ἀθρόως. Κατάπληξις γὰρ μᾶλλον γίνεται, οὐχ ὅταν μακρόθεν ἐρχομένων λαμπρῶν τῶν ὁπλιτῶν ἡ θέα συνήθης γίνηται, ἀλλ' ὅταν ἡ δοκοῦσα καὶ φαινομένη στυγνὴ παράταξις ἀθρόον καὶ παρ' εὐθὺ ἀναδειχθῇ ἐξ ἀπροσδοκήτων λαμπρά· τοῦτο γὰρ μᾶλλον καὶ θείας βοηθείας σημεῖον τάχα ὑπονοήσουσι καθ' ἑαυτῶν οἱ πολέμιοι. Χρήσιμον δέ σοι, ὦ στρατηγὲ, καὶ τὸ μὴ D πρότερον τὴν σὴν παράταξιν δεικνύειν τοῖς πολεμίοις ἐν ἡμέρᾳ πολέμου, πρὶν ἂν τὴν ἐκείνων μάθῃς πῶς καὶ ὁποίῳ σχήματι παρετάξετο.

114. Aliorum in prælio dimicantium curam habebis, quemadmodum tibi ante explicuimus, potius quam tu ipse in periculum aut discrimen turbulentius incurras, ubi nulla necessitatis vis hoc a te postulat; imo vero omnino a manibus conserendis, et fortitudine tua demonstranda abstinebis. Neque enim ita exercitum adjuvabis prælians, ut lædes moriens, quod in manibus conserendis ab omnibus

ριδ'. Σὲ δὲ χρὴ κατὰ τὸν καιρὸν τῆς μάχης προνοεῖν μᾶλλον τῶν μαχομένων, καθὼς σοι καὶ πρόσθεν ὑπεθέμεθα, ἢ τολμηρότερον ἅλλεσθαι, καὶ ταῖς χερσὶ συμπλέκεσθαι, ὅταν μὴ ἀνάγκης ἐστὶ καιρός· μᾶλλον δὲ τὸ παντελῶς ἀπέχεσθαι διὰ χειρῶν τοῖς πολεμίοις συμπλέκεσθαι, καὶ ἂν ὑπέρβλητον ἀνδρείαν ἐπιδείξῃς. Οὐ τοσοῦτον γὰρ ὠφελήσεις τὸ στράτευμα μαχόμενος (15), ὅσον ἀποθανὼν βλάψεις

NOTÆ.

(15) *Τὸ στράτευμα μαχόμενος.* Scribebatur, τὸ στράζουμα χείμενος.

αὐτό· ὅπερ τοῖς συμπλεκομένοις οὐκ ἀπροσδόκητόν ἐστιν. Εἰ γὰρ διὰ φήμης μόνης ψευδοῦς ὡς ἀπὸ μικροῦ ἡμῖν εἴρηται, ὅτι πέπτωκεν ὁ στρατηγὸς, οἱ τοῦ ἔθνους αὐτοῦ ἀπώλοντο, πόσῳ μᾶλλον, εἰ τῇ ἀληθείᾳ γένηται, τοῦτο μεγάλη παρακολουθήσει βλάβη τῷ τοῦ πεσόντος ἀληθῶς στρατηγοῦ στρατεύματι.

ρις'. Μᾶλλον δὲ ἐν ἀσφαλείᾳ ὀξέως καὶ βλέπε καὶ πράττε τὰ δέοντα. Τότε γὰρ μᾶλλον θαυμάζεται στρατηγὸς, ὅταν κατὰ τὸ ὀξὺ τῆς ἀνάγκης τὰ πρέποντα διοικήσῃ, ὅτε ἐν ἀδείᾳ ὢν τὰ εἰκότα προβουλεύσεται.

ριζ'. Εἰ δὲ χρὴ τότε καὶ κατὰ τὴν αὐτὴν ὥραν λόγοις παραθαῤῥύνειν σε τοὺς στρατιώτας, καὶ ἐπαγγελίαις ταῖς ἀπὸ τῆς βασιλείας ἡμῶν τοῖς ἀριστεύουσιν ἀποκειμέναις, καὶ τὴν ἀπὸ Θεοῦ βοήθειαν παροῦσαν. Εἰ δέ τι πλεῖον, καὶ σημεῖα τινὰ ἐπινοεῖν, καὶ δεικνύειν, καὶ ὑποτίθεσθαι φανέντα καὶ τὴν ἡμετέραν σημαίνοντα νίκην, καὶ ἕτερά τινα ποιεῖν ἅπερ τὸ σύνταγμα οὐκ ἐπιδέχεται νῦν, ἐν δὲ ταῖς συνηγμέναις γνώμαις κατὰ τὸ τέλος τοῦ συντάγματος εὑρίσκων ἀναμάθοις, ὅσα σε δεῖ καὶ πρὸ τοῦ πολέμου καὶ ἐν τῷ πολέμῳ καὶ μετὰ τὸν πόλεμον ἢ λέγειν ἢ πράττειν. Καὶ διὰ τούτων καθυπέρτερον τῶν πολεμίων ἀναδείκνυσθαι. Τοιαῦτα καὶ περὶ τῶν ἐν αὐτῷ τῷ πολέμῳ πράξεων ὡς ἐν συντόμῳ ἡμῖν εἴρηται. Ταῦτα μὲν οὖν περὶ τῶν πολεμικῶν παρασκευῶν. Ὅσαι τε καβαλλαρικαὶ, καὶ ὅσαι πεζικαὶ, εἰρήσθω ἡμῖν ὡς ἐν συνόψει.

A exspectatur. Si enim solo rumore falso, quemadmodum ante admonuimus, interfecti imperatoris, universa natio hostium profligata est, quanto magis vera jam fama, ingens inferetur exercitui tuo, imperatore interfecto, clades.

115. In tuto igitur collocatus, vide et gere quæ facto opus sunt. Tunc enim maximo imperator in honore est, quando pro necessitatis celeritate idonee omnia administrat, et securus, quæ fieri possunt consilia anticipat.

116. Si quid opus sit, eo ipso tempore oratione milites animandi sunt, et præmiis, quæ strenue se gerentibus in regno nostro reposita sunt, excitandi. B Admonendi etiam sunt, Dei præsidium nobis adesse, harum rerum signa quædam etiam apparere, quæ nobis divinitus victoriam portenderent. Alia quoque permulta facies, quæ hic liber hoc loco non recipit ; in fine autem libri, ubi de diversis sententiis collectis agitur, invenies et cognosces quæ tibi ante bellum, in bello, post bellum, vel dicenda vel facienda sunt, ut superior hostibus esse possis. Atque hæc quidem a nobis, quam paucissimis potuimus de rebus in bello gerendis dicta sint. De bellico igitur apparatu tum equestri tum pedestri, satis plane et brevi explicavimus.

ΔΙΑΤΑΞΙΣ ΙΕ' (16).

Περὶ πολιορκίας πόλεων.

α'. Ἑξῆς δὲ καὶ περὶ πολιορκίας σοι χρεὼν διατάξασθαι, ὦ στρατηγὲ, ἅπερ ἔκ τε παλαιῶν καὶ νέων ἀνθολογήσαμεν, καὶ ὅσα δεῖ πράττειν ἢ πολιορκοῦντα πολεμίους, ὡς εἰκὸς, ἢ πολιορκούμενον ὑπ' αὐτῶν, ὡς ἂν καὶ τούτων μετρίαν πεῖραν ἔχοις, δι' ἧς δυνήσῃ προσεπινοῆσαι λαβόμενος ἀφορμῆς καὶ ὅσα μὴ ἐνταῦθα μὲν εἴρηται, δυνατὰ δὲ γενέσθαι, τῆς χρείας κατά τε καιροὺς καὶ τόπους διδασκούσης τὰ ἕκαστα.

β'. Πολιορκία τοίνυν στρατηγοῦ ἀνδρείαν ἐπιζητεῖ καὶ διάνοιαν ὀξεῖαν καὶ στρατηγικὴν καὶ ἔμφρονα, καὶ παρετοιμασίας μηχανημάτων, ἀσφάλειαν δὲ ἐν τῷ παρακαθῆσθαι ἢ πόλει ἢ φρουρίῳ ἢ ὀχυρώματι, καὶ μετὰ πολλῆς προσοχῆς ταύτην γίνεσθαι τὴν ἀσφάλειαν.

γ'. Χρὴ οὖν σε, ὦ στρατηγὲ, παρακαθεζόμενον τινὶ τῶν εἰρημένων ἐν ᾧ τόπῳ καθέζῃ φοσσάτον ὀχυρὸν ποιεῖν, ἤτοι ἢ τάφρον βαθεῖαν ἢ ἀπὸ κτισμάτων ἢ λίθων ἢ πλίνθων ἢ ξύλων ἢ ὡς ἐπινοήσεις περιφράσσειν σεαυτὸν ἀπὸ τῶν πολεμίων, καὶ βίγλας πολλὰς καὶ ἀκριβεῖς ἔχειν, καὶ μάλιστα εἰς τοὺς ἀνυπονοήτους τόπους, ἵνα μὴ πολιορκούμενοι. Ἢ οἱ ἔξωθεν ὄντες πολέμιοι ἄφνω ἐπερχόμενοι, ἢ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ κινδύνους τῷ στρατῷ προσάγουσιν. Ὅπερ γέγονε πολλάκις ἐπὶ τῶν πολιορκουμένων πόλεων.

C

CONSTITUTIO XV.

De obsidione.

1. Deinceps de obsidione, quæ ex antiquis recentioribusque rei militaris scriptoribus delibavimus, demonstrandum tibi est, quæ agenda tibi sunt, si vel hostes obsideas, vel ab illis obsessus fueris, ut istorum mediocrem peritiam habeas, qua effici abs te possit, ut, quæ hoc loco memorata non sunt, fieri tamen possunt, usu omnia tum locis, tum temporibus idoneis monstrante, horum non omnino rudis videaris.

2. Obsidio igitur fortem requirit animum celeritatemque mentis, et peritiam militarem, et machinationum multarum copiam præparatam, firmitatem in obsidenda civitate, castello, aut munitione, et D multa cum cautione ac diligentia firmitatem hanc pararі oportet.

3. Dum igitur aliquid ex prædictis obsides, fossatum munitum reddes, vel fossa alta, vel aliqua, exædificatione lapidum, laterum, aut lignorum, vel quemadmodum optime excogitare possis ad teipsum ab hostibus defendendum. Excubias multas diligentesque habeas iis in locis, ubi suspicio minima sit, ut ne obsessi cives, vel externi hostes subito irrumpentes vel noctu vel interdiu periculum exercitui inferant, quod ab obsessis civitatibus fieri solet Nam qui foris obsident, nesciunt quid cives intus

NOTÆ.

(16) In cod. Laur. est cap. 20 et sic inscribitur : Λέοντος ἐν Χριστῷ βασιλεῖ αἰωνίῳ βασιλέως Ῥωμαίων περὶ πολιορκίας πόλεων, πῶς δεῖ ταύτας πολιορκεῖν.

obsessi moliantur; ii autem e muro vident, quid alii contra eos suscipiant. Itaque exercitum tuum, quam tutissime potes, conservabis.

4. Bene feceris, si juxta portas aut portulas minutas civitatis, aut castelli, vel ad vias cæterarum munitionum milites collocaveris, qui repentinas hostium incursiones prohibeant. Noctu autem potissimum ejusmodi præsidia habeas; tum enim incursiones maxime fieri solent.

5. Quod si noctu hanc obsidionem adhibeas, terribilior eris iis qui intus obsidebuntur: neque enim cum tenebris omnia circumfunduntur, cernunt quid geratur, magisque animo perturbantur, viresque illorum elanguescunt; multaque et gravia noctu fieri credunt, quæ adeo ne tu ipse quidem excogitaveris. Quidquid enim noctu fit, quanquam leve sit, obsessis tamen terribilius videri solet, itaque celerius remittunt, et ad deditionem seipsos tradunt. Si enim poteris efficere ut unus atque alter murum conscendat, qui intus sunt putabunt universum exercitum in mœniis esse, atque adeo retrocedent, et destituta mœnia relinquent.

6. Iis in rebus alacritas et strenuitas imperatoria ostendenda est: hæc enim laboriosa obsidionis facta, suis manibus suscipienda gerendaque sunt. Exercitum enim pudor invadet, ut ne jam amplius quasi imperatus, sed sua voluntate, quasi amicus, ad res difficiles gravesque alacrius suscipiendas se ipse impellat.

7. Qui obsidionem inchoat, accurate considerabit num rerum necessariarum aditum illis intercludere possit, vel aquam, vel aliquid ejus generis: sin istis copiosius abundaverint, tum bellicæ machinationes admoveantur.

8. Perterrefacies admodum hostes, si optimos quosque milites et præfectos, ætate atque aspectu liberales, armisque fulgentes, ex aliquo loco prope murum aut munitionem, iis qui obsessi sunt transeundo demonstres: reliquos, qui magis plebei fuerint, cum cæteris impedimentis eminus locabis, ut ne hostes utrum homines, an jumenta fuerint plane internoscant: ita fiet, ut omnia, quæ vident, homines esse existiment, talesque quales cominus euntes armatos vident.

9. In primis enim utile est multos loricatos, et cataphractos videri esse obsessis, eosque qui galeas et cassides non habent, aliquo artificio efficere, ut loricati et cataphracti esse videantur, ut omnes, si tales esse putentur, magnum timorem obsessis apportent.

10. Castra eminus in longitudinem ponantur, ut

A Οἱ γὰρ ἔξωθεν οὐκ οἴδασι τί μελετῶσιν οἱ ἐντός· οἱ δὲ ἔσωθεν ἀπὸ τοῦ τείχους βλέπουσιν ὅτι ἂν καὶ πράττειν μέλλῃς κατὰ αὐτῶν. Διὸ πρέπον σοι τὸ ἴδιον ἀσφαλίζεσθαι στράτευμα.

δ'. Κρεῖττον δὲ ποιήσεις, ἐὰν καὶ παρὰ τὰς πόρτας, ἢ εἰς τὰ παραπόρτια τῆς πόλεως, ἢ κάστρου, ἢ τὰς διεξόδους ἑτέρου ὀχυρώματος παρακαθίσεις τινὰς στρατιώτας, οἵ τινες τὰς αἰφνιδίους καταδρομὰς τῶν πολεμίων ἀποκωλῦσαι δύνανται καὶ μάλιστα ἐν ταῖς νυξὶ, χρὴ σε τὴν τοιαύτην ἔχειν ἀσφάλειαν· τότε γὰρ μᾶλλον αἱ τοιαῦται καταδρομαὶ γίνονται.

ε'. Ἀλλὰ καὶ αὐτὸς ἐὰν ἐν νυκτὶ ἐπιβάλῃς τὴν πολιορκίαν, φοβερώτερος γενήσῃ τοῖς ἔσωθεν πολιορκουμένοις· οὐ γὰρ δύνανται ὁρᾷν τὰ γινόμενα

B διὰ τὸ σκότος, καὶ πλέον ταράσσονται, καὶ τὰ φρονήματα αὐτῶν ὑποχαλῶσιν, καὶ πολλὰ δεινὰ κατὰ τὴν νύκτα γίνεσθαι ὑπονοοῦσι κατ' αὐτῶν, ὅσα πολλάκις οὐδ' αὐτὸς ἐπινοεῖς. Πᾶν γὰρ τὸ ἐν νυκτὶ γινόμενον, κἂν μικρὸν ἐστι, φοβερώτερον γίνεται τοῖς πολιορκουμένοις· διὸ καὶ ταχύτερον ὑποχαλῶσι, καὶ τὴν ὑποταγὴν ἀσπάζονται. Εἰ γὰρ ἰσχύσεις ἕνα που ἢ δύο ἐπὶ τὸ τεῖχος ἀναβιβάσαι, νομίσουσιν οἱ ἐντὸς πᾶν στράτευμα ἐπὶ τὰ τείχη ἀναβῆναι, καὶ τραπήσονται, καὶ ἔρημα καταλείψουσι τὰ τείχη.

ς'. Ἐπὶ δὲ τῶν τοιούτων δεῖ τὴν εὐψυχίαν τοῦ στρατηγοῦ καὶ ἀνδρείαν φαίνεσθαι. Ἵνα καὶ αὐτὸς τῶν τοιούτων ἐπιπόνων τῆς πολιορκίας ἔργων ἅπτη-

C ται χερσὶν οἰκείαις. Μᾶλλον γὰρ ὁ στρατὸς ἐντραπήσεται· καὶ οὐκ ἔστι ὅπως ὡς ἐπιταττόμενοι, ἀλλ' ὡς ἐξ ἴσου φίλῳ συμπονοῦντες ἐπὶ τὰ δυσχερῆ τῶν ἔργων ἐπιδώσωσιν ἑαυτοὺς προθυμότερον.

ζ'. Χρεὼν δέ σε ἀνασκοπῆσαι ἀκριβῶς καὶ τῆς πολιορκίας ἀρχόμενον, πρῶτον μὲν ἐὰν δυνατόν ἐστι στενοχωρεῖν τοὺς ἐντὸς περὶ τῶν ἀναγκαίων εἴσοδον· τοῦτ' ἔστιν, ἢ περὶ τὸ ὕδωρ, ἢ περὶ τὴν τροφήν. Εἰ δὲ ταῦτα ἀφθόνως ἔχουσι, τότε μηχαναῖς κεχρῆσθαι πολεμικαῖς.

η'. Καταπλήξεις δὲ αὐτοὺς, ἐὰν τοὺς ἀρίστους τῶν στρατιωτῶν ἢ ἀρχόντων ἐπιλεξάμενος ἡλικίᾳ καὶ θεωρίᾳ τελείους, καὶ ὅπλοις ἀστράπτοντας, τούτους ἐκ τοῦ πλησίον τοῦ τείχους ἢ τοῦ ὀχυρώματος ἐκ παρόδου ὑποδείξῃς τοῖς πολιορκουμένοις. Τοὺς δὲ

D ὑποδεεστέρους (17) μετὰ τῆς ἀποσκευῆς (18) μηκόθεν ἐκτάξεις ἵνα μὴ δύνωνται οἱ πολέμιοι διακρίνειν αὐτοὺς, ἢ ἄνδρα ἢ ἄλογον· οὕτως γὰρ πάντας τοὺς φαινομένους ἄνδρας εἶναι νομίζουσι, καὶ τοιούτους οἵους εἶδον πλησίον ἐλθόντας.

θ'. Πάντως δὲ χρήσιμόν ἐστιν τὸ πολλοὺς λωρικάτους καὶ καταφράκτους φαίνεσθαι τοῖς πολιορκουμένοις, ἀλλὰ καὶ τοὺς μὴ ἔχοντας λωρίκια καὶ κασσίδας δι' ἐπιτηδεύσεως δεικνύειν ὡς λωρικάτους καὶ καταφράκτους ἵνα πάντες τοιοῦτοι φαινόμενοι δειλίαν ἐμποιῶσι τοῖς ἔσωθεν.

ι'. Καὶ τὰ ἄπληκτα δὲ ἀπὸ μήκοθεν ποίει, ἵνα

NOTÆ.

(17) Ὑποδεεστέρους. Antea, ὑπὸ δὲ ἑτέρους.

(18) Ἀποσκευῆς. Scribebatur, ἀπὸ σκυνῆς.

πάντα τὰ ὁρώμενα παρὰ τῶν ἐντὸς στρατιῶται φαί- A νωνται.

ια'. Αἱ πρότερον μὲν δηλοποιεῖν τοῖς ἐν τῇ πόλει ἢ τῷ φρουρίῳ, καὶ προβάλλεσθαι εἰς ἐπιζήτησιν τῆς διαλύσεως πράγματα εὐχερῆ, ἤτοι ἢ ἄλογα αὐτῶν, ἢ τινα ἅρματα, ἢ ἑτερά τινα τῶν ὑπαρχόντων αὐτοῖς πραγμάτων φορητά· ἵνα τῇ εὐχερείᾳ τῶν προτεινομένων καὶ τῇ ἐλπίδι τῆς σωτηρίας εἰς διχόνοιαν ἔλθωσιν, καὶ χαυνώτεροι γένωνται πρὸς ἀντικατάστασιν καὶ κινδύνους.

ιβ'. Τὸ γὰρ εὐθέως ἐκ προοιμίων σκληρὰ καὶ βαρεῖα προτείνειν οὐκ ἔμφρονος κρίνομεν στρατηγοῦ. Τῇ γὰρ δυσχερείᾳ καὶ τῷ βάρει τῶν προτεινομένων λόγων ἐλαφρότερον λογίζονται τὸν κίνδυνον οἱ πολιορκούμενοι, καὶ διὰ τοῦτο εἰς ἕνωσιν καὶ ἀπόνοιαν B ἔρχονται.

ιγ'. Πρὸ πάντων δὲ πρέπον ἐστὶ καὶ μάλιστα ἐν ταῖς μακραῖς πολιορκίαις ἐντρεπίζειν σε τὰ ἐπιτήδεια, ἵνα ἀστενοχωρήτως καθέζηται ὁ στρατὸς μηδενὸς λειπόμενος.

ιδ'. Ἀφορίσεις δὲ καὶ τοὺς ἀνθρώπους τοὺς ἐπὶ ἑκάστῃ χρείᾳ ἰδιαζόντως ἐργάζεσθαι καὶ κάμνειν τοῖς πόνοις ὀφείλοντας, καὶ διορίσαι τις ποίαν χρείαν ποιεῖν ὀφείλει.

ιε'. Ὅταν δὲ ἀπάρξῃ τοῦ προβάλλειν εἰς πολιορκίαν, οὐ χρή σε πάντα τὸν στρατὸν καθ' ἑκάστην ἡμέραν ἄγειν εἰς πόλεμον, ἵνα μὴ πάντες ὁμοῦ ἀποκάμωσιν· ἀλλ' εἰς μέρη διάφορα αὐτὸν διαμερίσῃς καὶ ἀφορίσῃς, πόσοι καὶ πόσας ὥρας τῆς ἡμέρας ὀφείλουσι κάμνειν, καὶ διακρίνῃς τίνες οἱ ἐν τῇ C νυκτὶ καὶ τίνες οἱ ἐν τῇ ἡμέρᾳ. Δεῖ γὰρ καὶ ἐν ταῖς ἡμέραις ὀχλεῖσθαι τοὺς πολιορκουμένους διὰ πολέμου ἐκ διαδοχῆς ἀλλήλων, καὶ ἐν ταῖς νυξὶν ὁμοίως διὰ φόβου, ἐπὶ τοῦτο ἀφοριζομένων τινῶν, καὶ τοιούτων διὰ νυκτὸς τοὺς φόβους οἵους καὶ ὅσους ἐπινοήσεις.

ις'. Εἰ δὲ στρατὸν ἔχεις πολὺν, ὥστε δύνασθαι καὶ ἐν νυκτὶ τῆς αὐτῆς ἔχεσθαι πολιορκίας, καλῶς ποιήσεις ἐὰν τοῦτον διέλῃς, εἰς ὅσα συνορᾷς μέρη. Καὶ οἱ μὲν αὐτῶν ἐπὶ ὥρας τῆς νυκτὸς ὡρισμένας κοιμῶνται, οἱ δὲ προσβάλλουσιν καὶ πάλιν οἱ καμόντες τῇ προσβολῇ ὑπνοῦσιν, καὶ οἱ πρώην ὑπνώσαντες πολιορκοῦσιν, καὶ τοῦτο ἐκ διαδοχῆς ἀλλήλων καὶ ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ ἀνενδότως ποιεῖς, ὥστε μὴ ἐᾶσαι κἂν μικρὰν ἄνεσιν τοὺς πολιορκουμένους λα- D βεῖν. Οὕτως γὰρ ἐκλυόμενοι ὑπό τε τῆς ἀγρυπνίας καὶ τῆς συνοχῆς τοῦ καμάτου εὐχερῶς διὰ τῶν προσβαλλομένων καὶ μηχανημάτων καὶ λογισμῶν ἢ ἑαυτοὺς ἐπιδώσωσιν ἐθελουσίως, ἢ καὶ ἄκοντες ἁλώσονται μικρὸν ἀμελήσαντες, διὰ τὸ ἀνένδοτον τῶν ἐπερχομένων αὐτοῖς κινδύνων.

ιζ'. Ἢ τὸ πολλάκις γινόμενον διὰ προδοτῶν μᾶλλον καὶ εὐχερέστερον αὐτοὺς παραλάβῃς ἀνυπονοήτου τόπου ἢ τρόπου σοι δ' αὐτῶν ὑποδειχθέντος.

ιη'. Ἐν δὲ ταῖς τοιαύταις ἐκ διαδοχῆς πολιορκίαις καὶ αὐτὸς, ὦ στρατηγὲ, ὀλίγον χρόνον ἀναπαύου καὶ σύντομον, ἵνα νήφῃς πρὸς τὰ ἁρμόζοντά σοι διατάγματα.

omnia, quæ videri possunt, ab iis militibus qui intus sunt cernantur.

11. Primo igitur iis qui in civitate aut in castello sunt significandum est, et ad inquisitionem quamdam deditionis proponendum aliquid clemens ac facile, ut cum jumentis, aut curribus, aut rebus utensilibus accep'is discedant, ut rei propositæ æquitate, et salutis spe animi illorum distrahantur, et ad resistendum periculaque obeunda omissiores sint.

12. Statim enim a principio dura et gravia proponere, minime prudentis imperatoris est. Nam molestia, et difficultate propositæ orationis minorem putabunt laborem, minusque periculum, obsideri; ac propterea una ac firma mente ad resistendum se præparent.

13. In longis obsidionibus ante omnia commeatum idoneum cæteraque necessaria parabis, ut nulla re defectus exercitus, sine ulla angustia, ac perturbatione obsideat.

14. Segregabis etiam ad omnem usum singulorum negotiorum homines ad ea elaboranda idoneos, assignabisque quis quodque opus suscepturus sit.

15. Ubi semel obsidionem tuam inchoaveris, universum exercitum quotidie ad bellum ne ducas, ut ne omnes fatigentur, sed in diversas partes exercitum divides, assignabisque, qui et quot horas die elaborabunt; describesque, qui noctu, et qui interdiu in laboribus erunt. Interdiu enim obsessi bello assiduo successione militum vexandi sunt, noctu autem similiter terroribus quibusdam sunt exagitandi, delectis quibusdam viris ad hoc institutis, quales et quot ad perterrefaciendos eos possis.

16. Si exercitum tam magnum habeas, ut noctu etiam in obsidione versari possis, bene feceris, si exercitum tuum in quot tibi commodum videbitur partes dividas, et alii quidem certum noctis tempus dormiant, alii invadant, et qui ante in labore obsidionis versabantur, requiescant; qui dormierunt, ad laborem obsidendi se præparent, ut alternis tum die, tum nocte sine ulla intermissione illos vexes, ut ne vel minimam quidem requietem obsessi capiant. Itaque nimiis vigiliis, laborumque molestiis pressi, facile adhibitis machinationibus, atque artificiis, vel voluntarie seipsos tradent, vel inviti capientur, si vel parum omissiores fuerint, propter imminentium periculorum assiduitatem.

17. Ac proditoribus, si qui sunt, in consilio adhibitis, melius, et facilius illos capies, si eos adoriaris ex inopinato aliquo loco, aut modo per proditores demonstrato.

18. In hujusmodi obsidionum vicissitudine, ipse quoque, imperator, paululum et exigue requiescas, ut ad idoneos labores administrationesque tuas vigiles.

19. Si exercitum tuum fortem adhuc, et strenuum in plures partes diviseris, et unamquamque partem præparaveris, ut scalas ad muros adhibeant, optime feceris; undique enim cum irruptio in obsessos fiat, in magnam anxietatem animorumque perturbationem conjiciuntur, tumque potissimum cum præter scalas alias quoque machinationes adhibueris, ut arietes, testudines, turres, et si quod præterea obsidionale instrumentum fuerit : si enim simul machinationes adjunxeris, et scalas quoque ad muros adduxeris, omni ex parte, qui intus obsessi sunt sollicitabuntur; si enim reliquorum murorum partes negligant, et adversus machinationes se totos conferant, qui scalas adhibent, nemine violenter impediente, facile murum conscendent : sin ad scalas machinationesque impediendas se diviserint, tum qui obsidionalia instrumenta adhibent, impetuosiores, et vehementiores insultus facient, neque obsessi poterunt utrumque impetum facile declinare.

20. Quæ firmissima sæpe videntur loca, et ad capiendum difficillima, magna sæpe, ut capiantur subsidia afferent. Nam qui obsessi sunt, propter opinionem quamdam firmitatis ac stabilitatis, hujusmodi loca sine ulla custodia relinquunt. Tu vero solertia tua, laboriosaque industria hujusmodi loca animadvertens, machinationem et artificium facile invenies ad hujusmodi loca neglecta capienda, vel scalis quibusdam, vel aliqua violenta ascensione, audacibus viris eo pervenientibus, et munerum promissione ad id faciendum protractis. Ubi enim de improviso cernunt talia loca occupata esse, animos jam dimittent, et armis abjectis, vel salutem petent, vel protinus perimentur. Qui enim per has difficultates locorum murum conscenderunt, vel tuba canent, et terrorem maximum obsessis hoc videntibus afferent, vel postquam ingressi sunt descendent, portasque militibus, qui foris sunt aperient, vel aliis quibusdam molitionibus, ut civitas, aut castellum capiatur efficient.

21. Si civitas, aut castellum, magnum numerum virorum habuerit, audeantque illi iis qui ingressi sunt obviam ire, et occurrere, altiora atque editiora loca conscendant, vel arcem ipsam civitatis occupent, indeque propugnantes, hos qui ingressi sunt iterum repellant.

22. Proclamabunt statim, ut nemo quemquam arma non habentem interficiat, sed solos eos qui arma gestant. Hanc autem rem illorum lingua proclamabis : hoc enim audito, unusquisque saluti suæ consulens, in ipso terroris, periculique puncto arma abjicient. Horum resistentium numerus cum minuitur, obsessores omnino victores erunt : obsessi autem ad hunc modum intercepti, ubi parvam salutis spem reliquam habeant, supplices obsessorum confestim fiunt.

23. Si diuturna fuerit obsidio, et quosdam extra civitatem ceperis florentes ætate juvenes, apud te,

A ιθ'. Ἐὰν δὲ ἀνδρειότερον διακείμενος κελεύσῃς διαμερισθῆναι εἰς πολλὰ μέρη τὸν στρατὸν, καὶ ἕκαστον μέρος προσφέρειν σκάλας εἰς τὸ τεῖχος, κρεῖττον ποιήσεις· ἐν κύκλῳ γὰρ γινομένης τῆς προσβολῆς ὁμοῦ εἰς ἀμηχανίαν καὶ ὀλιγωρίαν οἱ πολιορκούμενοι ἐμπεσοῦνται. Μάλιστα ὅταν μετὰ τῶν σκαλῶν καὶ τὰ ἕτερα μηχανήματα προσβάλλῃς, οἷον κριοὺς, ἢ χελώνας, ἢ πύργους, ἢ ἕτερόν τι πολιορκητικὸν ὄργανον. Ἐὰν γὰρ ὁμοῦ καὶ τὰ μηχανήματα προσφέρῃς, καὶ τὰς σκάλας εἰς τεῖχος ἐπιστήσῃς, διὰ πολλῶν μερῶν συνταραχθήσονται οἱ ἐντός. Εἴτε γὰρ ἀμελήσαντες τῶν ἄλλων μερῶν τοῦ τείχους εἰς τὰς προσβαλλομένας μηχανὰς ἀντιμάχονται πάντως, οἱ τὰς σκάλας προσφέροντες μηδενὸς ἀποκωλύοντος βιαίως εὐκόλως ἐπὶ τὸ τεῖχος ἀναβήσονται· κἂν τε B διαμερίζωσιν ἑαυτοὺς κατὰ τῶν προσφερόντων τὰς σκάλας, τότε οἱ τὰς μηχανὰς προσάγοντες τῶν ὀργάνων σφοδροτέρας αὐτοῖς ποιήσωσι τὰς ἐπιθέσεις καὶ οὐ δυνήσονται τὰ ἐπιφερόμενα κακὰ διὰ τῶν ἀμφοτέρων τῶν προσβολῶν ἀποκρούσασθαι.

κ'. Πολλάκις δὲ ἐπὶ τῆς πολιορκίας οἱ νομιζόμενοι ὀχυρώτατοι καὶ ἀνεπινόητοι πρὸς ἅλωσιν τόποι μᾶλλον ἀφορμάς σοι παρέξουσιν ἁλώσεως· οἱ γὰρ ἐντὸς διὰ τὴν δοκοῦσαν ὀχυρότητα τοὺς τοιούτους τόπους ἀφυλάκτους καταλιμπάνουσιν. Σὺ δὲ, διὰ τῆς σῆς ἐπινοίας καὶ τῆς ἐπιπόνου ἐργασίας τοὺς τοιούτους κατανοῶν, τάχα μηχανὴν εὑρήσεις καταλαβεῖν αὐτοὺς ἀφυλάκτους ὄντας, ἢ διὰ σκαλῶν ἀναβαινόντων, ἢ διά τινος βιαίας ἀναβάσεως εὐτόλμων ἀνδρῶν ἐπαγ- C γελίας λαβόντων δωρεῶν καὶ τιμῶν. Ἐντεῦθεν γὰρ ἐκ τοῦ ἀπροσδοκήτου θεωρήσαντες οἱ ἐντὸς τοὺς τοιούτους τόπους καταληφθέντας ἀποπαύσονται, καὶ ὅπλα ῥίψαντες, ἢ αἰτήσουσι τὴν σωτηρίαν, ἢ κατὰ κράτος διαφθαρήσονται. Οἱ γὰρ ἀναβάντες εἰς τὸ τεῖχος διὰ τῆς δυσχερείας ἐκείνης ἢ σαλπίσουσι, καὶ φόβον ἐμποιήσουσι μέγιστον ὁραθέντες, ἢ διαδραμοῦνται κατὰ τὸ εἰσελθεῖν, καὶ τὰς πόρτας ἀνοίξουσιν εἰ τύχοι τοῖς ἔξω στρατιώταις, ἢ διά τινων ἑτέρων ἐπινοιῶν τὴν ἅλωσιν τῆς πόλεως ἢ τοῦ κάστρου διαθήσουσιν.

κα'. Εἰ δὲ τὸ κάστρον ἢ ἡ πόλις πλῆθος ἔχει λαοῦ, καὶ δύναμιν, καὶ τολμῶσιν ὑπαντιάζοντες ἀμύνασθαι τοὺς εἰσελθόντας, δεῖ αὐτοὺς τοὺς ὑψηλοτέρους τό- D πους καταλαβεῖν, ἢ τὰ ἄκρα τῆς πόλεως, καὶ ἐκεῖθεν πολεμοῦντας κακῶσαι τοὺς ἐν τῇ πόλει ἁλόντας.

κβ'. Κηρύξουσι δὲ τότε, ἵνα μηδεὶς κτείνῃ τὸν μὴ ἔχοντα ὅπλον, μόνους δὲ κτείνειν τοὺς τὰ ὅπλα φέροντας. Ταύτην δὲ τὴν φωνὴν κηρύττεσθαι τῇ τῶν πολιτῶν διαλέκτῳ· ἕκαστος γὰρ ἀκούσας, καὶ τῆς ἰδίας προνοούμενος σωτηρίας, ἐν τῇ ἀκμῇ τοῦ φόβου ἀποῤῥίψει τὰ ὅπλα, καὶ ἀντιπολεμούντων ὀλιγουμένων κατὰ κράτος οἱ πολιορκοῦντες νικήσουσιν. Οἱ γὰρ πολιορκούμενοι, καὶ οὕτως ἁλισκόμενοι, ὅταν μικρὰν ἐλπίδα τῆς σωτηρίας λάβωσιν, οἰκέται λοιπὸν ἀντὶ πολεμίων γίνονται.

κγ'. Εἰ δὲ χρόνιος γένηται ἡ πολιορκία καὶ συμβῇ συλλαβεῖν σέ τινας ἔξω τῆς πόλεως, τοὺς μὲν ἀκμά-

ζοντας ταῖς ἡλικίαις νεωτέρους ὡς ἂν βούλῃ κάτεχε. A Γύναια δὲ καὶ παιδάρια καὶ γέροντας καὶ ἀσθενεῖς ἀνθρώπους ἀπόπεμπε πρὸς τὴν πόλιν αὐτῶν. Οὕτως γὰρ ἡ ἄχρηστος ἡλικία καὶ τὰς τροφὰς δαπανήσει, καὶ τοὺς πολιορκουμένους οὐδὲν ὠφελήσει, μᾶλλον δὲ καὶ βλάψει. Ἔτι δὲ καὶ φιλανθρωπίας ὑπόνοιαν δώσεις τοῖς ἐντὸς, ὥστε διαιρεθῆναι τὰ φρονήματα αὐτῶν, καὶ ἀφορμὴν γενέσθαι ἐντεῦθεν τῆς πρὸς σὲ ὑποταγῆς αὐτῶν.

κδ'. Ἐπειδὴ δὲ εἴωθεν καὶ θόρυβος γίνεσθαι ἐν ταῖς πολιορκίαις ὑπὸ τῆς κραυγῆς τῶν ἀνθρώπων, ἢ ὑπὸ τοῦ ἤχου τῶν σκουταρίων, ἵνα μὴ βαροῦνται καὶ ἐνοχλοῦνται οἱ τοῦ στρατοῦ πάντες ὁμοῦ, δέον σε ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου ποιεῖν αὐτοὺς ἀπληκτεύειν τοῦ ὀχυρώματος, ὁπόθεν οὐκ ἐξακούεται ὁ ἦχος τῶν θορυβούντων τοὺς πολιορκουμένους. B

κε'. Μὴ ἐπικινδύνως δὲ καὶ ἀσκόπως προστάσσῃς ποιεῖσθαι τὰς προσβολὰς, ἵνα μὴ τινων διαπιπτόντων καὶ οἱ τοῦ στρατοῦ δειλιάσωσιν, καὶ οἱ πολιορκούμενοι προθυμότεροι γένωνται (τοῦτο γὰρ πολλάκις ἀνέγνωμεν γενόμενον), καὶ ὁ κρείττων τῶν ἄλλων στρατιώτης ὑπὸ γυναικὸς οὕτω τύχοι καὶ ἀσθενοῦς ἢ διὰ λίθου βληθέντος ἢ κεράμου ἢ διὰ ξύλου κατενεχθέντος πληγεὶς ἀπώλετο.

κς'. Ἐὰν δὲ μικρὰ ὀχυρώματα παρακαθίσοι, καὶ ἐπιζήμιον, ἢ ἐπικίνδυνον νομίζῃς τὴν προσβολὴν, καὶ οἶδας ὅτι οὔτε τῶν ἐπιτηδείων λείπονται, σπούδαζε διὰ θορύβων αὐτοῖς καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐνοχλεῖν· ἵνα τῇ ὀχλήσει ἀποκάμωσιν ὀλίγοι ὄντες πρὸς πλῆθος κατὰ διαδοχὴν ἀνενδότως αὐτοῖς προσβάλλοντος. C

κζ'. Εἰ δὲ καὶ οἱ οἶκοί εἰσιν ἐν τῷ φρουρίῳ ἐπιτήδειοι πρὸς τὸ καῆναι διὰ πυρφόρων σαγιττῶν συνεχῶν διὰ πολλῶν τόπων ἀνέμου μάλιστα σφοδροῦ κινουμένου, πέμπε καὶ ἐμπύριζε, ὕλην πυρὸς προσδεσμῶν τῇ σαγίττῃ διὰ τῶν πετροβόλων μαγγανικῶν τῶν λεγομένων ἀλακατίων, ἢ τετραρέων τῶν πετρῶν πυρὸς πεπληρωμένων δι' ὕλης, καὶ βαλλομένων κατὰ τῶν εὐεμπρήστων οἴκων· καὶ ἐν ὅσῳ εἰς τὴν τοῦ πυρὸς ἀσχολοῦνται σβέσιν σκάλας εἰς τοὺς ἐπιδεχομένους τόπους ἵστα καὶ δι' αὐτῶν ἀσφαλῶς ἐπιβαίνειν κέλευε.

κη'. Εἰσὶ δὲ ὡς ἐπίπαν ἐν ταῖς πολιορκίαις εἴδη μηχανημάτων πολιορκητικὰ διάφορα, ὅσα οἵ τε παλαιοὶ στρατηγοὶ καὶ οἱ μικρῷ πρὸ ἡμῶν ἐπενόησαν D κατὰ δύναμιν ἕκαστος, καὶ τὴν καλοῦσαν τοῦ καιροῦ καὶ τοῦ τόπου χρείαν. Οὐ γὰρ νῦν ἔστι λέγειν διὰ ποίων ὀργάνων πολιορκήσεις, ἀλλὰ τοῦ καιροῦ ἡ χρεία διδάξει σε ἕκαστα.

κθ'. Καὶ γὰρ εἰσὶ καὶ οἱ λεγόμενοι κριοὶ δι' ὧν τὰ τείχη κρουόμενα συντρίβεται.

λ'. Εἰσὶ δὲ καὶ πύργοι ἀπὸ ξύλων συγκείμενοι, καὶ διὰ βυρσῶν ἢ ἑτέρας ὕλης ἐπισκεπόμενοι, ὥστε διὰ πυρὸς μὴ φθείρεσθαι· οἵτινες καὶ διὰ τροχῶν τοῖς τείχεσι προσφερόμενοι ἀπὸ ὕψους μάχονται τοῖς ἐν τῷ τείχει.

λα'. Καὶ χελῶναι δὲ προσφερόμεναι τῷ τείχει, καὶ τὰ θεμέλια ἐξορύσσουσαι.

λβ'. Καὶ σκάλαι σύνθετοι ἢ ἐπιτεθεῖσαι τῷ τείχει,

quemadmodum commodissimum videbitur, retine. Feminas autem, pueros, senes et infirmos homines ad civitatem iterum remittes. Ita fiet, ut inutilis hæc ætas, et alimenta civitatis absumat, et obsessos nihil adjuvet, imo potius lædet, et opinionem humanitatis animis eorum, qui obsidentur, afferes, ut mentes eorum, et sententiæ distrahantur, et occasionem aliquam deditionis facilius quærant.

24. Quemadmodum in omnibus obsidionibus ingens solet esse tumultus tum vociferantium hominum, tum personantium scutorum, ut ne hac re exercitus tuus perturbetur, uno aut altero milliari ab eo loco castra tuorum ponantur, quo hic sonitus tumultuantium exaudiri non possit.

25. Ne periculose et inconsiderate irruptiones ullas fieri permittas, ne si aliqui ex tuis occidant, exercitus tuus fracto magis animo sit, et obsessi multo alacriores sint, quod persæpe usu venire videmus: frequenter enim strenuus miles a muliere fortuita, atque imbelli, aut lapide aliquo conjecto, aut testa immissa, aut ligno aliquo delato percussus interimitur.

26. Si parva quædam castella obsideas, et damnosam periculosamque invasionem putes esse, et intelligis commeatu eos non egere, contende, ut illos dies noctesque turbes, ut hac perturbatione, qui obsessi pauci sunt perpetuo fatigentur, universo exercitu nostro adversum illos sine ulla intermissione alternis, et vicissim dimicante.

27. Si ædes in castello ad comburendum idoneæ fuerint, sagittis igniferis per multa et varia loca sparsis, idque potissimum vento ingenti aliquo flante, incendes. Saxa etiam quadrata igne plena, et manganica alacatia, quæ saxa emittunt, atque ejiciant adhibebis, et in ædes, quæ facile incendium recipiunt conjicies, et dum illi in exstinguendo igne occupati sint, scalas tu interea admove et milites jubeto eas audacter conscendere.

28. Sunt autem in obsidionibus diversa instrumenta obsidionalia, quæ tum antiquiores, tum recentiores paulo ante nos excogitarunt, pro loci temporisque opportunitate. Neque enim nunc tempus est commemorare, quibus machinationibus obsidebis, sed temporis commoditas singula te docebit.

29. Sunt enim arietes, quibus admotis mœnia rumpuntur.

30. Sunt et turres ligneæ, pellibus aliaque materia tectæ, ut igne minime deflagrent, quæ et rotis adductæ ad muros, homines ex alto cum iis, qui in muro sunt pugnantes habeant.

31. Testudines quoque ad murum adjunctæ fundamenta ejus evertunt.

32. Scalæ quoque junctæ, vel ad murum addu-

ctæ, vel erectis trabibus impositæ, et rotis cominus applicatæ.

33. Cuniculi foris a muro longe absint : intus autem per fundamenta murorum ingressi, et terram etiam intra civitatem perforent, si inæquali loco sita ea sit.

34. Atque ut paucis dicam : aliæ sunt machinationes, quæ aliis in historiis, imo vero in libris militaribus potius invenies, quemadmodum teguntur, quemadmodum adducuntur, et ad quæ loca obsessorum adhibentur.

35. Istarum machinationum apparatus, et præparationes non solum abs te fiant, sed etiam manganariorum, et idoneorum hominum solertiis, ut et tu quas potes machinationes omnes excogites, et illi artificio suo et experientiæ suæ felicitate tibi opem ferant.

36. Eos qui proditores dicuntur vel civitatis, vel alicujus firmæ munitionis, vel viæ, quæ in hostilem terram fert, accipito benigne, et fidem cum illis, promissaque servato, si veri erga te fuerint, non sui causa, sed aliorum, quos ad te hoc modo invitare possis. Nam, qui proditori aliquid tribuit, plus ab eo accipit, potius quam dat. Neque enim judex civitatis es, cui injuria a proditore inferatur, sed imperator ; multis modis ad tuos conservandos, et hostes superandos laborare debes. Inscitum est enim videri nolle in malos homines tali de causa beneficium conferre. Omnia enim opportuna bona sunt. Proditor autem quamvis erga hostes tuos malus sit, tamen erga te populumque tuum bonus esse deprehenditur.

37. Si civitas Deo jam propitio tibi subjecta fuerit, aut munitio, aut castellum, vel propter timorem obsidionis, vel alia quavis de causa, mitis ac benignus erga illos sis, neque stipendiis illos opprimas, neque crudeliter miniteris, aut aliquo supplicio perterrefacias, neque injuriis ullis vexes, sed bonus potius, benignusque erga illos sis, ut cæteri mansuetudine tua provocati voluntarie se tibi subjiciant, nullum malum, aut incommodum abs te proficisci putantes, quod non sustinere et perferre commode possint.

38. Hoc enim Nicephorum imperatorem fecisse novimus, cum adversus Longobardorum nationem mitteretur, ut eam in potestatem nostram redigeret. Non solum enim rebus bellicis apte instructis, ea natio subjecta nobis fuit, verum etiam solerti quadam justitia, ac comitate adversus omnes usurpata, et libertate illis omnis servitutis, et reliquorum tributorum condonata.

39. Non enim lucri causa regnum (19) nostrum

A ἢ ἐν ὀρθοῖς ξύλοις ἐπικείμεναι, καὶ διὰ τροχῶν προσφερόμεναι.

λγ'. Καὶ ὀρύγματα ἔξω μὲν τοῦ τείχους κατὰ γῆν ἀπαρχόμενα, ἐντὸς δὲ διὰ τῶν θεμελίων εἰσερχόμενα, καὶ ἀνατρυποῦντα τὴν γῆν ἔσωθεν τῆς πόλεως, εἴγε ἐν ἐπιπέδῳ τόπῳ τύχῃ καὶ μένῃ.

λδ'. Καὶ ἁπλῶς εἰπεῖν ἕτεραι μηχαναὶ ὀργάνων, ἅπερ ἔν τε ταῖς ἄλλαις ἱστορίαις, μᾶλλον δὲ ἐν τῷ πλάτει τῶν στρατηγικῶν, ἐρευνῶν εὑρήσεις, καὶ ὅπως κατασκευάζονται, καὶ ὅπως προσάγονται, καὶ ἐν ὁποίοις τόποις τῶν πολιορκουμένων.

λε'. Τούτων δὲ τῶν μηχανημάτων αἱ παρασκευαὶ καὶ αἱ ἑτοιμασίαι οὐ μόνον παρὰ σοῦ δύνανταί γίνεσθαι, ἀλλὰ καὶ δι' ἐπινοίας τῶν συνόντων σοι μαγγαναρίων καὶ ἐπιτηδείων ἀνδρῶν πρὸς τὰς τοιαύτας B κατασκευάς· ἵνα καὶ αὐτὸς ἐπινοῇς τὰ δυνατὰ καὶ ἐνδεχόμενα μηχανήματα, κἀκεῖνοι τοῖς διὰ χειρῶν ἔργοις καὶ ταῖς διὰ τῆς πείρας ἐπινοίαις συμβοηθήσωσίν σοι.

λς'. Τοὺς δὲ προδότας λεγομένους ἢ πόλεως, ἢ ἄλλου τινὸς ὀχυρώματος ἢ ὁδοῦ τῆς εἰς πολεμίαν εἰσόδου, καὶ ὑποδέχου εὐμενῶς, καὶ τὰς πίστεις πρὸς αὐτοὺς καὶ τὰς ἐπαγγελίας φύλαττε, ἐὰν καὶ αὐτοὶ ἀληθεύωσιν· οὐχὶ δι' αὐτούς, ἀλλὰ διὰ τοὺς μέλλοντας καὶ πάλιν σοι τοιαύτας προξενεῖν χάριτας. Ὁ γὰρ διδούς τι τῷ προδότῃ μᾶλλον λαμβάνει παρ αὐτοῦ πλέον παρ' ὃ ἐκείνῳ χαρίζεται. Οὐ γὰρ κριτὴς τῆς παρὰ τοῦ προδότου ἀδικηθείσης πόλεως ἢ τοῦ ἐχθροῦ ὑπάρχεις, ἀλλὰ στρατηγὸς, καὶ διὰ πολλῶν C τρόπων ὑπὲρ τοῦ σοῦ λαοῦ λυπεῖν καὶ διαφθείρειν τοὺς πολεμίους σπουδάζων. Τὸ γὰρ δοκεῖν τοὺς κακοὺς μὴ εὐεργετεῖν ἐνταῦθα ἀπειρόκαλόν μοι φαίνεται· πάντα γὰρ καλὰ ἐν καιρῷ αὐτῶν. Ὁ γὰρ προδότης, εἰ καὶ πρὸς τοὺς σοὺς πολεμίους κακὸς γέγονεν, ἀλλ' οὖν πρὸς σὲ καὶ τὸν ὅλον σὸν λαὸν ἀγαθὸς ἀπεδείχθη.

λζ'. Ἐὰν δὲ Θεοῦ παρέχοντος τὴν χάριν ὑποταγῇ σοι ἢ πόλις, ἢ φρούριον, ἤτοι κάστρον, ἢ διὰ φόβον πολιορκίας, ἢ δι' ἄλλην τινὰ αἰτίαν, πράως καὶ εὐμενῶς διατέθητι πρὸς αὐτούς. Καὶ μήτε φόροις αὐτοὺς καταβαρήσῃς, μήτε ἀπηνῶς ἐκφοβήσῃς ἢ ἀπειλήσῃς διά τινος τιμωρίας, μήτε ἀδικίαις λυπήσῃς. Ἀλλὰ μᾶλλον ἀγαθὸς καὶ ἐπιεικὴς αὐτοῖς γίνου, ἵνα καὶ οἱ λοιποὶ ὁρῶντες τὴν σὴν χρηστότητα D εἰς τοὺς ὑποταγέντας σοι, μετὰ προθυμίας προσέρχωνταί σοι, μηδὲν κακὸν ὅπερ ὑπενεγκεῖν οὐ δύνανται παρὰ σοῦ παθεῖν ἐλπίζοντες

λη'. Τοῦτο γὰρ ἴσμεν καὶ Νικηφόρον τὸν ἡμέτερον στρατηγὸν πρὸς τὸ Λαγοβάρδων ἔθνος πεποιηκότα, ὅτε παρὰ τῆς βασιλείας ἡμῶν εἰς τὸ ὑποτάξαι αὐτοὺς ἐξαπεστάλη. Οὐ μόνον γὰρ διὰ πολέμων ἀκριβῶς ἐκτεταγμένων τὸ τοιοῦτον ὑπήγαγε τὸ ἔθνος, ἀλλὰ καὶ ἀγχινοίᾳ χρησάμενος καὶ δικαιοσύνῃ καὶ χρηστότητι, ἐπιεικῶς τε τοῖς προσερχομένοις προσφερόμενος, καὶ τὴν ἐλευθερίαν αὐτοῖς πάσης τε δουλείας καὶ τῶν ἄλλων φορολογιῶν χαριζόμενος.

λθ'. Οὐ γὰρ κέρδους ἕνεκεν ἡ βασιλεία ἡμῶν τὴν

NOTÆ.

(19) Melius his locis *majestas nostra* verteretur.

ὑποταγὴν τῶν ἀντικαθισταμένων ἐπιζητεῖ, ἀλλὰ δόξης μὲν ἰδίας καὶ τιμῆς, σωτηρίας δὲ καὶ εὐεργεσίας σὺν ἐλευθερίᾳ τῶν ὑπηκόων αὐτῆς.

μ'. Οὕτως οὖν εὐμενῶς τοῖς προσερχομένοις σοι καὶ ὑποτασσομένοις διακείμενος, δι' αὐτῶν καὶ τοὺς μήπω προσελθόντας οἰκειώσῃ. Η γὰρ τεθηριωμένη καὶ ἀπηνὴς καὶ τοὺς ὑπο[τε]ταγμένους εἰς μετάμελον φέρει, καὶ τοὺς μήπω ὑποταγέντας ἀναστέλλει καὶ μᾶλλον προθυμοτέρους ποιεῖ κινδυνεύειν ὑπὲρ τῆς οἰκείας σωτηρίας, ἢ ὑπὸ χεῖρας τοιούτου στρατηγοῦ ἀπηνοῦς ἐμπίπτειν, καὶ ταλαιπωρήσεις πολιορκῶν ἴσως καὶ μηδὲν ἀνύων. Εἰ δὲ ἀγαθόν σε μάθωσιν ὄντα, ταχέως ἐνδώσουσι τῇ ὑποταγῇ.

μα'. Τῆς γὰρ βασιλείας ἡμῶν τὸ εὐμενὲς καὶ χρηστὸν, καὶ εἰρηνικὸν ἀγαπώσης πρὸς τοὺς ὑπηκόους B ὁπηνίκα διὰ σοῦ πρὸς ἡμᾶς προσχωρῆσαι βουληθῇ ἢ πόλις, ἢ φρούριον, ἢ ἔθνος, τοῖς τῆς ἡμετέρας εὐμενείας σπλάγχνοις σε δεῖ ἀφορᾷν, καὶ τὰς ἡμῶν εὐμενείας καὶ σωτηρίους κελεύσεις περὶ αὐτῶν δέχεσθαι καὶ κρατεῖν.

μβ'. Οὐκ ἄνευ δὲ σκοποῦ νομίζω καὶ τοῦτο ὥστε γινώσκειν σε ἀκριβῶς ὥσπερ τὰς ἡμερινὰς ὥρας, οὕτως καὶ τὰς νυκτερινὰς, διὰ τῆς τῶν φαινομένων ἀστέρων καὶ τῆς σελήνης κινήσεων, ἵνα ἐν καιρῷ ὑποσχέσεως ὥρας ἢ παρὰ προδότου προτεινομένης, ἢ παρὰ σοῦ αὐτοῦ ἐπινοουμένης, ἢ ἐν πολιορκίᾳ, ἢ ἐν ὁδοιπορίᾳ ἀσφαλὴς περὶ τὸ σύνθημα τοῦ καιροῦ ἢ τὸν ὁρισμὸν ὑπάρχῃς. Τὸ γὰρ ταχύτερον ἢ βραδύτερον πολλάκις φθάνειν τῆς συνταγῆς ἢ τοῦ ὁρισμοῦ C ἄπρακτον ἐποίησε τὸ προκείμενον ἔργον.

μγ'. Ἐξερχόμενος δὲ κατὰ τῆς πολιορκίας, εἴτε διὰ προδότου εἴτε ἄλλως πως, ὅσους κατὰ τὴν ὁδὸν ὑπαντήσεις, συλλάμβανε πάντας διά τινων καβαλλαρίων προαποστελλομένων ἐπ' αὐτῷ τούτῳ· ἢ διὰ τῶν μετὰ σοῦ στρατιωτῶν, ἵνα μὴ δι' αὐτῶν ἐπέλευσίς σου μηνυθῇ· τὰ γὰρ τοιαῦτα κατὰ τῶν πολεμίων ἔργα αἰφνιδίως χρὴ γίνεσθαι καὶ ἀνυπονοήτως.

μδ'. Ὅταν γὰρ ἀπροσδοκήτως ἐπέλθῃ κατὰ ἐχθρῶν στράτευμα, κἂν ὀλιγώτερόν ἐστι τῶν πολεμίων, διὰ τὴν ἀνυφόρατον ἐπιδρομὴν ἐκπλήττει τοὺς ἐναντίους, κἂν καὶ κρείττονές εἰσιν ἐκεῖνοι· καὶ ἐκ τούτου διὰ πολλῶν ἐκφοβῶν αὐτοὺς δύνασαι μᾶλλον πρὸ τοῦ θαῤῥῆσαι αὐτοὺς οἰκειώσασθαι εἰς τὸ σὸν βούλημα. D

με'. Οὕτως οὖν ἐπειδὰν ἢ πόλιν, ἢ κάστρον, ἢ ἄλλο τι ὀχύρωμα παραλάβῃς, καὶ λάβῃ πέρας ὁ πόλεμος, μὴ γενήσῃ βαρὺς διὰ τὴν εὐπραγίαν ἢ τοῖς δυστυχήσασιν, ἢ τοῖς ἅμα σοὶ ἐκστρατεύουσιν. Μηδὲ τῦφον καὶ ἀπήνειαν περιφέρῃς, ἀλλὰ εὐμενὴς, ὡς εἴρηται, καὶ φιλάνθρωπος, καὶ ταπεινόφρων γίνου· φιλάνθρωπος μὲν περὶ τοὺς ἁλωθέντας καὶ δυστυχήσαντας, ἀλλὰ καὶ πρὸς τοὺς μέλλοντας ἔτι παρὰ σοῦ ἢ πολεμεῖσθαι ἢ πολιορκεῖσθαι. Ταπεινόφρων δὲ περὶ τοὺς πλησίον καὶ φίλους, τοὺς μὲν γὰρ πλησίον καὶ φίλους οὐ μόνον εἰς φθόνον οὐ κινήσεις, ἀλλὰ καὶ εἰς ζῆλον τῶν ὁμοίων σου κατορθωμάτων διεγερεῖς, τοὺς δὲ πολιορκεῖσθαι μέλλον-

A hostium subjectionem quærit, sed gloriæ nostræ honorisque causa, et salutis beneficentiæque, et libertatis subjectorum gratia.

40. Benevolus igitur subjectis, atque imperio tuo parentibus si fueris, alios quoque tibi ut se subjiciant conciliabis. Efferatus enim animus, et crudelis, subjectos tibi in magnam mœstitiam, pœnitentiamque subjectionis suæ adducit, et eos, qui nonduin tuo imperio subjecti sunt, alio avocat, et alacriores ad periclitandum de sua salute facit, potius quam in manus tam crudelis imperatoris veniant; et multum obsidendo laborabis, atque ad extremum nihil proficies. Sin bonum te intellexerint esse, facile se tibi dedent.

41. Rectionis nostræ benignitatem, bonitatem et pacem, laudabis apud eos, qui per te sub imperium nostrum veniunt, sive civitas, sive castellum, sive natio aliqua fuerit, et in miserationis nostræ viscera intueberis, ut mitia salutariaque mandata nostra recipiant atque observent.

κγ'. Ἀεὶ δὲ ἔξπληκτον καὶ παρεσκευασμένον τὸν στρατὸν κίνει, καὶ μηδὲν περισσὸν ἐπιφερόμενον, καὶ οὕτω κανόνιζε καὶ στοχάζου πρὸς τὰ διαστήματα (28) τὰ ἐν τῷ μέσῳ, ὥστε συμμέτρως περιπατεῖν, ἵνα μὴ συντρίβηται ὁ στρατός· καὶ πρὸ δύο ὡρῶν τῆς ἡμέρας φθάσεις πλησίον, ὡς ἀπὸ

23. Expeditum paratumque exercitum semper moveto, qui nihil supervacaneum secum gestet. Sic autem pro loci intervallo iter tuum aptabis, ut moderate ambulando exercitus de via lassus non sit, sed duas ante lucem horas uno aut altero signo ab hostium castris absis, atque ibi clam col-

NOTÆ.

(28) Διαστήματα. Scribebatur, ϛιδιαστήματα.

locabis quietique trades exercitum, ut priusquam A dies illucescat, hostes invadas.

24. Ad hujusmodi itinera duces viæ habeas, qui accurate viam noverunt, ut ne erret exercitus.

25. Summo in silentio sint, neque buccina personet, neque tumultus quisquam alius fiat. Sed si signo aliquo ad excitandum exercitum opus fuerit, vel sibilo, vel scuti strepitu, vel voce significetur exercitui, quemadmodum vel procedere vel stare oporteat.

26. Ut vero strepitus ac stridor nullus sit, nec in longitudinem aliquam producta acies errorem atque inæqualitatem faciat, quæ res clamorem et mandata ad gubernandum exercitum multa requirit, et cognitum hostibus copiarum nostrarum adventum facit, propterea ne ad frontem, id est ad latitudinem multam, sed ad cornu, id est ad directam aciem, quemadmodum in contubernio et manipulo fit, altitudine copiarum studiose asservata.

27. Ubi prope hostes venerit exercitus, clam atque occulte ad requietem dabis exercitum, et pro loci ratione aciem instrue, deinde per duos aut tres dies incursionem facito, non in omnes partes et quatuor latera exercitus, ne obsessi undique atque interclusi cogantur in densitatem et contrahantur, sed securitatem habeant, potestatemque una ex parte qua velint aufugiendi.

28. Si multitudinem magnam exercitus tui habeas, una sola aut altera buccina sonet, ut hostes te putent parvum habere exercitum, et decipiantur. Sin parvum habeas exercitum, plures buccinæ sonent, ut magnam multitudinem hostium venire arbitrentur.

29. Copias quasdam constitues eo tempore ad manus conserendas habiles, quæque suos iterum redeuntes excipiant.

30. Incursiones in hostes, si equites sint, tuto facias, quasi ad publicam pugnam procederes, ut si progressio tua minus feliciter procedit, sed hostes præsentientes adversum te instruantur, in suscepto prælio quasi imparatus aut dissipatus non supereris.

31. Si hostes pedites fuerint, tui autem equites, certum est vel te hostes læsurum, vel sine offen-

ἑνὸς ἢ δευτέρου σημείου τοῦ τῶν ἐχθρῶν ἀπλήκτου καὶ ἐκεῖσε λανθανόντως ἀναπαύσεις τὸν στρατὸν, καὶ πρὶν ἢ ἄρξηται αὐγάζειν ἡ ἡμέρα ἐπιτεθῇς τοῖς ἐχθροῖς.

κδ'. Εἰς δὲ τὰς τοιαύτας ὁδοιπορίας, ἵνα ἔχῃς ὁδηγοὺς τοὺς πάνυ ἀκριβῶς εἰδότας τοὺς τόπους εἰς τὸ μὴ πλανᾶσθαι τὸν στρατόν.

κε'. Παντοίαν δὲ ἡσυχίαν ἐχέτωσαν, καὶ μήτε βούκινον λαλείτω, μηδὲ οἱαδήποτε κραυγὴ γινέσθω. Ἀλλὰ ἐάν ἐστι δέον τοῦ μεῖναι τὸν στρατὸν, ὡς εἰκὸς, ἢ τοῦ κινῆσαι, ἢ διὰ συριγμοῦ, ἢ διὰ κτύπου σκουταρίου, ἢ διὰ παραγγέλματος, σημαίνειν τὸ κίνημα ἢ τὴν στάσιν.

κς'. Ἵνα δὲ μὴ θόρυβος τῶν κτύπων γένηται, μηδ' ἐπὶ πολὺ ἐκτεινομένη ἡ παράταξις πλάνην B καὶ ἀνισότητα ποιῇ, καὶ διὰ τοῦτο ἐξ ἀνάγκης κραυγὰς καὶ μανδάτα, ὥστε καὶ εὔγνωστον τοῖς ἐχθροῖς τὴν παρουσίαν τοῦ στρατοῦ γενέσθαι· διὰ τοῦτο χρὴ μὴ ἐπὶ μέτωπον ἤγουν ἐπὶ ἔκταμα πολὺ εἰς πλάτος, ἀλλὰ ἐπὶ κέρας, τουτέστιν ἐπὶ ὀρθίαν παράταξιν, ὡς ἐπὶ ἀκίας καὶ στίχου κατὰ οὐρὰν ἀλλήλων περιπατεῖν, δηλονότι τοῦ βάθους ἤτοι τοῦ πάχους τῆς τάξεως φυλαττομένου.

κζ'. Καὶ ὅταν πλησίον τῶν ἐχθρῶν φθάσῃ ὁ στρατὸς, τότε λεληθότως, καὶ κρυφαίως ἀνάπαυε αὐτοὺς καὶ ὄρθωσον τὴν τάξιν, καὶ ὡς ὁ τόπος ἐπιδέχεται, εἴτε διὰ δύο (29), εἴτε διὰ τριῶν μερῶν τὴν ἐπέλευσιν ποίησον· οὐδὲ γὰρ κατὰ τῶν τεσσάρων μερῶν χρεία, ἵνα μὴ περιλαμβανόμενοι πανταχόθεν οἱ ἐχθροὶ ἐκ περιστάσεως συμφράξωνται, C ἀλλ' ἵνα ἔχωσιν ἄδειαν δι' ἑνὸς μέρους οἱ θέλοντες φεύγειν.

κη'. Καὶ τότε ἐὰν πλῆθος ἔχῃς στρατοῦ τὸ ἐπερχόμενον, ἐν ἢ καὶ δεύτερον ἰδούκινον (30) παρασκεύαζε λαλεῖν, ἵνα πρὸς ὀλίγον στρατὸν δοκοῦντες ἔχειν λανθάνωνται οἱ πολέμιοι. Εἰ δὲ ὀλίγον στρατὸν ἔχῃς, πλείονα βούκινα λαλείτωσαν, ἵνα πλῆθος νομίζωνται τὸ ἐπερχόμενον.

κθ'. Χρὴ δέ σε πάντως δύναμίν τινα συνιστᾷν στρατοῦ τὴν μιγνύουσαν χεῖρας κατὰ τὴν ὥραν ἐκείνην, ἀλλὰ καὶ εὐκαίρως ἱσταμένην, καὶ ὀφείλουσαν τοὺς, ὡς εἰκὸς, προστρέχοντας ἐκ τῶν ἰδίων προσδέχεσθαι.

λ'. Τὰς δὲ κατὰ καβαλλαρίων ἐχθρῶν ἐφόδους D μάλιστα ἀσφαλῶς ποιοῦ καὶ ὡς ἐπὶ δημοσίας μάχης· ἵνα ἐὰν τὰ τῆς ἐφόδου μὴ κατὰ σκοπὸν προέλθῃ, ἀλλ' οἱ πολέμιοι προαισθόμενοι ἀντιπαρατάξωνται, μὴ ἐλαττωθῇς ἐν τῇ κινουμένῃ μάχῃ ὡς ἀπαράσκευος καὶ ἀνέτοιμος.

λα'. Ἐὰν γὰρ πεζοὶ ὦσιν οἱ ἐναντίοι, καβαλλάριοι δὲ οἱ μετὰ σοῦ ἐπερχόμενοι, πρόδηλόν ἐστιν,

NOTÆ.

(29) *Εἴτε διὰ δύο.* Scribe, εἶτα διὰ δύο.

(30) *Ἰδύκινον.* Rescriberem, βούκινον, uti passim toto hoc libro, et pro ævo Leonis. Sed inhibent me magistri Græci. Suidas: Ἰδύκινον, μουσικὸν, ὄργανον, ἀπὸ Ἰδύκου. Hinc, ἰδυκινεῖν, et ἰδυκινίζειν. Etymologici Auctor: Ἰδυκινίσαι, ὅπερ κατὰ μεταφορὰν λέγεται βουκινίσαι. Hesychius: Ἰδυκινῆσαι, ἐπευφημῆσαι, βοῆσαι. Item, ἰδυκινητής, et ἰδυκινάτωρ. Auctor incertus apud Suidam: Κατὰ τὴν συμπλοκὴν τῶν Κελτῶν πρὸς Ῥωμαίους ἀναρίθμητον ἦν τὸ τῶν ἰδυκανητῶν καὶ σαλπιγκτῶν πλῆθος. Basilius patritius in Naumachicis: Προσθετέον δὲ τούτοις καὶ τριηραύλην, καὶ κελευστήν. Ἔστι δὲ ὁ μὲν, ἰδουκινάτωρ. Ὁ δὲ, ὁ τὸ φλάμουλον κατέχων. Hesychius ab ἴδυ, adverbio Ionico; Suidas ab Ibyco inventore nomen derivat.

ὅτι ἡ βλάψεις (31) τοὺς ἐναντίους, ἢ ἀβλαβὴς ἀναχωρήσεις, τῶν πεζῶν διώκειν τοὺς καβαλλαρίους οὐ δυναμένων.

λβ'. Εἰ δὲ καβαλλάριοί εἰσιν καὶ οἱ ἐναντίοι, χρή σε πρὸς τὰ συμβαίνοντα πολλάκις ἐναντία ἕτοιμον εἶναι καὶ παρεσκευασμένον.

λγ'. Εἰ δὲ ἐν νυκτὶ ἔφοδος γένηται κατὰ φοσσάτου, εἴτε ἐν ἡμέρᾳ, ἢ κατὰ ὁδευόντων, ἢ κατὰ τούλδου, δεῖ ἀφωρισμένα τάγματα ἔχειν σε πρὸς διαρπαγὴν τῶν πραγμάτων· ἵνα μὴ εἰς τοῦτο πάντων ἀσχολουμένων, ἐπέλευσις ὑπὸ ἐχθρῶν γένηται, καὶ κινδυνεύσῃ ὁ στρατός.

λδ'. Τὰς δὲ τοιαύτας ἐφόδους τὰς μείζονας μὲν καὶ τελείας δι' ἑαυτοῦ ποιήσῃς· δυνατὸν δέ σοι μᾶλλον καὶ διὰ τουρμάρχων τῶν ἐπὶ τοιούτοις πράγμασι χρησίμων αὐτὰς γίνεσθαι. Οἵτινες ἱκανοί εἰσι τὸν σὸν τόπον ἀναπληρῶσαι διὰ τὴν ἀποδεικνυμένην ἐν αὐτοῖς καὶ ἀνδρείαν καὶ ἀγχίνοιαν.

λε'. Ἐὰν δὲ ἐν τῇ τῶν πολεμίων χώρᾳ εἰσβάλλων ὁδοιπορεῖν μέλλῃς ἐκεῖσε καὶ πραιδεύειν (32) βλάβης ἰδίας χωρίς, πρῶτον μὲν ἴδιον καὶ ἁρμόδιον (33) καιρὸν ἐπιλεύσσου, οὗτος δέ ἐστιν ὁ ἀσφαλὴς τῆς ἐγχειρήσεως καιρὸς, ὅτε ἢ συμβαλὼν ἤδη τοῖς ἐχθροῖς μάχῃ ἐκράτησας αὐτῶν, ἢ νομίσεις ὅτι οὐκ εἰσὶ δυνατοὶ πρὸς τὴν σὴν δύναμιν, ἢ ὅταν ἀνετοίμοις αὐτοῖς καὶ ἀπαρασκεύοις οὖσιν, αἰφνιδίως ἐπιτεθῆναι μελετήσῃς, ὡς ἤδη προείπομεν.

λς'. Δέον σε πρὸ πάντων, ὦ στρατηγὲ, εἰσβάλλοντα εἰς τὴν πολεμίων γῆν, τῆς ἀποτροφῆς φροντίσαι τοῦ στρατοῦ, καὶ ἢ διὰ βασταγῆς δημοσίας, ἢ δι' αὐτῶν τῶν στρατιωτῶν, ἢ ἄλλως πως ἐπινοῆσαι βαστάσαι ἀποτροφὴν καὶ ἀλόγων καὶ ἀνθρώπων· ἵνα μὴ περὶ μέσην τὴν χώραν ἄφνω τῶν ἐχθρῶν, ὡς εἰκὸς, ἀφανιζόντων τὰ ἕτοιμα εἴδη στενοχωρηθῇ ὁ στρατός.

λζ'. Μὴ ἐπιτηδεύσῃς δὲ νυκτερινὰς ὁδοιπορίας ἐν πολεμίᾳ χώρᾳ ποιεῖσθαι, εἰ μὴ πρὸς ἅπαξ, ἤγουν μίαν καὶ μόνην, καὶ τοῦ λεληθότως, ἴσως χρείας ἀναγκαίας καλούσης εἰς τὸ λαθεῖν τοὺς ἐχθρούς, καὶ τόπον δυσχερῆ προκαταλαβεῖν χάριν ὀχυρώματος, ἢ παρελθεῖν ἐν ἑτέρῳ τόπῳ τῶν ἐχθρῶν μὴ γινωσκόντων.

λη'. Πρότερον δὲ περιεργάσασθαί σε δεῖ καὶ ἐρευνᾷν τὰς ὁδοὺς, καὶ οὕτω τὰς ὁδοιπορίας ποιεῖσθαι.

λθ'. Πᾶσαν δὲ πάντως ποιεῖσθαι σπουδὴν, ἵνα τινάς τῶν τῆς χώρας ζωγρήσῃς, ὅπως ἐξ αὐτῶν τὴν τῶν ἐχθρῶν μάθῃς δύναμιν, καὶ τὰ αὐτῶν βουλεύματα, τί ἄρα σπουδάζουσι ποιῆσαι.

μ'. Τὰς ἐρωτήσεις δὲ τῶν κρατουμένων διὰ σεαυτοῦ ποίει, καὶ μὴ δι' ἑτέρου τινός. Καὶ γὰρ πολλάκις ἀναγκαῖά τινα καὶ παρὰ πᾶσαν ὑπόνοιαν διὰ τῶν ἐρωτωμένων ἐφανερώθησαν

μα'. Ἀλλὰ μηδὲ τοῖς προσφεύγουσί σοι προχείρως πίστευε, ἀλλὰ τοῖς ἐξ αἰφνιδίου ἐπιδρομῆς κρατου-

A sione discessurum, cum pedites insequi alios equites non possint.

32. Sin equites hostes fuerint, oportet te ad omnes casus adversos promptum et paratum esse.

33. Si interdiu aut noctu incursio in castra, in impedimenta, in milites iter facientes fuerit, separatas quasdam cohortes ad rerum direptionem habere oportebit, ut ne omnibus hac in re occupatis, incursio ab inimicis fiat et periclitetur.

34. Incursiones majores et absolutas tu ipse per te facies: poteris etiam per turmarchas ad hanc rem idoneos hoc efficere, qui vicem tuam fortitu- B dine solertiaque sua explere possint.

35. Si ad depopulationem et prædationem hostilis terræ iter sine offensione tua facturus sis, primum idoneum aptumque tempus eligito. Hoc autem idoneum opportunumque tempus erit, cum si vel confligere cum hostibus cogitas, minus habiles ad resistendum tibi reperientur, vel imparatos vel omissos illos invenies, quemadmodum ante admonuimus.

36. Ante omnia irrupturus in hostilem terram, commeatus ac rerum necessariarum exercitui cu- C ram geres, vel ut aliqua vectura communi, vel ut a militibus singulis deportentur, alia quavis certa via tum hominum tum jumentorum pabulum vehatur, ut ne sua in regione hostibus omnia ad commeatum spectantia vastantibus, in magnas angustias tuus adducatur exercitus.

37. Hostili in regione ne coneris nocturna itinera facere, nisi semel, idque clanculum necessitate impellente, ut hostes lateas, et difficilem aliquem locum munitionis gratia anticipes, vel ut ad alium locum inscientibus hostibus transeas.

38. Primo perscrutandæ perlustrandæque viæ sunt, deinde tuto ingrediendæ.

D 39. Omnino elaborandum abs te est, ut quosdam ex hostibus capias, atque ex illis hostium copias consiliaque, et quid agendum suscipiant cognoscas.

40. Ad eos qui capiuntur explorandos et examinandos teipsum adhibebis, neque per alios delectos viros facias. Sæpe enim necessaria quædam præter opinionem incidunt, et ab iis examinatis proficiscuntur, quæ multis patefieri non debent.

41. Iis qui ad te confugiunt ne nimis facile credas, neque iis qui repentina quadam incursione

NOTÆ.

(31) *Βλάψεις*. Scribebatur, βλάψει.
(32) *Πραιδεύειν*. Scribebatur, προδεύειν

(33) *Καὶ ἁρμόδιον*. Censeo delenda.

capiuntur: sæpe enim tum qui ad te confugiunt, tum qui capiuntur, permulta falsa loquuntur.

42. Neque iis quæ ab uno aliquo dicuntur, sed quæ a pluribus memorantur, credas. Eorum autem consensionem potius attendas qui bello capiuntur, quam qui voluntarii ad te confugiunt.

43. Eos qui ab hostibus ad te confugiunt, et secreta atque abdita quædam se enuntiare velle dicunt, in custodia teneas, aut alia tuta ratione apud te serves: et promittas, si vero loquantur, te illos muneraturum: sin mentiantur, mortem minitaberis.

44. Si hostium exercitus cogitur, tuque extra munitionem sis, ne militem ullum ad prædationem direptionemque hostium mittas, sed primo invade illos, et si bene belli exitus processerit, ne differas tempus, sed dum in tumultu timoreque fuerint, impressionem in illos facies, donec omnino disjecti dispersique fuerint, tuque in tuto ac extra periculum fueris.

45. Sin hostes coacti fuerint, prælium tamen ac dimicationem rejecerint, contende junctis copiis atque adunatis adversum eos prodire, et quæ ante pedes sunt omnia vastare.

46. Si per eamdem viam reditio tua erit, neque alimenta aut pastiones ullæ sint præterea, ne tum hæc alimenta quæ ante pedes sunt populaberis, sed ubi reversus fueris tum potius vastabis.

47. Ut ne aliena in regione erres, in diverticulis et ambiguis viis signa pones. Si silvæ sint: in arboribus: si plana expositaque loca, in acervis lapidum, aut suffossionibus quibusdam parvis notabis, ut qui postea sequuntur ex tuis minus aberrent.

48. Quos ad præliandum segregaveris atque emiseris, præcipe ut ne omnes prædationibus occupentur, sed divisi sint, ut alii prædentur, major pars illorum instructa ad custodiam, vel sequatur, sive in regionem, sive in castra hostium, sive in armenta, sive in impedimenta incursio ulla fiat.

49. Hoc autem facies quando universis cum copiis ad præliandum procedis, ut ne omnes simul in prædationibus occupentur.

50. Atque ubi pabulandi tempus fuerit, alii pabulum colligant, alii apparati instructique sequantur, ut ne si omnes se ad pabulum colligendum converterint, et subita quædam irruptio, aut insidiæ fuerint, ipsi imparati sparsique opprimantur, quia se revocare ad ordinem stationemque suam non possunt.

A μένοις· ἐπειδὴ συμβαίνει πεπλασμένα καὶ ἐκ τῶν προσφευγόντων καὶ ἐκ τῶν κρατουμένων λέγεσθαι.

μβ'. Ἀλλὰ μηδὲ τοῖς ἀπὸ ἑνὸς μόνου λεγομένοις πίστευε ἢ πρόσεχε, ἀλλὰ τῇ ἐκ τῶν πλειόνων συμφωνίᾳ πείθου, μάλιστα δὲ τῶν ἐξ ἐπιδρομῆς ἀθρόας ἁλισκομένων, ὡς εἴπομεν, ἤπερ τῶν προσφευγόντων.

μγ'. Πρὸς δὲ τοὺς προσφεύγοντάς σοι ἀπὸ τῶν ἐχθρῶν, καί τινα μηνύειν ἐπαγγελλομένους μυστήρια, ἢ ἐν δεσμοῖς φύλαττε τέως, ἢ ἄλλως πως μετὰ ἀσφαλείας ἔχε, καὶ πρόλεγε αὐτοῖς δωρεὰς δώσειν· ἐὰν δὲ ψεύδωνται, ἀπείλει θάνατον.

μδ'. Ἐὰν δὲ συνέστηκεν στρατὸς ἐχθρῶν, καὶ ἔξωθεν ὀχυρωμάτων διάγῃ, μὴ ἐπαφιῇς τῶν στρα-B τιωτῶν τινας ἐπὶ ἁρπαγὴν ἢ πραῖδαν πραγμάτων, ἀλλὰ πρότερον (34) ἐπέρχου κατ' αὐτοῦ· καὶ εἰ μὲν καλῶς ἐξέλθῃ τὸ τοῦ πολέμου πέρας, μὴ ἀναβάλλου τὸν καιρὸν, ἀλλ' ἐν ὅσῳ ἐν φόβῳ καὶ ταραχῇ εἰσιν οἱ ἐχθροὶ ἐπιτίθου αὐτοῖς μέχρις τοῦ τελείως καταλυθῶσι καὶ σκορπισθῶσιν· ἢ σύμφωνα συμφέροντά σοι γένωνται ἀσφαλῶς.

με'. Ἐὰν δὲ οἱ ἐχθροὶ σύστασιν μὲν ποιήσωσιν, ἀναβάλλωνται δὲ συμμίξαι μάχην· τότε σπούδαζε ἡνωμένως καὶ ἀδιασπάστως περιπατεῖν, καὶ τὰ ἐν ποσὶν ἀφανίζειν.

μς'. Εἰ δὲ διὰ τῆς τοιαύτης ὁδοῦ ἡ ὑποστροφή σου ἐλπίζεται γενέσθαι, καὶ οὐκ εἰσὶν ἄλλαι ἀποτροφαὶ ἢ βοσκαὶ, τότε φείδου τὰς ἐν ποσὶν, ἤτοι τὸ ἀφανίζειν C τὰς δαπάνας· ἐν τῷ ὑποστρέφειν σε, τότε μᾶλλον ἀφάνιζε ταύτας.

μζ'. Ὥστε μὴ ἐν τῇ ἀλλοτρίᾳ γῇ πλανᾶσθαί σε εἰς τὰς ὁδοὺς, δέον σημεῖά τινα ἐν ταῖς ὁδοῖς καὶ ταῖς ἀμφιβόλοις τίθεσθαι. Ἐὰν μὲν ὗλαι εἰσὶν, ἐν τοῖς δένδροις· εἰ δὲ γυμνοὶ οἱ τόποι, διὰ σωρῶν λίθων ἢ ὑπορυγμάτων μικρῶν, διὰ τὸ ἐπιγινώσκοντας δι' αὐτῶν τοὺς ὑστερίζοντας ἐκ τοῦ στρατοῦ μὴ πλανᾶσθαι τὴν ὁδόν.

μη'. Ὅσους δὲ εἰς πραῖδαν ἀφορίσῃς καὶ ἀποστείλῃς, παράγγελλε μὴ πάντας εἰς τὴν διαρπαγὴν ἀσχολεῖσθαι, ἀλλὰ διῃρημένους εἶναι· ἵνα οἱ μὲν αὐτῶν πραιδεύωσιν· οἱ δὲ πλείους αὐτῶν συντεταγμένοι ἵστανται εἰς φυλακὴν, ἢ παρακολουθῶσιν, εἴτε κατὰ χωρίου, εἴτε κατὰ φοσσάτου ἐχθρῶν, εἴτε κατὰ ἀγ-D γέλης (35), εἴτε κατὰ τούλδου, ἢ ἑτέρου τινὸς, ἡ ἐπέλευσις γίνεται.

μθ'. Τοῦτο δὲ ποίει καὶ ὅταν ἡνωμένου ὄντος τοῦ παντὸς στρατοῦ πραῖδας ἐγχειρήσῃς, εἰς τὸ μὴ πάντας ἐπὶ τῇ ἁρπαγῇ ἀσχολεῖσθαι.

ν'. Ἀλλ' εἰ καὶ συλλογῆς δαπάνης καιρὸς γένηται, δεῖ τοὺς μὲν συλλέγειν, τοὺς δὲ συντεταγμένους καὶ παρατεταγμένους ἀκολουθεῖν· ὥστε πάντων εἰς ἁρπαγὴν ἢ συλλογὴν τῶν ἐπιτηδείων χρειῶν ἀσχολουμένων, μὴ αἰφνιδιασμόν τινα ἢ ἔγκρυμμα ὑπὸ τῶν ἐναντίων συμβῇ γενέσθαι· εἰ γὰρ συμβῇ τοῦτο μὴ ὄντων αὐτῶν συντεταγμένων, οὐ δυνήσονται ἑαυτοὺς ἀνακαλέσασθαι.

NOTÆ.

(34) Codex Laurentianus una integra charta hic mutilus est.

(35) *Κατὰ ἀγγέλης*. Scribe, κατὰ ἀγέλης.

να'. Ὅταν δὲ χρὴ τοῦ (36) αἰφνιδίου τὰς ἐγχειρήσεις κατά τινων Σκυθικῶν ἢ τινων ὁμοίων ἐθνῶν ποιεῖσθαι, διὰ τὸ μάλιστα ἀνύποπτον, χρὴ μετὰ σκοποῦ τά τε δάση καὶ τὰς δυσχωρίας προσέχειν καὶ διερευνᾶσθαι. Καὶ οὕτως προορδινεύειν χρὴ τὰ βάνδα, εἰς τὸ εἰδέναι αὐτὰ, ποῖον πρῶτον, καὶ ποῖον δεύτερον, καὶ ποῖον τρίτον, καὶ ἐφεξῆς ὀφείλουσι περιπατεῖν· καὶ μάλιστα ἐὰν διὰ στενῶν τόπων ἔφοδος γίνεται· καὶ ἵνα μὴ συγχέωνται βραδέως ἐν τῷ διαμερισμῷ συνέρχωνται.

νβ'. Ἄφνω γὰρ τῆς ἐπελεύσεως γινομένης, εἰ μὲν διὰ δύο τρόπων ἐπιτήδειόν ἐστι τὴν ἐγχείρησιν ποιήσασθαι, δεῖ τὸν στρατὸν εἰς δύο μερίζεσθαι, καὶ τὸ μὲν ἓν μέρος λαμβάνειν ἢ τὸν μεράρχην, ὃν οἱ παλαιοὶ ὑποστράτηγον ἔλεγον, ἢ τὸν τουρμάρχην, ἢ ὁποῖοι ἄρχοντες τὴν ἔφοδον ποιοῦνται. Δύο πάντως ἄρχοντας πρῶτον καὶ δεύτερον εἰς τὰ δύο μέρη ἕνα καθ' ἕκαστον ἐπιστῆσαι, καὶ τὸ μὲν ἓν μέρος, ὡς εἴρηται, τὸν ἕνα ἄρχοντα ἐξάπληκτον ἔχειν, καὶ χωρὶς τούλδου, καὶ προκόπτοντα ὡς ιε' καὶ κ' μιλίων διάστημα διὰ τόπων ἀγνώστων ἐκεῖθεν ἄρχεσθαι τῆς πραίδας ὥστε ἐπὶ τὸ μέρος τοῦ στρατηγοῦ ἔρχεσθαι· τὸν στρατηγὸν ἔχοντα τὸ ἄλλο μέρος διὰ τῆς ἑτέρας ἀρχῆς τῶν χωρίων εἰσβάλλειν καὶ πραιδεύειν, καὶ ἀμφοτέρους εἰς ἀπαντὴν ἀλλήλων ἐρχομένους, καὶ πραιδεύοντας τὰ ἐν μέσῳ χωρία, ἐν ᾧ συμφθάσωσιν εἰς ἑσπέραν, ἐκεῖσε ἐν τῷ ἅμα ἀπλικεύειν. Ἐκ τούτου γὰρ καὶ ἀσφαλῶς ἡ ἐγχείρησις γίνεται, καὶ οἱ διαφεύγοντες τῶν ἐχθρῶν τὸν ἕνα αὐτῶν τῷ ἄλλῳ περιπίπτουσιν ἀδοκήτως, μηδ' ἐπισυναχθῆναι δυνάμενοι.

νγ'. Εἰ δὲ μία ἐστὶν ἡ ἐπιτηδεία ὁδὸς δι' ἧς τὴν εἰσβολὴν κατὰ τὴν τῶν ἐχθρῶν δυνατὸν γενέσθαι, χρὴ καὶ οὕτως τὸν στρατὸν διανεμηθῆναι. Καὶ τὸ μὲν δίοιρον (37) αὐτοῦ ἢ καὶ τὸ πλέον τούτου ἐξάπληκτον καὶ ἐνδύναμον τὸν ὑποστράτηγον λαμβάνειν, καὶ μετὰ τοῦ ἰδίου αὐτοῦ ἐν ᾧ αὐτὸς τάσσεται βάνδου ἔμπροσθεν πάντων προηγήσασθαι, ἔχοντα μεθ' ἑαυτοῦ πάντας τοὺς τῶν ταγμάτων αὐτοῦ ἄρχοντας, καὶ ὅταν τῷ πρώτῳ χωρίῳ ἐπιστῇ πρὸς τὴν αὐτοῦ δύναμιν, ἀφορίζειν, εἴτε ἓν, εἴτε δύο βάνδα, ὥστε τοὺς μὲν πραιδεύειν, τοὺς δὲ φυλάττειν τοὺς πραιδευθέντας.

νδ'. Καλὸν δέ ἐστιν ἐν τοῖς πρώτοις χωρίοις μὴ πολλὰ βάνδα ἀφορίζεσθαι, κἂν εἰ μεγάλα συμβαίνῃ τὰ χωρία εἶναι. Ἐπιφθάζοντος γὰρ ὄπισθεν τοῦ στρατοῦ οὐ δίδοται καιρὸς ἀντικαταστάσεως τοῖς ἐν αὐτοῖς εὑρισκομένοις. Συντόμως τὸν ὑποστράτηγον ἐπὶ τὰ πρόσω τὴν πάροδον ποιούμενον ὁμοίως καὶ εἰς τὰ λοιπὰ χωρία ἐφεξῆς, τοῦτο ποιεῖν μέχρις ἂν ἐπαρκέσωσιν τὰ παρασὶ διδόμενα (38) αὐτῷ τάγματα. Αὐτὸν ὑποστράτηγον ἐξωτέρω πάντων εὑρισκόμενον δεῖ τρία ἢ τέσσαρα βάνδα ἄχρι χιλίων ἀνδρῶν χρησίμων περὶ αὐτὸν ἔχειν, ἕως τελείας τοῦ πράγματος ἐκβάσεως, ἤγουν τῆς ἐφόδου, ἵνα βίγλα ἀκριβὴς καὶ ἀσφάλεια τοῖς λοιποῖς γένηται.

A 51. Quando repentinas aliquas incursiones, vel contra Scythicas nationes aut alias hujusmodi gentes facturus es, ut omnia magis suspicione careant, condensa loca difficultatesque regionum speculatori alicui prius perlustrandæ sunt, itaque acies instruendæ ut sciant omnes quæ cohors prima, quæ secunda, quæ tertia esse debeat; atque ita ex ordine ambulent, si per angustias aliquas transituri sint, tum etiam ut ne tardius in ordinem adducendi sunt, instruantur.

52. Subita incursio aliqua si futura sit, si per duo loca iter commodum fieri potest, in duas partes exercitus dividatur, et alteri parti præsit merarcha, quem antiqui principem, sive proprætorem vocabant, qui etiam turmarcha dicitur. Quot- B cunque enim et qualescunque homines fuerint qui incursionem facturi sunt, duos illos præfectos primum secundumque deliges. Atque altera quidem pars, quemadmodum ante dixi, expedita et sine ullis impedimentis procedat, et postquam ad quindecim vel viginti milliarium intervallum ab aliis abfuerint, per loca incognita atque ex obliquo posita prædari incipiant, quasi ad imperatorem venire vellent. Imperator autem reliquam partem habens, aliunde regionis incipiens irruat et prædetur, atque adeo utrique cominus ad se mutuo venientes, quæ in medio posita sunt loca depopulentur, donec ad vesperam unum in locum perveniant. Hoc modo fiet ut tuta incursio in illos fiat, C et hostes qui in alteram partem aufugerint, in alteram de improviso incidant: neque convenire unum in locum possint.

53. Si una tantum idonea via sit, per quam irruptio in hostes facienda sit, hoc modo exercitus dividatur. Bessis ejus, aut eo amplius ab hypostratego, id est, principe sive proprætore strenua atque expedita capiatur, et sub eo quoque suum bandum sit: princeps autem assumptis reliquis omnium cohortium suarum præfectis, ante reliquos omnes procedat, atque ubi primo in loco constiterit, e copiis suis unam atque alteram cohortem segreget, ut alii prædentur, alii prædatores ab injuria conservent.

D 54. Quamvis spatiosa loca fuerint, ne tamen multas cohortes primis in locis separes: festinante enim a tergo exercitu, nullus locus relinquitur adversus eos se instruendi, et sine ulla mora princeps semper ulterius progrediatur. Similiter reliquis in locis hoc faciat, quandiu illi cohortes traditæ adfuerint. Principem vero ipsum ante omnes alios procedentem, tria aut quatuor banda ad mille virorum numerum secum habeat usque ad perfectum rei hujus sive incursionis exitum, ut excubiæ cæteris accuratæ fiant.

NOTÆ.

(36) *Χρὴ τοῦ*. Puto scrib. χρὴ ἐκ τοῦ.
(37) *Δίοιρον*. Scribe, δίμοιρον.
(38) *Τὰ παρασὶ διδόμενα*. Scribe, τὰ παραδιδόμενα.

55. Hæc a principio si fiant, tu, imperator, aut si quis alius incursionis hujus administrationem habeat, sequeris eos qui prædantur, et dispersos congregabis, et ulterius ad principem sive turmarcham progredieris. Similiter ille hoc idem faciat, transeundoque colligat dispersos prædatores, atque eodem in loco noctu conveniant et castra ponant. Itaque plus quindecim aut viginti milliaribus a se separati, hujusmodi subitas incursiones ne faciant, ut eodem die et prædam diripiant, et eadem nocte simul castra ponant.

56. In hujusmodi incursionibus hostes objectos non utile fuerit vivos capere et comprehendere, sed omnes tales vel interficiendi, vel prætereundi sunt, ut ne mora aliqua iter facientibus afferatur, et tempus temere assumatur.

57. Si castellum aut arcem aut munitionem aliquam capere cogitas, ne illud in vulgus efferas, donec in ipso loco fueris, et negotium ipsum in manus sumpseris.

58. Sin necesse fuerit prope munitionem hostium copias tuas transire, vel etiam castra ponere, unum aliquem præfectum cum expeditis viris in ipso transitu collocabis, qui incursiones hostium prohibeat. Hoc quoque etiam in angustiis locorum fieri abs te debet.

59. Prope munitionem hostium aut silvam ne castra ponas. Sin necesse sit tibi habere castra, accurate excubias et custodias propter hostium incursiones adhibebis, et diligentissime providebis, ut editiore munitioreque loco castra ponas.

60. Quando hostilem in terram ingrederis, apparatum omnem atque impedimenta a tergo te consequi facies : imminentibus autem hostibus in medio exercitus tui ea procedere facies.

61. Ab armatis militibus impedimenta reliquique apparatus, atque etiam captivi, si qui fuerint, separentur : neque itinere hoc solum fiat, sed etiam quando castra ponas, ne hostibus adversum instructos milites venientibus magno impedimento fiant.

62. Hostili in terra mensuratores incircumspecte ad loca anticipanda sine idoneo præsidio ne mittas, sed per transfugas, qui sponte sua ad te defecerunt, locorum naturam tuto perscrutaberis.

63. Quando exercitus castra positurus est, ne perturbate aut confuse ad castra fossati transeant, sed si hostes immineant, et pedites exercitui nostro adfuerint, currus omnes ex ordine ponant, et fossas undique ad modum valli ducant. Expediti

A νε'. Τούτων οὖν ἐκ τοῦ ὑποστρατήγου γινομένων, δέον σε, ὦ στρατηγέ, ἢ εἴ τις ἕτερος ὁ τῆς τοιαύτης ἐπελεύσεως τὴν διοίκησιν πεπιστευμένος, ἵνα ἐπακολουθῇς τοῖς κατὰ μέρος πραιδεύουσι, καὶ ἐπισυνάγῃς, καὶ ἐπὶ τὰ ἔμπροσθεν προκόπτῃς ὡς ἐπὶ τὸν ὑποστράτηγον ἢ τὸν τουρμάρχην. Ὁμοίως δὲ καὶ ἐκεῖνον τὸ αὐτὸ ποιεῖν, καὶ ἐπισυνάγειν παρερχόμενον τοὺς πραιδεύοντας, καὶ ἐν ᾧ ἂν τόπῳ ἀπαντήσητε ἀλλήλοις ἀπλικεύετε ἅμα καὶ τὴν αὐτὴν ἡμέραν. Διὸ οὐδὲ χρὴ πλέον τῶν ιε' ἢ κ' μιλίων χωρισμένας ποιεῖσθαι τὰς τοιαύτας αἰφνιδίους ἐπελεύσεις, ἵνα φθάζητε ἀμφότεροι καὶ τὴν πραῖδαν ποιεῖν, καὶ κατὰ τὴν αὐτὴν ἡμέραν ἅμα ἀπλικεύειν.

νς'. Ἐν δὲ ταῖς τοιαύταις ἐπιδρομαῖς οὐ χρὴ τοὺς δυναμένους ἀντικαθίστασθαι ἐχθροὺς ζωγρεῖν B ἤτοι συλλαμβάνειν, ἀλλὰ πάντας τοὺς παρατυγχάνοντας τοιούτους διαχρῆσθαι, καὶ παρέρχεσθαι, καὶ μὴ εἰς αὐτοὺς ἐμβραδύνειν τοὺς τὴν πάροδον μάλιστα ποιουμένους, καὶ τὸν καιρὸν δαπανᾶσθαι.

νζ'. Ἐὰν δέ ποτε βουληθῇς φρούριον ἤτοι κάστρον ἢ ἄκραν τινὰ παραλαβεῖν, ἢ ἕτερον τόπον, μὴ πρόλεγε τῷ πλήθει, ἄχρις ἂν ἐπὶ τοῦτό που γενόμενος ἐγχειρήσῃς τὸ ἔργον.

νη'. Κἂν δὲ καὶ ἀνάγκη ποτὲ γένηται ὥστε ἐκ παντὸς τρόπου τὴν στρατείαν πλησίον ὀχυρώματος πολεμίων ἢ ἀπλικεῦσαι εἰς τὰς ἐξόδους τοῦ ὀχυρώματος, ἵνα τὰς, ὡς εἰκὸς, αἰφνιδίας ἐπιδρομὰς ἐναντίων κωλύσῃ. Τοῦτο δὲ καὶ ἐν τοῖς στενοῖς τόποις γίνεσθαι ἀναγκαῖον.

νθ'. Πλησίον δὲ ὀχυρώματος ἐχθρῶν, ἢ ὕλης, μὴ C ἐπιτηδεύῃς ἀπλικεύειν τὸν στρατόν. Εἰ δὲ ἀνάγκη πᾶσα ἐκεῖσε ἀπλικεύειν, ἀκριβῶς τὰς παραφυλακὰς ποιοῦ διὰ τὰς τῶν ἐχθρῶν ἐπιθέσεις. Καὶ μᾶλλον σπούδαζε, ἵνα ἡπλωμένῳ, ἢ ὑψηλοτέρῳ τόπῳ καὶ ὀχυρωτέρῳ ἀπλικεύσῃς.

ξ'. Ὅταν δὲ εἰς τὴν πολεμίαν γῆν εἰσέρχῃ, τὴν ἀποσκευὴν πᾶσαν ἤτοι τοῦ τούλδου (39) ὄπισθεν ἀκολουθεῖν ποιήσεις· πλησιαζόντων δὲ τῶν ἐχθρῶν ἐν μέσῳ τοῦ στρατοῦ τὸ τοῦδον (40) εἶναι παρασκεύαστον (41).

ξα'. Κεχωρισμένην δὲ εἶναι ἀπὸ τῶν ὁπλοφόρων στρατιωτῶν τὴν ἀποσκευὴν καὶ τοὺς αἰχμαλώτους ἐὰν εἰσί· μήποτε πολεμίων ἀθρόως ἐπερχομένων τοῖς ἀγωνιζομένοις ἐμπόδισμα γένηται· μὴ μόνον D δὲ ἐν τῇ ὁδοιπορίᾳ τοῦτο φύλαττε, ἀλλὰ καὶ ὅταν ἀπλικεύεις.

ξβ'. Ἐπὶ δὲ τῆς πολεμίας γῆς τοὺς μινσουράτωρας ἀπροόπτως μὴ ἀποστέλλῃς προλαμβάνειν ἄνευ βοηθείας ἀρκούσης αὐτοῖς, ἀλλὰ μόνον διὰ τῶν αἰχμαλώτων καὶ αὐτομόλων ἀσφαλῶς ἀνερεύνα τὴν τῶν τόπων ποιότητα.

ξγ'. Ὅταν δὲ ὁ στρατὸς ἀπλικεύειν μέλλῃ, μὴ ἀναμεμιγμένως καὶ ἀτάκτως ἐπερχέσθωσαν, ἐν τῷ τοῦ φοσσάτου ἀπλίκτῳ· ἀλλὰ ἐὰν ἐχθροὶ ἐγγίζωσι, καὶ συμπάρεισι πεζοὶ τῷ στρατῷ προτέρας ἁμάξας τιθέτωσαν, καὶ ἐν τάξει τὰ ὀρύγματα ποιείτωσαν

NOTÆ.

(39) *Τοῦ τούλδου*. Scribe, τοῦ τοῦλδον.
(40) *Τοῦδον*. Scribe, τοῦλδον.
(41) *Παρασκεύαστον*. Scribe, παρασκεύασον.

πρεπόντως τοῦ τάφρου. Οἱ δὲ ἐξάπληκτοι, ἤγουν οἱ εὐπλήκτως ἄνευ βάρους περιπατοῦντες πάντες ἀπὸ ὀλίγου διαστήματος ἕτοιμοι στηκέτωσαν, καὶ τότε τὴν ἀποσκευὴν κατὰ τάξιν εἰσέρχεσθαι καὶ ἀπλικεύειν. Καὶ ὅταν ἀπολύσῃς καὶ τὰς βουλὰς, τότε εἰσερχέσθωσαν καὶ αὐτοὶ οἱ ὁπλῖται, κατὰ τάξιν, καὶ ἀπλικευέτωσαν, καθὼς σοι καὶ ἐν τῷ *Περὶ ἀπλήκτων* λόγῳ διεταξάμεθα.

ξδ'. Ἐὰν δὲ πλησίον μὴ εἰσιν ἐχθροὶ, ἀρκεῖ καὶ δι' ἑνὸς δρούγγου τοῦτο γίνεσθαι τὸ σχῆμα· καὶ οὕτως ἐκείνων ἱσταμένων τοὺς λοιποὺς ἀπλικεύειν.

ξε'. Ἐχθρῶν δὲ ἐγγιζόντων, καὶ σύστασιν ποιούντων, ἢ ὀχυρωμάτων πλησίον, ἢ ὕλης, ἢ τόπου δυσχεροῦς, μὴ ἀφίῃς ὡς ἔτυχε τινὰς βόσκειν τοὺς ἵππους, ἀλλὰ καὶ τὰς βίγλας ἀσφαλῶς πέμπε, καὶ ἔχε μὲν τοὺς ἵππους ἐν τῷ χάρακι. Σπουδάζειν δὲ ὥστε ἀπὸ χειρῶν συνάγειν ἐκ τῶν εὑρισκομένων καρπῶν ἐν τοῖς πλησίον χωρίοις, τοῦ τε χόρτου καὶ τῶν κριθῶν τὴν συλλογὴν ποιεῖσθαι οὕτως, ὥστε μετὰ τῶν παλλικαρίων τοῦ τούλδου εὐπλήκτως (42) ἀπὸ ἑκάστου μέρους συνέρχωνται ὡπλισμένοι στρατιῶται ἐν τάξει περιπατοῦντες διὰ τὰς αἰφνιδίους τῶν ἐχθρῶν ἐπελεύσεις.

ξς'. Ἐὰν δὲ χρονίσῃς τῷ τόπῳ, καὶ ὁ καιρὸς ἐπιτήδειός ἐστι, καὶ ὁ τόπος ὁμοίως πρὸς ἀποτροφὰς, ἔστι δὲ καὶ ἡ δύναμις τῶν ἐχθρῶν ἀπὸ μακρόθεν, τότε δυνατόν ἐστιν βόσκεσθαι τοὺς ἵππους βίγλας διπλῆς καὶ τριπλῆς πολλάκις πεμπομένης (43) ἀπὸ πολλῶν διαστημάτων καὶ ταύτης συχνῶς ἀλλασσομένης.

ξζ'. Ἐὰν δέ τινας ἐπὶ πραῖδαν τάξῃς, οὗτοι μόνοι ἐξερχέσθωσαν. Εἰ δέ τινες τῶν στρατιωτῶν ἐπιμιχθῶσιν αὐτοῖς ἰδίᾳ αὐθεντίᾳ ποιήσεις γενέσθαι διαλαλιὰν, ὥστε μηδένα ἕτερον πλὴν τῶν ὡρισμένων ἐξελθεῖν εἰς τὴν πραῖδαν. Καὶ τότε μετὰ τὸ μανδάτον τοὺς παρακούοντας συνέχεσθαι καὶ παραπέμπεσθαι τοῖς ἰδίοις αὐτῶν ἄρχουσιν εἰς τὸ σωφρονίζεσθαι, ἵνα μὴ οἱ λοιποὶ λαμβάνοντες ἄδειαν, καὶ εἰς ἁρπαγὴν ἐκτρέχοντες, γυμνώσωσί σε ἀπὸ στρατοῦ, καὶ κινδυνεύσῃ ὅλος ὁ λαός.

ξη'. Ἀκρίβειαν δὲ καὶ ἀσφάλειαν ἔχε, ἵνα ἐὰν τύχῃ καὶ εὑρεθῇ ἢ οἶνος, ἢ ἄρτος, μὴ τρώγειν αὐτὸν καὶ πίνειν πρὸ πείρας, ἐὰν μὴ πρότερον διὰ τῶν αἰχμαλώτων δοκιμάσῃς αὐτόν. Καὶ οὕτως εὑρίσκων ἀπαθῆ καὶ ὑγιῆ, τότε ποιήσεις χρήσασθαι αὐτὰ τοὺς στρατιώτας. Ἀλλὰ μηδὲ τὸ ἐν τοῖς φρέασιν ὕδωρ, ἢ κινστέρναις, ἢ λάκκοις, ἢ ἐν ἄλλοις ἀγγείοις· πολλάκις γὰρ διὰ φαρμάκων ἀφανίζονται, καὶ θανατηφόρα γίνεται.

ξθ'. Εὑρέθησαν γάρ ποτε καὶ κριθαὶ οὕτως φαρμακευθεῖσαι, καὶ μὴ ἐχόντων ἄλλοθεν τῶν στρατιωτῶν τοῖς ἀλόγοις ἀποτροφὴν, ἠναγκάσθησαν ἐκεῖθεν αὐτοῖς παραλαβεῖν τροφὴν, καὶ οὐκ ὀλίγοι διὰ τοῦτο ἵπποι ἀπώλοντο.

autem milites, id est, qui gravi armatura non utuntur, omnes parvo intervallo instructi ab illis distent, tumque apparatus et impedimenta ex ordine ingrediantur in castra: ubi autem excubias vigiliasque emiseris, tunc armati ipsi ex ordine ingrediantur et castra ponant, quemadmodum tibi in cap. *De castris ponendis* explicuimus.

64. Sin hostes prope non adfuerint, satis erit uno drungo, id est, cohorte milliaria, instructos hanc formam observari, ut ea quemadmodum prædiximus consistente, reliqui castra ponant.

65. Hostibus jam imminentibus, atque unum in locum prope congregatis, si munitio aliqua prope fuerit, aut aliqua locorum difficultas, ne equos temere ad pastum emitti sinas, sed et excubias tuto mitte, equos autem intra valli ambitum retine. Effice autem ut manibus suis quod frumenti pabulique est, finitimis in locis congregent, sed ita, ut cum impedimentorum administris omnibus ex partibus armati milites circum illos obambulent, ad subitas hostium incursiones repellendas.

66. Sin uno in loco diutius commoratus fueris, et tempus idoneum locusque similiter ad alimenta opportunus est, hostiumque copiæ eminus abfuerint, equi tum ad pastum emittantur, excubiis duabus aut tribus longo intervallo emissis frequenterque commutatis.

67. Si quos ad prædam emiseris, hi soli exeant. Sin quidam ex militibus illis admisti fuerint, propria tua auctoritate mandatum divulgari facies, ut nemo alius præter eos qui constituti sunt ad prædandum exeat. Post hoc mandatum si qui transgressores fuerint, capiantur, et ad suos ipsorum præfectos mittantur, ut ab illis castigentur, ne, si impuniti sint, reliqui cum securitate quadam ad prædandum excurrentes, deserant exercitum, atque adeo in periculo exercitus sic relictus sit.

68. Exquisite diligenterque providebis, ut si vinum aut panis inveniatur, non confestim edant aut bibant, nisi per captivos prius exploraveris, utrumne salubria atque integra sint: quod si ita esse inveneris, tum fruantur illis milites. Sed neque aqua in puteis aut cisternis aut aliis in vasis nisi explorato utantur: sæpe enim veneno hujusmodi inficiuntur, et lethalia sunt.

69. Hordeum enim sæpe sic veneno imbutum inveniebatur, et cum reliquo pabulo deficerentur, milites ad equos asportandos, inde pabulantes, equisque afferentes, complures equos perdiderunt.

NOTÆ.

(42) *Εὐπλήκτως*. Scribe, ἐξαπλήκτως. Qua de voce supra a me dictum est. Et mox iterum § 71, εὐπλήκτους καὶ εὐόπλους Scribe, ἐξαπλήκτους, καὶ εὐόπλους.

(43) Ut superius innuimus mutilus est superioribus paragraphis codex, usque ad paragraphum 67.

70. Præcipies etiam exercitui, quemadmodum in capite *De itinere faciendo* explicuimus, ut si sæpe tumultus aliquis aut perturbatio in exercitu fuerit, ne huc illucque exercitus circumcurset et circumferatur, sed illuc ruant omnes ubi tumultus est: ex eo enim fiet ut adversus hostes parati sint, si quid tale contingat, neque confuse inter se aut perturbate misceantur.

71. Excubias quando in hostilem terram immittis, non solum in anteriorem partem emittas, eamque tutam conservabis, sed etiam a tergo expeditos armatosque milites, id est, idoneas copias aliquo cum honesto præfecto instructas (qui tergistites nominabantur) ad decem vel quindecim milliarium intervallum cum excubiis accuratis collocabis, propter eos qui vel per infirmitatem, vel alia de causa tardantur, et deseruntur ab exercitu, ut ne hoste subito irrumpentes illos intercipiant.

72. Incursiones enim ab hostibus tum fieri consueverunt, quando secure et sine timore transeunt hostes, et qui anteriore in parte sunt, posteriorem partem minus juvare possunt.

73. Hoc si nostra in regione feceris, haud inutile fuerit, multis præsertim huc illucque palantibus, et præter præfectorum suorum mentem a statione sua recedentibus: ex eo enim cognosces, qui milites in ordine fuerint, et qui a statione sua recedant.

74. De locorum angustiis, et difficilibus ad transeundum locis, mentionem fecimus in cap. de itinere faciendo, quare de illis iterum verba facere supervacaneum est, cum inde harum rerum capere possis cognitionem, ut ne temere et considerate condensa difficiliaque loca transire coneris.

75. Sin aliqua necessitas impellat, quemadmodum in cap. de itinere faciendo præscripsimus, ea cautio adhibenda est ad ea loca prætergredienda, maxime si in hostili terra fueris, hostesque immineant.

76. Si hostes in terram vestram irruperint, ne coram et aperte cum illis dimices, si vel majores vel æquales hostium copiæ tuis fuerint, sed insidieris potius, structis insidiis, et aliis molitionibus, sive noctu sive interdiu, viasque illorum obstruas, munitionesque anticipes, vel per pedites, vel equites, vel per utrosque, et pabulum in medio hostibus positum populare.

77. Si cum hoste confligere cupis, tum potius facito quando a prædatione redit, quam cum ad prædandum discedit: tum enim in præda occupatus est, et præterea labore lassatus: idque potis-

A ο'. Παραγγείλῃς δὲ τῷ στρατῷ καθὼς ἐν τῷ Περὶ ὁδοιπορίας ἡμῖν εἴρηται λόγῳ, ἵνα ἐὰν ὡς πολλάκις γένηται ταραχὴ εἰς τὸν λαὸν, μὴ ἀλλαχοῦ, ὧδε καὶ ἐκεῖσε τρέχειν αὐτοὺς καὶ περιφέρεσθαι· ἀλλ' ἐκεῖ ὁρμᾷν πάντας, ὅπου ἡ ταραχὴ γέγονεν· ἐκ τούτου γὰρ καὶ πρὸς τοὺς πολεμίους ἕτοιμοι γίνονται, ἐάν τι τοιοῦτον συμβῇ, καὶ οὐ συμφύρονται εἰς ἀλλήλους καὶ συγχέονται.

οα'. Τὰς δὲ βίγλας ἡνίκα εἰσβάλλεις εἰς τὴν πολεμίαν γῆν, μὴ μόνον κατὰ τὸ ἔμπροσθεν μέρος ἀποστέλλῃς πάντοτε, καὶ τοῦτο μόνον ἀσφαλίζῃς, ἀλλὰ καὶ κατὰ τοῦ νώτου ὄπισθεν εὐπλήκτους καὶ εὐόπλους στρατιώτας ἤγουν ἱκανὴν δύναμιν μετὰ χρησίμου ἄρχοντος παράτασσε, τοὺς λεγομένους νωτοφύλακας, ὡς ἀπὸ δέκα μιλίων ἢ ιε', ἢ ὅσον B οἶδας διάστημα, μετὰ βίγλας ἀκριβοῦς, διὰ τοὺς, ὡς εἰκὸς, ὑποστηρίζοντας (44) ἐκ τοῦ στρατοῦ, ἢ δι' ἀῤῥωστίαν, ἢ κατὰ ἑτέραν τινὰ χρείαν· ὅπως αἰφνιδίως οἱ ἐχθροὶ ἐπιπεσόντες συλλάβωνται αὐτούς.

οβ'. Εἰώθασι γὰρ τότε μάλιστα ποιεῖσθαι τὰς ἐγχειρήσεις οἱ ἐχθροὶ, ὅτε καὶ ἀμερίμνως ὁδεύουσιν οἱ στρατιῶται, καὶ οἱ ἔμπροσθεν τοῖς ὄπισθεν εὐκόλως βοηθεῖν οὐ δύνανται.

ογ'. Τοῦτο δὲ καὶ ἐν τῇ ἡμετέρᾳ γῇ ἐὰν ποιήσῃς, οὐκ ἀπρεπές ἐστι διὰ τοὺς, ὡς εἰκὸς, ῥεμβομένους ὧδε κἀκεῖσε στρατιώτας, καὶ μὴ καλῶς διαγινομένους παρὰ γνώμην τοῦ ἄρχοντος αὐτῶν· ἐκ τούτου γὰρ γινώσκεις τίς ἀμελεῖ τῆς τῶν στρατιωτῶν καταστάσεως.

οδ'. Περὶ δὲ στενῶν τόπων καὶ δυσβάτων διαβάσεων C ἐν γῇ πολεμίων μεμνήμεθα παρακελευσάμενοι τῇ σῇ ἐνδοξότητι, ὦ στρατηγὲ, ὅτε τὴν περὶ τῆς ὁδοιπορίας διάταξιν ἐποιούμεθα. Διὸ περὶ τῶν αὐτῶν πάλιν διεξελθεῖν ἀπειρόκαλον ἡγούμεθα, ὡς ἐκεῖθεν ἔχοντός σου ἤδη τὴν περὶ τούτων διάγνωσιν, ὥστε μὴ ἀπερισκέπτως καὶ ὡς ἔτυχεν ἀνάγκης χωρὶς ἐπιτηδεύειν εἰς δασεῖς καὶ δυσβάτους καὶ δυσχερεῖς τόπους διαβαίνειν.

οε'. Εἰ δέ τις τοῦτο ἀνάγκη γενέσθαι κατεπείγει, μετὰ τῆς εἰρημένης, ὡς εἴπομεν ἐν τῇ περὶ ὁδοιπορίας διατάξει, [μετὰ] παρατηρήσεως ποιεῖσθαι τὴν τῶν τοιούτων τόπων πάροδον, μάλιστα ἐν γῇ πολεμίᾳ, καὶ πολεμίων ἐπικειμένων.

ος'. Ἐὰν δὲ πολέμιοι εἰς τὴν ἡμετέραν χώραν D εἰσβάλλωσιν, σκοπός σοι ἔστω, ὦ στρατηγὲ, μὴ φανερῶς, καὶ ἐκ παρατάξεως αὐτοῖς πολεμεῖν, καὶ μάλιστα ἐν τῇ εἰσόδῳ αὐτῶν, ἐὰν ὑπερέχῃ ἢ καὶ ἰσόμοιρός ἐστιν ἡ δύναμις τοῦ ἐχθροῦ, ἀλλὰ ἐνεδρεύειν μᾶλλον δι' ἐγκρυμμάτων καὶ ἄλλων ἐπιτηδεύσεων, ἢ ἐν ἡμέρᾳ, ἢ ἐν νυκτὶ ἀσφαλῶς καὶ τὰς ὁδοὺς ἐμφράσσειν, καὶ προκαταλαμβάνειν ὀχυρώματα ἢ διὰ πεζῶν, ἢ διὰ καβαλλαρίων, ἢ δι' ἀμφοτέρων, καὶ ἀφανίζειν δαπάνας προκειμένας τῶν ἐχθρῶν.

οζ'. Εἰ δὲ βουληθῇς συμβαλεῖν τῷ πολεμίῳ ὅταν μᾶλλον ἐπανέρχηται ἀπὸ τῆς πραίδας, ἢ ἐξέρχηται τῆς χώρας· τότε γὰρ καὶ εἰς τὴν πραίδαν περισπᾶται καὶ κοπωμένος ἐστὶν, μάλιστα ἐὰν καὶ τοῖς ἰδίοις

NOTÆ.

(44) Ὑποστηρίζοντας. Scribe, ὑστερίζοντας.

ἐγγίζῃ· τότε οὖν σύμβαλλε αὐτῷ, εἰ ἄρα βούλῃ συμβάλλειν.

οη'. Ὁ γὰρ ἐν ἰδίᾳ χώρᾳ διάγων, ἀμελέστερον διάκειται περὶ τὴν μάχην, πολλὰς ἀφορμὰς ἔχων τοῦ σώζεσθαι, καὶ κινδυνεύειν οὐ βουλόμενος. Ὁ δὲ τῆς ἀλλοτρίας γῆς ἐπιβαίνων καὶ κατατρέχων, ὅταν ἐν τοιαύτῃ γένηται ἀνάγκῃ, εἰς ἀπόνοιαν τρέπεται, πάντως λογιζόμενος ὅτι ἡ φυγὴ αὐτῷ εἰς κίνδυνον καὶ ἀπώλειαν γίνεται.

οθ'. Χρεὼν δέ σε, ὦ στρατηγὲ, πάντοθε φυλάττειν ἑαυτὸν ἀπαθῆ καὶ ἀπλήγωτον, ἐν παντὶ καιρῷ (45) καὶ τόπῳ, μάλιστα ἐχθρῶν παρακειμένων. Σοῦ γὰρ φυλαττομένου οὔτε πλατύνονται οἱ ἐχθροὶ εἰς βλάβην τῆς χώρας, οὔτε πολιορκίας εὐχερῶς τοῖς ὀχυρώμασιν ἐπάγειν δύνανται. Ὑφορῶνται γὰρ καὶ ὑποπτεύουσι τὸν στρατὸν συνιστάναι.

π'. Καὶ γὰρ εἴγε μὴ δοκεῖ σοι συμβάλλειν δημοσίᾳ τοῖς ἐχθροῖς, ὅμως οὕτως εὐτρεπίζεσθαί σε δεῖ, καὶ φαίνεσθαι, καὶ ὑπόνοιαν πᾶσι τοῖς τοῦ στρατοῦ παρέχειν, ὡς πάντως συμβάλλειν τοῖς πολεμίοις. Τοῦτο γὰρ οἱ ἐναντίοι μανθάνοντες καὶ λυποῦνται καὶ συστέλλονται.

πα'. Ἐὰν δὲ τῶν ἐναντίων εἰς τὴν ἡμετέραν εἰσβαλλόντων, ὁ τόπος καὶ ἡ θέσις τῆς ἐκείνων χώρας ἐπιτηδεία ἐστὶ πρὸς τὴν ἔφοδον, δι' ἑτέρου τόπου μᾶλλον ἐπιτήδευε πέμπειν στρατὸν ἐν αὐτῇ, ἵνα ἐκ τούτου περισπάσῃς τοὺς ἐχθρούς.

πβ'. Πάντως δὲ καὶ τὴν θέσιν, ὡς εἴρηται, κατανοήσεις, καὶ τὰ διαστήματα, ἵνα εἴπερ γνωσθῇ τοῖς ἐχθροῖς τοῦτο, καὶ ὁρμήσωσι κατὰ τῶν πεμπομένων εἰς τὴν χώραν αὐτῶν, ὁ ἡμέτερος στρατὸς δι' ἑτέρου τόπου ἐξέλθῃ ἀπαθής· ὅπως μὴ ὁρμώντων τῶν ἐχθρῶν ἐκεῖθεν εἰς ὄψιν αὐτῶν περιπέσωσιν.

πγ'. Τοιοῦτον πεποίηκε Νικηφόρος ὁ ἡμέτερος στρατηγός. Ἀπουλφέρου γὰρ τοῦ τῶν Σαρακηνῶν ἀμηρᾶ τὴν Καππαδοκίαν καταδραμόντος, αὐτὸς τὴν Ταρσὸν καὶ πᾶσαν Κιλικίαν κατεληΐσατο, πολλὴν Σαρακηνοῖς ἐργασάμενος τὴν βλάβην.

πδ'. Ἐχθρῶν τοίνυν τὴν ὑπὸ σὲ χώραν, εἰ οὕτω συμβῇ, κατατρεχόντων, δέον ἐστὶ πάντα τὰ ἀναγκαιότερα πράγματα ἐν τοῖς ὀχυρωτέροις κάστροις ἢ τόποις ἀναλώτοις συλλέγειν, φυγαδεύειν δὲ καὶ τὰ ἄλογα τῆς χώρας, ἵνα μὴ μᾶλλον συλλαμβανόμενα ἰσχυροτέρους τοὺς ἐχθροὺς ποιήσωσιν.

πε'. Ἐὰν δὲ ἢ λαὸς ἢ πράγματα εἰς δοκοῦντα μὲν ὀχυρὸν τόπον, μὴ ὄντα δὲ ἀληθῶς, συνέλθωσιν, πάντως δεῖ αὐτοὺς διὰ τῆς σῆς προνοίας μεθίστασθαι, καὶ εἰς ὀχυρωτέρους ἀπελθεῖν τόπους, ἔνθα καὶ ἄφοβος αὐτοῖς ἡ φυλακὴ γενήσεται.

πϛ'. Ὅσα δὲ μὴ κατὰ φύσιν ὀχυρά εἰσιν ἢ κάστρα, ἢ τόποι ἕτεροι, προασφαλίζου αὐτά. Κἂν εἴ ποτε οἱ ἐχθροὶ βουληθῶσι παρακαθίσαι αὐτοῖς, μέρος τῆς στρατιᾶς ἀφανῶς εἰς βοήθειαν καὶ ἐκδίκησιν αὐτῶν ἔκπεμπε, καὶ μὴ ἐᾷς τοὺς ἐχθροὺς ἀδεῶς τὰς ἔξω-

A simum, si prope tuos fueris; tum enim cum illis confliges, si quando tibi videbitur confligendum.

78. Qui enim cum ipsius in terra est, negligentior ad pugnandum est, et multas occasiones habet vel ut servetur, vel periclitetur. Qui vero alienam terram invadit et depopulatur, si in tali perturbatione fuerit, in magnis ærumnis est, hoc secum reputans, fugam et tergiversationem non modo periculum, verum etiam internecionem afferre.

79. Teipsum ab omni vulnere offensioneque integrum securumque servabis omni loco et tempore, hostibus potissimum imminentibus. Hoc enim diligenter observato, neque se hostes ad depopulandam regionem nostram facile dissipant, B neque facile munitionem aliquam obsidendo oppugnant. Exercitum enim nostrum colligi congregarique unum in locum existimant.

80. Quanquam autem constitutum tibi sit minime te velle cum hostibus confligere, assimulato tamen id te velle facere, et apparanda tibi omnia sunt, opinioque afferenda tuæ cum illis dimicationis. Hoc autem illi audientes magis excruciabuntur vexabunturque.

81. Si hostibus vestram in regionem irrumpentibus, locus et situs regionis illorum ad incursionem idoneus est, per alium locum contende magis exercitum ducere, ut hoc modo magis hostes perturbes.

C 82. Omnino autem, quemadmodum dixi, et situm advertes, et intervalla, ut si incursio nostra cognita hostibus fuerit, et impetum in eos conantur hostes facere, exercitus noster per alias vias securus discedat, ut ne hostes irruentes in conspectum illorum veniant.

83. Tale quidpiam Nicephorus dux noster fecisse memoratur. Nam cum Apulpher Saracenorum dux Cappadociam depopularetur, ipse Tarsum universamque Ciliciam vastabat, et multa damna Saracenis inferebat.

84. Hostibus regionem tuam, si id ita contingat incursantibus, omnia quæ necessaria sunt, ad munitiones, castella, et loca ad capiendum difficilia conferantur: jumenta autem omnia ex ea parte D regionis amandentur, ut ne si ab hostibus capiantur, fortiores hostes faciant.

85. Si plebs res bonaque sua ad loca quæ munita fortiaque videntur esse, non tamen sunt, abduxerint, providentia tua efficiendum est, ut ad fortiora munitioraque loca traducantur, ubi secura illis rerum suarum custodia erit.

86. Quæcunque natura minus munita sunt vel castella vel alia loca, firmanda jam sunt: et si partem aliquam exercitus sui ad ea oppugnanda hostes reliquerint, occulto ad repellendos ulciscendosque eos quosdam emittes, neque hostes

NOTÆ.

(45) Ἐν παντὶ καιρῷ. Scribebatur, ἐὰν παντὶ καιρῷ.

permittas libere pabulari, sed eos qui pabulatum eunt adoriaris, et capias, atque adeo hostes affliges.

87. Atque hæc quidem de incursionibus, sive tu in hostilem terram irruperis, sive hostes tuam invadant, satis nobis dictum sit. Nunc alia quæ ad militiam pertinent, explicanda sunt, atque hoc in primis, quemadmodum speculatores in hostilem terram immittere, et quemadmodum hostium speculatores in exercitu nostro clam latentes exquirere possumus.

88. Omnino tibi hostium copiæ quantum potes cognoscendæ sunt, quanta magnitudine, quantisque viribus sint, atque ita tibi suscipienda administrandaque contra illos omnia sunt. Nam equestrium pedestriumque copiarum formæ, locorumque situs, magnam differentiam virium ac roboris in exercitu habent, et infinitum quemdam errorem afferunt iis qui simpliciter atque imperite ista æstimant. Hoc autem, quod dico, verum esse quæ sequuntur facile demonstrabunt.

89. Pone autem sexcentos equites in longitudinem, et quingentos in latitudinem instrui, qui numerus continet trecenta millia equitum: unumquemque equum loco suo constitutum habere, quod ad latitudinem spectat, pedes tres, ex quo fiunt pedes mille octingenti: unumquemque quod ad altitudinem spectat habere pedes octo, ex quo fiunt pedum quatuor millia: itaque quadrata in forma propter longitudinem mille octingentorum pedum, et propter latitudinem quatuor mille pedum, septingentæ viginti myriades pedum integrorum: ambitus autem externorum pedum circum per latera, undecim millia sexcenti pedes. Et quando sex pedes faciunt ulnam, centum ulnæ faciunt stadium, septem stadia et dimidium faciunt milliare, conficitur ambitus universus undecim millia sexcenti pedes, duo milliaria et sexcenti passus. Hac igitur forma capiuntur trecenta millia hominum, si perfecte addensentur. Sin rariores fuerint, ex densitatis ratione raritatis intervallum reputandum est, atque adeo ex loci spatio multitudinem populi animadvertere.

90. Trecenta hæc millia hominum in simplici extentoque contubernio instruemus. Unoquoque equo in longitudinem aciei instructo, fiunt pedum nongenta millia, quæ in directum producta, duo millia passuum juxta perfectæ densationis rationem faciunt. Quod si dispersi dissipatique ambulent, multiplicem longe magis hoc loco locum possident: longeque plures videntur esse, cum dispersi sunt, quam si ordinem stationemque suam serva-

A θεν δαπάνας συλλέγειν· ἀλλὰ περισκόπει, καὶ τοὺς ἐπὶ συλλογῇ τῶν δαπανημάτων πεμπομένους ἐνέδρευε, καὶ συλλάμβανε. καὶ ἐντεῦθεν στενοχώρει τοὺς ἐχθρούς.

πζ'. Καὶ ταῦτα μὲν περὶ ἐφόδιων σοῦ τε πρὸς τὴν πολεμίαν καὶ τῶν πολεμίων πρὸς τὴν σὴν γινομένων, εἴρηται ἡμῖν. Χρεὼν δὲ καὶ περὶ τῶν ἄλλων. ὅσα χρήσιμα πρὸς στρατηγίαν δοκοῦσι καὶ ἀσφάλειαν, διεξελθεῖν, καὶ μάλιστα περὶ τοῦ πῶς δέον κατασκοπεῖν ἐχθρούς, καὶ ὅπως πάλιν τοὺς ἀπ' ἐκείνων πεμπομένους κατασκόπους κρατεῖν λανθάνειν θέλοντας ἐν τῷ στρατῷ.

πη'. Δεῖ οὖν σε σκοπεῖν ἀκριβῶς, ὦ στρατηγὲ, τὴν ποσότητα τῆς τῶν ἐναντίων δυνάμεως πάντως, καὶ πρὸς τοῦτο κανονίζειν καὶ διοικεῖν σε τὰ κατ' αὐτῆς.
B Τὰ γὰρ σχήματα τῶν καβαλλαρικῶν τε καὶ πεζικῶν τάξεων, καὶ αἱ τῶν τόπων θέσεις, πολλὴν τῆς ποσότητος τοῦ λαοῦ διαφορὰν ποιοῦνται, καὶ ἀνυπέρβλητον εἰσάγουσιν πλάνην τοῖς ἁπλῶς καὶ ἀπείρως κατανοοῦσιν αὐτά. Καὶ ὅτι ὃ λέγω (46) ἀληθές ἐστιν, μαρτυρήσει τάχα (47) τῇ θεωρίᾳ ὁ μέλλων λεχθῆναι τρόπος.

πθ'. Ὑπόθου γὰρ ἑξακοσίους καβαλλαρίους εἰς μῆκος ἐπὶ πεντακοσίοις εἰς πλάτος τάσσεσθαι (48), ὃ γίνεται τριάκοντα μυριάδες, ἤγουν τριακόσιαι χιλιάδες καβαλλαρίων. Ἑκάστου δὲ ἵππου εἰς τόπον τασσομένου κρατοῦντος πόδας τρεῖς κατὰ πλάτος, γίνονται πόδες χίλιοι ὀκτακόσιοι· καὶ ἑκάστου ἵππου ἐν τῷ βάθει τασσομένου κρατοῦντος πόδας ὀκτώ,
C γίνονται πόδες τετρακισχίλιοι, ὥστε γίνεσθαι ἐν τετραπλεύρῳ σχήματι ὑπὸ τοῦ μήκους τῶν χιλίων ὀκτακοσίων, καὶ τοῦ βάθους τῶν τετρακισχιλίων ποδῶν, ἑπτακοσίας εἴκοσι μυριάδας πόδας στερεούς· ἡ δὲ περίμετρος μόνης ἐπιφανείας ἔξωθεν διὰ τῶν τεσσάρων πλευρῶν, γίνονται πόδες μύριοι καὶ χίλιοι ἑξακόσιοι, καὶ ἐπειδὴ δὲ οἱ ἓξ πόδες ποιοῦσιν ὀργυιὰν μίαν, αἱ δὲ ἑκατὸν ὀργυιαὶ ποιοῦσι στάδιον ἕν, τὰ δὲ ἑπτὰ καὶ ἥμισυ στάδια ποιοῦσι μίλιον ἕν, συνάγεται ἡ περίμετρος πᾶσα, ἤτοι οἱ μύριοι καὶ χίλιοι καὶ ἑξακόσιοι πόδες εἰς μίλια δύο ἥμισυ δέκατον ἔγγιστα. Ἐν τούτῳ οὖν τῷ διαστήματι καὶ σχήματι χωροῦνται αἱ τριάκοντα μυριάδες τῶν καβαλλαρίων κατὰ τελείαν πύκνωσιν. Εἰ δὲ ἀραιότεροι ἵστανται, ἐκ τῆς πυκνώσεως ἐπιλογίζεσθαι δεῖ τὴν ἐνοῦσαν
D ἀραιότητα, καὶ οὕτως συμβάλλειν ἐκ τοῦ μεγέθους τοῦ τόπου τὸ ποσὸν τοῦ λαοῦ.

ϟ'. Τάξομεν δὲ τὰς τριάκοντα μυριάδας ἤγουν τὰς τριακοσίας χιλιάδας ἐπὶ ἁπλῆς ἀκίας καὶ ἐκτεταμένης. Ἑκάστου δὲ ἵππου εἰς μῆκος τασσομένου τῆς παρατάξεως κρατοῦντος, ὡς εἴρηται, πόδας τρεῖς, γίνονται πόδες μυριάδες ἐνενήκοντα, οἳ ποιοῦσι διάστημα ἐπ' εὐθείας μίλια διακόσια ἔγγιστα, ταῦτα μὲν, ὡς εἴρηται, κατὰ τελείαν πύκνωσιν. Εἰ δὲ διεσκεδασμένοι καὶ ἐσκορπισμένοι κινοῦνται, ὁμολογούμενόν ἐστιν, ὅτι πολλαπλασίονα τοῦ μέτρου τούτου

NOTÆ.

(46) *Λέγω*. Scribebatur, λέγων.
(47) *Τάχα*. Scribebatur, τύχα.
(48) *Τάσσεσθαι*. Scribebatur, τὰ σέσσεσθαι.

κατέχουσι τόπον, καὶ πλείονες τῶν ἐν τῇ τάξει ἑστώτων τῷ ὀφθαλμῷ ὑποπίπτουσιν. Εἰ δὲ ἐν πλαγίῳ τόπῳ καὶ ὑψηλοτέρῳ περιπατοῦσιν, ἔτι πλέον.

ϞΑʹ. Διὸ καὶ οἱ βουλόμενοι στρατὸν διὰ κόμπον τινὰ ὑποδεῖξαι, ἢ ἐπὶ λεπτοτέρου βάθους τάσσουσιν αὐτὸν, ἢ κεχυμένον μηκόθεν, ἢ διεσκεδασμένον καὶ διεσπαρμένον. Οἱ δὲ παλαιότεροι τῶν τακτικῶν τὴν πεζικὴν τάξιν, ὅταν μέν ἐστι τεταγμένη, τέσσαρας πήχεις ἱστῶσι τὸν ἕνα ἄνδρα κατέχειν. Ὅταν δέ ἐστι πεπυκνωμένη, εἰς δύο πήχεις· ὅταν δὲ κατὰ συνασπισμὸν ἐν παρατάξει πῆχυν ἕνα κατέχειν τὸν στρατιώτην, ὥστε καὶ ἐκ τούτου τοῦ μέτρου τὸν ἀκριβῆ σχουλκάτορα ἀναλογίζεσθαι ἀπὸ αὐτοῦ τοῦ μήκους τοῦ τόπου οὐ μόνον τῶν καβαλλαρίων, ἀλλὰ καὶ πεζῶν τὸ πλῆθος.

ϞΒʹ. Τοσαύτης τοίνυν διαφορᾶς οὔσης εἴς τε τὰς τάξεις καὶ εἰς τὰ σχήματα, οὐ δέον σε, ὦ στρατηγὲ, εἰς ἀπείρους τῶν τοιούτων ἀνθρώπους τὰς σκούλκας, ἤτοι τὰς διὰ τῶν κατασκόπων τῶν σῶν διακρίσεις καταπιστεύειν, ἢ τὰς περὶ τούτων βίγλας, μηδὲ τοῖς παρ' αὐτῶν, ὡς ἔτυχεν, λεγομένοις πιστεύειν. Ἀνείκαστον γάρ ἐστιν τοῖς πολλοῖς, καὶ ἀκατανόητον, εἴγε ὑπὲρ τὰς εἴκοσι ἢ τριάκοντα χιλιάδας ἐστὶ, καὶ μάλιστα ἐπὶ ἐθνῶν, οἵτινες πολλοὺς ἵππους ἐπισύρονται, διόπερ ἐμπείροις ἀνδράσι τὰ τοιαῦτα χρὴ καταπιστεύειν.

ϞΓʹ. Μηδὲ προχείρως ἀγωνίᾳ ἐπὶ ταῖς λεπταῖς καὶ μακραῖς παρατάξεσι διὰ πλῆθους ὑπόνοιαν· εἰ γὰρ μή εἰσιν ἀναλόγως ἔχουσαι τὸ βάθος μέγα, ποσὸν οὐκ ἔχουσιν. Τὰς δὲ βαθείας πολυπραγμονείτωσαν οἱ κατάσκοποι, εἰ τὸ τοῦλδον συντέτακται τῇ παρατάξει ὄπισθεν, ἢ μόνοι ὁπλῖταί εἰσιν.

ϞΔʹ. Τὰ μὲν οὖν περὶ τοῦ ποσοῦ δυνατόν ἐστιν ἀκριβέστερον γινώσκεσθαι διά τε τῶν προσφευγόντων πρὸς ἡμᾶς, καὶ διὰ τῶν κρατουμένων ἐχθρῶν, εἰ βουληθῇ δέ τις καὶ διὰ παρόδου στενωτέρων τόπων, ἔτι (49) δὲ καὶ διὰ τῶν ἀπλήκτων, εἰ συμβῇ αὐτοὺς ἡνωμένως ἀπλικεύειν.

ϞΕʹ. Ἐὰν δὲ μή ἐστιν φοσσάτον ἐχθρῶν ἐν μὲν τοῖς στενωτέροις τόποις δι' ὀλίγων κατὰ τὰς τῶν τόπων θέσεις ποιοῦ τὰς σκούλκας, εἰς δὲ τοὺς ὁμαλοὺς καὶ γυμνοὺς τόπους ἐν διαφόροις μέρεσι (50) διὰ πλειόνων ποιοῦ τὰς σκούλκας, καὶ κατὰ συνέχειαν, καὶ ἀπὸ διαστήματος, καὶ μάλιστα εἰς τὰς νύκτας, ὅταν εὐχέρειαν ἔχῃ ὁ ἐχθρὸς διὰ τοῦ τόπου οὗ ἂν βούλεται λαθεῖν καὶ αἰφνιδιάσαι, προκανονίζων τὰς βίγλας, ἐὰν ὀλίγαι εἰσὶ, καὶ διὰ τοῦτο ἀπὸ διαστήματος τὰς βίγλας δεῖ γίνεσθαι, καὶ ἀλλεπαλλήλους ἐν διαφόροις τόποις τοῖς ἐπιτηδείοις καὶ συχνῶς ἀλλάσσεσθαι.

ϞϚʹ. Γνῶθι δὲ ὅτι ἴδιον ἁρμοδίων κατασκόπων ἐστὶ, τὸ φρονήσει καὶ ἀγρυπνίᾳ τόπους τε καὶ κινήσεις πολεμίων κατασκοπεῖν.

ϞΖʹ. Τοὺς δὲ τοιούτους ἐλαφρᾷ ὁπλίσει χρῆσθαι

rent. Sin in deflexo quodam loco eminentioreque incedant, longe plures esse putantur.

91. Itaque qui ad speciem aliquam pompamque exercitus demonstrant, vel tenuiore cum altitudine instruunt eum, vel eminus fusum dispersumque. Antiquiores autem rei militaris periti pedestrem aciem, quando instructa est, quatuor cubitorum unicuique viro spatium dabant. Ubi densabatur acies, duorum cubitorum spatium tribuebant in perfecta aggregatione militum, ut cubitum unum haberet unusquisque: qua ex mensura unusquisque bonus speculator, et ex spatio loci, facile reputabit non modo equitum, verum etiam peditum numerum.

92. Cum igitur tanta sit differentia in acie instruenda, atque in forma exercitus, minime imperitis excubiis speculatoribusque aut fortuitis quibusdam hominibus fides adhibenda est: minime enim hoc percipi vulgo, comprehendique a plebeiis potest, idque præsertim, si supra ducenta aut trecenta millia hominum fuerint. Ethnicæ enim nationes, equos suos arctissime in acie adjungunt. Ita que peritis viris tali in causa credendum est.

93. Ne nimis præcipitanter dimices adversus tenues longasque acies, propter opinionem multitudinis: quamvis enim certa quadam cum proportione non collocatur, neque altitudinem pro numero suo justam habent, speculatores tamen diligenter altitudinem exquirant, utrum impedimenta omnia a tergo aciei collocata sint, an soli armati ibi constituti fuerint.

94. Res hostium abs te melius cognoscantur, vel per eos qui ad te profugerunt, vel per hostes qui capti sunt, vel si quis voluerit per angustorum locorum transitum, vel etiam per castra, si contingat illos uno in loco ca ponere.

95. Si hostium fossatum nullum fuerit, in angustioribus locis pro locorum situ paucos homines ad excubias collocabis: sin in æquabilibus expositisque locis diversas in partes distribuantur, plures ad excubias emittes, tum intervallo locorum distantes, tum continue se mutuo admonentes, noctuque potissimum, quando facile hostis poterit per eum locum quem voluerit clam progredi, et nec opinatam incursionem facere. Præparabis autem excubias, ut quamvis paucæ fuerint, per intervalla tamen locentur, et diversis idoneisque in locis se mutuo frequenter commutent.

96. Bonorum speculatorum hoc officium est, prudentia et vigilantia, loca metusque hostium pernoscere.

97. Ili levi atque expedita armatura utantur,

NOTÆ.

(49) Ἔτι. Scribe, εἶτε.
(50) Διαφόροις μέρεσι. Scribebatur, διαφόρων μέτρεσι.

equosque habeant celeres, ut sine offensione aliqua iter faciant. Exploratores autem sive speculatores securius in hostium copiis castrisque versentur, ut populares illorum esse videantur. Excubiæ autem fideles sint, et robusta corporis specie, animo alacri atque incitato, armatura splendida etiam reliquis militibus anteeant, ut vel aliqua præclara strenuaque re gesta domum redeant, vel si ab hostibus capiantur, ab illis tamen in admiratione sint.

98. Præfectum excubiarum vigilantem, prudentem, experientem, et non fortuitum quemvis eliges : neque enim tantum fortitudine, quantum prudentia ac vigilantia in excubiis agendis opus est.

99. Speculatores solos emittes hostibus jam eminus exsistentibus, si volueris vel motus hostium, vel situs viarum, vel locorum munitionem cognoscere.

100. Quando ad capiendos aliquos incursio fit, tum permissos hos exploratores cum excubiis mittes, atque hi quidem antecurrant, expeditioribus locis speculentur, excubiæ sequantur, et ducantur ab illis.

101. Excubias temporibus necessarias non unas simplices facies una aliqua ex parte, sed diversas et pro loci situ, idoneoque intervallo inter se positas, ut si hostes aliquos illorum lateant, tamen in alios incidentes cognoscantur. Atque in primis excubiis paucos collocabis, in secundis plures, in tertiis his etiam plures.

102. Excubiis præcipies ut neque sedeant, neque recubent, quemadmodum antea alibi præcepimus, ut ne socordiores in re gerenda peccent. Sessio enim et recubatio, somnum maxime afferunt : qui autem hoc faciunt, vigilare non possunt. Sed neque si per totam noctem se vigilaturos recipiant, illis credas : natura enim quod ad se pertinet semper requirit, et tu quod tutissimum facto est facies, si excubiæ alias excubias excipientes noctem transmittant.

103. Pedibus omnino excubiæ consistant : hæc enim pedum statio somnum depellit, magis vigilantes eos qui stant facit : ubi vero lassati fatigatique sunt, commutentur, opportunis descriptisque horis noctis. Nisi enim diligenter ad vigilandum laboraverint, naturamque a somno refrenaverint, facile ab hostibus trucidentur.

104. Itaque exquirendæ vigiliæ sunt, fideles præfecti mittendi, qui subito excubias invadant, et pervideant quemadmodum serventur, et negligen-

A δέον, καὶ ἵππους ἔχειν ταχεῖς, εἰς τὸ ἀνεμποδίστως ὁδεύειν, καὶ τοὺς μὲν ἐξπλοράτωρας ἤτοι κατασκόπους δῆθεν ἀφοβώτερον συνδιάγειν τοῖς πολεμίοις, ὥστε ὁμογενεῖς αὐτοὺς εἶναι νομίζεσθαι, τοὺς δὲ βιγλάτορας πιστοὺς εἶναι, καὶ εἴδει σώματος ἀνδρείῳ, καὶ ψυχῇ εὐτόλμῳ, καὶ ὁπλίσει λαμπρούς, καὶ τῶν λοιπῶν στρατιωτῶν διαφέρειν, ὥστε ἢ ποιήσαντάς τι γενναῖον ἔργον καὶ ἀνδρεῖον ἐπανελθεῖν, ἢ ζωγρηθέντας παρὰ τοῖς πολεμίοις θαυμάζεσθαι.

ϟη'. Τὸν δὲ ἄρχοντα τῆς σκούλκας (51) ἄγρυπνον καὶ φρόνιμον καὶ ἔμπειρον ἐπιλέγου, καὶ μὴ τὸν τυχόντα. Οὐδὲ γὰρ τοσοῦτον ἀνδρείας, ὅσον φρονήσεως καὶ ἀγρυπνίας δεῖται ἡ τῶν σκουλκατόρων χρεία.

B ϟθ'. Μόνους δὲ τοὺς κατασκόπους ἀπόστελλε μακρόθεν ἔτι τῶν πολεμίων ἀπαγγελλομένων, ἡνίκα μάλιστα βούλῃ μαθεῖν ἢ κίνησιν ἐχθρῶν, ἢ θέσιν ὁδῶν, ἢ τόπων ὀχύρωσιν (52).

ρ'. Ὅταν δὲ ἐπὶ τῷ κατασχεῖν τινας ἡ ἐπιδρομὴ ἐστι, τότε ἀναμεμιγμένους τούτους μετὰ τῶν σκουλκατόρων πρόσταττε εἶναι, καὶ αὐτοὺς μὲν προεκτρέχειν, καὶ ἐξ ἀπόπτων (53) ἤγουν ὑψηλῶν χωρίων κατασκοπεῖν, τοὺς δὲ σκουλκάτορας ἀκολουθεῖν ἐκείνοις, καὶ ὁδηγεῖσθαι παρ' αὐτῶν.

ρα'. Τὰς δὲ σκούλκας ἢ βίγλας ἐν τοῖς ἀναγκαίοις καιροῖς μὴ ποιοῦ ἁπλᾶς ἀπὸ ἑνὸς μέρους, ἀλλὰ διαφόρους καὶ ἀλλεπαλλήλους, κατὰ τὴν τοῦ τόπου θέσιν, καὶ ἀπὸ διαστήματος ἱκανοῦ· ἵνα εἰ συμβῇ τοὺς ἐχθροὺς διαλαθεῖν εἰς τοὺς ἄλλους περιπίπτοντες μὴ C διαλάθωσι· καὶ τοὺς μὲν ἐν τῇ πρώτῃ βίγλᾳ ὄντας ὀλιγωτέρους ποιοῦ, τοὺς δὲ μετὰ ἐκείνους ἐν τῇ δευτέρᾳ πλείους, καὶ τοὺς ἐν τῇ τρίτῃ ἔτι πλείους.

ρβ'. Μηδὲ καθίζειν, μήτε ἀνακλίνεσθαι τοὺς βιγλεύοντας παράγγελλε, καθάπερ καὶ ἐν ἑτέροις περὶ τούτου σοι παρηγγείλαμεν, ἵνα μὴ ῥαθυμότερον τοῦ ἔργου αὐτῶν γινομένου ἀπόλωνται· καὶ γὰρ ἡ καθέδρα καὶ ἡ ἀνάκλισις ὕπνον μάλιστα φέρει. Καὶ οἱ τοῦτο ποιοῦντες, ἀγρυπνεῖν οὐ δύνανται· ἀλλὰ μηδὲ ἐὰν ἐπαγγέλλωνταί τινες δι' ὅλης τῆς νυκτὸς κρατεῖν, πιστεύῃς αὐτοῖς· ἡ γὰρ φύσις τὸ ἴδιον ἐπιζητεῖ, καὶ σὺ τὴν ἀσφάλειαν διὰ τῆς τῶν βιγλῶν διαδοχῆς ποιεῖσθαι μὴ ἀμελῇς, ἵστασθαι δὲ τοὺς βιγλεύοντας πάντως.

D ργ'. Ἡ γὰρ ἐπὶ τῆς γῆς στάσις μαραίνει τὸν ὕπνον καὶ μᾶλλον ἐγρηγόρους τοὺς ἱσταμένους ποιεῖ. Ὅταν δὲ χρεία, τότε κοπωθέντας ἀλλάσσεσθαι κατὰ τὰς δεούσας τῆς νυκτὸς διαμερισθείσας αὐτοῖς ὥρας. Εἰ γὰρ μὴ φροντίσωσιν ἐπιμελῶς ὅπως ἀγρυπνήσωσι τὴν φύσιν τέως τοῦ ὕπνου χαλινώσαντες, ῥᾳδίως ἂν παρὰ τῶν ἐχθρῶν ἀπολοῦνται.

ρδ'. Διὸ χρή σε καταζητεῖν τὰς βίγλας καὶ ὅπως γίνονται, καὶ πέμπειν τοὺς πιστοτέρους (54) τῶν ἀρχόντων τοὺς ὀφείλοντας αἰφνιδιάσαι, καὶ ἐπιδεῖν

NOTÆ.

(51) *Σχούλκας*. Scribebatur, σκόλκας.
(52) *Ὀχύρωσιν*. Scribebatur, ὀχυρώμασιν.
(53) *Ἀπόπτων*. Scribebatur, ἀπόντων.

(54) *Τοὺς πιστοτέρους*. Scribebatur, τοὺς στοτέρους.

πῶς αὗται γίνονται, καὶ τοὺς ἀμελοῦντας τιμωρεῖσθαι, ὡς αἰτίους μεγάλου κινδύνου τῷ στρατηγῷ γινομένους.

ρε'. Ὑπολαμβάνω δὲ ὅτι ὁ ἔμπειρος σκουλκάτωρ δύναται ἀπό τινων σημείων, καὶ πρὸ τοῦ ἰδεῖν αὐτὸν τοὺς πολεμίους κατανοῆσαι τὸ μέτρον τοῦ πλήθους αὐτῶν ἐκ τῆς τῶν ἵππων αὐτῶν συστάσεως, καὶ ἐκ τῶν ἀπλίκτων αὐτῶν· δύναται δὲ καὶ τὸν χρόνον στοχάσασθαί ποτε διὰ τοῦ τόπου παρελθὼν ἐκ τῆς τῶν ἵππων καὶ τῶν ἀνθρώπων κόπρου.

ρϛ'. Ἐὰν δὲ φοσσάτον ποιήσῃς, ἤγουν χάρακα, καὶ ἢ τάφρῳ ἢ οἰκοδομήματι ὀχυρώσῃς αὐτὸ, ἤ τινι ἑτέρᾳ ὕλῃ, δόξῃ σοι δὲ ἔσωθεν εἰσαγαγεῖν τοὺς καβαλλαρίους, μὴ πολὺ ἀπὸ διαστημάτων ποιήσῃς τὰς βίγλας, ἵνα μὴ συντρίβωνται ἀκαίρως οἱ ἵπποι.

ρζ'. Πάντως δὲ τοὺς πεμπομένους ἐπὶ σκοῦλκαν παραγγέλλῃς ὥστε ζωγρῆσαί τινα, καὶ ὥσπερ ἐπὶ τῶν κυνηγίων οὕτως σχολάζειν καὶ σπουδάζειν ὥστε προσκουλκεύειν, καὶ ἀσυμφανῶς καὶ ἀγνώστως τοὺς μὲν δι' ὄψεως φαίνεσθαι ὀλίγους ὄντας καὶ ὑποχωρεῖν, ἄλλους δὲ κεκρυμμένους καὶ ἀφανῶς κατακυκλοῦν πρὸς τὴν τῶν τόπων ἐπιτηδειότητα· καὶ ἀλλαχοῦ μὲν δεικνύειν ὄψιν καὶ μόνως, ἑτέρωθεν δὲ ἐπέρχεσθαι μετὰ πλειόνων λεληθότως καὶ διανυκτερεύειν, μάλιστα ὅταν μακρόθεν δοκοῦσιν εἶναι οἱ πολέμιοι, ὅταν οὐδὲ ὑπόνοιαν ἔχωσι τούτου τοῦ δράματος.

ρη'. Τὰς δὲ γινομένας βίγλας μὴ μόνον τοὺς ἐναντίους μὴ εἰδέναι καλὸν, ἀλλὰ μηδὲ τοὺς ἰδίους, λανθάνειν δὲ καὶ τὸν σύνστρατον, ἵνα ἐάν τινες, ὡς εἰκὸς, προσφυγεῖν τοῖς ἐχθροῖς βουληθῶσιν ἐκ τοῦ στρατοῦ, ἀδοκήτως ταύταις περιπέσωσιν.

ρθ'. Ἐὰν δὲ βουληθῇς κατασκόπους κρατῆσαι τῶν ἐχθρῶν, δέον σε θαῤῥῆσαι τοῖς ἄρχουσι τὸ πρᾶγμα, ἵνα ἕκαστος τοῖς ὑπ' αὐτὸν στρατιώταις καὶ τοῖς λοιποῖς παραγγέλλῃ, ὅτι Τυχὸν τῇ ἑξῆς περὶ δευτέραν ἢ τρίτην ὥραν τῆς ἡμέρας κατὰ τὴν πρώτην φωνὴν τοῦ βουκίνου, εἴτε στρατιώτης, εἴτε παῖς ἐστιν, ἕκαστος εἰς τὴν ἰδίαν τένταν ἵνα εἰσέλθῃ, καὶ μηδεὶς τολμήσῃ ἔξωθεν τῆς τέντας εὑρεθῆναι, ἐπεὶ σωφρονίζεται. Καὶ μετὰ τὸ πάντας εἰσελθεῖν, αὐτοὺς τοὺς ἄρχοντας μένειν ἔξωθεν τῶν τεντῶν καὶ θεωρεῖν, ἵνα ὅσους ἔξωθεν τῶν τεντῶν εὕρωσιν αὐτοὶ, κρατήσωσιν αὐτούς. Τοὺς δὲ, ὡς εἰκὸς, εἰσερχομένους εἰς τὰς τέντας, οἱ τῶν κοντουβερνίων συλλαμβάνονται, καὶ κρατήσουσι καὶ παραδώσουσι τῷ ἰδίῳ ἄρχοντι. Ἓν γὰρ γίνεται τῶν δύο εἰς τὸν κατάσκοπον· ἢ γὰρ ἔξωθεν ἱστάμενος συνέχεται ὡς μὴ εἰδὼς ποῦ ἀπελθεῖν· ἢ καὶ, ὡς εἰκὸς, ἐὰν θαῤῥήσῃ εἰσελθεῖν ἔν τινι τῶν κοντουβερνίων, ὡς ξένος ἐπιγινώσκεται, καὶ παραδίδοται τῷ ἄρχοντι τοῦ κοντουβερνίου.

ρι'. Πάντας οὖν τοὺς ὁπωσοῦν κατὰ τοῦτον τὸν τρόπον εὑρισκομένους δεῖ κρατεῖσθαι, εἴτε Ῥωμαῖοι δοκοῦσιν εἶναι, εἴτε ἀλλογενεῖς, καὶ ἐξετάζεσθαι, ὥστε ἐκεῖθεν εὑρίσκεσθαι τὴν ἀλήθειαν.

ρια'. Τοῦτο δὲ γίνεται καὶ ἐν φοσσάτῳ συνηγμένου στρατοῦ ἢ πεζικοῦ ἢ καβαλλαρικοῦ ἐπιτηδείως, ὁμοίως δὲ καὶ κατὰ τὸ μέρος μεμερισμένως, ἢ πάλιν κατὰ τάγμα ἀπλικευόντων.

ριβ'. Γίνεται δὲ καὶ δι' ἑτέρων τοιούτων καὶ ὁμοίων

A tes puniantur : quia magnum imperatori sua negligentia inferunt periculum.

105. Prudentes excubiæ quibusdam signis priusquam videant hostes animadvertere multitudinem hostium ex equorum collocatione et castris illorum possunt.

106. Si fossatum feceris, aut vallum, et vel fossa circummuniveris illud, vel aliqua alia materia, decretumque est equites intra fossatum deducere, ne longo intervallo ab illis excubias disjunxeris, ut B ne importune equi affligantur.

107. Eis qui ad excubias emittuntur præcipies ut capiant aliquos ex hostibus vivos, si possunt : et quemadmodum in venando, sic conentur et studeant excubias ante agere occulte et clanculum, ut hi quidem qui pauci sunt in conspectum solum veniant, et discedant iterum, alii autem abditi pro locorum commoditate includere eos si possunt, conentur, atque uno in loco se tantum ac si pauci essent demonstrare, alio ex loco cum pluribus clanculum invadere, et pernoctent, maxime quando hostes eminus fuerint, et opinionem alicujus talis facti habuerint.

108. Excubias tuas non modo hostes tui, sed ne milites tui, si fieri possit, agnoscant, ut si quidam C profugere ad hostes tuos voluerint, imprudentes in excubias tuas incidant.

109. Si hostium speculatores capere studes, communicandum cum reliquis præfectis tuis hoc negotium est, ut unusquisque militibus suis reliquisque præcipiat ad horam diei secundam aut tertiam, et ad buccinæ primum sonitum, sive miles sive administer sit, singuli ad sua tentoria veniant, nemoque audeat extra tentoria esse, ne supplicio constringatur. Ubi omnes ingressi in tentoria sua fuerint, præfecti foris maneant, et si quos viderint foris, eos comprehendant. Eos vero qui in tentoria ingrediuntur, unumquodque contuber- D nium capiet, et suo præfecto tradet. Unum enim e duobus necesse est fieri : vel ut foris speculator maneat, et nesciat quo se conferre debeat, vel si ingredi audeat cum aliquo contubernio, quasi hospes cognoscatur, et contubernii præfecto tradatur.

110. Omnes autem qui hoc modo inveniuntur, exquiri atque examinari oportet, sive Romani, sive alienigenæ fuerint, atque adeo veritatem ab illis quæri.

111. Hæc res fieri possit in fossatum coacto exercitu vel pedestri vel equestri, vel dispersis divisisque separatim castra ponentibus, vel rursus per cohortes castra habentibus.

112. Aliis quibusdam hujusmodi et similibus

signis diversis prædictorum speculatorum comprehensio esse solet, quæ necessario efficienda sunt, ut diversa signa præceptaque adhibeantur. Simul enim hoc modo speculatores hostium tenentur, et milites præfectis suis obedire assuefiunt, et imperata illorum studiose facere, si vel mediocriter castigentur qui negligentes mandatorum fuerint. Si enim mandatum aliquod detur militibus a præfecto, qui curiosius in hoc inquirit, is speculator hostium deprehenditur alienus a tessera, et socialis exercitus signo carens.

113. Non abs re fuerit formas et mandata dare militibus, quando maxime vacat, ut explorentur milites, atque ad ea custodienda assuefiant.

114. Si speculatores hostium ceperis, ne uno atque eodem modo illos tractaveris : sed si copias tuas hostium exercitu imbecilliores esse judicaveris, vel interfice eos, vel firma in custodia detine. Sin armaturam habeas bonam, apparatum idoneum, copias multas, robur justum, firmitatem corporum, obedientem exercitum, strenuos milites, experientiam serem, omnes copias tuas ordine quodam ad pompam instrues, easque hostium speculatoribus demonstrabis : quod ubi feceris, illos salvos atque integros ad suos remittes. Nam eo cum venerint, quæ viderunt omnia commemorabunt. Ac sæpe omnium rerum exoptata affluentia hostes in timorem conjicit, quemadmodum si subsidiis omnibus destituere, magnam illis alacritatem afferret.

115. Quocirca si te meliores multo habere judicaveris, illos domum abire permittas, ut hæc narrantes perturbationem aliquam hostibus invehant. Sin deteriore in loco quam hostes fueris, trucidentur, nec permittantur ad suos redire.

116. Si transfugæ aliqui ab hostibus ad te defecerint, et vel tempus incursionis vel viam promittunt se monstraturos, et duces futuros, et modis quibusdam haud cognitis ad exercitum hostium ducturos, ne omnino credas illis, sed ligatos eos duces tecum, promittens illis, si verum dixerint, et ad salutem victoriamque exercitus nostri omnia fecerint, se multa dona muneraque a nobis recepturos : sin mentiantur et deceperint, et in periculum conjicere nostros voluerint, illo ipso tempore ibi in vinculis ab iis qui in periculum venerint trucidandos esse. Nam transfugæ fides certissima est, tum hostis ad te, tum tui ad hostem, si minime suiipsius vitæ dominus sit, sed potestatem illius habeant, vel ad quos confugit, vel a quibus aufugit. Atque hæc quidem de illis nobis dicta sunto.

A σημείων διαφόρων ἡ ἐπίγνωσις τῶν εἰρημένων κατασκόπων, ἅτινα ἀναγκαῖόν ἐστιν ἐπιτηδεύειν, ὥστε διάφορα σημεῖα ἤτοι παραγγέλματα ποιεῖν. Ἅμα γὰρ καὶ οἱ κατάσκοποι τῶν ἐχθρῶν ἐκ τούτων (55) φανεροῦνται, ἅμα δὲ καὶ οἱ στρατιῶται ἐθίζονται πείθεσθαι τοῖς ἄρχουσιν αὐτῶν, καὶ φυλάττειν ἐπιμελῶς τὰ μανδάτα, ἐὰν μάλιστα μετρίως πως σωφρονίζωνται οἱ ἀμελοῦντες περὶ αὐτά. Ἐὰν γὰρ τὸ παράγγελμα δοθῇ παρὰ τοῦ ἄρχοντος τοῖς στρατιώταις μυστικώτερον, καὶ τοῦτο ἀγνοεῖ ὁ κατάσκοπος τοῦ ἐχθροῦ ταχέως εὑρίσκεται ἀλλότριος ὢν τοῦ συνθήματος, καὶ οὐκ ἔχων τὸ σύσσημον τοῦ φιλίου στρατοῦ.

ριγʹ. Οὐκ ἄτοπον δὲ, ἀλλὰ καὶ σχήματα καὶ μανδάτα διδόναι τοῖς στρατιώταις, ὅταν μάλιστα εὐκαιρῶσιν· B ἵνα καὶ δοκιμασθῶσιν, καὶ ἐν ἔθει γένωνται τοῦ φυλάττειν αὐτά.

ριδʹ. Ἐὰν δέ ποτε συλλάβῃς κατασκόπους, μὴ κέχρησο εἰς αὐτοὺς μιᾷ καὶ αὐτῇ γνώμῃ πάντοτε, ἀλλ' ἐὰν μὲν ἀσθενέστερα μᾶλλον τὰ σὰ εἶναι παρὰ [τὰ] τῶν πολεμίων νομίζῃς, τότε κτείνειν τούτους ἢ συνέχειν ἐν ἀσφαλεῖ φρουρᾷ. Ἐὰν δὲ καθοπλισμὸν ἔχῃς ἰσχυρὸν καὶ καλὸν, καὶ παρασκευὴν ἱκανὴν, καὶ δύναμιν πολλὴν, καὶ εὐεξίαν, ἤτοι μέγεθος καὶ ῥῶσιν σωμάτων, καὶ πειθήνιον στράτευμα, καὶ ἄρχοντας ἀρίστους καὶ ἀνδρείους, καὶ ἐμπειρίαν μεμελετημένην, στῆσον μὲν τὴν στρατειὰν ἐν κόσμῳ καὶ καταστάσει πρὸς κόμπον· παράλαβε δὲ τοὺς κατασκόπους, καὶ ταύτην ἐπίδειξον αὐτοῖς. Τάχα δὲ, εἰ τοῦτο ποιήσας C ἀθώους αὐτοὺς ἀποπέμψεις εἰς τοὺς ἰδίους, οὐκ ἂν ἁμαρτήσῃς. Καὶ γὰρ ἀπελθόντες, ἅπερ εἶδον, ἀναγγελοῦσι τοῖς ἰδίοις. Τὰ μὲν γὰρ πλεονεκτήματα τῶν ἀντιπάλων ἀπαγγελλόμενα πολλάκις ἀναγκάζει φοβεῖσθαι τοὺς ἀκούοντας, τὰ δὲ ἐλαττώματα αὐτῶν θαῤῥεῖν τοὺς ἀντιτεταγμένους παρεσκεύασεν.

ριεʹ. Ὥστε εἰ μὲν ἐλαττώματα ἔχεις, ἀπολέσθωσαν οἱ κατάσκοποι. Εἰ δὲ πλεονεκτήματα, μᾶλλον ἀπολυθέντες καὶ διηγούμενοι τοῖς ὁμοεθνέσιν εἰς δειλίαν αὐτοὺς περιστήσουσιν.

ριςʹ. Ἐὰν δὲ πρόσφογες ἀπὸ τῶν ἐχθρῶν πρὸς σὲ παραγένωνται, καὶ ἢ ὥραν τινὰ ἐπιθέσεως, ἢ ὁδὸν ἐπαγγέλλωνται ὑποδείξειν, καὶ προπορεύεσθαι, καὶ διὰ σκοπῶν ἀοράτων ἐπὶ τοὺς πολεμίους εἰσαγαγεῖν, D μὴ ἁπλῶς πίστευε, ἀλλὰ δήσας αὐτοὺς οὕτως ἄγε, παραγγέλλων αὐτοῖς ὅτι, ἐὰν ἀληθεύσωσιν, καὶ ἐπὶ σωτηρίᾳ καὶ νίκῃ πάντα ποιήσωσι τοῦ στρατεύματος, ὠφελείας καὶ δωρεᾶς καταξιωθήσονται. Εἰ δ' ἐξαπατήσωσι καὶ ψεύσωνται εἰς τοὺς ἰδίους ἐπιῤῥίψαι βουλόμενοι τὸ στράτευμα, γινωσκέτωσαν ὅτι παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὄντες ἐν δεσμοῖς, ὑπὸ τῶν κινδυνευόντων κατασφαγήσονται. Καὶ γὰρ προσφύγου πίστις βεβαιοτάτη, εἴτε πολεμίου πρὸς σὲ, εἴτε ἀπὸ σοῦ πρὸς τοὺς πολεμίους, τὸ μὲν εἶναι αὐτὸν κύριον τῆς ἰδίας ψυχῆς, ἀλλὰ τοὺς ἡγουμένους αὐτοὺς, ἢ ἐν οἷς προσέφυγεν, ἢ ἐξ ὧν ἀπέφυγεν.

NOTÆ.

(55) *Ἐκ τούτων*. Scribebatur, ἐν τούτων.

ΔΙΑΤΑΞΙΣ ΙΗ' (56).

A

Περὶ μελέτης διαφόρων ἐθνικῶν τε καὶ Ῥωμαϊκῶν παρατάξεων.

α'. Ἑξῆς δὲ καὶ διαφόρων παρατάξεων μελέτας σοι ὑπαγορεύσω τῶν τε ἄλλων ἐθνικῶν καὶ ὅσαις ἐχρήσαντο κατὰ διαφόρων ἐθνῶν οἱ τῶν Ῥωμαϊκῶν στρατευμάτων κατάρξαντες πάλαι στρατηγοί, ἵνα ταύτας κατανοήσας, οὐ μόνον αὐτὸς τοῖς αὐτοῖς χρήσῃ στρατηγήμασιν ἐν τῷ δέοντι καιρῷ, ἀλλὰ καὶ ἕτερα πλείω τούτων προσεπινοήσῃς. Ἀγχίνοια γὰρ στρατηγοῦ ὅταν καὶ ἀφορμῆς τινος δράξηται πραγμάτων στρατηγικῶν οὐ μέχρις ἐκείνων ἵσταται μόνων, ἀλλὰ καὶ πλείω τούτων προσεφευρίσκειν δύναται.

β'. Ἡ μὲν οὖν συνεχὴς γυμνασία τῶν τακτικῶν κινήσεων ὠφέλειαν μὲν πολλὴν τῷ στρατιώτῃ ποιεῖ, κατάδηλος δὲ αὐτὴ εὐχερῶς τοῖς ἐχθροῖς γίνεται διά B τε κατασκόπων ἀπὸ τῶν ἐχθρῶν, καὶ τῶν, ὡς εἰκὸς, προσφευγόντων εἰς αὐτούς. Καὶ διὰ τοῦτο πολλάκις μεθοδευομένη καὶ κατανοουμένη ἄπρακτος εὑρίσκεται.

γ'. Ἀρκεῖ οὖν ἡ παρ' ὑμῶν (57) ὁρισθεῖσα γυμνασία ἐν τῇ περὶ αὐτῆς ἡμῖν εἰρημένῃ διατάξει, ἁπλῆ οὖσα, καὶ δι' αὐτῆς πάσῃ τάξει ἁρμοζομένη καὶ μηδὲ πουβλικίζεσθαι (58) ποιοῦσα τὴν πᾶσαν παράταξιν.

δ'. Ἐὰν δὲ τύχῃ καὶ εὐκαιρία πολλὴ πρὸς μείζονα γυμνασίαν καὶ μετεωρισμὸν, δεῖ τότε διαφόρους μὲν τάξεις καὶ γυμνασίας τὰ μέρη, ἤτοι τὰς τούρμας, ἢ δρούγγους ἢ τὰ βάνδα τῶν κομήτων καθ' ἑαυτὰ ἐπιτηδεύειν, τοῦτ' ἔστι καὶ τὴν λεχθεῖσαν πρὸς τὸ χρειῶδες καὶ ἄλλας ἐκ περισσοῦ, εἰ καὶ C οὐκ ἀναγκαίας ἀεὶ, ἀλλ' οὖν ἔν τινι καιρῷ ποτε χρησίμους.

ε'. Ἵνα τῇ ἑκάστῃ τάξει καὶ γυμνασίᾳ γνώρισμα ἴδιον ἐπιτεθῇ, καὶ οἱ μὲν στρατιῶται τὴν διαφορὰν ἑκάστης παρατάξεως γνωρίζουσιν ἐν συνηθείᾳ τῶν κινήσεων γινόμενοι, καὶ μὴ ξενοφωνοῦσιν ὡς οὐκ εἰδότες ὅταν ἀθρόως αὐτοῖς ἀγγελθῇ τις παράταξις, μὴ οἴδασι δὲ τὴν μέλλουσαν τάξιν ὑπὸ τοῦ στρατηγοῦ γίνεσθαι κατ' αὐτὸν τὸν τοῦ πολέμου καιρόν.

ϛ'. Εἰσὶν οὖν διαφοραὶ τῶν τάξεων τῶν κατὰ σχῆμα γινομένων τρεῖς. Ὧν μία ἡ χρειώδης, ἥτινι καὶ Ῥωμαίοις χρῆσθαι σύνηθες, καὶ ἡ μέν ἐστιν ἥτις ἀδιακρίτως ἔχουσα τὰ τάγματα, τοῦτ' ἔστιν οὐκ εἰς D κούρσωρας ἤτοι προκλάστας καὶ διφένσωρας ἤτοι ἐκδίκους διῃρημένη, ἅτινα χρὴ ἐπὶ μιᾶς παρατάξεως τάττειν, καὶ οὐκέτι εἰς τρεῖς ἀλλὰ εἰς δύο μοίρας διαιρεῖν, ἐφ' ᾧ κινούντων τῶν δύο κεράτων ὡς πρὸς κύκλωσιν, καὶ πρὸς ἄλληλα ἐπικλινομένων καὶ ἐμπεριλαμβανόντων εὔκαιρον χωρίον, τὸ μὲν δεξιὸν κέρας ἐξώτερον, τὸ δὲ ἀριστερὸν ἐσώτερον, παρερχόμενον κυκλοειδῶς, τὴν ἐναντίαν ἀλλήλων ἐλαύνωσιν, ὃν τρόπον ἐν τῷ Μαρτίῳ μηνί ποτε οἱ καβαλλάριοι ἔπαιζον.

CONSTITUTIO. XVIII.

De diversarum gentium et Romanorum studio in aciebus instruendis.

1. Deinceps jam de diverso studio acierum instruendarum, quibus aliæ nationes, et quibus Romani imperatores initio utebantur, verba faciemus, ut iis cognitis, non modo si opus sit uti possis, sed alia quædam præterea excogites. Solertia enim imperatoria ubi occasionem rerum gerendarum ceperit, non in iis solum quæ inventa sunt consistit, sed etiam multo plura ac sæpe meliora excogitat.

2. Assidua enim aliqua bellicorum motuum exercitatio, utilitatem permagnam militi apportat : sed ea hostibus facile indicatur, vel per hostium speculatores, vel per transfugas qui ad hostes defecerunt. Itaque sæpe alia excogitata bene atque exercitata astutia, irrita nulliusque momenti est.

3. Quæ a nobis in capite de exercendis militibus commemorata est exercitatio, ea quoniam simplex est, et ad universam aciem accommodari potest, neque facile efferri hostibus aut divulgari potest, satis esse militibus idonea et accommodata potest.

4. Sin aliqua opportunitas interveniat ad exercitationem agitationemque militum majorem suscipiendam, diversis formis exercitationibusque turmas, cohortes milliarias, reliquasque cohortes agitabis, tum iis quæ ad usum necessariæ sunt, tum iis quæ supervacaneæ sunt : quæ quanquam omni tempore necessariæ non sint, interdum tamen utiles esse solent.

5. Unicuique aciei exercitationique certa quædam nota adhibeatur, ut qui in quotidiano bellicorum motuum usu milites sunt, uniuscujusque aciei differentiam cognoscant, neque quasi peregrini aut hospites ignorent, quando aliquid illis agendum præcipitur, quænam potissimum aciei forma ipso belli tempore ab imperatore præscribatur.

6. Forma differentiæ acierum triplex est, una utilis, qua etiam Romani uti consueverunt. Ea est, quæ cohortes suas confuse instructas, et non in proclastas, id est, cursores, aut vindices, id est, defensores divisa est, sed omnes cohortes simul instructas, neque in tres aut in duas partes distributas habet. Qua in parte duobus cornibus, quasi ad circumcludendos alios, satis justum spatium capientibus, et ad se mutuo iterum reclinantibus, dextrum cornu exterius, sinistrum autem interius orbiculatim contrariam inter se profectionem obambuleut. Qua forma mense Martio equites inter ludendum utebantur.

NOTÆ.

(56) In cod. Laur. est cap. XVIII.

(57) *Παρ' ὑμῶν*. Scribe, παρ' ἡμῶν

(58) *Μηδὲ πουβλικίζεσθαι*. Scribebatur, μηδέπου βιγλίζεσθαι. Et mox § 11 μήπου βικίζεται. Scribe, μὴ πουβλικίζεται. Vide *Glossarium* nostrum in πουβλικίζειν.

7. Alia forma est, quando in acie cursores et defensores instruuntur : cumque hæ partes divisæ ducentos aut quadringentos contineant, longo intervallo a se distent, et inter movendum velut facto agmine cursores ad insequendos alios exeant, deinde redeant, interdum quidem per opportuna loca eo dilabantur, et simul cum defensoribus adversum hostes procedant, interdum per eadem spatia redeant, et in extremis oris duarum partium iidem appareant qui ante in illis collocabantur.

ζ'. Ἡ δὲ ἄλλη ἐστὶ παράταξις, ὅταν ἐπὶ μιᾶς τάξεως τάσσωνται ὑπὸ κούρσωρας καὶ διφένσωρας, διῃρημένας δὲ τὰς μοίρας ἀπὸ σ', ἢ υ', πολὺ ἀλλήλων ἀποδιεστώσας, καὶ ἐν τῇ κινήσει συνελασίᾳ τῶν κουρσώρων ἐξερχομένων εἰς καταδίωξιν, εἶτα ὑποστρεφόντων, ὁτὲ μὲν εἰς τὰ διαλείμματα ἤτοι εἰς τὰ εὔκαιρα χωρία αὐτοῖς ἐξελίσσεσθαι, καὶ ἅμα τῶν διφενσώρων χωρεῖς κατὰ τῶν ἐχθρῶν, ποτὲ δὲ ὑποστρέφοντας δι' αὐτῶν τῶν διαστημάτων ἀπέρχεσθαι, καὶ ἐπὶ τὰ ἄκρα τοῦ μέρους φαίνεσθαι, τοὺς ἐκ τῶν δύο μερῶν κούρσωρας ἕκαστον ὡς ἐτάγθη.

8. Alia forma est, quando una quædam acies instruitur, et media pars in defensores, reliquæ partes in cursores conferuntur : deinde excursio quædam quasi ad insequendos alios fiat, et media pars quasi defensores consequatur, reliquæ partes utrinque quasi cursores exeant, tum in redeundo una pars cunctatur, et tardat foris, altera quasi facto agmine cedit ad defensores, et cursus procedente jam ea quæ constitit defensores versus, altera in occursum illius currens per unam partem transit, atque hoc modo una pars alteri ex adverso esse invenitur, cum seipsas non pellant.

η'. Ἡ δὲ ἑτέρα παράταξίς ἐστιν, ὅταν ἐπὶ μιᾶς παρατάξεως τάσσωνται, καὶ ἡ μὲν μέση μοῖρα εἰς διφένσωρας γίνεται, αἱ δὲ ἑκατέρωθεν αὐτῆς μοῖραι εἰς κούρσωρας, εἶτα τῆς ἐλασίας ὡς εἰς ἐπιδίωξιν γινομένης, ἡ μὲν μέση μοῖρα ἐν τάξει ἐπακολουθεῖ ὡς διφένσωρες, αἱ δὲ ἑκατέρωθεν μοῖραι ὡς κούρσωρες ἐξέρχονται. Εἶτα ἐν τῷ ὑποστρέφειν ἡ μὲν μία μοῖρα μένει, ἤτοι ἐμβραδύνει ἔξω, ἡ δὲ ἄλλη συνελασίᾳ ὑποστρέφει ὡς ἐπὶ τοὺς διφένσωρας, καὶ πάλιν κινοῦσι τῆς ἀπομεινάσης ὡς πρὸς τοὺς διφένσωρας· ἡ ἄλλη ὡς εἰς ἀπάντησιν τρέχουσα δι' ἑνὸς μέρους ἐπέρχεται, καὶ τῷ τρόπῳ τούτῳ μία παρὰ μίαν μοῖρα ἀντιπρόσωποι ἀλλήλων εὑρίσκονται, μὴ ἐγκρούουσαι ἑαυταῖς.

9. Alia quædam forma est huic omnino contraria, quæ mediam partem cursores habet, reliquas utrinque partes ad defensores confert.

θ'. Ἔστιν δὲ καὶ ἄλλη ὁμοιότροπος αὐτῆς εἰς τὸ ἐναντίον τασσομένη, τουτέστιν τὴν μὲν μέσην μοῖραν κούρσωρας ἔχουσα, τὰς δὲ ἑκατέρωθεν δύο μοίρας διφένσωρας, ἐν ταῖς εἰρημέναις κινήσεσιν.

10. Consueta hæc Romanis acies adversus omnes nationes utilis et commoda esse videtur quando acies in propugnatores et subsidiarios, id est, cursores et defensores, lateranos, cornistites, tergistites, et insidias dividitur, quemadmodum supra a me commemoratum est.

ι'. Ἡ μέντοι συνήθης Ῥωμαίοις τάξις καὶ γυμνασία αὕτη πρὸς πᾶν ἔθνος ἐπιτηδεία ἡμῖν φαίνεται· τουτέστιν ὅταν εἰς δύο τάξεις εἰς προμάχους καὶ βοηθοὺς τάσσεται ὑπὸ κούρσωρας, καὶ διφένσωρας, καὶ πλαγιοφύλακάς τε καὶ ὑπερκεράστας, καὶ ἐνέδρους, καὶ νωτοφύλακας, κατὰ τὸν πρώην λεχθέντα ἡμῖν τρόπον.

11. Hæ exercitationes sic suscipiendæ sunt, ut ne hostibus notæ pervagatæque fiant. Prima igitur acies instructa, secundam simul secum aciem non habeat, sed seipsam solam, sine lateranis et cornistitibus, sine tergistitibus et insidiis, quæ exercitatio maxime simplex et necessaria videtur : et vice secundæ aciei, mediocriter intervallo interjecto, paucos quosdam equites a tergo constitutos habeant, ad quos se recipere discant. Similiter separatim secundam aciem instrues, et paucos ante equites collocabis, ut discat secunda acies eos fugientes idonee recipere.

ια'. Χρὴ οὖν ἢ τὰς εἰρημένας διαφορὰς τῶν παρατάξεων ἐθίζειν τὸν στρατὸν, ἵνα μὴ πουβλικίζεται ἡ ἀναγκαιοτέρα, ἡ τῆς πρώτης τάξεως γυμναζομένης, τὴν δευτέραν τάξιν μὴ φέρειν μετὰ αὐτῆς, ἀλλὰ μόνην τὴν πρώτην ἄνευ πλαγιοφυλάκων καὶ ὑπερκεραστῶν δηλονότι καὶ ἐνέδρων καὶ νωτοφυλάκων, ὅπερ πλέον ἡμῖν ἁπλούστερον καὶ ἀναγκαιότερον φαίνεται, ἀλλὰ τότε ἀντὶ τῆς δευτέρας τάξεως ὀλίγους καβαλλαρίους σχηματικῶς ὄπισθεν ἱστᾷν, ἵνα πρὸς τὸ διάστημα ἐκεῖνο ἐθίζωνται προσφεύγειν οἱ τῆς πρώτης τάξεως. Ὁμοίως δὲ ἰδίᾳ καὶ τὴν δευτέραν τάξιν γυμνάζεις καὶ ὀλίγους ἐν τάξει τῆς πρώτης τάξεως ποιεῖς ἤτοι προτάσσεις, ἵνα ἐθίζηται ἡ δευτέρα ὡσαύτως τοὺς τῆς πρώτης τάξεως καταφεύγοντας εἰς αὐτοὺς δέχεσθαι.

12. Possunt etiam laterani et cornistites suam quamdam ante bellum habere exercitationem, ut hoc modo universus exercitus omnes ad motus assuefiat : hi tamen minime hostibus aut cæteris palam fiant. Hoc fiet, si cornistites, id est, qui dextram in partem ad circumcludendos hostes collocantur, sive dextro cornu clam supponantur, sive a latere æqualiter cum fronte aciei instruantur, ubi occasio cornu transcundi ad includendos hostes

ιβ'. Δυνατὸν δὲ ἰδίως καὶ τοὺς πλαγιοφύλακας καὶ τοὺς ὑπερκεράστας τὴν ἰδίαν τάξιν καὶ γυμνασίαν πρὸ τοῦ πολέμου ποιεῖν· ἵνα καὶ ἐθίζηται ὁ στρατὸς πρὸς τὰς κινήσεις, καὶ μὴ πουβλικίζωνται εἰς τοὺς ἐχθροὺς αἱ χρειώδεις παρατάξεις, τουτέστιν ἵνα οἱ ὑπερκεράσται ἤγουν οἱ ἐπὶ τοῦ δεξιοῦ μέρους πρὸς τὴν κύκλωσιν τῶν πολεμίων ἑστῶτες, εἴτε ὑποτάσσονται λανθανόντως τῷ δεξιῷ κέρατι, εἴτε ἐκ πλαγίου παρατάσσονται ἰσομετώπως, ὅταν καιρὸς, γέ-

νηται τῆς ὑπερκεράσεως, ἐπὶ δόρυ κλίναντας αὐτοὺς, εἶτα ὅσον ἀπαιτεῖ ἡ χρεία διάστημα περιπατοῦντας οὕτως εἰς ὀρθὸν ἀποκαθισταμένους, κινεῖν ἐν τάξει, καὶ σπουδάζειν ὡσανεὶ τὴν τῶν ἐναντίων τάξιν περιλαμβάνειν.

A est, ad hastam declinantes, deinde universum spatium quantum necessitas postulat inambulantes, directe iterum in acie moveant, et hostium aciem intercludere conentur.

ιγ'. Πάλιν δὲ τοὺς πλαγιοφύλακας τοὺς κατὰ τοῦ ἀριστεροῦ μέρους τασσομένους ὁμοίως, ἐπὶ σκουταρίων κλίνοντας, εἶτα ὅσον ἀπαιτεῖ ἡ χρεία διάστημα περιπατοῦντας οὕτως εἰς ὀρθὸν ἀποκαθίστασθαι, καὶ σπεύδειν ὡσανεὶ τῷ ἐναντίῳ κέρατι τῶν ὑπερκεραστῶν ἐξισοῦσθαι.

13. Rursus laterani ad sinistram partem instructi, et ad scuta declinantes, et illud quod opus est spatium ambulantes, rursus directe procedant, et conentur cornistitum adverso cornu exæquari.

ιδ'. Ταύτας δέ σοι τὰς διαφορὰς τῶν παρατάξεων ὑπεσημάναμεν, ὦ στρατηγὲ, ἵνα ἐν καιρῷ εὐκαιρίας ἐθίζῃς καὶ ἐν αὐταῖς γυμνάζεσθαι τὸ στράτευμα, καὶ ἔχειν πλείονα ἐμπειρίαν τῆς τῶν πολέμων τακτικῆς, ὥστε καὶ ἔν τισι πολλάκις περιστάσεσι χρειώδεις σοι εὑρίσκεσθαι, ὅταν οὕτως ἡ χρεία καλεῖ.

14. Has tibi, imperator, acierum differentias idcirco explicuimus, ut opportuno tempore assuefiat istis exercitus tuus, et majorem bellicorum motuum peritiam habeas, ut multis necessariis rebus B sæpe circumstantibus utilis horum usus interdum inveniatur.

ιε'. Καὶ ἑτέρας δὲ διαφόρους παρατάξεις, καὶ ὅσα δέον πράσσειν σε ὑπέρ τε τοῦ οἰκείου στρατοῦ καὶ κατὰ τῶν πολεμίων, ὡς ἐν ἐκθέσει διατάξομεν, ὅσας ἀπὸ διαφόρων ἐθνῶν ἐκ τῆς πείρας Ῥωμαῖοι ἐν γνώσει παρέλαβον, ἵνα γινώσκῃς ταύτας ἐν τῷ δέοντι μὲν καιρῷ χρῆσθαι ὑπὲρ σεαυτοῦ, ἐνίοτε δὲ τῶν πολεμίων αὐταῖς χρωμένων ὑπὲρ ἑαυτῶν ἀντιμηχανᾶσθαί κατ' αὐτῶν.

15. Alias autem diversas acierum formas quæ abs te ad tui exercitus apparitionem, vel ad hostium expugnationem suscipiendæ sunt, tibi explicuimus, quas a diversis nationibus Romani ad usum suum acceperunt, ut eas idoneis temporibus possis ad utilitatem tuam usurpare, interdum etiam hostibus istis utentibus, adversus illorum molitiones aliquid contrarium excogitare.

ιϛ'. Ἴσθι οὖν, ὦ στρατηγὲ, ὅτι οὐ μόνον σὺ αὐτὸς ὀφείλεις εἶναι σπουδαῖος (59) καὶ φιλῶν τὴν πατρίδα, καὶ ὑπὲρ τῆς ὀρθῆς τῶν Χριστιανῶν πίστεως ἕτοιμος, εἰ οὕτως τύχοι, καὶ αὐτὴν τὴν ψυχὴν τιθέναι, ἀλλὰ καὶ τοὺς ὑπὸ σὲ πάντας ἄρχοντας καὶ τῶν στρατιωτῶν ἅπαν τὸ πλῆθος τοιούτους παρασκευάζειν γίνεσθαι, ἵνα οἱ μένοντες (60) ἐπὶ τοῦ αὐτοῦ τοιοῦτοι μένωσιν. Τοὺς δὲ μὴ ὄντας ὅσον ἔχεις δυνάμεως διὰ τῆς σῆς ἐπιμελείας καὶ σπουδῆς γυμναζομένους μὴ ἀμοιρεῖν τῆς τοιαύτης ἀρετῆς, ἀλλ' εἶναι αὐτοὺς φιλοπάτριδας καὶ εὐπειθεῖς τοῖς ἄρχουσιν ἢ δι' ἀγάπην ἢ διὰ φόβον.

16. Neque vero tu, imperator, solum bonus et amans patriæ, et ad propugnandam Christianorum fidem vitam profundere, si ita usus ferat, paratus sis, sed et omnes præfectos tuos et singulos milites C sic tractabis, ut qui tales sint, hoc in statu permaneant : qui non sint, industria studioque tuo adducti, hujusmodi virtutes non negligant, sed sive amore sive timore impulsi, patriæ amantes et præfectis obedientes sint.

ιζ'. Εἶναι δὲ αὐτοὺς καὶ καρτερικοὺς πρὸς τοὺς πόνους, καὶ ὑπομένειν τοὺς ὑπὲρ πατρίδος πολέμους.

17. Sint laborum patientes, et ad bellum pro patria suscipiendum parati.

ιη'. Καὶ αὐτὸς βουλῇ καὶ στρατηγίᾳ μᾶλλον τὰ πολλὰ τῶν σπουδαζομένων σοι κατόρθου, καὶ τάξεως ἐπιμελοῦ ἅμα τῷ ὑπὸ σὲ στρατῷ καὶ μὴ θράσους καὶ προπετείας.

18. Tu vero hoc eodem cum illis animo sis, et prudentia quadam imperatoria, non temeritate aut audacia res tuas administres, atque aciem militum instruas.

ιθ'. Καὶ ἐθίζεσθε πάντες ὁμοῦ οἱ διὰ Χριστὸν τὸν D Θεὸν ἡμῶν καὶ ὑπὲρ συγγενῶν καὶ φίλων καὶ πατρίδος καὶ τοῦ ὅλου τῶν Χριστιανῶν ἔθνους ἀγωνιζόμενοι εὐκόλως ὑποφέρειν καὶ δίψης ὄχλησιν, καὶ δαπάνης ἔνδειαν, καὶ ψύχους καὶ καύματος ἐπιφορὰν, καὶ πρὸς τὰ ἐμπίπτοντα, ὡς εἰκὸς, δεινὰ γενναίως ἐγκαρτερεῖν. Ἔστι γὰρ τῶν ἀποκειμένων μισθῶν ἔκ τε Θεοῦ αὐτοῦ καὶ τῆς ἐξ αὐτοῦ βασιλείας καὶ ἡμῶν παρ' ὑμῶν ἐργασία· καὶ γὰρ καὶ ἡμεῖς διὰ τῆς ὑπὲρ ὑμῶν ἐπιμόνου μερίμνης συγκακοπαθοῦμεν ὑμῖν.

19. Assuefiant omnes qui propter Christum Jesum Dominum nostrum, et cognatorum, amicorum, patriæ, et universæ Christianæ plebis gratia bellum suscipiunt, facile sitis turbulentiam, famis inediam, frigorum calorumque appulsus tolerare, et omnes ingravescentes rerum perturbationes æquo animo sustinere ; namque est horum laborum officiorumque vestrorum reposita apud Deum merces, et apud nos quoque remuneratio. Quanquam etiam nos vestri causa solliciti sæpe sumus, et in vestris ærumnis simul earumdem miseriarum participes sumus.

κ'. Γενοῦ δὲ ἱκανὸς, εἴγε τινὰ συμβῇ ἐν καιρῷ λυπηρὰ, ἐπὶ πολὺ ταῦτα κρύπτειν ἀπὸ τῶν πολεμίων,

20. Si aliquid adversum hoc tempore contingat, ita te para, ut ab hostibus occultetur, et in rebus

NOTÆ.

(59) Σπουδαῖος. Scribebatur, πουδαῖος.

(60) Οἱ μένοντες. Scribe, οἱ μὲν ὄντες.

afflictis circumstantibus constanti altoque animo esse videaris, et contrarium potius demonstres, te hilarem vacuumque a cura esse.

21. Quædam enim nationes, in quibus Persæ fuerant, cum adversus Romanos pugnarent, atque in aliquod periculum inciderent, ne salutem quidem quam exoptabant sibi ipsis proponere volebant, sed eam ab hostibus propositam accipiebant : tanta erat in illis malorum ac gravium rerum perpessio.

22. Ut vero quæ ante demonstrata sunt paucis repetamus, exercitum tuum armis teges ad formam a me ante descriptam. In primis autem arcubus sagittisque plurimis : magna enim arma atque efficacia sunt sagittæ, et præcipue contra Saracenos ac Turcas, quoniam spes omnis victoriæ illorum in sagittis ponitur.

23. Etenim ad sagittarios illorum feriendos valent, qui nudantur cum sagittas jaciunt. Sed etiam ad equos equitum vulnerandos magnopere valent sagittæ a nostris hominibus emissæ, multumque damni inimicis inferunt, optimis equis continua sagittarum conjectione trucidatis ; qua ex re omnis Saracenorum strenuorum alacritas in bello concidit.

24. Non enim servitute et militia ulla, sed lucri et libertatis cupiditate, vel potius prædandi studio et suæ ipsorum fidei, aut infidelitatis potius religione quadam, qua de causa mala patiuntur a nobis, et Deum putantur hostem habere, et offensionem injectam non posse sustinere.

25. Quando ad bellum procedis, extra fossatum firmum, ne castra ponas, si vel intra, vel prope hostilem terram fueris. Quando vero bellum jam instat, fossam undique ducito ad valli formam, reliquaque præsidia omnia adhibeto, ut eo confugere possis, si aliquid adversum in bello cadat.

26. Demonstrabo etiam quemadmodum oratione potero, reliquas in bello acierum instruendarum formas.

27. Est quædam etiam aciei forma in tres æquales partes in bello divisa, cujus supra mentionem feci, mediam, dextram et sinistram. In media parte habet quadringentorum, aut quingentorum virorum multitudinem. Altitudo hujus aciei nullam certam mensuram habet, sed equites, unaquaque in cohorte tum prima, tum secunda in acie collocantur, et aciei frons æqualis densataque est. Apparatum et tuldum a tergo aciei instructæ habet. Quod si tempore prælii, qui ita aciem instructam habet, habeat hastatos, in difficilibus asperisque locis aciem suam instruat, ac sagittariis quamplurimis utatur, ut locorum difficultate dispersi, dissi-

A καὶ γενναίως ἐμμένειν καὶ καρτερεῖν ἐν ταῖς περιστάσεσι, καὶ ταύτας εἰς τὸ ἐναντίον ἀποδεικνύειν μᾶλλον ἤγουν εἰς εὐθυμίαν καὶ ἀπάθειαν.

κα'. Ἦσαν γάρ τινα τῶν ἐθνῶν, οἷα τὰ Περσικὰ φῦλά ποτε πρὸς Ῥωμαίους μαχόμενα, ἅπερ ὅταν ἐν τοῖς δεινοῖς ἐνέπιπτε, μηδὲ τὴν σωτηρίαν ἣν ηὔχοντο ἑαυτοῖς γενέσθαι προτείνειν θέλοντα, ἀλλὰ καὶ ταύτην παρὰ τῶν ἐχθρῶν αὐτῶν προτείνεσθαι ἐκδεχόμενα. Τοσοῦτον ἐν αὐτοῖς ἡ τῶν δεινῶν καρτερία.

κβ'. Ἵνα δὲ καὶ πάλιν τὰ πρώην (61) εἰρημένα μετρίως ἀνακεφαλαιώσωμέν σοι, καθόπλιζε τὸν στρατὸν τοῖς ὅπλοις κατὰ τὸν ἤδη σοι διορισθέντα τύπον, καὶ μάλιστα τοξαρίοις (62) καὶ σαγίτταις πλείοσι. Μέγα γὰρ ὅπλον καὶ δραστήριον ἡ τοξεία, καὶ μάλιστα κατὰ τῶν Σαραχηνικῶν ἐθνῶν καὶ Τούρκων (63), B οἷς τὸ πᾶν τῆς νίκης ἐν ἐλπίδι τῆς παρ' αὐτῶν τοξείας κεῖται.

κγ'. Καὶ γὰρ κατά τε αὐτῶν τῶν τοξοτῶν γυμνουμένων ἐν τῷ βάλλειν τὴν σαγίτταν, ἀλλὰ καὶ κατὰ τῶν ἵππων τῶν καβαλλαρίων, μέγα ἰσχύουσιν αἱ παρὰ τοῦ ἡμετέρου στρατοῦ βαλλόμεναι σαγίτται, καὶ πολλὴν τὴν βλάβην τοῖς ἐχθροῖς παρέξουσι, τῶν πολυτιμήτων παρ' αὐτοῖς ἵππων διὰ τῆς συνεχοῦς τοξείας ἀφανιζομένων, καὶ ἐντεῦθεν τοῦ εὐψόχου τῶν εἰς πολέμους ἐξιέναι προθυμουμένων Σαραχηνῶν ἀνακοπτομένου.

κδ'. Οὐ γὰρ δουλείᾳ καὶ στρατείᾳ ἐκστρατεύουσι Σαραχηνοί, ἀλλὰ φιλοκερδίᾳ μᾶλλον καὶ ἐλευθερίᾳ, C ἢ τὸ πλέον εἰπεῖν λῃστείᾳ καὶ τῆς ἑαυτῶν πίστεως, μᾶλλον δὲ εἰπεῖν ἀπιστίας τῇ δεισιδαιμονίᾳ, ὡς ἐνταῦθα τάχα πάσχοντες παρ' ἡμῶν, καὶ Θεὸν ἡγοῦνται πολέμιον ἔχειν, καὶ τὴν ζημίαν μὴ ὑποφέρειν.

κε'. Καὶ ὅταν μὲν πρὸς πόλεμον κινήσῃς, ἄνευ φοσσάτου μὴ ἀπλικεύσῃς ὀχυροῦ, μάλιστα εἰ καὶ πλησίον ἢ ἐντὸς ὑπάρχῃς τῆς πολεμίας, ὅταν δὲ πρὸς τὸν πόλεμον ἐγγίσῃς, τάφρον ποίει, καὶ ἄλλην ἀσφάλειαν διὰ χάρακος ὡς δύνασαι ἀκριβῶς διὰ τὴν ἐκ περιστάσεως ἐν καιρῷ μάχης καταφυγήν.

κς'. Ὑποδείξω δέ σοι ἑτέρας καὶ τῶν ἐν μάχῃ παρατάξεων διαφορὰς ὡς ἐν ὀλίγοις.

κζ'. Ἔστι μὲν γάρ τις παράταξις μάχης ἐν τρισὶν D ἴσοις μέρεσι τασσομένη, ἧς καὶ ἄνω που ἐμνήσθημεν, τουτέστι μέσῳ, καὶ δεξιῷ, καὶ ἀριστερῷ. Ἐν δὲ τῷ μέσῳ μέρει ἔχει ἄχρι τετρακοσίων ἢ πεντακοσίων ἀνδρῶν ἐπιλέκτων κατὰ περίσσειαν, τὰ δὲ βάθη τῆς τοιαύτης τάξεως οὐχ ὡρισμένῳ μέτρῳ γίνεται, ἀλλὰ μᾶλλον οἱ καβαλλάριοι ἐν ἑκάστῳ τάγματι ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ τάξει τάσσονται, καὶ τὸ μέτωπον τῆς τάξεως ἴσον καὶ πεπυκνωμένον ἐστί. Τὴν δὲ ἀποσκευὴν, καὶ τὸ τοῦλδον, ὄπισθεν κατὰ νώτου τῆς παρατάξεως ἔχει, καὶ ἐὰν ἐν καιρῷ μάχης ὁ οὕτως παρατασσόμενος ἔχῃ πολεμίους κονταράτους, εἰς δυσχερεῖς καὶ τραχεῖς τόπους τὴν παρά-

NOTÆ.

(61) Πρώην. Scribebatur, πρώχυ.
(62) Τοξαρίοις. Scribebatur, τοξαρία.
(63) Codex Laur. habet κούρτων.

ταξιν ὀφείλει τάσσειν, καὶ τόξοις κεχρῆσθαι, ἵνα A τῇ δυσκολίᾳ τῶν τόπων διεσπασμένων αὐτῶν οὐκ εὐλύτως καὶ εὐκόλως αἱ ὁρμαὶ τῶν κονταρίων κατὰ αὐτῶν γίνωνται.

κη'. Καὶ ἐὰν ὁρᾷ ὁ στρατηγὸς, ὅτι πρὸς ἔθνος ἔχει θερμόψυχον, ὀφείλει οὐ μόνον πρὸ τῆς ἡμέρας τοῦ πολέμου τὰς ὑπερθέσεις καὶ ἀναβολὰς ποιεῖσθαι τῆς μάχης, ἐὰν μάλιστα γνῷ ὅτι ἕτοιμοί εἰσι καὶ ἀξιόμαχοι οἱ ἐναντίοι δηλονότι ἐν δυσβάτοις τόποις ἀφόβως ἀπλικεύων.

κθ'. Ἀλλὰ καὶ κατ' αὐτὴν τὴν ἡμέραν τῆς μάχης ἐν καιρῷ μάλιστα θέρους καὶ περὶ τὴν θερμοτέραν ὥραν τῆς δείλης τότε τὰς συμβολὰς ποιείτω, ἵνα τῇ τοῦ ἡλίου ζέσει καὶ τῷ τοῦ καιροῦ παρασυρμῷ τὸ θρασὺ καὶ θυμῶδες τῶν ἀντιταττομένων αὐτῷ παύσηται. B

λ'. Ταύτην δὲ τὴν τάξιν ἣν προδιεγράψαμεν ἀντιτάττεται ἁρμοδίως πεζικὴ τάξις ἐπιμελῶς συντεταγμένη, καὶ τόπος ὁμαλὸς καὶ γυμνὸς διὰ τὰς τῶν κονταρίων ὁρμὰς, καὶ ἡ κατὰ χεῖρα καὶ ταχέως συμπλοκὴ χωρὶς ἀναβολῆς, διὰ τὸ ἀχρείους ἐγγὺς τὰς βολὰς τῶν σαγιττῶν γίνεσθαι, καὶ μὴ ἔχειν τοὺς τοξότας κοντάρια ἢ σκουτάρια.

λα'. Ἐὰν δὲ ἐν τῇ συμπλοκῇ τῆς μάχης καὶ ὤθησις πρὸς αὐτοὺς γένηται, καὶ πρὸς σύντομον φυγὴν ὁρμήσουσι, βλαβήσονται μεγάλα, ἐὰν μὴ γινώσκωσι τὰς αἰφνιδίους ὑποστροφὰς κατὰ τῶν ἐπερχομένων αὐτοῖς.

λβ'. Ἀλλὰ καὶ ἐπελεύσεις καὶ κυκλώσεις διὰ τῶν ὑπερκεραστῶν κατὰ τῶν πλαγίων καὶ τοῦ νώτου τῆς C παρατάξεως αὐτῶν γινόμεναι βλάψουσι τὰ μέγιστα αὐτοὺς, εἰ μὴ ἄρα ἔχωσιν ἐν τῇ παρατάξει πλαγιοφύλακας ἀξίους μεγάλῃ ἐπελεύσει ἀντικαταστῆναι.

λγ'. Διὰ τοῦτο οὖν, ὡς εἴρηται, χρὴ ἐν ταῖς τοιαύταις μάχαις καὶ παρατάξεσι τόπους ὁμαλοὺς καὶ ἀνακειμένους καὶ ἴσους ἐπιλέγεσθαι μὴ ἔχοντας τέλματα ἢ ὀρύγματα ἢ θάμνους, ἵνα μὴ διασπᾶται ἡ τάξις.

λδ'. Ἐμπαρασκεύου δὲ καὶ ἑτοίμου ὄντος καὶ παρατεταγμένου τοῦ στρατοῦ, μὴ ὑπερτίθεσθαι τὴν συμβολήν.

λε'. Ἐὰν ἄρα καὶ δόξῃ μάχην συγκροῦσαι δημοσίως κατὰ τὴν ἡμέραν τοῦ πολέμου· τὰς δὲ συμβολὰς ἤτοι προσκρούσεις ἐν ταῖς μάχαις πρὸς τὸ μέ- D τρον τῆς σαγίττας, ἴσας καὶ πυκνὰς κατὰ λόγον καὶ συντόμους δεῖ ποιεῖσθαι, ἵνα μὴ τῇ βραδύτητι τῆς συμπλοκῆς διὰ τῆς συνεχοῦς τοξείας τῶν ἐναντίων πλείονα τὰ βέλη καὶ τοῖς στρατιώταις, καὶ τοῖς ἵπποις ἐμπέσωσιν.

λϛ'. Ἐὰν δέ τις ἀνάγκη γένηται, ἵνα ἐν δυσχερεστέρῳ τόπῳ ἡ μάχη γένηται, καλόν ἐστι τοὺς μὲν ἐν πεζικῇ τάξει καταστῆσαι, τοὺς δὲ ἐπὶ τῶν ἵππων, καὶ μὴ τὴν πᾶσαν παράταξιν ἐν τοιούτοις ἀνωμάλοις τόποις καβαλλαρίους μόνον ποιοῦντα παρατάσσειν.

λζ'. Αἱ γὰρ τῶν κονταράτων ἐγχειρήσεις κατὰ τῶν τοξοτῶν, ὡς εἴπομεν, ἐὰν μὴ ἴσοι καὶ ἀδιάσπαστοι ὦσιν, βλάβην πολλὴν ἐκ τῶν σαγιττῶν ὑφίστανται,

patique, non facile, aut libere impetus hastarum valere possint.

28. Quod si intelligat adversum nationem bellicosam pugnandum esse, non modo ante diem belli differat, et rejiciat prælium quantum potest, si illos in bello fortiores valentioresque se esse putet, sed etiam in tuto firmoque loco secure castra ponat.

29. Ipso quoque die belli, si æstas potissimum fuerit, ipso diei fervore bellum differas, et in ipso vesperæ calore cum illo confligas, ut solis ardore et temporis ipsius æstu audacia ferociaque illorum reprimatur.

30. Huic formæ, quam supra descripsimus, opponitur pedestris acies diligenter instructa, et locus æquabilis, atque expositus, propter hastarum impetum, et conflictationem cominus, et consertis manibus habitam, et sine ulla intermissione, quia inutiles cominus conjectiones sagittarii neque hastas, neque scuta habent.

31. Si in prælio commisso depulsio depressioque fiat, et in fugam convertantur, magnopere ex eo lædentur, nisi subitæ conversionem et invasionis iterum in hostes repellentes artificium habeant.

32. Incursiones autem, et circumventiones per cornistites a lateribus, atque a tergo factæ valde eos lædent, nisi in acie lateranos egregios habeant, qui magnam incursionem repellere possunt.

33. Atque ideo, quemadmodum diximus, in talibus præliis et aciebus instruendis, loca æquabilia, exposita et plana eligenda sunt, quæ neque arbusta habeant, ut ne acies dissipetur.

34. Parato jam instructoque exercitu, et ad præliandum in die belli converso, ne conflictationem ipsam differas, si tibi decretum est eo die prælium committere.

35. Conflictationes ipsas, vel processus ad confligendum, pro ratione sagittarum æquales, densas et celeres facere oportet, ut ne tarditate procedendi, continuæ et plures sagittarum conjectiones tum milites tum equos magis vulnerent.

36. Sin aliqua necessitas urgeat, ut difficiliore in loco prælium committatur, haud abs te fuerit quosdam pedestri in acie collocare, quosdam ex equis, ut ne omnes cum equitibus, in hac locorum inæqualitate admisceamus.

37. Hastarum autem adversus sagittas dimicationes, si inæqualia præruptaque loca fuerint, magnas offensiones in bello accipiunt, atque ad con-

fligendum impediunt; itaque planis expositisque locis hastati ad dimicandum egent.

38. Sin se ad bellandum cum hostibus minus habilem esse imperator intellexerit, non publicis præliis cum eo conflictari, sed incursionibus, et impressionibus nec opinatis, et locorum opportunitate ad furtivas insidias, et aggressiones hostium utatur; neque causa cur bellum differatur vel suis, vel hostibus pateflat, ut ne ex eo hostes animentur ad prælium, tui a prælio abstrahantur.

39. Revolutiones, id est, conversiones et reversiones in discessionibus, non manifeste atque ex adverso hostium fiant, sed ad latus se obliquando convertant atque iterum a tergo illos intercipiant; quidam enim ex hostibus, ut Persæ, cum aciem dissolvere nolint, facile terga sua objiciunt iis qui contra eos conversi sunt, et quasi fugiendo pugnant. Nam qui discedunt, et subterfugiunt, si conversi voluerint ex adverso hostium se objicere illis, magnopere læduntur, si in illos instructos incidant.

40. Turcæ fugientes hostes confuse insequuntur, unde facillime læduntur, si qui fugæ se mandant, sine aciei suæ perturbatione faciant, et rursum eadem cum ordinis conservatione in illos iterum invadant.

41. Aliæ nationes permultæ ordinatæ, atque instructæ fugientes insequuntur; itaque minime oportet coram, atque ex adverso in illos conversi, sed ad latus, atque a tergo, quemadmodum memoravi, incursionem facere.

42. Quoniam Turcarum mentionem fecimus, haud abs re fuerit universam illorum aciem, et quemadmodum adversum illos nostra acies instruenda sit, explicare. Hoc enim experientia tenebamus, cum Bulgari induciis violatis Thracum regionem populabantur. Bulgaros enim ultio divina, propter hoc perjurium, in Christi Dei nostri, et totius universitatis regis nomine admissum, justo supplicio coercuit. Nam cum nostræ copiæ adversus Saracenos occupatæ essent, Turcas divina Providentia adversum eos Romanorum vice armavit, classe nostra Istrum transmittente, atque illos adjuvante, et Bulgarorum contra Christianos armatum exercitum tribus præliis fuderunt, divinitus ad hoc, ut videtur, missi, ne Romani Christiani Bulgarorum Christianorum sanguine inquinarentur.

43. Scythicæ nationes unam habent aciei apparatusque formam, quamvis diversorum hominum imperiis subjiciantur, et ad negotia facessenda incitati, pastionibus pecoris vitam transmittunt. Solæ autem Bulgarorum et Turcarum nationes similiter

A καὶ πρὸς τὴν συμβολὴν ἀνακόπτονται, διὸ καὶ ὁμαλωτέρου δέονται τόπου ἐν ταῖς μάχαις οἱ κονταρίοις χρώμενοι.

λη'. Ἐὰν δὲ κατανοήσῃ ὁ στρατηγὸς, ὅτι οὐκ ἔστιν ἀξιόμαχος ὁ στρατὸς αὐτοῦ πρὸς τοὺς ἐναντίους, οὐ δεῖ αὐτὸν μάχεσθαι πολέμοις δημοσίοις, ἀλλ' ἐφόδοις ἤγουν ἐπελεύσεσι καὶ κλοπαῖς κατὰ τῶν ἐχθρῶν κεχρῆσθαι ἀσφαλῶς καὶ εὐσχημόνως διὰ τόπων ἐπιτηδείων εἰς τὸ μὴ δηλοῦσθαι ἢ τοῖς ἐναντίοις, ἢ τοῖς ἰδίοις τὸν σκοπὸν δι' ὃν γίνεται ἡ ὑπέρθεσις τῆς δημοσίας, ἵνα μὴ ἐκ τούτου τοῖς μὲν πολεμίοις αὐτοῦ θράσος, τῷ δὲ λαῷ αὐτοῦ δειλία γένηται.

λθ'. Τὰς δὲ ἐξελίξεις, ἤγουν, τὰς ἐπιστροφὰς καὶ ἀναστροφὰς ἐν ταῖς ὑποχωρήσεσι, μὴ δι' ὄψεως ποιεῖσθαι τῶν ἐναντίων, ἀλλὰ διὰ τῶν πλαγίων αὐ-B τῶν ἀναστρέφειν καὶ τοὺς νώτους αὐτῶν ἀπολαμβάνειν. Τινὰ γὰρ τῶν ἐθνῶν οἷα καὶ τὰ τῶν Περσῶν ποτὲ μὴ βουλόμενα διαλύειν τάξιν αὐτῶν, εὐκόλως τοὺς νώτους αὐτῶν προδιδοῦσι τοῖς κατ' αὐτῶν ὑποστρέφουσιν οἱονεὶ φυγομαχοῦντες. Ἀλλὰ καὶ οἱ ὑποχωροῦντες καὶ ὑποφεύγοντες αὐτοὺς εἰ βουληθῶσιν ἀντιστρεφόμενοι εἰς ὄψιν τῶν διωκόντων αὐτοὺς ἐλθεῖν βλάπτονται συντεταγμένοις αὐτοῖς περιπίπτοντες.

μ'. Τὰ μὲν γὰρ τῶν ἐθνῶν οἷον οἱ Τοῦρκοι ἐν ταῖς διώξεσιν ἀτάκτως ἐπιτίθενται τοῖς διωκομένοις, ὅθεν καὶ εὐχερέστερον βλάπτονται παρὰ τῶν διωκομένων εὐτάκτως ὑποχωρούντων καὶ ὑποστρεφόντων.

C μα'. Τὰ δὲ πράως καὶ συντεταγμένως διώκουσι. Διὸ οὐδὲ χρὴ τοὺς ἀναστρέφοντας κατ' αὐτῶν δι' ὄψεως ἐπιτηδεύειν ἔρχεσθαι, ἀλλὰ καὶ διὰ τῶν πλαγίων καὶ κατὰ τοῦ νώτου αὐτῶν ποιεῖσθαι τὴν ἐπέλευσιν, ὥς μοι εἴρηται.

μβ'. Ἐπεὶ δὲ Τούρκων ἐμνήσθην, οὐκ ἀδόκιμον κρίνομεν, καὶ ὅπως αὐτοὶ παρατάττονται, καὶ ὅπως αὐτοῖς ἀντιπαρατάξασθαι δέον, διασαφῆσαι, διὰ μετρίας πείρας ἀναμαθόντες, ὅτε συμμάχοις αὐτοῖς ἐχρησάμεθα, Βουλγάρων τὰς εἰρηνικὰς παραβεβηκότων σπονδὰς, καὶ τὰ τῆς Θρᾴκης χωρία καταδραμόντων. Οἷς ἡ δίκη ἐπεξελθοῦσα τῆς εἰς Χριστὸν τὸν Θεὸν παροινίας τῶν ὅλων τὸν βασιλέα τάχος ἔφθασεν ἐπιθεῖναι τὴν τιμωρίαν. Καὶ γὰρ τῶν ἡμετέρων δυνάμεων κατὰ Σαρακηνῶν ἀσχολουμένων Τούρκους D ἡ θεία Πρόνοια ἀντὶ Ῥωμαίων κατὰ Βουλγάρων ἐστράτευσε, πλωΐμου στόλου τῆς ἡμῶν βασιλείας τὸν Ἴστρον αὐτοὺς διαπεράσαντός τε καὶ συμμαχήσαντος, καὶ τὸν κακῶς κατὰ Χριστιανῶν ὁπλισθέντα Βουλγάρων στρατὸν τρισὶ μάχαις κατὰ κράτος νενικηκότας (64), ὡς ἂν εἰ δημίους ἐξαποστείλασα κατὰ αὐτῶν, ἵνα μὴ ἑκόντες Ῥωμαῖοι Χριστιανοὶ Χριστιανῶν Βουλγάρων αἵμασι χραίνοιντο.

μγ'. Τὰ Σκυθικὰ τοίνυν ἔθνη μιᾶς εἰσιν, ὡς εἰπεῖν, ἀναστροφῆς τε καὶ τάξεως, πολύαρχά τε καὶ ἀπράγμονα νομαδικῶς ὡς ἐπίπαν βιοῦντα. Μόνα δὲ τὰ τῶν Βουλγάρων προσέτι δὲ καὶ τὰ τῶν Τούρκων τῆς ὁμοίας φροντίζουσι τάξεως πολεμικῆς ἰσχυρο-

NOTÆ.

(64) *Νενικηκότας*. Scribe, νενικηκότος.

τέρας τῶν ἄλλων Σκυθικῶν ἐθνῶν τὰς κατὰ σύστασιν μάχας ποιούμενά τε καὶ μοναρχούμενα.

μδ'. Ἀλλὰ Βουλγάρων τὴν ἐν Χριστῷ εἰρήνην ἀσπαζομένων, καὶ κοινωνούντων τῆς εἰς αὐτὸν πίστεως Ῥωμαίοις, μετὰ τὴν ἐκ τῆς παρορκίας πεῖραν οὐχ ἡγούμεθα κατὰ αὐτῶν χεῖρας ὁπλίζειν, ἐπὶ τὸ Θεῖον ἤδη τὰ κατὰ ἐκείνων ἀναρτῶντες στρατηγήματα· διόπερ οὔτε τὴν αὐτῶν καθ' ἡμῶν παράταξιν, οὔτε τὴν ἡμετέραν κατ' ἐκείνων, ἅτε διὰ τῆς μιᾶς πίστεως ἀδελφῶν ὑπαρχόντων, καὶ ταῖς ἡμετέραις εἴκειν ἐπαγγελλομένων εἰσηγήσεσι, διαγράφειν τέως προθυμούμεθα.

με'. Περὶ δὲ τῆς τῶν Τούρκων διαθέσεώς τε καὶ παρατάξεως, μικρῷ τῆς Βουλγάρων ἢ οὐδὲν διαφερούσης, ἤδη ἐροῦμεν. Ὅτι πολύανδρόν ἐστι καὶ ἐλεύθερον τοῦτο τὸ ἔθνος, μελέτην μόνον ποιούμενον, παρὰ τὰς ἄλλας πολυτελείας καὶ τὴν εὐπορίαν, τὸ ἀνδρείως διακεῖσθαι πρὸς τοὺς ἰδίους ἐχθρούς.

μς'. Τοῦτο τοίνυν ὡς μοναρχούμενον, καὶ ἀπηνεῖς καὶ βαρείας τὰς ποινὰς ἐπὶ τοῖς ἁμαρτανομένοις παρ' αὐτῶν ἐκ τῶν ἀρχόντων αὐτῶν ὑφιστάμενον, οὐκ ἀγάπῃ, ἀλλὰ φόβῳ κεκρατημένον, τοὺς πόνους καὶ μόχθους γενναίως φέρουσιν. Πρὸς δὲ καύματα καὶ πρὸς ψύχος ἀντέχονται, καὶ τῆς λοιπῆς τῶν ἀναγκαίων ἐνδείας νομαδικὸν ὑπάρχον.

μζ'. Περίεργα δέ εἰσι τὰ τῶν Τούρκων φῦλα, καὶ κρύπτοντα τὴν βουλὴν αὐτῶν, ἄφιλα δὲ καὶ ἄπιστα ὄντα, καὶ διὰ τῆς ἀπληστίας τῶν χρημάτων κρατούμενα, ὅρκου περιφρονοῦσι, μήτε συνθήκας φυλάττοντα, μήτε δώροις ἀρκούμενα, ἀλλὰ πρὶν τὸ δοθὲν δέξονται, ἐπιβουλὴν μελετῶσιν καὶ ἀνατροπὴν τῶν συνθηκῶν.

μη'. Καὶ τοὺς ἐπιτηδείους καιροὺς δεινῶς στοχάζονται, καὶ σπουδάζουσιν οὐ τοσοῦτον χειρὶ καὶ δυνάμει τοὺς ἐχθροὺς καταπολεμῆσαι, ὅσον δι' ἀπάτης, καὶ αἰφνιδιασμοῦ, καὶ διὰ τῆς τῶν ἀναγκαίων στενώσεως.

μθ'. Ὁπλίζονται δὲ σπαθίοις, καὶ λωρικίοις, καὶ τόξοις, καὶ κονταρίοις. Ὅθεν ἐν ταῖς μάχαις διπλοῦν ἅρμα οἱ πλείονες αὐτῶν ἐπιφέρονται, ἐν τοῖς ὤμοις τὰ κοντάρια ἀναβαστάζοντες, καὶ τὰ τόξα ἐν ταῖς χερσὶ κατέχοντες, καὶ ἀμφοτέροις κατὰ τὴν ἀπαντῶσαν χρείαν κεχρημένοι. Διωκόμενοι δὲ μᾶλλον προτεροῦσι τοῖς τόξοις.

ν'. Οὐκ αὐτοὶ δὲ μόνον ὁπλοφοροῦσιν, ἀλλὰ καὶ οἱ ἵπποι τῶν ἐμφανῶν σιδήρῳ ἢ κενδούκλῳ τὰ ἔμπροσθεν μέρη σκέπονται.

να'. Πολλὴν δὲ μελέτην καὶ ἄσκησιν ποιοῦνται περὶ τὴν ἐπὶ τῶν ἵππων τοξείαν.

νβ'. Ἀκολουθεῖ δὲ αὐτοῖς καὶ πλῆθος ἀλόγων ἱππαρίων καὶ φοραδίων (65), ἅμα μὲν πρὸς ἀποτροφὴν καὶ γαλακτοποσίαν, ἅμα δὲ καὶ διὰ πλήθους φαντασίαν.

acies suas in bello instruunt, reliquis Scythis longe melius ac fortius ordinati, et unius imperio obedientes bella gerunt.

44. Sed quoniam Bulgari pacem in Christo amplectuntur, et fidem in Christo cum Romanis communicant, quoniam Deus illos propter induciarum violatarum perjurium ulciscebatur, nolumus ulla consilia imperatoria adhibere, et adversus illos nosmet armare. Itaque neque illorum contra nos aciem, neque nostram adversum illos, cum una in fide quasi fratres jungamur, apparationem demonstrare, nuncque potissimum cum jam se nostro imperio administrationique, quemadmodum optavimus, submittunt.

45. De Turcarum forma parum aut nihil a Bulgaris differente jam dicamus. Populosa ac libera hæc natio est, reliquarum rerum quæ sunt in hominibus splendida minorem curam habentes; in eo solum laborantes, ut in confligendo cum hostibus fortes sint atque habeantur.

46. Hæc igitur natio sub unius dominatu cum sit, graves acerbasque pœnas dat præfectis suis, si ullius delicti teneantur; neque amore, sed timore ab improbitate coercetur, et labores atque ærumnas omnes strenue perfert; ad calores et frigora toleranda satis paratur; reliquarum rerum egestatem, quemadmodum reliqui, qui nomades sunt, id est, pastionibus pecudum se totos tradiderunt, æquo animo perpetiuntur.

47. Laboriosum admodum genus Turcarum est, et tectum in consiliis atque occultum, neque sociale, neque fidum, pecuniarum cupiditate inexplebile, jurisjurandi contemnens, fœdifragum; donis haud contineri potest; nam pene priusquam dona acceperint, insidias moliuntur et induciarum violationem.

48. Temporum opportunitatem diligentissime persequuntur, neque manu et viribus tantum contendunt, quantum dolis, et subitis incursionibus, et rerum necessariarum interclusione, hostes adoriuntur.

49. Armantur gladiis, hastis, sagittis, galeis. Unde in prœlio duplicia arma complures ex illis gestant; humeris hastas ferunt, et manibus arcum tenent, et, si quando usus poscit, utrisque utuntur; ubi vero alii eos insequuntur, arcu magis valent.

50. Nec vero soli illi arma gestant, sed equi etiam spectatorum virorum cenduclo, aut ferro anteriora tegunt.

51. Multum operæ collocant in studio sagittarum ex equis jaciendarum.

52. Bestiarum multitudinem secum habent, equarum, jumentorumque aliorum, tum ad lac bibendum, tum propter opinionem multitudinis.

NOTÆ.

(65) In quibusdam hic suppletur vocabulum, ἀγέλαι, deest in cod. Laurent.

53. Castra ponunt non in fossato, quemadmodum Romani, sed usque ad belli diem per cognationes et tribus disperguntur. Equos assidue tum hieme tum æstate alunt. Belli autem tempore necessarios ad usum equos retinent, et prope Turcica tentoria pedicis injectis tenent, atque usque ad ipsius prœlii tempus conservant.

54. Excubias eminus collocatas habent, sed ita crebras, ut non facile subitis impressionibus opprimi possint.

55. In prœlio, ut Romani faciunt, aciem suam in tres partes non dividunt, sed diversis in partibus drungisti simul et confertim inter se adjuncti, partes ita parum inter se distantes habent, ut una videatur esse acies.

56. Præter aciem instructam copias quasdam præterea habent, quas vel ad insidias mittunt adversum eos qui negligenter in hostili acie illis opponuntur, vel ad subsidium afflictæ oppressæque partis emittunt. Tuldum autem, id est impedimenta, a tergo aciei prope vel ad dextram, vel ad sinistram, unius aut duorum milliarium intervallo habent, et parvam quamdam custodiam militum illi assignant.

57. Sæpe autem superfluos equos a tergo post aciem instructam locant, et manipulos confuse atque inordinate apparant; ut densata altaque sit permultum laborant, frontem vero æquabilem densamque faciunt.

58. Utuntur pugnis eminus habitis, insidiis, circumscriptionibus hostium, simulatis discessionibus, conversionibus, et dispersis aciebus.

59. Ubi hostes in fugam verterint, illud primum laborant, ut omni contentione insequantur, nihil prius habentes, quam persequi hostes. Neque, quemadmodum Romani reliquæque nationes, contenti sunt mediocriter illos insequi, et pecunias illorum diripere, sed eo usque invadunt, dum omnibus quibus possunt viis hostes protinus deleant.

60. Si qui ex hostibus Turcorum ad munitionem aliquam confugerint, confestim conantur commeatus inopiam, si quæ sit, aut virorum, aut jumentorum cognoscere, et ibi in continua obsidione sunt, donec ejus inopia hostes opprimant, vel ad aliquam consensionem, aut deditionem illos compulerint; ac primo leviora illis proponunt, assentientibus deinde graviora imponunt.

61. Hi Turcorum mores hoc solo a Bulgarorum distant, quod hi Christianorum complexi fidem, Romanorum moribus assuefacti, morum asperitatem et agrestem vitam simul cum infidelitate abjecerunt.

A νγ'. Ἀπλικεύουσι δὲ οὐκ ἐν φοσσάτῳ, ὥσπερ οἱ Ῥωμαῖοι, ἀλλὰ μέχρι μὲν τῆς τοῦ πολέμου ἡμέρας διεσπαρμένοι κατὰ γένη καὶ φυλὰς, τοὺς ἵππους βόσκοντες διηνεκῶς ἐν θέρει καὶ χειμῶνι. Ἐν δὲ καιρῷ πολέμου τοὺς ἀναγκαίους ἵππους κατέχοντες, καὶ πεδικλοῦντες πλησίον τῶν Τουρκικῶν τεντῶν φυλάττουσι μέχρι καιροῦ τῆς παρατάξεως, ὑπὸ νύκτα τῆς παρατάξεως ἀπαρχόμενοι.

νδ'. Τὰς δὲ βίγλας αὐτῶν ἀπὸ μακρόθεν ἀλλεπαλλήλους ποιοῦσιν, εἰς τὸ μὴ εὐκόλως αὐτοὺς ὑπομένειν αἰφνιδιασμούς.

νε'. Ἐν δὲ τῇ μάχῃ οὐχ ὡς οἱ Ῥωμαῖοι παρατάσσουσιν ἐν τρισὶ μέρεσιν, ἀλλ' ἐν διαφόροις μοίραις δρουγγιστὶ συνάπτοντες ἀλλήλαις τὰς μοίρας μικρὸν ἀπ' ἀλλήλων διισταμένας, ὥστε μίαν φαίνεσθαι B παράταξιν.

νς'. Ἔχουσι δὲ ἔξω τῆς παρατάξεως δύναμίν τινα ἐκ περισσοῦ, ἣν πρὸς ἔγκρυμμα ἐκπέμπουσιν κατὰ τῶν ἀμελῶς ἀντιτασσομένων αὐτοῖς, ἢ καὶ εἰς βοήθειαν τοῦ βαρουμένου μέρους φυλάττουσι. Τὸ δὲ τοῦλδον αὐτῶν ὄπισθεν τῆς παρατάξεως ἔχουσι πλησίον, ἢ δεξιᾷ ἢ ἀριστερᾷ τῆς παρατάξεως, ὡς ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου, ἀφιέντες ἐν αὐτῷ καὶ ὀλίγην παραφυλακήν.

νζ'. Πολλάκις δὲ καὶ συζευγνύντες τοὺς περισσοὺς τῶν ἵππων κατὰ νώτου, ἤγουν ὄπισθεν τῆς παρατάξεως αὐτῶν ποιοῦσιν εἰς φυλακὴν αὐτῆς, καὶ τὰ μὲν βάθη τῶν ἀκιῶν τῆς παρατάξεως ἤγουν τοὺς στίχους ἀορίστως ποιοῦσι, διὰ τὸ παχεῖαν εἶναι τὴν C παράταξιν βάθους μᾶλλον φροντίζοντες, καὶ ἴσον ποιοῦσι καὶ πυκνὸν τὸ μέτωπον.

νη'. Χαίρουσι δὲ μᾶλλον ταῖς ἀπὸ μήκοθεν μάχαις, καὶ ἐνέδραις, καὶ ταῖς κυκλώσεσι κατὰ τῶν ἐναντίων, καὶ ταῖς ἐσχηματισμέναις ὑποχωρήσεσιν, καὶ ἀντιστροφαῖς, καὶ ταῖς διεσπαρμέναις τάξεσιν.

νθ'. Ὅταν δὲ τρέψωσι τοὺς ἐχθροὺς αὐτῶν, πάντα ἐν δευτέρῳ τιθέασιν, καὶ ἀφειδῶς ἐπιτίθενται, οὐδὲν ἕτερον λογιζόμενοι, ἢ τὸ διώκειν. Οὐκ ἀρκοῦνται γὰρ, ὥσπερ οἱ Ῥωμαῖοι καὶ τὰ ἄλλα ἔθνη, τῇ μετρίᾳ καταδιώξει, καὶ τῇ τῶν χρημάτων ἁρπαγῇ, ἀλλὰ μέχρι τοσούτου ἐπίκεινται, ἕως ἂν τελείως τὴν τῶν ἐχθρῶν κατάλυσιν ποιήσωνται, πάσῃ μεθ-D όδῳ εἰς τοῦτο κεχρημένοι.

ξ'. Ἐὰν δέ τινες τῶν ἐχθρῶν αὐτῶν διωκόμενοι εἰς ὀχύρωμα καταφεύγωσι, σπουδάζουσι ἀκριβῶς κατανοοῦντες τὴν τῶν ἀναγκαίων ἔνδειαν καὶ τῶν ἵππων καὶ τῶν ἀνδρῶν, καὶ προσκαρτεροῦσιν ἵνα τῇ στενότητι τούτων χειρώσωνται τοὺς ἐχθροὺς, ἢ εἰς τὰ ἀρέσκοντα αὐτοῖς σύμφωνα τούτους ἀγάγωσι, πρώτως μὲν ἐλαφρότερά τινα ἐπιζητοῦντες, καὶ τότε συντιθεμένων αὐτοῖς τῶν ἐχθρῶν ἕτερα μείζονα προστιθέασιν.

ξα'. Ταῦτα μὲν τὰ τῶν Τούρκων ἤδη τοσούτῳ μόνῳ διαφέροντα τῶν Βουλγάρων, ὅσῳ τὴν Χριστιανῶν οὗτοι ἀσπασάμενοι πίστιν, καὶ τοῖς Ῥωμαϊκοῖς ἐπ' ὀλίγον μετεβάλοντο ἤθεσι, τό τε τὸ ἄγριον καὶ νομαδικὸν τῷ ἀπίστῳ συναποβαλόντες.

ξβ'. Ἐναντιοῦται δὲ πολεμίοις Τούρκοις ἔνδεια βοσκῆς διὰ τὸ πλῆθος ὧν ἐπιφέρονται ἀλόγων. A

ξγ'. Καὶ ἐν καιρῷ δὲ συμβολῆς τάξις πεζικὴ συντεταγμένη μάλιστα αὐτοὺς βλάψει, ὡς ἐναντία αὐτῶν καβαλλαρίων ὄντων, καὶ μὴ καταβαινόντων ἀπὸ τῶν ἵππων· οὐδὲ γὰρ στῆναι πεζῇ καρτεροῦσιν ὡς συντραφέντες ἐποχεῖσθαι τοῖς ἵπποις.

ξδ'. Ἐναντιοῦται δὲ αὐτοῖς καὶ τόπος ὁμαλὸς καὶ γεγυμνασμένος, καὶ δὴ καὶ τάξις καβαλλαρικὴ, καὶ πεπυκνωμένη, καὶ ἀδιαστάτως αὐτοῖς ἀκολουθοῦσα.

ξε'. Ἐναντιοῦται δὲ καὶ ἐκ χειρὸς συμπλοκὴ μετὰ τῶν ὅπλων, καὶ ἔφοδοι νυκτεριναὶ ἀσφαλῶς γινόμεναι, οἷον ἵνα οἱ μὲν οἱ προσβάλλοντες αὐτοῖς ἓν μὲν ἔχωσι μέρος τεταγμένον, τὸ δὲ ἕτερον μέρος ἐγκρυπτόμενον, B

ξς'. Λυπεῖ δὲ αὐτοὺς σφόδρα καὶ ὅταν τινὲς ἐξ αὐτῶν προσφύγωσι τοῖς Ῥωμαίοις. Γινώσκουσι γὰρ ὅτι ἄστατον ἔχει γνώμην τὸ ἔθνος αὐτῶν, καὶ φιλοκερδεῖς εἰσιν, καὶ ἐκ πολλῶν φυλῶν συγκείμενοι, καὶ ὅτι διὰ τοῦτο οὐ ποιοῦνται λόγον συγγενῶν καὶ τῆς εἰς ἀλλήλους ὁμονοίας.

ξζ'. Ὀλίγων δὲ τάχα τοῦ προσφυγεῖν ἀπαρχομένων καὶ φιλοφρονουμένων παρ' ἡμῶν, πλῆθος αὐτοῖς ἐπακολουθεῖ. Διὸ καὶ βαρέως φέρουσιν ἐπὶ τοῖς ἀπ' αὐτῶν ἀναχωροῦσιν.

ξη'. Ὅταν οὖν βουληθῇ τις πρὸς αὐτοὺς ἐγγίσαι πρὸς μάχην, πρό γε πάντων ἔχειν αὐτὸν δέον τὰς βίγλας ἐπιμελῶς καὶ συνεχεῖς ἀπὸ διαστημάτων C ὀλίγων, εἶτα μεριμνῆσαι καὶ προευτρεπίσαι τὰ εἰς δευτέραν τύχην τυγχάνοντα· ἤγουν μήποτε τροπὴ γένηται τῶν ἀντιπολεμούντων αὐτοῖς, ἵνα καὶ ὀχυρὸν τόπον κατανοήσῃ ἐν καιρῷ περιστάσεως, καὶ δαπάνην ἐφεύρῃ ὀλίγων ἡμερῶν, εἰ μὲν δυνατόν ἐστι καὶ τῶν ἀλόγων, ἐπὶ παντὸς τῶν ἀνδρῶν, καὶ μάλιστα τὴν τοῦ ὕδατος εὐπορίαν, εἶτα καὶ τὸ τοῦλδον διαθήσει, ὡς ἐν τῷ περὶ αὐτοῦ κεφαλαίῳ ἡμῖν εἴρηται.

ξθ'. Καὶ ἐὰν μὲν σύνεστι πεζικὸς στρατὸς ἐν τῇ πρώτῃ μάλιστα μάχῃ, ἐν ὅσῳ ὁ στρατὸς ἐν συνηθείᾳ τοῦ ἔθνους γίνεται, ἐκτάξαι αὐτὸν κατὰ τὸν δηλωθέντα ἡμῖν ἐν ἄλλοις τρόπον, τοῦτ' ἔστιν, ὥστε ἔχειν τοὺς καβαλλαρίους ὑποτεταγμένους τοῖς πεζοῖς. D

ο'. Εἰ δὲ μόνον καβαλλάριοί εἰσιν οἱ ἀντιτασσόμενοι αὐτοῖς, καὶ ἀξιόμαχοι πρὸς τὴν ἐκείνων δύναμιν, κατὰ τὸν λεχθέντα τρόπον καὶ αὐτὸν ἐν τῷ περὶ τάξεως λόγῳ τάξει αὐτούς.

οα'. Πλείονας δὲ ἐν τοῖς πλαγίοις ἀφορίσει καὶ χρησίμους. Ἐν τῷ νώτῳ γὰρ αὐτῶν ἀρκοῦσιν οἱ λεγόμενοι διφένσορες καβαλλάριοι, ἤτοι οἱ ἔκδικοι. Τοὺς δὲ κούρσωρας, ἤτοι προμάχους μὴ πλέον τριῶν, ἢ τεσσάρων σαγιττοβόλων τῆς παρατάξεως τῶν διφενσόρων ἐν ταῖς διώξεσι χωρίζεσθαι μηδὲ κατατρέχειν αὐτῶν. Πάντως δὲ καὶ σπουδὴν ποιήσεται ἵνα ἐν γυμνῷ καὶ ἴσῳ τόπῳ κατὰ τὸ δυνατὸν

62. Pastionum inopia maximo impedimento Turcorum exercitui est, quia multitudinem jumentorum secum semper vehunt.

63. Conflictationis tempore pedestris acies magnopere illos lædet, quæ adversa equitibus solet esse iis qui ex equis descendere non solent; neque enim stare pedibus diu possunt, quia equis vehi sunt soliti,

64. Adversus illis locus æquabilis campestrisque est, et acies equestris densataque, et sine intermissione illos sequens.

65. Adversæ illis sunt manuum concertationes, et incursiones nocturnæ, si ita tuto fiant, ut qui invadunt illos unam partem habeant instructam, alteram autem occultam atque abditam.

66. Hoc vehementer illos vexat, si qui ex illis ad Romanos deficiant. Cognoscunt enim omnes suos inconstantem habere animum, et lucri appetentes esse, ac ex multis tribubus conflatos, atque adeo cognatorum suorum et mutuæ benevolentiæ minorem rationem habere.

67. Cum paululum ad fugiendum retrocesserint, atque hilarentur, multi e nostris statim consequuntur. Itaque moleste admodum ferunt, si quis ab illis deficiat.

68. Quando quis cominus ad pugnandum cum illis accedere voluerit, excubias habeat multas et crebras, exiguo intervallo disjunctas; deinde præparet, et adversus omnem fortunæ impetum provideat, ut si quando hostium fuga fiat, munitionem aliquam ad illos obsidendos paret; et commeatum aliquot dierum habeat tum hominum, tum etiam, si fieri potest, jumentorum, ac in primis aquæ affluentiam habeat, deinde impedimenta sic instruat, quemadmodum in capite de tuldo diximus.

69. Si pedestris acies fuerit in prima potissimum pugna, qui exercitus maxime assuetus illis fuerit, eum primo instrues, quemadmodum alibi explicuimus; hoc est, ut equites post se instructos habeant.

70. Sin equites fuerint, qui adversum Turcos instruuntur, si ad pugnandum cum illis satis habiles fuerint, ita instrues eos, quemadmodum ante memoravimus, ubi de instruendis illis verba fecimus.

71. Ad latera multos et strenuos segregabis; ad tergus enim defendendum satis sunt defensores, id est, vindices. Cursores autem plus tribus aut quatuor sagittæ jactibus in persequendis hostibus a defensoribus ne separentur. Omnino autem elaborabis, ut in planis expositisque locis quantum potes aciem tuam instruas, ubi neque silvæ condensæ, neque paludes, neque arbusta perturbare

possint, propter insidiarum metum, quas Turci moliri solent.

A αὐτῷ τὴν παράταξιν ἐκτάξῃ, ἔνθα μήτε ὗλαι εἰσὶ δασεῖς, μήτε πάλματα (66), μήτε δὲ κοιλάδες ἐνοχλοῦσι, διὰ τὰ παρὰ τῶν Τούρκων ἐπινοούμενα ἐγκρύμματα.

72. Excubiæ intervallo quodam interposito ad partes quatuor aciei collocabuntur.

οβ'. Καὶ τὰς βίγλας δὲ ἐκ διαστήματος κατὰ τεσσάρων μερῶν τῆς παρατάξεως ποιήσεις.

73. Si fieri possit, fluvium transitu perdifficilem aut paludem, aut lacum, ad tergus aciei in tuto conservandum habeas.

ογ'. Ἐὰν δὲ ἐνδέχεται, καλόν ἐστιν ἵνα ἢ δύσβατον ποταμὸν, ἢ πάλματα, [ἢ] λίμνην κατὰ νώτου τῆς παρατάξεως ἔχῃ, ἵνα ὁ νῶτος ἀσφαλῶς φυλάττηται.

74. Si belli secundus exitus fuerit neque nimis cupide illos opprimas, neque negligenter illos insequaris. Neque enim quemadmodum reliquæ nationes faciunt, sic Turci, ubi primo superantur prœlio, statim profligati discedunt, sed omnes vias postea quærunt, quemadmodum hostes suos incursionibus superare aut fundere possint. Sin permista acies, pluresque pedites fuerint, provisio quædam jumentorum pabuli habenda est. Neque enim imminentibus hostibus omnino equites permittuntur pabulari.

οδ'. Καὶ ἐὰν καλῶς τὰ τοῦ πολέμου ἐξέλθῃ, μήτε κατατρέχειν αὐτῶν ἀπλήστως, μήτε ἀμελῶς διακεῖσθαι· οὐδὲ γὰρ ὡς τὰ λοιπὰ ἔθνη τὴν πρώτην ἡττώμενα μάχην ἀπολήγουσι τοῦ πολέμου, ἀλλὰ μέχρις ἂν κατὰ κράτος ταπεινωθῶσιν, ἐπιτηδεύουσι διὰ πολλῶν τρόπων κατὰ τῶν ἐχθρῶν αὐτῶν ἐγχειρεῖν. B Ἐὰν δὲ σύμμικτός ἐστιν ἡ τάξις, καὶ πλείους εἰσὶν οἱ πεζοὶ, δέον πρόνοιαν ἐν τοῖς τοιούτοις ποιεῖσθαι τῆς ἀποστροφῆς (67) τῶν ἀλόγων. Οὐ γὰρ πάντως συγχωροῦνται οἱ καβαλλάριοι, ἐγγιζόντων τῶν ἐχθρῶν, χορτάσματα τῶν ἀλόγων συνάγειν.

75. Hæc igitur bellica consuetaque Turcorum est exercitatio. A Bulgarorum autem forma paucis quibusdam rebus, quemadmodum ante dictum est, differt: reliquis in rebus similis est.

οε'. Αὕτη τοίνυν ἡ πολεμική τε καὶ συνήθης τῶν Τούρκων συνάσκησις διαφέρει Βουλγάρων, ὡς εἴρηται, κατά τινα μικρὰ, τὰ δ' ἄλλα ἐξωμοίωται.

76. Hæc nos ad te scripsimus, non quasi adversus Turcos bellum suscepturi; neque enim prope nos sunt, neque hostes nobis nunc sunt, sed se subjectos potius conantur ostendere.

ος'. Ἡμεῖς δὲ τούτου ἕνεκέν σοι ταύτην ὑπεγράψαμεν, οὐχ ὡς Τούρκοις παρατάσσεσθαι μέλλοντ.· οὔτε γὰρ γείτονές εἰσιν, οὔτε μὴν πολέμιοι νῦν, ἀλλὰ καὶ μᾶλλον ὑπήκοοι Ῥωμαίοις σπουδάζουσιν ἀναδείκνυσθαι.

77. Sed ut scias acierum et instructionum varietatem, et idoneis temporibus opportune illis utaris, sicubi utile aut commodum judicaveris, quæ multo cum labore ac studio ab aliis inventæ sunt, atque etiam adversum illos alia contraria moliri atque excogitare possis.

οζ'. Ἀλλ' ἵνα ἔχοις, ὦ στρατηγὲ, εἰδέναι τὰ C ἕκαστα τῶν διαφόρων παρατάξεων καὶ στρατηγημάτων, καὶ ἐν καιρῷ τῷ προσήκοντι χρῆσθαι αὐτοῖς συντόμως πρὸς ὅ τι ἂν βουληθῇς, καὶ δοκιμάσῃς τὸ χρήσιμον τοῖς ἐκ πολλῆς γυμνασίας παρά τισιν ἐφευρισκομένοις στρατηγήμασί τε καὶ παρατάξεσιν, ἢ ὅτε καιρὸς ἀπαιτεῖ, καὶ ἀντιστρατεύεσθαι πρὸς αὐτὰ τὸ ἐναντίον διὰ τῆς μελέτης προησκημένος καὶ γυμνασάμενος.

78. Sunt quædam nationes, ut Galli et Longobardi, quæ olim in infidelitate versabantur, nunc veram Christianorum fidem nobiscum amplexi sunt: e quibus aliæ sociales nobis, aliæ sub imperium nostrum subjectæ sunt. Atque iis privatæ quædam militares acies, quas partim per manus ab aliis acceperunt, partim bellandi consuetudine invenerunt. Quæ omnia non ideo tibi commemorabo, ut bellum illis inferre possis; quomodo enim adversus socios et subjectos, et ejusdem fidei participes, et nobiscum conjunctos homines, bellum susciperemus? sed ut iis cognitis, quæ contraria sunt illis, si quid tale usus poscat, adinvenire possis, et adversum quascunque molitiones hostium contrarias illis in promptu habeas.

οη'. Εἰσὶ δέ τινα τῶν ἐθνῶν, οἷον Φράγγοι καὶ Λογγίβαρδοι, πάλαι μὲν ἀσεβείᾳ κρατούμενα, νῦν δὲ τὴν ἀληθῆ τῶν Χριστιανῶν πίστιν ἀσπαζόμενα, ὧν τὰ μὲν φίλια, τὰ δὲ ὑπήκοα τῇ ἡμῶν ἐκ Θεοῦ βασιλείᾳ τυγχάνουσι. Καὶ τούτοις δέ εἰσι πολεμικὰ ἰδιώματα, τὰ μὲν ἐκ παραδόσεως, τὰ δὲ καὶ αὐτῇ τῇ συνηθείᾳ σύμφωνα, ἅπερ παραθήσομέν σοι, ὦ στρατηγὲ, D οὐ χάριν τῆς αὐτῶν ἐκστρατείας (πῶς γὰρ τῶν εἰρηνευόντων, καὶ συμμάχων, καὶ ὁμοθρήσκων, καὶ ὑπηκόων;), ἀλλ' ἵνα καὶ ἐκ τῶν τοιούτων ἐθίμων καὶ συστάσεων, καὶ εἴ γε δεῖ καὶ ἐκ τῶν τοιούτοις ἐναντίων, εἴ τί σοι δόξει χρήσιμον ἀναλεξάμενος καὶ ζηλώσῃς καὶ ἔχῃς ἐν καιρῷ τῷ προσήκοντι γεγυμνασμένον κατὰ τῶν ὁποίων δήποτέ σοι ἀντιπαρατατομένων πολεμίων.

79. Nam et Sclavi quoque olim erant, quando

οθ'. Καὶ γὰρ καὶ Σκλάβοι ἦν ποτε ὅτε πέραν κατ-

NOTÆ.

(66) *Μήτε πάλματα.* Scribe, μήτε πάλτα, sive βάλται. Nam π et β confunduntur, βάλται autem sunt paludes. Apud eumdem hunc Leonem supra: Ἐκλέγου χωρία χρήσιμα, μὴ ὑλώδη, ἤγουν ὕλας, καὶ πηλὰ, καὶ πάλτας ἔχοντα. Hinc βαλτώδης, *paluslris.* Constantinus, *De administrando imperio*: Ἡ μὲν Βενετία τὸ μὲν παλαιὸν ἦν τόπος ἔρημός τις, ἀοίκητος, καὶ βαλτώδης. Idem mendum iterum infra est § 74: Ἢ δύσβατον ποταμὸν, ἢ πάλματα, ἢ λίμνην. Corrige ad præscriptum, ἢ πάλτην.

(67) Ἀποστροφῆς. Scribe, ἀποτροφῆς.

ᾤκουν τοῦ Ἴστρου, ὃν καὶ Δανούβιον καλοῦμεν. Οὓς A καὶ προσεπολέμουν Ῥωμαῖοι ἐπιτιθέμενοι, νομαδικῶς καὶ αὐτῶν τότε διαζώντων πρὶν ἢ περαιωθῆναι τὸν Ἴστρον, καὶ ὑπὸ τὸν ζυγὸν τῆς Ῥωμαϊκῆς ἐξουσίας τὸν αὐτῶν αὐχένα ὑποκλῖναι. Οὐδὲ τούτων δὲ τὰ ἔθιμα πρὸς τὰς μάχας καὶ τὴν ἄλλην συνήθειαν ἄγνωστά σοι καταλείψω, ἀλλ' ὥσπερ μοι εἴρηται πάντα συλλέξας διαγράψω, καθόσον ἡμῖν ἡ δύναμις ἐγχωρεῖ, ἵνα πανταχόθεν μελίττης δίκην ἐρανίζῃ καὶ συλλέγῃς τὰ χρήσιμα.

π'. Φράγγοι τοίνυν καὶ Λογγίβαρδοι λόγον ἐλευθερίας περὶ πολλοῦ ποιοῦνται, ἀλλ' οἱ μὲν Λογγίβαρδοι τὸ πλέον τῆς τοιαύτης ἀρετῆς νῦν ἀπώλεσαν. Πλὴν καὶ οὗτοι καὶ Φράγγοι καὶ μάλιστα θρασεῖς ἦσαν καὶ ἀκατάπληκτοι, ἐν τοῖς πολέμοις τολμηροί τε καὶ προπετεῖς, εἰς ὄνειδος ἔχοντες τὴν δειλίαν, καὶ τὴν B πρὸς μικρὸν ἀναχώρησιν, καὶ ταύτην οἱονεὶ φυγὴν ἡγούμενοι. Εὐκόλως δὲ διὰ τοῦτο θανάτου καταφρονοῦσι, τὴν κατὰ χεῖρα μάχην σφοδρῶς καὶ καβαλλάριοι καὶ πεζοὶ μαχόμενοι.

πα'. Ὅταν γὰρ, ὡς εἰκὸς, ἐν ταῖς καβαλλαρικαῖς μάχαις στενωθῶσιν, ἐξ ἑνὸς συνθήματος ἀποκαταβαίνουσι τῶν ἵππων αὐτῶν, καὶ πεζῇ παρατάσσονται ὀλίγοι τάχα καὶ πρὸς πλείονας καβαλλαρίους μὴ δειλιῶντες, ἢ ἀπολήγονται τῆς μάχης.

πβ'. Ὁπλίζονται δὲ σκουταρίοις καὶ κονταρίοις, καὶ σπαθίοις κοντοτέροις, ἃ καὶ ἐπὶ τῶν ὤμων αὐτῶν διὰ λωρίων ἀναβαστάζουσιν. Ἐνίοτε δέ τινες αὐτῶν καὶ διαζώννυνται αὐτά.

πγ'. Χαίρουσι δὲ μᾶλλον τῇ πεζομαχίᾳ, καὶ ταῖς C μετὰ ἐλασίας καταδρομαῖς.

πδ'. Τάσσονται δὲ ἐν ταῖς μάχαις, εἴτε πεζοὶ, εἴτε καβαλλάριοι, οὐκ ἐν μέτρῳ τινὶ ὡρισμένῳ καὶ ἐν τάξει, ἢ ἐν μοίραις, ἢ ἐν μέρεσι, καθάπερ Ῥωμαῖοι, ἀλλὰ κατὰ φυλὰς, καὶ τῇ πρὸς ἀλλήλους συγγενείᾳ τε καὶ προσπαθείᾳ, πολλάκις δὲ καὶ συνωμοσίᾳ. Ὅθεν καὶ ἐν καιρῷ περιστάσεως φίλων ἐναπολειφθέντων συνεκινδύνευσαν αὐτοῖς πολλάκις ἐν τῇ μάχῃ τούτους ἐκδικήσαντες.

πε'. Ἴσον δὲ τὸ μέτωπον τῆς παρατάξεως αὐτῶν ποιοῦνται καὶ πυκνὸν ἐν ταῖς μάχαις.

πς'. Τὰς δὲ συμβολὰς, εἴτε καβαλλάριοι εἴτε πεζοὶ, σφοδρῶς καὶ ἀκατασχέτως ποιοῦσιν, ὡς μονότονοι καὶ πάσης δειλίας ἀπεχόμενοι.

πζ'. Ἀπειθεῖς δέ εἰσι πρὸς τοὺς ἄρχοντας αὐτῶν, D καὶ μάλιστα Φράγγοι, ἐλευθερίας ὥσπερ ἀντιποιούμενοι, καὶ ἑκουσίως ἐφ' ὅσον καιρὸν ὁρίσωσιν, ἢ παρὰ τῶν ἀρχόντων ὁρισθῶσιν ἐκστρατεύουσι, καὶ μόνον καὶ τούτου παρερχομένου (68), εἰ τύχοι αὐτοὺς ἐπιμένειν, βαρέως φέροντες τὸν παρασυρμὸν τοῦ χρόνου, λύουσι τὴν σύνταξιν τοῦ ἐξπεδίτου, καὶ ἀναχωροῦσιν ἐπὶ τοὺς οἴκους αὐτῶν.

πη'. Ἀπράγμονες δέ εἰσι καὶ πάσης ποικιλίας καὶ ἀσφαλείας ἐκτὸς, καὶ τῆς τοῦ συμφέροντος γνώμης. Διὸ καὶ τάξεως περιφρονοῦσι, καὶ μάλιστα τῆς καβαλλαρικῆς.

πθ'. Ὑποφθείρονται δὲ διὰ χρημάτων εὐκόλως

trans Istrum, quem Danubium appellamus, habitabant. Illos expugnabant Romani cum pastorum more vitam transegerunt, qui antequam Istrum transirent, sub jugum Romanæ ditionis colla submittebant. Istorum mores atque instituta nullo modo prætermittenda indicavi, sed omnia tibi percensere pro viribus enitar, ut apis instar ex unoquoque, quod optimum atque utilissimum est delibes.

80. Galli et Longobardi libertatis rationem plurimi æstimant, sed Longobardi magnam hujus virtutis partem amiserunt. Galli autem admodum audaci infractoque animo sunt, in bello strenui, ac pene temerarii. In magno opprobrio ignaviam et parvam retrocessionem ponunt, atque eam fugam esse existimant, et facile ac strenue præ mortis contemptu, tum equites, tum pedites manus cominus conserunt.

81. Quando igitur in equestribus prœliis in aliquas angustias deducuntur, una omnium consensione ex equis descendunt, et pedites se instruunt, et pauci contra plures se armant, aut si id minus possunt, prœlio desinunt.

82. Armantur scutis, hastis, spathis brevioribus, quas ex humeris loris quibusdam gestant; quidam autem accinguntur illis.

83. Pedestri prœlio admodum lætantur et vehementibus incursionibus.

84. Instruuntur in prœliis sive pedites sive equites, non aliquo certo et definito modo, et in acies, aut turmas, aut cohortes dividuntur, quemadmodum Romani, sed per tribus, et familias, et cognationes, sæpe etiam conjurata quadam amicitia. Itaque quidam amicis interfectis sæpe in prœlio permanentes seipsos in maxima pericula conjecerunt, ut illorum vicem ulciscerentur.

85. Frontem aciei æqualem et densam in prœlio habent.

86. Confligunt equites et pedites universo cum impetu et vehementer, ac impetuose ruunt omni timore vacui.

87. Minus obedientes præfectis illorum sunt, et potissimum Galli, ac voluntarie ad certum tempus, etiam antequam a præfectis accersantur, in expeditione sunt. Hoc tempus, si prætereat, et illis diutius manendum sit, hunc temporis tractum moleste ferunt, atque ab expeditione sua discedunt, et domum se conferunt.

88. Improvidi rerum sunt, neque varietatis, incolumitatis, aut aciei instruendæ, equestrisque potissimum, ullam rationem habent.

89. Pecuniis facile corrumpuntur, quia lucri

NOTÆ.

(68) *Παρερχομένου.* Scribebatur, παρεχομένου.

admodum cupidi sunt. Hujus rei experientia nobis constat, quod cum ex Italia ad res administrandas permulti eo accesserunt, illorum consuetudine ac moribus imbuebantur, et ab humanitate ad barbariem ac cupiditatem pecuniæ transierunt.

90. Vexant illos admodum ærumnæ ac miseriæ. Quemadmodum enim mentes audaces strenuasque possident, ita corpora delicata ac tenera habent, et ad labores sustinendos minus habilia.

91. Calores, frigora, pluviæ, commeatus, sive rerum necessariarum inopia, et vini potissimum, dilatio belli, illos excruciant.

92. Equestris prœlii tempore adversantur illis loca difficilia et condensa, quia vehementi incursionis impetu directe cum hastis ruere solent.

93. Damna et offensiones facile a tergo, aut ad latus ex insidiis sustinent, quia excubias reliquasque hujusmodi molitiones minus curant.

94. Quod si qui fugam simularent, facile illi dissiparentur, et subito in eos iterum conversi, permultum illos læderent.

95. Sæpe etiam nocturnæ sagittariorum incursiones lædunt illos, quia disperse et disjecte castra ponunt.

96. Sin quis se ad confligendum cum illis parans, iis motibus atque institutis utatur, haud opus fuerit publica cum illis dimicatione contendere, idque in initiis belli potissimum, sed insidiis et improvisis incursionibus illos adoriri, vel dilatione prœlii tempus eludere, vel pacificationem simulando commeatum illorum absumere, vel caloribus et frigoribus audaciam illorum atque alacritatem minuere.

97. Si dilatio et similia maxime fieri possunt, quando ad munitiora et difficilia accessu loca hostilis illorum exercitus accedit, ibi tum hastis usi illum locum invadere non possunt.

98. Si ita prædictis modis contra illos nihil proficiatur, sed ad bellum toti spectent, ubi exercitum instruunt, sic instruant quemadmodum in capite de acie instruenda docuimus.

99. Sclavonica natio simili vitæ cultu et moribus ac Galli utebatur. Libertatis amans, subjici aut imperio parere noluit, quando trans Danubium sua in regione habitavit : unde hunc in locum traducta, atque aliis vi servire coacta, indigenis suis, et non alienigenis obedire voluit; melius enim putabant ab indigenis suis violari, quam Romanis parere, et sub illorum legibus vivere. Qui autem ex illis sacrosancti Baptismatis fontem

A φιλοκερδεῖς ὄντες, ἐξ ὧν πείρᾳ μαθόντες ἴσμεν, ἀπὸ τῶν ἐξ Ἰταλίας ἐνταῦθα πολλάκις παραγενομένων ἐπί τισι ταῖς διοικήσεσιν, ὡς τῇ ἐκείνων ἐπιμιξίᾳ, οἶμαι, καὶ τούτων βαρβαρωθέντων τε καὶ συνεθισθέντων.

ϟ'. Λυπεῖ δὲ αὐτοὺς κακοπάθεια, καὶ συντριβή. Ὅσον γὰρ τὰς ψυχὰς τολμηρὰς καὶ θρασεῖς κέκτηνται, τοσοῦτον τὰ σώματα εὐπαθῆ, καὶ ἁπαλὰ, καὶ κόπον εὐκόλως φέρειν οὐ δυνάμενα.

ϟα'. Προσέτι δὲ λυπεῖ αὐτοὺς καὶ καῦσος, καὶ ψύχος, καὶ βροχὴ, καὶ ἔνδεια δαπανημάτων, καὶ μάλιστα οἴνου, ἔτι δὲ καὶ ὑπέρθεσις πολέμου.

ϟβ'. Ἐν δὲ τῷ καιρῷ τῆς καβαλλαρικῆς μάχης ἐναντιοῦνται αὐτοῖς τόποι δύσβατοι καὶ δασεῖς, διὰ τὸ εἰς ὀξεῖς ἐλασίας ἐπ' εὐθείας μετὰ τῶν κονταρίων αὐτοὺς ἐγγυμνασθῆναι.

B ϟγ'. Ὑπομένουσι δὲ καὶ διὰ ἐγκρυμμάτων βλάβας εὐκόλως κατὰ τῶν πλαγίων καὶ τοῦ νώτου τῆς ἑαυτῶν παρατάξεως· οὐ γὰρ πάνυ φροντίζουσι βίγλας ἢ τῆς λοιπῆς ἀσφαλείας.

ϟδ'. Ἐὰν δέ τινες καὶ σχηματίζωνται φυγὴν εὐκόλως διαλύονται, καὶ εἰ ἄφνω κατὰ αὐτῶν ἀντιστρέψωσιν, εὐκόλως αὐτοὺς διαφθείρουσι.

ϟε'. Πολλάκις δὲ καὶ νυκτεριναὶ ἐπελεύσεις ὑπὸ τοξοτῶν βλάπτουσιν αὐτούς· διεσπασμένοι γὰρ ἀπλεκεύουσιν.

ϟϛ'. Εἰ δέ τις αὐτοῖς ἐβουλεύθη ποτὲ προσβαλεῖν οὕτως εἰθισμένοις καὶ διακειμένοις, οὐκ ἐχρῆτο κατὰ αὐτῶν ἐν μάχῃ δημοσίᾳ παρατάξει, καὶ μάλιστα ἐκ προοιμίων, ἀλλ' εὐτάκτως δι' ἐγκρυμμάτων καὶ κλοπῆς κατὰ αὐτῶν προσέβαλλεν καὶ διὰ σο-

C φισμάτων ἄλλων στρατηγικῶν, ἢ διὰ ὑπερθέσεως τῆς μάχης διασύρων τὸν καιρὸν, ἢ καὶ σύμφωνα εἰρήνης σχηματιζόμενος πρὸς αὐτοὺς, ἵνα ἢ τῇ τῶν δαπανημάτων ἐπιλείψει, ἢ τῇ τοῦ καύσωνος ἢ καὶ ψύχους τυχὸν ὀχλήσῃ τὸ θράσος αὐτῶν, καὶ τὸ πρόθυμον ἐλαττώσῃ.

ϟζ'. Ἡ δὲ ὑπέρθεσις καὶ τὰ ἄλλα μάλιστα ἐδύνατο πρὸς αὐτοὺς γενέσθαι τότε, ὅταν εἰς ὀχυρωτέρους καὶ δυσβάτους τόπους ἠπλίκευεν ὁ πολέμιος ἐκείνων στρατὸς, ἔνθα ὡς ἔχοντες κοντάρια κατὰ τοῦ τόπου ἐγχειρεῖν ἐπιτηδείως οὐκ ἐδύναντο.

ϟη'. Ἐὰν δὲ διὰ τῶν εἰρημένων οὐκ ἐνήργουν κατὰ αὐτῶν, ἀλλὰ πρὸς μάχην πάντως ἑώρων, τότε

D παρετάσσοντο πρὸς αὐτοὺς, ὡς ἐν τῷ περὶ παρατάξεως ἐδηλώσαμεν κεφαλαίῳ.

ϟθ'. Καὶ τὰ Σκλαβικὰ δὲ ἔθνη ὁμοδίαιτά τε ἦσαν καὶ ὁμότροπα ἀλλήλοις (69), καὶ ἐλεύθερα, μηδαμῶς δουλοῦσθαι ἢ ἄρχεσθαι πειθόμενα, καὶ μάλιστα ὅτε πέραν τοῦ Δανουβίου κατῴκουν ἐν τῇ ἰδίᾳ χώρᾳ. Ὅθεν καὶ ἐνταῦθα περαιωθέντα, καὶ οἱονεὶ βιασθέντα δέξασθαι τὴν δουλείαν, οὐχ ἑτέρῳ ἡδέως πείθεσθαι ἤθελον, ἀλλὰ τρόπον τινὰ ἑαυτοῖς· κρεῖττον γὰρ ἡγοῦντο ἀπὸ τοῦ ἄρχοντος τῆς αὐτῶν φυλῆς φθείρεσθαι, ἢ τοῖς Ῥωμαϊκοῖς δουλεύειν καὶ ὑπο-

NOTÆ.

(69) Ἀλλήλοις In Checi codice videtur fuisse, Γάλλοις.

κλίνεσθαι νόμοις. Οἱ δὲ τοῦ σωτηρίου βαπτίσματος τὸν ἁγιασμὸν καταδεξάμενοι ἄχρι τῶν ἡμετέρων χρόνων τοῦτο, ὅσον κατὰ αὐτούς, εἰς ἀρχαίας ἐλευθερίας συνήθειαν διατηροῦνται.

ρ'. Πολύανδρά τε ἦσαν καὶ κακοπαθείας ὑπομένοντα, εὐκόλως δὲ πρὸς καύσωνα, καὶ ψύχος, καὶ βροχὴν, καὶ σώματος γυμνότητα, καὶ τὴν τῶν δαπανημάτων ἔνδειαν καρτεροῦντα.

ρα'. Ταῦτα δὲ ὁ ἡμέτερος ἐν θείᾳ τῇ λήξει γενόμενος πατὴρ καὶ Ῥωμαίων αὐτοκράτωρ Βασίλειος τῶν ἀρχαίων ἐθῶν ἔπεισε μεταστῆναι, καὶ Γραικώσας, καὶ ἄρχουσι κατὰ τὸν Ῥωμαϊκὸν τύπον ὑποτάξας, καὶ βαπτίσματι τιμήσας, τῆς τε δουλείας ἠλευθέρωσε τῶν ἑαυτῶν ἀρχόντων, καὶ στρατεύεσθαι κατὰ τῶν Ῥωμαίοις πολεμούντων ἐθνῶν ἐξεπαίδευσεν, οὕτω πως ἐπιμελῶς περὶ τὰ τοιαῦτα διακείμενος, διὸ καὶ ἀμερίμνους Ῥωμαίους ἐκ τῆς πολλάκις ἀπὸ Σκλάβων γενομένης ἀνταρσίας ἐποίησε, πολλὰς ὑπ' ἐκείνων ὀχλήσεις καὶ πολέμους τοῖς πάλαι χρόνοις ὑπομείναντας.

ρβ'. Ἦσαν δὲ, οὐκ οἶδ' ὅπως εἰπεῖν, τῇ φιλοξενίᾳ κατακόρως χρώμενα τὰ Σκλάβων φῦλα, ἣν οὐδὲ νῦν καταλιπεῖν ἐδικαίωσαν, ἀλλ' ἔχουσιν ὁμοίως.

ργ'. Τοῖς γὰρ ἐπιξενουμένοις (70) ἐν αὐτοῖς ἤπιοι καὶ πρᾶοι ἐγίνοντο, φιλοφρονούμενοί τε αὐτὰ καὶ δεξιούμενοι, διασώζοντες, καὶ κατὰ διαδοχὴν ἐκ τόπου εἰς τόπον παραπέμποντες, καὶ ἀβλαβεῖς διατηρεῖσθαι, καὶ ἀδιαλείπτους δαπάνας ἀλλήλοις παρεγγυώμενοι. Ὡς εἴγε διαμέλειαν (71) τοῦ ὑποδεχομένου συμβαίη τὸν ξένον βλαβῆναι, πόλεμον κατὰ ἐκείνου ὁ τοῦτον παραθέμενος ἐκίνει, ἀντὶ πίστεως σεβασμίας ἡγούμενος τοῦ ξένου τὴν ἐκδίκησιν.

ρδ'. Ἐδόκει δὲ αὐτοῖς καὶ ἕτερον συμπαθέστερόν ποτε εἶναι. Τοὺς γὰρ ἐν αἰχμαλωσίᾳ παρ' αὐτῶν λαμβανομένους οὐκ ἀορίστως, ἕως ἂν βούλωνται, πρὸς δουλείαν κατεῖχον, ἀλλὰ μᾶλλον ἐν τῇ γνώμῃ τῶν αἰχμαλώτων ἐποίουν, ὁρίζοντες αὐτοῖς ῥητόν τινα τῆς δουλείας χρόνον, ἵνα μετὰ τοῦτον τὸν ὁρισθέντα χρόνον, ἐὰν θέλωσιν, ἐν τοῖς ἰδίοις ἀναχωρῆσαι μετά τινος ὡρισμένου μισθοῦ, ἢ ἐὰν βούλωνται παρ' αὐτοῖς εἶναι, μένειν ἐλευθέρους καὶ φίλους.

ρε'. Ἐσωφρόνουν δὲ καὶ αἱ θήλειαι αὐτῶν μάλιστα κραταιῶς, ὥστε τὰς πολλὰς αὐτῶν τὴν τῶν ἰδίων ἀνδρῶν τελευτὴν ἰδίαν ἡγεῖσθαι, καὶ ἀποπνίγειν ἑαυτὰς, μὴ δυναμένας φέρειν τὴν ἐγχειρίᾳ (72) ζωήν.

ρς'. Ἔχρῶν τόδε (73) δαπάνῃ κέγχρῳ, μάλιστα ἐφίλουν δὲ καὶ ὀλιγάρκειαν, δυσχερῶς φέροντες τοὺς ἄλλους τῆς γεωργίας πόνους, διὰ τὸ ἐλευθεριωτέραν μᾶλλον φιλεῖν αὐτὰ τὴν διαγωγὴν ποιεῖσθαι καὶ ἄπονον, ἢ σὺν πολλῷ κόπῳ πολυτέλειαν βρωμάτων ἢ χρημάτων ἐπικτήσεσθαι

ρζ'. Ὡπλίζοντο δέ ποτε μικροῖς ἀκοντίοις, ἤγουν ῥικταρίοις δυσὶν ἕκαστος ἀνὴρ, τινὲς δὲ καὶ σκουταρίοις μεγάλοις ἐπιμήκεσιν, οἷον θυρεοῖς, ἐκέ-

receperunt, ii quantum in illis est, ad antiquæ libertatis formam eam conservant.

100. Populosa natio est, omnium ærumnarum patiens : calores, frigora, pluvias, nuditatem, commeatus et rerum necessariarum inopiam facile perferi.

101. Hanc nationem noster divina quadam sorte imperator Romanus, et pater meus Basilius, a reliquarum gentium feritate traduxit, et Romano more præfectos illis constituens, et Baptismate sacro illos imbuens, a servitute liberavit, et contra Romanorum hostes pugnare instituit; itaque studiose iis in rebus versatus est, ut Romanos hac re securos faceret, qui sæpe antea Sclavorum populationibus infestabantur, et bella multa ab illis illata sustinebant.

102. Erant autem Sclavi ii, nescio quomodo, hospitibus humani, quam hospitalitatem adhuc studiose retinent.

103. Peregrinis enim benigni ac mites erant, et illos lubenter ac humaniter accipiebant, et a loco in locum comiter deducebant, et ab omni noxa offensioneque integros et securos conservabant. Itaque si propter negligentiam hospitis peregrinus lædatur, bellum statim contra eum movet. Nam fidei magnam declarationem esse putat, si peregrini vicem ulciscatur.

104. Aliud præterea non inhumanum hoc apud eos videbatur esse. Captivos enim suos non ad infinitam servitutem obligabant, sed ut captivos potius apud se retinebant, et certum quoddam servitutis tempus præscribebant, ut post hoc tempus expletum, certa quadam mercede data, ad suos redire possint, vel si mallent, apud illos liberi et amici permanerent.

105. Feminæ illorum præter cæteras modestæ feruntur. Multæ enim virorum suorum mortem tam graviter ferunt, ac si sua esset, et seipsas suffocant; vitam enim viduam ac solitariam ferre non possunt.

106. Milio ad commeatum utebantur : temperantiam in victu maxime colunt : reliquos agriculturæ labores minus perferunt, quia vitæ liberaliorem cultum magis diligunt, neque adduci possunt, ut magno cum labore sumptuosas epulas parent, atque eas postea vorent atque exsorbeant.

107. Armantur parvis hastulis vel jaculis duobus unusquisque vir : quidam etiam scutis magnis, quos thyreos vocant. Arcubus enim ligneis utun-

NOTÆ.

(70) Ἐπιξενουμένοις. Scribebatur, ἐπιξενούμενοι.
(71) Διαμέλειαν. Scribe, δι' ἀμέλειαν.
(72) Ἐγχειρίᾳ. Scribe, ἐν χηρίᾳ.
(73) Ἔχρῶν τόδε. Scribe, ἐχρῶντο δέ.

tur, et sagittas habent veneno imbutas, quod efficax admodum est; nisi enim, qui plagam accepit, vel theriacam bibat, vel aliquod aliud salutare præsidium, vel statim plagam omnem præcidat ne latius serpat, universum necesse est corpus pereat. Ad loca prærupta et accessu difficilia confugere et ibi commorari gaudent.

108. Quemadmodum in illos Romani incursiones impetusque faciebant, ante a nobis explicatum est, ubi de nec opinatis incursionibus egimus, ut tu imperator, quamvis non in illos nunc, sed in similes tamen illorum, aut in alios barbaros incursionem faciens [siquidem id utile tibi videbitur] habeas ad omnem usum in promptu, quasi exercitatum, quod facto opus erit.

109. Quoniam de diversarum gentium moribus atque institutis verba fecimus, haud abs re fuerit de Saracenis, qui rempublicam nostram perturbant, nunc aliquid commemorare, qua natura sint, quibus armis in bello utantur, quibus modis nostri adversum eos armandi sunt, et quemadmodum impetus in illos faciendi.

110. Saraceni Arabes sunt genere, ad ingressum felicis Arabiæ olim habitantes. Nunc vero genus eorum in Syriam et Palæstinam dispersum est, primum commorandi causa, deinde ubi superstitionis suæ auctor Mahumet fuerat, horum locorum ditionem, et Mesopotamiæ, atque Ægypti reliquorumque, ac finitimorum locorum imperium armis occupabant, id quod Romanorum cum Persis de imperii gloria dimicatio, illorum capiendorum occasionem dabat.

111. Erga Deum impii sunt: blasphemiam suam pro pietate ducunt. Christum verum Deum et mundi servatorem Deum vocare non sustinent. Omnis mali facinoris Deum esse auctorem arbitrantur, et bello delectari dicunt Deum, qui dissipat gentes, quæ bella volunt: suas ipsorum leges sanctissime custodiunt: carnem suam pinguefaciunt, et animum dehonestant. Adversus igitur hanc illorum impietatem pietate ac religione nostra pugnemus, et divinas humanasque leges sanctissime custodiamus, atque illos, si possumus, expugnemus.

112. Camelis sarcinariis utuntur pro curribus, et jumentis, asinis et mulis: et cymbalis in aciebus utuntur, quibus equos suos assuefaciunt: et hujusmodi sonis ac strepitibus hostium suorum equos perturbant et in fugam conjiciunt. Sed et camelorum quoque aspectus equos perterrefacit, et ulterius progredi non patitur.

A χρῆντο δὲ καὶ τόξοις ξυλίνοις, καὶ σαγίττας εἶχον κεχρισμένας φαρμάκῳ, ὅπερ ἐστὶν ἐνεργητικὸν, ἐὰν μὴ ὁ λαβὼν τὴν πληγὴν ἢ θηριακὴν ποιῇ (74), ἢ καὶ ἕτερον βοήθημα ἀντιφάρμακον, ἢ καὶ παρευθὺ περικόψῃ τὴν πληγὴν, πρὸς τὸ μὴ διαδραμεῖν. Πάντως γὰρ ἂν καὶ τὸ ὅλον σῶμα ἀπόλλυται, καὶ δάσεσι δὲ καὶ δυσβάτοις οἰκεῖν καὶ καταφαγεῖν (75) φιλοῦσιν.

ρη'. Ὅπως δὲ κατὰ αὐτῶν ἐποιοῦντο τὰς ἐπιδρομὰς καὶ ἐφόδους Ῥωμαῖοι τότε, διηγησάμην ἔμπροσθεν ἐν τῇ περὶ ἀδοκήτων ἐφόδων διατάξει, ἵνα καὶ αὐτὸς, ὦ στρατηγὲ, εἰ καὶ μὴ κατὰ αὐτῶν νῦν, ἀλλ' ἢ κατὰ τῶν ὁμοίων αὐτῶν, ἢ κατὰ ἑτέρων βαρβάρων ποιούμενος ἀδοκήτους ἐφόδους, εἴγε ἄρα χρήσιμόν τι ἐκ τῆς διατυπώσεως ἐκείνης εὑρεθῇ, ἔχῃς καὶ τοῦτο ἐξ ἑτοίμου πρὸς τὴν δέουσαν χρείαν B ὡς προγεγυμνασμένον.

ρθ'. Ἐπειδὴ δὲ διαφόρων ἐθνικῶν παρατάξεών τε καὶ διαθέσεων ἐμνημονεύσαμεν, φέρε λοιπὸν καὶ τοῦ νῦν ἐνοχλοῦντος τῇ Ῥωμαϊκῇ ἡμῶν πολιτείᾳ ἔθνους τῶν Σαρακηνῶν ἐπιμνησθῶμεν κατὰ δύναμιν, ὅπως τε ἔχουσι φύσεως, καὶ ὅπως τοῖς τε ὅπλοις ἐν ταῖς ἐκστρατείαις χρῶνται καὶ τοῖς ἐπιτηδεύμασι, καὶ ὡς ἂν εἴη δέον κατ' αὐτῶν ἀνθοπλίζεσθαί τε καὶ ἀντιστρατεύεσθαι, καὶ τὰς ἐκ τούτων ἐγχειρήσεις ποιεῖσθαι.

ρι'. Σαρακηνοὶ μὲν οὖν Ἄραβές εἰσι τὸ γένος, παρὰ τὴν εἴσοδον τῆς Εὐδαίμονος Ἀραβίας ποτὲ κείμενον· τῷ χρόνῳ δὲ καὶ πρὸς τὴν Συρίαν καὶ Παλαιστίνην διασπαρὲν, πρῶτα μὲν οἷον μετοικίας χάριν, ὕστερον δὲ ὅτε τῆς αὐτῶν δεισιδαιμονίας C ἐγένετο ἀρχηγὸς Μουχάμετ, καὶ ὅπλοις κρατοῦντες τῶν τε εἰρημένων ἐπαρχιῶν, καὶ δὴ καὶ Μεσοποταμίας καὶ Αἰγύπτου καὶ τῶν ἄλλων χωρῶν, ἅπερ αὐτοῖς ὁ καιρὸς τῆς Ῥωμαϊκῆς ἀπὸ Περσῶν χώραν ἔδωκε κατασχεῖν.

ρια'. Εἰ δὲ καὶ περὶ μὲν τὸ Θεῖον δοκοῦσιν εὐσεβεῖν, βλασφημίαν δὲ τὴν αὐτῶν δοκοῦσαν εὐσέβειαν ἀποδεικνοῦν τε οἷς (76) Χριστὸν μὲν τὸν ἀληθινὸν Θεὸν καὶ τοῦ κόσμου σωτῆρα καλεῖν Θεὸν οὐκ ἀνέχονται, παντὸς δὲ καὶ κακοῦ ἔργου τὸν Θεὸν εἶναι αἴτιον ὑποτίθενται, καὶ πολέμοις χαίρειν λέγουσι τὸν Θεὸν τὸν διασκορπίζοντα ἔθνη τὰ τοὺς πολέμους θέλοντα. Καὶ τοὺς οἰκείους δὲ νόμους ἀπαραβάτους φυλάττουσι, τὴν σάρκα λιπαίνοντες καὶ τὴν ψυχὴν ἀτιμάζοντες. Τῇ οὖν τοιαύτῃ δυσσεβείᾳ D διὰ τῆς ἡμῶν εὐσεβείας τε καὶ ὀρθοδόξου πίστεως ἀντιμαχόμενοι, καὶ τοὺς πολιτικοὺς πολλῷ μᾶλλον ἀπαραβάτους διαφυλάττοντες κατὰ αὐτῶν ἀντιστρατευώμεθα.

ριβ'. Χρῶνται δὲ καμήλοις ταῖς ἀχθοφόροις αὐτῶν ἀντὶ ἁμαξῶν καὶ ὑποζυγίων, ὄνοις καὶ ἡμιόνοις· καὶ κυμβάλοις δὲ καὶ τυμπάνοις ἐν ταῖς παρατάξεσιν, ἐν οἷς τοὺς οἰκείους ἵππους ἐθίζουσι, διὰ δὲ τοιούτων κτύπων καὶ ἤχων τοὺς ἵππους τῶν ἀντιπολεμούντων αὐτοῖς ταράσσοντες τρέπουσιν εἰς φυγήν. Ἀλλὰ καὶ τῶν καμήλων ἡ θέα ὁμοίως τοὺς ἀσυνήθεις ἵππους ἐκφοβεῖ καὶ ταράττει, καὶ πρόσω βαίνειν οὐκ ἐᾷ.

NOTÆ.

(74) *Ποιῇ*. Scribe, πίῃ.
(75) *Καταφαγεῖν*. Scribe, καταφυγεῖν.

(76) *Ἀποδεικνοῦν τε οἷς*. Scribe, ἀποδείκνυνται, εἰ.

ριγ'. Τὰς δὲ τοιαύτας τῶν τε καμήλων καὶ τῶν ὑποζυγίων ἀποσκευὰς καὶ εἰς πλήθους πολλάκις φαντασίαν χρῶνται, μέσον μὲν τοῦ στρατιωτικοῦ πλήθους αὐτὰς καθιστῶντες, πυκνὰ δὲ φλάμουλα ἄνωθεν αὐτῶν ἐφιστῶντες, ὡς δοκεῖν στρατιωτῶν εἶναι πλῆθος τὸν ἐκείνων ὄχλον.

ριδ'. Θερμοὶ δέ εἰσι τὴν κρᾶσιν τοιούτῳ κλίματι θερμῷ κατοικοῦντες. Χρῶνται δὲ καὶ πεζικῇ στρατιᾷ Αἰθίοψι, φασί, γυμνοῖς ὅπλων ἔμπροσθεν τῶν καβαλλαρίων παραταττομένοις οἱονεὶ ψιλοῖς. Τόξα γὰρ φέροντες καὶ χρώμενοι δυσάντητοι δοκοῦσι τοῖς ἐπερχομένοις.

ριε'. Τοὺς δὲ πεζοὺς αὐτῶν φέρουσιν ἢ ἐφ' ἵππων ἰδίων ὀχουμένους, ἢ ὄπισθεν τῶν καβαλλαρίων καθημένους, ὅτε πλησίον τῆς αὐτῶν χώρας ἐστὶν ἡ ἐκστρατεία αὐτῶν. Χρῶνται δὲ ὅπλοις καὶ οἱ καβαλλάριοι τόξοις καὶ σπαθίοις, κονταρίοις καὶ σκουταρίοις καὶ πελέκεσι· καὶ πανοπλίαν γὰρ φοροῦσιν· οἷον, λωρίκια καὶ κλιβάνια, καὶ κασσίδας, καὶ ποδόψελλα, καὶ χειρόψελλα, καὶ εἴ τι ἕτερον κατὰ τὸν Ῥωμαϊκὸν τρόπον. Τὰς δὲ ζώνας αὐτῶν καὶ τοὺς χαλινοὺς καὶ τὰ σπαθία ἀργύρῳ ποικίλλουσι φιλοτιμώτερον.

ρις'. Οὔτε δὲ διώκοντες, οὔτε διωκόμενοι λύουσι τὴν τάξιν αὐτῶν· εἰ δὲ συμβῇ αὐτὴν λυθῆναι, δι' ἑαυτῶν ἀσύστατοι καὶ ἀνεπίστροφοι γινόμενοι μόνῳ τῷ σωθῆναι ἐλαύνουσιν.

ριζ'. Θρασεῖς μὲν γάρ εἰσι νίκην ἐλπίζοντες, δειλοὶ δὲ λίαν ἀπειπόντες τῆς νίκης· ὡς ἀπὸ Θεοῦ γὰρ τὸ πᾶν, εἰ καὶ κακὸν εἴη, λέγοντες εἶναι, εἰ συμβῇ αὐτοὺς ἐναντίον τι παθεῖν, ὡς ἀπὸ Θεοῦ ὁριζομένου οὐκ ἀντιπίπτουσιν, ἀλλὰ τῇ προσβολῇ σφαλέντες χαλῶσι τὸν τόνον. Ὑπνηλοὶ δέ εἰσι, καὶ διὰ τοῦτο τὰς νυκτομαχίας φοβούμενοι, καὶ τὰ ἐν αὐταῖς ἐπιτηδεύματα, μάλιστα ὅταν ἐν ἀλλοτρίᾳ ἑαυτῶν γῇ κατατρέχωσι· διόπερ ἢ εἰς ὀχυροὺς τόπους ἀναχωροῦσι, κἀκεῖ τῆς νυκτὸς ποιοῦνται τὴν φυλακὴν, ἢ περιφράττουσιν ἀσφαλῶς τὸ στρατόπεδον αὐτῶν, ὥστε μὴ ἐπιβουλεύεσθαι ταῖς νυκτεριναῖς τῶν ἐναντίων προσβολαῖς.

ριη'. Τετράγωνον δὲ καὶ ἐπιμήκη ποιοῦνται τὴν οἰκείαν παράταξιν, ἀσφαλεστέραν, καὶ ῥᾳδίως λυθῆναι μὴ δυναμένην ἐν ταῖς τῶν ἀντιπαραταττομένων προσβολαῖς.

ριθ'. Ταύτῃ δὲ χρῶνται καὶ ἐν ταῖς πορείαις, καὶ ἐν ταῖς συστάσεσι τῆς μάχης· ὡς ἐπὶ τὸ πολὺ δὲ Ῥωμαίους μιμοῦνται, καὶ κατὰ τὰ ἄλλα σχήματα τῶν παρατάξεων τῇ πείρᾳ τῶν προσβολῶν οἷον ἐγγεγυμνασμένοι, καὶ ἐξ ὧν ἔπαθον παρὰ Ῥωμαίων δρᾷν κατ' αὐτῶν ἐπιτηδεύοντες.

ρκ'. Ἐν δὲ ταῖς παρατάξεσιν αὐτῶν εὐμήχανοι καὶ σταθεροὶ, μηδὲ διὰ τάχος προσβολῆς πτοούμενοι τοὺς ἐπερχομένους, μήτε διὰ προσποιητὴν ἀναβολὴν ἐκλυόμενοι.

ρκα'. Προσμένουσι δὲ τῇ παρατάξει φέροντες καὶ τὰς βολὰς μακροθύμως πρὸς τοὺς θρασέως αὐτοῖς ἐπερχομένους, καὶ ὅταν τὸν τόνον χαλάσαντα ἴδωσι τῶν ἀντιπολεμίων, τότε διαναστάντες εὐτόνως μάχονται.

113. Camelorum jumentorumque hujusmodi apparitionem sæpe, ut multæ et ingentes copiæ videantur, in medio exercitu collocant, et crebra flamula illis imponunt, ut illorum turba magna multitudo hominum esse videatur.

114. Callida corporis constitutione sunt, in tam callida mundi plaga degentes. Pedestres copias dicunt se Æthiopibus sagittariis, qui armis gravibus nudantur, roborare, et ante equites quasi leves collocare. Istis usi, videntur hostibus inexsuperabiles esse.

115. Pedites sui equis vehuntur, post equites sedent ex equo, quando prope regionem suam expeditio est. Utuntur armis etiam equites illorum, sagittis, et spathis, hastis, scutis, et securibus. Armaturam gestant galeas, thoraces, cassides, ocreas æneas, brachialia, et si quæ alia ad Romanorum formam arma sunt. Zonas, et frena, et gladios, reliquaque hujusmodi argento exornant ambitiosius.

116. Neque cum persequuntur alios, neque cum ab aliis exagitantur, aciem dissolvunt; quæ si dissolvatur aliquando, minime ad formam suam revocari facile possunt, sed solum de salute laborant.

117. Audaces sunt, si victoriam sperent : sin desperent de victoria, timidi valde sunt. Omnia enim, etiam quæcunque mala sunt, a Deo provenire asserunt. Quod si qua adversa fortuna vexentur, quasi a Deo immissa non repugnant, sed conflictationis offensionem accipientes, omnem contentionem prœlii remittunt. Somnolenti sunt, ac propterea nocturna prœlia pertimescunt, idque potissimum quando alienam terram incursant. Itaque vel ad munita loca discedunt, ibique tota nocte custodiam habent, vel castra sua tam diligenter muniunt, ut nocturnis hostium irruptionibus non perturbentur.

118. Quadratam et oblongam aciem semper instruunt, quæ tutissima est et ad oppugnandum difficillima in hostium irruptionibus.

119. Hac forma utuntur tum in itinere faciendo, tum in manibus conserendis, et magna ex parte Romanos imitantur, tum in aliarum rerum bellicarum formis : et experientia prœliorum exercitati, iisdem modis nos invadunt, quibus a nobis antea profligabantur.

120. In aciebus suis firmi stabilesque facile consistunt, neque cum celeritate hostes invadunt, neque facile ad deponendum prœlium jam inceptum pertrahuntur.

121. Consistunt in acie, et perferunt impetum illorum, qui in illos acriter invadunt, moderate : ubi vero relanguescere impetum hostium vident, tum excitati vehementer ac strenue prœliantur.

122. Hoc non modo in pedestri prœlio, sed etiam in navali faciunt : et postquam feriendo et tela conjiciendo hostes exsatiati sunt, scutis simul addensatis ea omnia cum sustinent, statim conferti se colligunt, et manus conserere incipiunt : cum quibus prudenter semper ac circumspecte dimicandum est.

123. Cautione et constitutione quadam rerum bellicarum longe meliore ac probatiore cæteris nationibus utuntur, quemadmodum a præfectis nostris ad illos sæpe accedentibus universumque rerum statum indagantibus cognovimus, et ex aliorum narrationibus ad nos delatis audivimus, et a nostro pientissimo patre, qui persæpe adversum illos bellavit, accepimus.

124. Frigus illos, et hiems, et largæ pluviæ vexant : itaque iis temporibus potius quam serenis adoriendi sunt, quia arcus illorum propter cœli humiditatem languidi sunt, et universum corpus quasi effœtum debilitatur. Ejusmodi enim temporibus a Romanis capti incursionibus et populationibus, atque interfecti sunt.

125. Serenis igitur calidioribusque anni temporibus oblectati in unum conveniunt, ac æstate potissimum, et in Tarso Ciliciæ civitate cum indigenis pacem faciunt : reliquis temporibus ex Tarso, et Adanis, et aliis Ciliciæ civitatibus in Romanos incursiones faciunt.

126. Tum igitur adoriendi sunt hiemeque potissimum, quando ad prædam exeunt. Hoc fiet, si copiæ nostræ occulto aliquo in loco prope clam permaneant, et egressum ad prædationem animadvertant : sic enim vastabunt eos, vel etiam magno cum numero, et bellico apparatu instructi, illos iterum convenientes adoriantur.

127. Periculosum enim est, quemadmodum ante a me commemoratum est, publico in prœlio periclitari, quanquam admodum videantur hostes suos superaturi : fortunæ enim exitus incertus.

128. Conveniunt ad bellum non arcessiti, aut descriptionibus assignati, sed ad bellum voluntarie confluunt omnes : divites, ut pro sua ipsorum patria conducti moriantur : pauperes, ut aliquam prædæ partem lucrentur. Arma illis indigenæ suppeditant ; et feminæ potissimum virique hoc modo participes rei bellicæ sunt, magni officii loco ponentes, armare eos qui propter imbecillitatem corporis armare se ipsos non possunt. Atque hæc de Saracenis, qui barbari infidelesque sunt, a nobis dicta sunto.

A ρκβ'. Τοῦτο δὲ ποιοῦσι οὐ μόνον ἐν πεζομαχίᾳ, ἀλλὰ καὶ ἐν ταῖς κατὰ θάλασσαν μάχαις, ἐκ χειρὸς ἀπὸ τῶν πλοίων μαχόμενοι, καὶ μετὰ τὴν τῶν βαλλομένων κατ' αὐτῶν ἀποπλήρωσιν, τὰ σύσκουτα (77) ποιοῦντες καρτεροῦσι δεχόμενοι, εὐθέως ἀνίστανται ἀθρόοι, καὶ ἐκ χειρὸς τῆς μάχης ἀπάρχονται, πρὸς οὓς εὐμηχάνως δεῖ προσβάλλειν ἀεί.

ρκγ'. Χρῶνται δὲ εὐβουλίᾳ καὶ καταστάσει πρὸς τὰς πολεμικὰς μεθόδους τῶν ἄλλων ἁπάντων ἐθνῶν δοκιμώτερον, ὡς παρά τε τῶν ὑποστρατήγων ἡμῶν πολλάκις αὐτοῖς προσβαλόντων ἐρευνήσαντες ἀνεμάθομεν, καὶ δὴ καὶ ἐκ τῶν ἀνενεχθέντων διηγήσεων τοῖς πρὸ ἡμῶν βασιλεῦσιν ἀνέγνωμεν, καὶ μάλιστα παρὰ τοῦ ἡμετέρου θειοτάτου πατρὸς πολλάκις κατ' αὐτῶν ἐκστρατεύσαντος ἀκηκόαμεν.

B ρκδ'. Λυπεῖ δὲ τοῦτο τὸ ἔθνος ψῦξις, καὶ χειμών, καὶ ὑετῶν ἐπιφοραί· διὸ καὶ ἐν τοιούτοις καιροῖς χρὴ τὰς κατ' αὐτῶν συμπλοκὰς ποιεῖσθαι μᾶλλον ἢ ἐν εὐδίαις. Καὶ γὰρ καὶ τὰ τόξα αὐτῶν ἀσθενῆ διὰ τὴν ὑγρότητα, καὶ τὸ ὅλον τοῦ σώματος αὐτῶν νωθρὸν διὰ τὸ ψῦχος εὑρεθήσεται. Πολλάκις γὰρ ἐν ταῖς κατὰ τοὺς τοιούτους καιροὺς καταδρομαῖς αὐτῶν καὶ λῃστείαις καταληφθέντες ὑπὸ Ῥωμαίων διεφθάρησαν.

ρκε'. Χαίροντες οὖν ταῖς εὐδίαις καὶ ταῖς θερμοτέραις ὥραις τότε συλλέγονται, καὶ μάλιστα θέρους, καὶ κατὰ τὴν Ταρσὸν τῆς Κιλικίας τοῖς ἐγχωρίοις ἑνούμενοι τὴν ἐκστρατείαν ποιοῦνται, τοὺς δὲ ἄλλους καιροὺς μόνοι ἐκ Ταρσοῦ καὶ Ἀδανῶν καὶ τῶν ἄλλων C τῆς Κιλικίας πολισμάτων τὰς κατὰ Ῥωμαίων ποιοῦνται καταδρομάς.

ρκϛ'. Χρὴ οὖν αὐτοῖς τότε προσβάλλειν, καὶ μάλιστα κατὰ τὸν χειμῶνα ἐπὶ πραῖδαν ἐξερχομένοις. Τοῦτο δὲ γενήσεται, ἐὰν τὰ στρατεύματα παραμείναντά που πλησίον ἀσυμφανῶς, καὶ τὴν ἔξοδον αὐτῶν ἐπισκοπήσαντα, τὴν κατ' αὐτῶν προσβολὴν ποιήσωνται· οὕτως γὰρ διαφθείρουσιν αὐτούς, ἢ ὅταν ὁμοῦ πάντες συνέλθωσιν ἐν πολυπληθίᾳ καὶ καταστάσει πολέμου ἐξηρτισμένοι.

ρκζ'. Σφαλερὸν γάρ, ὡς πολλάκις ἡμῖν εἴρηται, τὸ πρὸς δημόσιον πόλεμον ἀποκινδυνεύειν τινάς, κἂν πάνυ δοκῶσι τῶν χειρῶν (78) περιττεύειν τῷ πλήθει· τὸ γὰρ τῆς τύχης ἀόρατον.

ρκη'. Συνάγονται δὲ οὐχὶ ἀπὸ καταγραφῆς στρα- D τευόμενοι, ἀλλ' ἕκαστος γνώμῃ ἑκουσίᾳ συντρέχοντες πανοικεί, πλούσιοι μέν, ὥστε ὑπὲρ ἰδίου ἔθνους μισθῷ ἀποθανεῖν, πένητες δέ, ἵνα τι τῆς πραῖδας κερδήσωσιν. Ἀλλὰ καὶ ὅπλα αὐτοῖς συμφυλέται χορηγοῦσι, καὶ γυναῖκες μάλιστα καὶ ἄνδρες, ὥσπερ διὰ τούτου κοινωνοῦντες αὐτοῖς τῆς ἐκστρατείας, καὶ μισθὸν ἡγούμενοι τὸ καθοπλίσαι στρατιώτας, οἱ ὁπλισθῆναι δι' ἀσθένειαν σώματος μὴ δυνάμενοι. Καὶ ταῦτα μὲν Σαρακηνοί, ἔθνος βάρβαρόν (79) τε καὶ ἄπιστον.

NOTÆ.

(77) *Τὰ σύσκουτα*. Scribebatur, & συσούτα. Sic infra Constitut. xix, § 15 : Οἱ ἐναντίοι σύσκουτα ποιήσαντες, καὶ τὰς βολὰς ὁπωσοῦν δεξάμενοι. Jam σύσκουτον est, scutorum condensatio, quæ *Scutatio* dicitur Ammiano

(78) *Τῶν χειρῶν*. Scribe, τῶν ἐχθρῶν.

(79) *Βάρβαρον*. Scribebatur, βαράρβαρον.

ρκθ'. Ῥωμαίους δὲ χρὴ οὐ μόνον ταῦτα ἐπιτηδεύειν, καὶ εὐψύχους τῇ προαιρέσει καὶ στρατιώτας καὶ τοὺς οὔπω στρατευσαμένους συνεκστρατεύειν κατὰ τῶν βλασφημούντων τὸν πάντων βασιλέα Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ δι' ἁπάντων ἐνδυναμοῦντα τοὺς ὑπὲρ αὐτοῦ στρατευομένους κατὰ τῶν ἐθνῶν καὶ ὅπλοις, καὶ δώροις, καὶ ταῖς προπεμπτηρίαις εὐχαῖς, ἀλλὰ καὶ πλέον τι τούτων πράττειν, τό καί τε τοὺς οἴκους τῶν σὺν προθυμίᾳ καὶ ἀνδρείᾳ στρατευομένων φιλοφρονεῖσθαι, καὶ εἴ τι ἐνδέον τοῖς στρατεύμασιν, ἢ ἵπποι, ἢ ἀναλώματα, ἢ πανοπλίαι, καὶ ταῦτα χορηγεῖν διὰ κοινωνίας καὶ συγκροτήσεως.

A 129. Romanos non solum hoc oportet conari, ut alacri animo milites sint, et qui nondum in bello fuerint, adversus eos prœlium suscipiant, qui Deum nostrum universitatis regem, Christum blasphemant, et omnino illos quantum possunt juvent, et prosequantur tum donis, tum armis, tum piis votis, qui adversum gentes bella suscipiunt, sed et plura iis efficere, ædes et familias eorum, qui cum alacritate animique promptitudine ad bellum iverint, beneficiis ac benevolentia prosequi, et si quid iis, qui in exercitu sunt, aut equis eorum opus fuerit, sive sumptus, sive arma iis suppeditent et liberaliter subministrent.

ρλ'. Εἰ γὰρ οὕτω γένηται, πάντως πολυπλασίων ὑπάρχων ὁ τῶν Ῥωμαίων στρατὸς, καὶ καλῶς τε καὶ ὡς προσῆκεν καθωπλισμένος, καὶ μάλιστα ὁπόσοι ἐπίλεκτοι δι' ἀνδρείαν καὶ γενναιότητα τυγχάνουσι, μηδὲν τῶν δεόντων ἐν αὐτῷ ὑστερούμενοι, ῥᾳδίως σὺν Θεῷ τὴν κατὰ τῶν βαρβάρων Σαρακηνῶν ἀναδήσονται (80) νίκην.

B 130. Hoc si fiat, cum longe majores Romanorum copiæ sint, bene ac idonee armatæ, delectique propter robur ac strenuitatem viri, nullaque re necessaria defecti, facile Deum propitium habentes de barbaris Saracenis victoriam reportabunt.

ρλα'. Εἰ γὰρ τῇ τε ὁπλίσει καὶ μάλιστα τόξοις καὶ βέλεσι πλείστοις, καὶ δὴ καὶ τῷ πλήθει καὶ τῇ ἀνδρείᾳ καὶ τοῖς προσήκουσι στρατηγήμασί τε καὶ μηχανήμασι πλεονεκτήσομεν, Ῥωμαῖοι μάλιστα κατὰ βαρβάρων, καὶ τὴν θείαν ἐπὶ πᾶσιν ἕξομεν συμμαχίαν, καὶ εὐκόλως τὴν κατ' ἐκείνων κατορθώσομεν νίκην.

131. Si enim armatura sagittisque potissimum, et telis plurimis, et multitudine hominum et strenuitate, et idoneis consiliis, et molitionibus militaribus abundaverimus Romani contra illos, tum divino auxilio tum victoria de illis non destituemur.

ρλβ'. Τοῦτο γὰρ τὸ ἔθνος διὰ τὴν, ὡς εἰκὸς, ἐλπιζομένην πραῖδαν, καὶ τὸ μὴ φοβεῖσθαι κινδύνους πολέμου, εὐκόλως εἰς πολυπληθίαν συνάγεται ἀπὸ τῆς ἐντὸς Συρίας καὶ Παλαιστίνης ἁπάσης, καὶ τῶν ἀνάνδρων τάχα διὰ τὰς τοιαύτας ἐλπίδας συνερχομένων ἑκουσίως τοῖς ἐκστρατεύουσιν.

C 132. Hæc enim gens propter spem prædæ, et quia belli pericula minus timent, ad magnam facile multitudinem congregantur ex omni Syria interiore et Palæstina, et imbecilles atque imbelles viri propter hujusmodi spem prædarum ad reliquos fortes milites se aggregant.

ρλγ'. Εἰ δὲ τῆς τοῦ Θεοῦ ἡμῖν συμμαχούσης βοηθείας καλῶς ὁπλισάμενοι καὶ παραταξάμενοι, καὶ καλῶς καὶ εὐψύχως προσβάλλοντες αὐτοῖς, ὑπὲρ τῆς ψυχικῆς ἡμῶν σωτηρίας ὡς καὶ ὑπὲρ Θεοῦ αὐτοῦ καὶ συγγενῶν καὶ τῶν ἄλλων Χριστιανῶν ἀδελφῶν ἡμῶν ἀγωνιζόμενοι, ἀνενδοιάστως τὰς εἰς Θεὸν ἐλπίδας ἔχομεν, οὐκ ἀποτευξόμεθα (81), ἀλλὰ καὶ ἐπιτευξόμεθα τῶν κατ' ἐκείνων πάντως νικητηρίων.

133. Si vero Christi præsidio adjuti, bene instructi atque armati, alacriter cum illis pro animæ nostræ salute, quasi pro Deo, et cognatis, et reliquis Christianis fratribus dimicantes, nos illis opponamus, magnam in Deo spem habemus, nos nullam offensionem accepturos, sed omnem victoriam reportaturos.

ρλδ'. Δεῖ δέ σε (82), εἴποτε καὶ λῃστείας χάριν καταδράμωσι, τοῦ Ταύρου ἐντὸς ἐπιτηδεύειν αὐτοὺς καὶ ἐν ταῖς στεναῖς τοῦ ὄρους τούτου διεξόδοις, ὅταν ὑποστρέφωσι, μάλιστα κεκωμένοι (83), ἴσως καὶ πραῖδας τινὰς ζώων ἢ πραγμάτων ἐπιφερόμενοι. Ἐπιβιβάζειν γὰρ δεῖ ἐφ' ὑψηλῶν τινων τόπων τοξότας καὶ σφενδονήτας, καὶ βάλλειν κατ' αὐτῶν, καὶ οὕτως ποιεῖσθαι, καὶ τὰς διὰ καβαλλαρίων προσβολὰς, ἢ ὡς ἂν χρεία καλέσοι, ἢ δι' ἐγκρυμμάτων, ἢ δι' ἑτέρων ἐπιτηδευμάτων, ἢ πέτρων κατὰ κρημνῶν κυλιομένων, ἢ ἀναφραγῆς ὁδοῦ καὶ ἀπὸ δένδρων καὶ ἀδιεξοδεύτου γινομένης, ὡς ἄνω που ἡμῖν εἴρηται, ἢ ὡς ἂν δυνατόν σοι, ὦ στρατηγὲ, κατὰ τὸν τότε καιρὸν τὴν τοῦ πράγματος διάθεσιν κατανοῆσαι.

D 134. Ubi illi prædandi causa Taurum transierint, in ipsis viarum angustiis, quando fatigati admodum revertuntur, et prædam jumentorum aut aliarum rerum referunt, in excelsis quibusdam locis sagittarii et funditores collocandi sunt, et cum equitibus dimicandum ita est. Vel si aliter usus ferat, insidiis, aut aliis molitionibus, aut saxis ingentibus devolutis, vel obstructione viarum arboribus objectis, aut aliis modis a nobis ante commemoratis, aut si quid aliud ad usum idonee invenire potes, adoriendi sunt.

ρλε'. Ἐν δὲ ταῖς παρατάξεσιν αὐτῶν οὐ λύουσι τὴν

135. Aciem suam non dissolvunt, si quis aut

NOTÆ.

(80) Ἀναδήσονται. Scribe, ἀνακτήσονται.

(81) Ἀποτευξόμεθα. Scribebatur, ἀποτοξευόμεθα. Et mox ibidem correxi ἐπιτευξόμεθα, pro ἐπιτοξευόμεθα.

(82) Δεῖ δέ σε. Scribebatur, Εἰ δέ σε.

(83) Κεκωμένοι. Scribe, κεκοπωμένοι.

duo, aut tres invaserint eos, donec vel victoria freti insequantur, vel de victoria desperantes fugæ se mandaverint. Itaque primo incursio in illos sagittis est facienda. Si enim equi illorum, qui Parii dicuntur, et Æthiopes reliqui sagittarii equites vulnerentur, et feriantur, cum nudi sunt, facile in fugam se conjicient : quia equos, quos plurimi faciunt, et per quos se salutem comparare arbitrantur, incolumes custodire magnopere laborant.

A τάξιν, κἂν τις ἐπέλθῃ αὐτοῖς ἢ δύο, ἢ τρεῖς, ἄχρις οὗ ἢ θαῤῥήσουσι κινήσαντες διῶξαι, ἢ δειλιάσουσι καὶ ὁρμήσουσι πρὸς φυγήν. Διὸ χρὴ βαστάξαι τὴν ἔφοδον αὐτῶν προτέραν διὰ τοξείας τῆς κατὰ αὐτῶν, τοὺς ἔμπροσθέν τε καὶ τοὺς μικρὸν ὄπισθεν ἑστῶτας βάλλοντας κατὰ αὐτῶν. Οὕτω γὰρ τῶν ἵππων αὐτῶν τοξευομένων, τῶν λεγομένων φαρίων (84), καὶ τῶν Αἰθιόπων, ἢ καὶ ἄλλων τοξοτῶν αὐτῶν διὰ τὴν γύμνωσιν πληγουμένων, ῥᾳδίως εἰς φυγὴν ὁρμήσουσι δυοῖν ἕνεκεν, καὶ τοὺς ἵππους περισώζειν βουλόμενοι πολυτίμους ὄντας, καὶ οὐκ εὐκόλως ποριζομένους, καὶ διὰ τῆς τῶν ἵππων σωτηρίας καὶ αὐτοὶ συμπεριςωζόμενοι.

136. Equi si pereant sagittis veneno imbutis, simul intereunt qui vehuntur equis : sin sagittas imbutas esse cognoscant, antequam percutiantur aufugient.

ρλϛ'. Τῶν γὰρ ἵππων ὀλλυμένων (85) διὰ τῶν βελῶν, καὶ μάλιστα πεφαρμακευμένων, συναπόλλυνται καὶ οἱ ἐποχούμενοι αὐτοῖς, ἢ καὶ γνόντες τοῦ φαρ- B μάκου τὴν δύναμιν καὶ πρὸ τοῦ βληθῆναι φεύξονται.

137. Neque enim tantum gloriam nomenque expetunt Saraceni cum ad prœlium exeunt, quantum cupiditatis causa et rerum necessariarum conquirendarum gratia : neque enim agros colere norunt, ut inde pauperes vivant, sed gladio solo ab ineunte ætate, vel vivere, vel mori discunt : unde una de illis victoria multis periculis Romanos liberat : ubi enim viderint eos, qui ad bellum exierunt, nequaquam reverti, sed a suis jam desiderari, non jam audebunt tam incircumspecte ad bellum postea procedere.

ρλζ'. Οὐ τοσοῦτον γὰρ δόξης ὀρεγόμενοι καὶ ὀνόματος ἐκστρατεύονται οἱ πλεῖστοι Σαρακηνῶν, ὅσον εὐπορίας χάριν καὶ τούτων (86) ἐπιτηδείων κέρδους· οὐ γὰρ γεωργεῖν οἴδασιν, ἵν' ἐντεῦθεν οἱ πένητες διαζῶσιν, ἀλλ' ἐν τῇ μαχαίρᾳ αὐτῶν καὶ μόνῃ ἢ ζῆν ἢ θνήσκειν ἐκ νέου παιδεύονται. Ὅθεν ἡ ἅπαξ κατ' αὐτῶν νίκη πολλῶν ἐλευθερώσει κινδύνων Ῥωμαίους, μηκέτι τολμώντων ἀπερισκέπτως ἐξέρχεσθαι τῶν θεωμένων τοὺς ἐξελθόντας μὴ ὑποστρέψαντας, ἀλλὰ θρηνουμένους ὑπὸ τῶν ἰδίων.

138. Cilices Saraceni universum quem habent peditatum, ad utrumque genus prœlii parant, tum terrestri per Tauri montis exitum, tum mari per navigia, quæ illi cumbaria appellant. Quando autem terra non egrediuntur ad prœlium, conscendunt mare ibique prædantur, aut in maritimis locis considunt ad prædam quærendam, alias ad Romanorum agros populandos exeunt.

ρλη'. Δοκεῖ δὲ τοῖς Κίλιξι Σαρακηνοῖς ὅσον ἔχουσι πεζικὸν πρὸς ἀμφοτέρας ἐκπαιδεύειν τὰς μάχας, C πρός τε τὴν κατὰ γῆν διὰ τῆς ἐξόδου τῆς διὰ τοῦ Ταύρου ὄρους, καὶ τὴν κατὰ θάλατταν διὰ τῶν παρ' αὐτοῖς πλοίων τῶν λεγομένων κουμβαρίων, καὶ ὅτε μὴ πρὸς τὴν ἤπειρον ἐκστρατεύουσι, διὰ τῆς θαλάττης ἐξέρχονται, πραίδας τε ποιοῦντες κατὰ τῶν παραθαλασσίων χωρίων, πολλάκις δ', εἰ οὕτω τείχει (87), καὶ ναυμαχοῦντες· ὅτε δὲ μὴ κατὰ θάλασσαν ἐξέλθωσι, διὰ τῆς ἠπείρου κατὰ τῶν Ῥωμαϊκῶν χωρίων ἐκστρατεύουσι.

139. Speculatores abs te diligenter emittendi sunt, qui res illorum cognoscant, ut contra eos exercitum idoneum præpares, ut quando e terra continente exeunt, præfecto classis indicetur, qui in Tarsensium et Adaneorum agros maritimos incurset. Neque enim tam numerosus barbaris Cilicibus exercitus est, ut iidem ad pugnandum terra simul et mari habiles sint.

ρλθ'. Δεῖ οὖν ἐπιτηρεῖν σε, ὦ στρατηγὲ, διὰ κατασκόπων ἀληθῶν, καὶ μανθάνειν τὰ κατ' αὐτοὺς ἀκριβῶς, καὶ ἑτοιμάζεσθαι σὺν τῷ ἀρκοῦντι στρατῷ, ἵν' ὅταν διὰ θαλάσσης ἐκστρατεύωσιν, αὐτὸς κατὰ γῆν, εἰ δυνατὸν, ἐν τῇ ἰδίᾳ αὐτῶν προσβάλλῃς αὐτοῖς· ὅταν δὲ διὰ τῆς γῆς ἐκστρατεύειν μέλλωσι, μηνύῃς τῷ κιβαιῤῥαιώτῃ τοῦ πλωΐμου (88) στρατηγῷ, καὶ D μετὰ τῶν ὑπ' αὐτὸν δρομώνων εἰσπιπτέτω κατὰ τῶν Ταρσέων καὶ Ἀδανείων χωρίων ὅσα κεῖται κατὰ θάλασσαν. Οὐ γὰρ πολυπληθία στρατοῦ τοῖς Κίλιξι βαρβάροις ἐστὶν, ἐπείπερ οἱ αὐτοὶ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἐκστρατεύονται.

140. Ad summam autem, si illos vastare cupis, classe simul maritima, et terrestribus copiis per Taurum simul cum aliis præfectis, et impetus incursionesque adversus illos facies, atque ita prædatorum illorum regionem populaberis, quemadmo-

ρμ'. Τὸ δὲ κεφάλαιον τῆς ἐκείνων καταπτώσεώς ἐστιν, ἵνα ὁμοῦ καὶ διὰ πλωΐμου στόλου τοῦ ἱκανοῦ καὶ διὰ πεζικοῦ στρατοῦ διὰ τοῦ Ταύρου ἅμα καὶ ἑτέροις συστρατηγοῖς τοῖς ἀρκοῦσι ποιήσεις τὴν κατ' αὐτῶν προσβολὴν καὶ ἐπέλευσιν, καὶ οὕτω τῶν λη-

NOTÆ.

(84) *Φαρίων*. In codice Checi, παρίων, videtur fuisse. Sed male, φάρας, et φαρίον, est equus. Vide *Glossarium* nostrum.

(85) *Τῶν γὰρ ἵππων ὀλλυμένων*. Scribebatur, τῶν γὰρ ἱππωλυμένων.

(86) *Τούτων*. Scribe, τοῦ τῶν.

(87) *Εἰ οὕτω τείχει*. Scribe, εἰ οὕτω τύχοι.

(88) *Πλωΐμου*. Scribebatur, πλωϊκοῦ.

στῶν ἐκείνων καταληΐσεις τὴν χώραν, οἷόν ποτε ὁ A ἡμέτερος μακαριώτατος πατὴρ καὶ Ῥωμαίων αὐτοκράτωρ ἐν τοῖς αὐτοῦ χρόνοις διὰ κελεύσεως αὐτοῦ θείας πεποίηκεν.

dum clarissimus atque amplissimus pater meus Basilius imperator Romanus fecerat.

ρμα'. Τοὺς δὲ πλησιάζοντας τῇ Μεσοποταμίᾳ Συρίας Σαρακηνοὺς δι' ἐπιτηδευμάτων καταπολεμήσεις, οἷς ἐχρήσατο ὁ κατὰ τὸν μικρῷ παρελθόντα καιρὸν τὴν Θεοδοσίου πόλιν ὑπ' ἐκείνων κατεχομένην ἀφελόμενος στρατηγὸς, καὶ τῇ ἡμετέρᾳ αὐτὴν ὑποτάξας βασιλείᾳ. Ἐπειδὴ δὲ οἱ Ῥωμαϊκοὶ ἵπποι ἀήθως ἔχοντες πρός τε τὰς καμήλους, καὶ πολλῷ μᾶλλον πρὸς τὰ τύμπανα ἠχοῦντα καὶ τὰ κύμβαλα, πτύρονται καὶ ἀποστρέφονται εἰς τὰ ὀπίσω, ὥστε καὶ εἰς φυγὴν διὰ τοιούτου τρόπου πολλάκις ὁρμᾷν Ῥωμαίους, δεῖ ἐθίζεσθαι τοὺς τῶν στρατιωτῶν ἵππους, καὶ μάλιστα τῶν πρωτοστατῶν καὶ τῶν ἀρχόντων, εἴς τε τοὺς B κτύπους τῶν τυμπάνων καὶ τῶν κυμβάλων διὰ τοιαύτης γυμνασίας, καὶ δὴ καὶ εἰς τὸ συνεῖναι καμήλοις καὶ μὴ ξενίζεσθαι τῇ θέᾳ αὐτῶν. Εἰσὶ δὲ καὶ ἕτερα, ἅπερ ἄν τις ἐπινοήσοι πρὸς τὰ παρόντα διασκοπούμενος.

141. Qui Mesopotamiæ Syriæ finitimi Saraceni sunt, iis molitionibus oppugnabis, quibus paulo ante hoc tempus imperator exercitus ille utebatur, qui Theodosii civitatem ab illis occupatam eripuit, et in nostram potestatem redegit; et quoniam equi Romani minus assuefacti sunt, vel aspectui camelorum, vel tympanorum cymbalorumque strepitui, exercendi ad ista equi sunt, præfectorum autem et primariorum virorum potissimum, ut neque aspectum camelorum refugiant, neque sonitum tympanorum cymbalorumque formident. Itaque permulta sunt, quæ quis diligenter intuens ad ista excogitare possit.

ρμβ'. Συνελόντα δὲ εἰπεῖν ἅπαντα τὰ προειρημένα περὶ τῆς τακτικῆς θεωρίας ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅσα τε διά τε τὰ ὅπλα, καὶ τὰς ὁπλίσεις, καὶ τὰς γυμνασίας, καὶ τὰς παρατάξεις τὰς πολεμικὰς, καὶ τὰς ἄλλας στρατηγικὰς μεθόδους, εἴρηται ἕνεκεν τοῦ Σαρακηνῶν ἔθνους ἡμῖν, καὶ παρηγγέλθη, καὶ διατέτακται. Τοῦτο γὰρ καὶ γειτονεῦον τῇ ἡμετέρᾳ πολιτείᾳ, οὐδὲν ἧττον τοῦ πάλαι Περσικοῦ ἔθνους τοῖς ἀρχαίοις βασιλεῦσι τὰ νῦν ἡμῖν ἐνοχλεῖ, καὶ παραλυπεῖ τοὺς ἡμετέρους ὑπηκόους τὸ καθεκάστην, οὗ χάριν καὶ τὸν παρόντα τῆς πολεμικῆς διατάξεως ἀνεδεξάμεθα πόνον. Εὕρηνται δὲ ἡμῖν πρὸς τοῖς εἰ- C ρημένοις καὶ ἕτερα παρατάξεων σχήματα, οἷς χρησάμενος, ὦ στρατηγὲ, κατὰ τοῦ τοιούτου βαρβαρικοῦ ἔθνους εὐδοκιμήσεις. Εἰσὶ δὲ ταῦτα·

142. Brevi autem, quæcunque a nobis de apparatu belli, de armis, armatura, exercitationibus, aciebus bellicis, ac reliqua disciplina militari conscripta sunt, ea omnia ad Saracenos oppugnandos recensebantur; hæc enim gens finitima nostro imperio, quemadmodum Persæ olim fuerant, non minus sub nostrum imperium subjectos homines vexat, atque illi olim fecerunt. Itaque hujus libri conscribendi laborem suscepimus, ut nostri adversus illos paratiores instructioresque essent. Aliæ vero acierum formæ a nobis præterea adinventæ sunt, quibus adversum barbaros usus magnam victoriam comparabis.

ρμγ'. Ποιήσεις παράταξιν ποικίλην ὡς ἐν τύπῳ εἰπεῖν ἀπὸ ἀνδρῶν ,δ ἐπιλέκτων. Οὕτως πρώτη μὲν ἔστω παράταξις, ἡ λεγομένη πρόμαχος, ἀνδρῶν ,αφ', καὶ εἰς τρία διαιρήσεις ἴσα μέρη, δεξιὸν, ἀριστερὸν, μέσον, ὥστε εἶναι καὶ ταῦτα ἀπὸ ἀνδρῶν φ', ἔγγιστα ἀλλήλων τῶν τριῶν τούτων τάξεων παρατεταγμένων, ὡς δοκεῖν μίαν εἶναι τὴν τάξιν. Τὴν δὲ δευτέραν τάξιν ποιήσεις ἀπὸ ἀνδρῶν ,α, ἣν εἰς τέσσαρα διαιρήσεις μέρη ἀπὸ ἑνὸς σαγιττοβόλου ἀλλήλων διιστάμενα, ὥστε εἶναι αὐτὰ ἀπὸ ἀνδρῶν σν', ὀπίσω τῆς πρώτης παρατάξεως ἱσταμένων, ὥστε εἴγε τοῦτο συμβῇ τὴν πρώτην ὑποπηδῆσαι τάξιν, ὑποδέχεσθαι αὐτὴν ἐν D τοῖς κενοῖς αὐτῶν τῆς διαιρέσεως τόποις, καὶ οἷον μίαν σὺν αὐτοῖς γίνεσθαι παράταξιν. Τὰ γὰρ τέσσαρα μέρη τῆς δευτέρας τάξεως τρία ποιεῖ κενὰ χωρία, εἰς ἅπερ οἱ τῆς πρώτης τάξεως ἐλθόντες συστήσονται τῇ δευτέρᾳ· ἐπὶ ταύταις δὲ ποιήσεις καὶ νωτοφύλακας ἄνδρας φ' οὓς διαιρήσεις εἰς μέρη δύο κατὰ οὐρὰν, ἤτοι δεξιὸν καὶ ἀριστερὸν, ἵστασθαι δὲ αὐτοὺς ὀπίσω τῆς δευτέρας παρατάξεως εἰς τρίτην τάξιν, ἔχον τὸ ἕκαστον μέρος ἀνὰ σν', ὥστε καὶ ἐν καιρῷ χρείας αὐτοὺς προερχομένους ἑνοῦσθαι πρὸς βοήθειαν τῇ δευτέρᾳ παρατάξει ὑποδεχομένῃ τὴν πρώτην. Ταύτας μέντοι τὰς τρεῖς τάξεις, εἰ καὶ διῃρημένας διὰ τὴν χρείαν ὡρίσαμεν, ἀλλ' οὖν ἡνωμένας τῇ ἐγγύτητι καὶ

143. Variam aciem ad hunc modum instrues virorum quatuor millium. Prima sit acies, quæ propugnatrix dicitur, virorum mille quingentorum, et in tres partes eam divides: dextram, sinistram, mediam, ut singulæ quingentorum virorum sint; ac ita prope se mutuo collocabis, ut una acies esse videatur. Secundam aciem virorum mille facies, eamque in quatuor partes divides, unius sagittæ jactu a se mutuo distantes, ut in unaquaque parte ducenti quinquaginta viri post primam aciem collocentur. Quod si primam aciem retrocedere contingat, in vacua interstitii loca recipiantur, atque adeo una cum illis acies fiant. Nam quatuor partes secundæ aciei tria intervalla faciunt, in quæ prima acies se recipiens, ad secundam aciem aggregetur. Post hos, tergistites instrues, homines quingentos, quos duas in partes a tergo divides: dextram et sinistram. Hos a tergo secundæ aciei instrues, ac si tertia acies essent, ut unaquæque pars ducentos quinquaginta viros habeat, ut si quando opportunum sit, et ipsi ad secundam aciem adjuvandam progrediantur, quæ jam primam receperat. Has tres acies ad usum separatas, propinquitate conjunctas, ad se mutuo adjuvandas idoneas esse perspeximus. His adjunges cornua prope, et coram prima acie

ad dextrum latus cornistites, ad sinistrum lateranos; iique ex ducentis viris conficiantur, ut ad hostium aciem ambiendam cornistites parati sint, et ad hostes, qui circumcludere vos conantur, impediendos, laterani instructi sint. Præter hos utroque in latere eminus cohortes duas ducentorum virorum collocabis, quas hinc atque illinc aciei in insidiis collocabis, qui drungisti et confertim prosiliant, et hostium latera invadant. In tribus autem vacuis spatiis atque intervallis secundæ aciei viros centum, aut ducentos collocabis, ut videatur una junctaque acies esse. Ii, si quid opus sit, locum dent primæ aciei ad hæc intervalla se recipienti; sin minus, ad fugam incitatos reprimant, et ad suam ipsorum aciem eos impellant, et ad tergistites magnopere cum illis postea juncti adjuvabunt: quæ res non parvo præsidio est iis qui in prœlio fuerint. Qui restant centum viri, cum imperatore ipso simul in expeditione procedant, ut si quando afflictæ parti succurrendum sit, ii eo missi magnum in bello momentum afferant, et præsentia sua inclinatam partem sublevent. Atque ad hunc modum prima, secunda, tertia acies instructæ, militiæ nostræ laterani, cornistes, tergistites, et insidiæ, et in interstitiis qui sunt positi, et qui in subsidiis cum imperatore sunt, quatuor millibus virorum describuntur. Imperator medium primæ aciei locum obtinebit, instruat, ac provideat, quæ facto opus sunt, secumque hoc centum virorum habeat subsidium. Sin majoribus copiis opus sit, ad turmarcham, qui olim imperator, nunc merarcha, aut turmarcha dicitur, mittere oportet. Turmarcha autem singulis partibus, sive turmis ante poni debet; omnibus autem præsit imperator. In singulis turmis drungarii, sive tribuni sint, et comites sub illis, reliquique præfecti, qui regant gubernentque exercitum, et ad propositum prœlium incitent.

τοῖς ὑπὲρ ἀλλήλων ἀγωνίσμασι κατανοοῦμεν, διὰ τὸ τοῦ σχήματος εὔθετον. Ἐπὶ τούτοις στήσεις καὶ τὰ λεγόμενα κέρατα κατὰ χεῖραν (89), καὶ ἔμπροσθεν τῆς πρώτης τάξεως, τοὺς μὲν λεγομένους ὑπερκεράστας κατὰ τὸ δεξιὸν μέρος, τοὺς δὲ πλαγιοφύλακας κατὰ τὸ εὐώνυμον. Καὶ ταῦτα ἔστωσαν ἀπὸ σʹ ἀνδρῶν, ὥστε εἶναι ἑτοίμους εἰς τὸ κυκλῶσαι τὴν ἐπερχομένην τῶν πολεμίων παράταξιν τοὺς ὑπερκεράστας, εἰς δὲ τὸ κωλῦσαι τὴν ἀπ' ἐκείνων κατὰ τῆς σῆς τάξεως κύκλωσιν τοὺς εὐωνύμους πλαγιοφύλακας, ἢ τάχα καὶ αὐτοὺς εἰς κύκλωσιν ἑτοίμους. Καὶ πρὸς τούτοις ποιήσεις ἐν ἑκατέρᾳ πλευρᾷ μακρόθεν τάγματα δύο ἀπὸ ἀνδρῶν σʹ, ὥστε εἰς ἐνέδρους γενέσθαι, ἤγουν ἐγκρύμματα ἔνθεν κἀκεῖθεν τῆς σῆς παρατάξεως ἑστῶτας, ἀθρόως δὲ καὶ τὸ λεγόμενον δρουγγιστὶ ἐκπηδῶντας, καὶ κατὰ τῶν πλευρῶν τῶν πολεμίων ἐπερχομένους. Ἔστωσαν δὲ καὶ ἐν τοῖς τρισὶ κενοῖς μέρεσι τῆς δευτέρας παρατάξεως ἀπὸ ἀνδρῶν ρʹ, ἤγουν ἄνδρες τʹ, ὥστε δοκεῖν συνημμένην εἶναι καὶ αὐτὴν τὴν τάξιν. Οὗτοι δὲ, εἰ ἄρα χρεία καλέσοι ὑποχωρῆσαι τοὺς τῆς πρώτης τάξεως, εἰς τὰ εἰρημένα τρία κενὰ ὑποχωρήσουσιν ὀπίσω, ὁμοῦ δὲ καὶ ἀναστελοῦσι τοὺς ὁρμῶντας πρὸς φυγὴν, καὶ ἐπιστρέψουσι εἰς τὴν οἰκείαν αὐτῶν τάξιν τοῖς νωτοφύλαξιν ἅμα γινόμενοι διὰ τῆς ὀπίσω ὑποχωρήσεως, ὅπερ οὐ μικρὰν ῥοπὴν ποιήσει τοῖς ἀγωνιζομένοις ὠφέλιμον. Οἱ δὲ λοιποὶ ρʹ ἄνδρες ἔστωσαν ἅμα τῷ στρατηγῷ μετὰ τῆς ἰδίας αὐτῷ προελεύσεως· ἵνα ὁπόταν συμβῇ χρεία γενέσθαι βοηθῆσαί τινι βαρουμένῳ μέρει, ἀποστελλόμενοι ἱκανὴν ῥοπὴν παρέχωσιν αὐτῷ καὶ ἀναψυχὴν διὰ τῆς αὐτῶν ἱκανότητος. Καὶ οὕτω μὲν ἡ πᾶσά τε πρώτη καὶ δευτέρα καὶ τρίτη τάξις τῆς παρατάξεως, καὶ δὴ καὶ οἱ πλαγιοφύλακες, καὶ ὑπερκεράσται, καὶ νωτοφύλακές τε καὶ ἔνεδροι, καὶ οἱ μέσοι τῶν κενῶν τόπων, καὶ δὴ καὶ οἱ ἐν ὑποβοηθείᾳ μετὰ τοῦ στρατηγοῦ τεταγμένοι ἐν ὅλοις δʹ ἀνδράσι πάντες ὁμοῦ ταττέσθωσαν, ὁ δὲ στρατηγὸς τὴν μέσην ἐχέτω τάξιν τῆς πρώτης παρατάξεως, καὶ διατταττέτω καὶ ὁράτω τὰ δέοντα, καὶ ταύτην ἐχέτω προσβοήθειαν, εἴπου καὶ δέοι μείζονος δυνάμεως, ἐκπέμπων ἅμα τοῦ σὺν αὐτῷ ἑστῶτος τουρμάρχου (90), ἤτοι τοῦ πάλαι μὲν ὑποστρατήγου, νῦν δὲ μεράρχου καλουμένου. Καὶ γὰρ καθ' ἕκαστον μέρος ἔμπροσθεν τουρμάρχης ὀφείλει προτάττεσθαι, καὶ ἐπὶ πάντων τούτων ὁ στρατηγός. Ἐχέτωσαν δὲ τὰ μέρη καὶ τοὺς ἰδίους δρουγγαρίους, καὶ τοὺς ὑπ' ἐκείνους κόμητας, καὶ τοὺς λοιποὺς ἄρχοντας, κατ' ἀρετὴν ἕκαστον συνεστῶτας καὶ ἰθύνοντας τοὺς στρατιώτας καὶ διεγείροντας πρὸς τὴν προκειμένην μάχην.

141. Primæ aciei multitudinem ad hunc modum divides. Tertiam partem ejus, quos noveris fortes strenuosque esse, in cursores divides, bessem reliquam in defensores, ut ii se hostibus objicientes quasi propugnatores, drungisti, id est confertim, sine acie in hostes procurrant. Quod si in fugam illos verterint, sequantur defensores, sive vindices, aciem instructam non deserentes, sed diligenter servantes. Sin premantur cursores sive proclastæ, et retrocesserint, ut cum acie defenso-

ρμδʹ. Τὸ δὲ ποσὸν τῆς πρώτης τάξεως διαιρήσεις, καὶ τὸ μὲν αὐτοῦ ἤγουν τὸ τρίτον μέρος ἀφορίσεις εἰς τοὺς λεγομένους κούρσωρας, ὅσους μάλιστα γινώσκεις ἀνδρείους καὶ εὐτόλμους, τὸ δὲ δίμυρον (91) μέρος τάξεις εἰς τοὺς λεγομένους διφένσορας, ἵνα οἱ μὲν κατὰ πρόσωπον πεμπόμενοι ὡς πρόμαχοι ἐπέλθωσι κατὰ τῶν πολεμίων δρουγγιστὶ, ὅ ἐστιν ὁμοῦ, ἀνεντάξεως (92). Καὶ εἰ μὲν τρέψουσιν αὐτοὺς, ἀκολουθήσουσι καὶ οἱ διφένσωρες, ἤγουν οἱ βοηθοὶ ἔκδικοι, μὴ λύοντες τὴν τάξιν αὐτῶν, ἀλλ' εὐτάκτως πα-

NOTÆ.

(89) *Κατὰ χεῖραν*. Observandum χεῖρα, pro χείρ. Sic apud Annam Comnenam Alex. libro I: Καὶ γὰρ τῷ ἀνδρὶ τούτῳ καὶ ἄμφω ἤστην καλὼ καὶ γενναίω, καὶ τά γε εἰς χεῖραν καὶ πεῖραν ἴσω. Nimirum Græci posteriores quartum casum pro primo ponebant; et talia plura indicamus passim in nostro *Glossario*.

(90) *Τουρμάρχου*. Scribebatur, τουμάργου.

(91) *Δίμυρον*. Scribe, δίμοιρον.

(92) *Ἀνεντάξεως*. Scribe, ἄνευ τάξεως.

ριπατοῦντες (93)· εἰ δὲ βαρηθῶσιν οἱ κούρσωρες (94) A ἤγουν οἱ λεγόμενοι καὶ προκλάσται, εἶτα ὑποστρέψουσιν, ἵνα ὑποδέχωνται αὐτοὺς οἱ διφένσωρες μετὰ τάξεως, καὶ ἀναστέλλουσι τοὺς πολεμίους. Εἰ δέ τι καὶ πλέον καὶ τῆς δευτέρας τάξεως ὑποβοηθήσουσι, καὶ προσέτι οἱ νωτοφύλακες, καὶ οὕτω διώξουσι τοὺς πολεμίους, ἐκ διαδοχῆς τὴν βοήθειαν παρὰ πολλῶν ὑποδεχόμενοι. Οὐ γάρ μοι δοκεῖ ἐν μιᾷ μόνῃ παρατάξει ἀποκινδυνεύειν ἀσφαλές (95). Ὁμοῦ γὰρ πονοῦσα ἡ μία ὁμοῦ καὶ φεύγει. Ἐνταῦθα δὲ εἰ καὶ ἡ πρώτη πονήσει, ἀλλ' ἡ δευτέρα ἑστῶσα ῥωμαλεώτερον βοηθήσει (96). Εἰ δὲ καὶ αὐτὴ πονήσει, ἀλλ' ἡ τρίτη ἀπαθῶς ἐπέλθῃ, καὶ οὕτω πρὸς τρεῖς ἀπαθεῖς παρατάξεις ἡ μία τῶν πολεμίων πονοῦσα εὐκαταγώνιστος γίνεται, καὶ ταχέως λυθήσεται, καὶ εἰς φυγὴν ὁρμήσει, συμπνεόντων δηλονότι κατὰ τὸ ἐνδεχόμενον καὶ τῶν πλαγιοφυλάκων καὶ τῶν ὑπερκεραστῶν.

res illos excipientes hostes reprimant. Sin quid gravius contingat, secunda acies et tergistites præterea opem ferant, atque adeo hostes insequantur, sibi mutuo opem, si quid usus postulet, ferentes. Neque enim mihi tutum videtur esse, omnes una in acie ponere, ne simul pugnantes simul in periculum veniant, et in fugam se conjiciant. Hic autem quanquam prima afflicta sit, secunda tamen firmiter consistit atque illi opem ferre solet; quod si quid gravius hæc quoque patiatur, tertia tamen secure invadat. Atque ita nostræ tres acies firmæ adversus unam hostium aciem contendentes, facile eam superare atque expugnare possunt et in fugam præcipitare, adjuvantibus ad hanc rem lateranis et cornistitibus.

ρμε'. Μάλιστα τῶν εἰρημένων ͵δ ἀνδρῶν ἐπιλέκτων B ὄντων καὶ διαφερόντων τῇ ἀνδρείᾳ, καὶ τῇ περὶ τοὺς πολέμους ἀρετῇ, ὅπερ ὀφείλει. Οὐ γὰρ πρὸς ἀνδραποδώδη στρατὸν ἡμῖν πρόκειται ἡ διάταξις, ἀλλὰ πρὸς ἱκανὸν μεταχειρίσασθαι ὅπλον, καὶ ἐκθύμως ἀγωνίσασθαι.

145. Hæc quatuor millia ex delectis strenuisque viris fiant, et in bello gerendo exercitatis: neque enim de plebeis ac fortuitis hominibus mentio a nobis facta est, sed de ea acie quæ possit arma gerere et alacriter dimicare.

ρμϛ'. Τὰς δὲ ἀκίας τῆς τοιαύτης παρατάξεως ποιήσεις ἀπὸ ἀνδρῶν δέκα τὸ βάθος ἤτοι τὸ πάχος αὐτῶν, ὥστε εἶναι καθ' ἑκάστην ἀκίαν ἄρχοντας δύο, τόν τε λεγόμενον λοχαγὸν, ἤγουν δέκαρχον, ἢ πρωτοστάτην, ἢ πρόμαχον, καὶ τὸν οὐραγὸν, ὅς ἐστι ἔσχατος τοῦ στίχου, καὶ καλεῖται πεντάρχης, οὓς καὶ μάλιστα ἱκανοὺς εἶναι χρὴ, καὶ ἀνδρείους, καὶ καταφράκτους τοῖς ἁρμόζουσιν ὅπλοις, καὶ οὕτως τοῦ βάθους τῶν ἀκιῶν τεταγμένου, τὸ ἐπὶ μέτωπον ἔκταμα πρὸς πλάτος κατὰ ζυγὸν, ὅσον ἂν ἀπαντήσῃ τάττεσθαι καὶ κατὰ πλευράν.

146. Contubernia hujus aciei ad decem virorum altitudinem facies, ut in unaquaque acie duo viri sint, alter lochagus, sive caudanus, sive quintanus: quos strenuos idoneosque viros esse oportet, et idoneis armis instructos. Atque ad hunc modum altitudine acierum instructa, ad longitudinem, quam transversam altitudini appellant, quantum numerus et latera patiuntur, instruat.

ρμζ'. Ἐπὶ δὲ τῆς νῦν ὑποθέσεως ἡ μὲν πρώτη C τάξις, ἥτις καὶ εἰς τρία μέρη διαιρεθήσεται, καθ' ἕκαστον μέρος ἕξει ἀκίας ν', ἀνὰ ι' ἐχούσας τὸ βάθος κατὰ στίχον, ἀπὸ τοῦ λοχαγοῦ καὶ πρωτοστάτου ἕως τοῦ ἐσχάτου οὐραγοῦ, ὡς εἶναι τὰς ὅλας ἀκίας τῶν τριῶν μερῶν τῆς πρώτης τάξεως ρν', ἤτοι ἄνδρας ͵α καὶ φ'· ἡ δὲ δευτέρα τάξις ἐχέτω διὰ τῶν τεσσάρων αὐτῆς μερῶν ἀκίας ἀνὰ η', καὶ πέντε, τὰς πάσας ἀκίας ρ' ἀνδρῶν ͵α. Οἱ δὲ πλαγιοφύλακες ἕξουσιν ἀκίας κ', ἄνδρας σ', προσέτι δὲ οἱ ἔνεδροι ἤγουν τὰ ἐγκρύμματα ἔνθεν κἀκεῖθεν τῶν δύο μερῶν τῆς παρατάξεως, ἀν' ἀκιῶν κ', ἀκίας μ', ἀντ' ἀνδρῶν σ', ὁμοῦ δὲ ἄνδρας υ', καὶ οἱ ἐν τοῖς κενοῖς δ' ἑστῶτες τῆς δευτέρας παρατάξεως, οἵτινες, ὡς εἴρηται, καὶ τοὺς φεύγοντας ἀναστέλλουσιν, ἔσονται τὰ τρία μέρη ἀπὸ ἀκιῶν ρ', ὁμοῦ ἀνδρῶν τ', καὶ οἱ D τῷ στρατηγῷ παρεστῶτες ἄνδρες ρ'.

147. Quoniam, quemadmodum nunc posuimus, prima acies in tres partes dividitur, unaquæque pars quinquaginta contubernia habebit, quæ singula decem viros habebunt a lochago, id est decano ad ultimanum, ordine locatos, ut universa contubernia primæ aciei centum quinquaginta sint, id est viri mille quingenti. Secunda acies habeat in quatuor illius partibus contubernia viginti quinque singulis, universis centum contubernia, id est viros mille. Laterani habeant contubernia viginti, viros ducentos: similiter cornistites contubernia viginti, viros ducentos habeant. Insidiæ præterea hinc atque illinc acici contubernia viginti, viros ducentos singulæ habeant: universæ contubernia quadraginta, viros quadringentos, qui in intervallis inanibus singulis locantur secundæ aciei contubernia decem virorum, simul tercentos, et qui præterea imperatori adsunt centum viri.

ρμη'. Ἄλλαι μὲν τρεῖς παρατάξεις ἐξῃρημένων τῶν κουρσώρων ὑπὸ ἀκίας ταχθήσονται, τὰ δὲ λοιπὰ τάγματα ἤγουν οἱ πλαγιοφύλακες καὶ ὑπερκεράσται,

148. Reliquæ acies exceptis cursoribus ordine quodam instruantur; laterani, cornistites, insidiæ non semper instructæ, sed pro usus ratione inter-

NOTÆ.

(93) *Εὐτάκτως περιπατοῦντες*. Scribebatur, οὐτακτοπεριπατρῶντες.

(94) *Οἱ κούρσωρες*. Scribebatur, οἱ κούσωρες.

(95) *Ἀσφαλές*. Scribebatur, ἀσφές.

(96) *Βοηθήσει*. Scribebatur, βοήσει.

dum drungisti, id est, confertim, incurrant, interdum ordinem suum conservent.

A ἤτοι οἱ πρὸς τὴν κύκλωσιν ταγέντες, καὶ δὴ καὶ οἱ ἐκ τῶν ἐγκρυμμάτων, ἤτοι οἱ ἔνεδροι καὶ οἱ λοιποὶ, οὐκ ἀεὶ συντεταγμένοι στήσονται, ἀλλὰ πρὸς τὴν χρείαν, ποτὲ μὲν οὕτως ἤτοι δρουγγιστὶ ἐπελεύσονται, ἢ ὡς ἀπαιτεῖ ἡ τοῦ πολέμου περίστασις.

149. Eligentur ex iis designatis quatuor millibus virorum, præfecti delecti mille trecenti quadraginta sex, quintani octingenti, decani quadringenti, quinquagenarii octoginta, centuriones quadraginta, comites viginti, drungarii quatuor, turmarchæ duo. Ita erunt præfecti majores tum minores mille trecenti quadraginta sex. Sicque in universo exercitu eligantur ii strenui milites. Summam totius numeri, vel universum reliquum exercitum potius, quod thema dicitur, horum quatuor mille virorum delectorum, armatis equitibus ac strenuis militibus complebis, quemadmodum tibi ad opportunitatem temporis idoneum videbitur.

ρμθ'. Συναχθήσονται τοίνυν ἀπὸ τῶν οὕτω τεταγμένων δ' χιλιάδων ἀνδρῶν οἱ πάντες ἄρχοντες κατὰ τὴν αὐτῶν τάξιν ἐπίλεκτοι ατμς' οὕτως, πεντάρχαι μὲν ω', δεκάρχαι δὲ υ', πεντηκοντάρχαι δὲ οἱ καὶ τριβοῦνοι καλούμενοι π', κένταρχοι ἤγουν ἑκατοντάρχαι μ', κόμητες κ', δρουγγάριοι καὶ χιλίαρχοι δ', τουρμάρχοι β', ὁμοίως ἄρχοντες μικροὶ μεγάλοι ,ατμς', καὶ οὕτως μὲν ἐπὶ τοῦ ἑνὸς θέματος ἐπιλεγέσθωσαν ἀνδρεῖοι στρατιῶται καὶ πληρούτωσαν τὸ λεγόμενον στρατιωτικὸν θέμα, ἤτοι τῶν ,δ τὸν ἀριθμὸν ἐπιλέκτων, καὶ ἐνόπλων καβαλλαρίων καὶ γενναίων ταῖς ἀρεταῖς. Τὸ δ' ἄλλο πλῆθος ἐκ τοῦ θέματος εἰς ἑτέρας B τάξεις καὶ χρείας καταμεριζέσθω, ὡς ἂν σοι δοκῇ, ὦ στρατηγὲ, τὸ λυσιτελοῦν πρὸς τὸν ἑκάστοτε καιρόν.

150. Atque hæc quidem ita nobis describantur, si minor fuerit hostium exercitus, aut si æqualis. Sin longe plures hostium copiæ fuerint, ad prædictam formam exercitum duplicabis, totidem pluribus ad exercitum tuum adjectis, ut universa acies octo millium sit, et singulæ cohortes æqualem, atque antea numerum habeant. Sin non satis fuerit duplicare, triplicabis exercitum, et duos alios duces adjunges cum militibus delectis et strenuis, ut fiant universi duodecim millia virorum. Itaque prædicto more universus exercitus describetur, triplicatis unaquaque in acie militibus.

ρν'. Καὶ ταῦτα μὲν εἴρηται, ἐὰν ἄρα ὀλίγος ἐστὶν ὁ τῶν πολεμίων στρατὸς ὑπὲρ τὸν σὸν, ἢ ἴσως (97). Εἰ δὲ πολυπληθείᾳ πλεονεκτεῖ ὁ ἐναντίος, τότε κατὰ τὸν ὁρισθέντα σοι τύπον ἐν τῇ προδηλωθείσῃ παρατάξει, ἢ διπλώσεις τὸ στράτευμα ἀπὸ ἑτέρων θεμάτων τῶν στρατηγῶν σου, ὥστε γενέσθαι τὴν πᾶσαν παράταξιν χιλιάδων η', δηλονότι κατὰ τὸν εἰρημένον τύπον μεριζομένου τοῦ ὅλου στρατοῦ, πλὴν μόνου τοῦ ποσοῦ καθ' ἕκαστον τάγμα τῆς τάξεως προστιθεμένου. Εἰ δὲ μὴ διπλῶσαι μόνον ἀρκεῖ, καὶ τριπλώσεις, συντάσσων καὶ ἑτέρους β' στρατηγοὺς ἅμα τοῖς ὑπ' αὐτοὺς στρατιώταις οὕτως ἐπιλέκτοις καὶ καταφράκτοις, ὥστε δύο καὶ δέκα γενέσθαι χιλιάδας. Καὶ οὕτως κατὰ τὸν εἰρημένον ἄνωθεν τύπον διαμερισθήσεται ὅλος ὁ στρατὸς, τριπλωμένων δηλονότι τῶν ἐφ' ἑκάστῃ τάξει στρατιωτῶν κατὰ τὸ ἄνω που ὡρισμένον ποσόν.

151. Si cum paucis et strenuis hostibus negotium futurum est, videturque tibi utile esse uno ex exercitu omnes instruere, tres facito acies, singulas quatuor millium, quemadmodum prædiximus, vel etiam si pluribus millibus pro ratione copiarum tuarum abundaveris, et prima acie irruentes hostes excipies, et dum ii hac exercentur, si in fugam vertantur, quiescere cæteros facies. Sin minus, tum altera acies a tergo illorum invadens, irruptionem in eos faciet, quare non parum hostes profligabuntur. Sin ne sic quidem superentur, sed fortiter resistant, tum tertia vel ad latus, vel a tergo invadens, et simul cum aliis hostes circumcludens, funditus delebit; quamvis enim audacia quasi colore aliquo imbuuntur hostes, carne tamen vacui non sunt, ut vulnera illata sentire non possint.

C ρνα'. Καὶ εἰ μὲν πρὸς ὀλίγους καὶ ἀνδρείους πολεμίους ἔχεις τὸν ἀγῶνα, καὶ δοκεῖ σοι χρήσιμον, κατὰ ἓν θέμα ἐκτάξας τρεῖς ποιήσεις παρατάξεις ἀνὰ χιλιάδων δ', κατὰ τὸν ῥηθέντα τύπον, ἢ καὶ πλειόνων χιλιάδων, κατὰ τὸ ποσὸν τῆς τοῦ στρατοῦ εὐπορίας, καὶ τῇ μὲν μιᾷ προσβαλεῖς αὐτοῖς, ἢ προσβάλλοντας ὑποδέξῃ αὐτοὺς, καὶ ἐπὶ ταύτῃ ἐκείνων ἀσχολουμένων, εἰ μὲν τραπῶσιν, καὶ οὕτως διώξεις ἀσφαλῶς, εἰ δ' ἀνθιστῶσι, τότε καὶ ἡ ἑτέρα ποιήσεται προσβολὴν, ἐξόπισθεν αὐτῶν ἐπελθοῦσα, καὶ οὕτως κατεργασθήσονται οἱ πολέμιοι. Εἰ δὲ καὶ πρὸς ταύτην ἀντίσχωσιν, ἀλλ' ἡ τρίτη ἐπελθοῦσα ἢ ὄπισθεν ἢ ἐκ πλαγίου, καὶ ἅμα ταῖς ἄλλαις κυκλώσασα τοὺς ἐναντίους πάντως αἱρήσει αὐτούς. Οὐ γὰρ ἄσαρκοί εἰσιν οἱ πολέμιοι, κἂν τὸ θράσος αὐτοῖς D ὥσπερ χρῶμα περίκειται.

152. Si cum magnis et ingentibus copiis conflictatio tibi futura est, quatuor millia unam in aciem conferes, et multitudinem copiarum tuarum tres in partes divides, quemadmodum prædixi, in pri-

ρνβ'. Εἰ δὲ πρὸς πλῆθος πολεμίων διαγωνίζεσθαι μέλλεις, τὰς τρεῖς παρατάξεις ἀπὸ τεσσάρων χιλιάδων εἰς μίαν, ὡς εἴρηται, συνάξεις, καὶ τριπλασιάσεις τὸ ποσὸν τῆς προειρημένης ἐκτάξεως, διαμερί-

NOTÆ.

(97) Ἢ ἴσως. Scribe, ἢ ἴσος.

ζων κατὰ λόγον, ὡς πρόκειται, εἴς τε πρώτην καὶ δευτέραν παράταξιν, καὶ εἰς πλαγιοφύλακας, καὶ εἰς ὑπερκεράστας, καὶ εἰς ἐνέδρους, ἤτοι ἐγκρύμματα.

ρνγ'. Καὶ εἰς τὰ ἄλλα, ὡς προείρηται, τάγματα (98), καὶ οὕτως μετὰ εὐταξίας καὶ συστάσεως ποιήσεις τὴν προσβολὴν διὰ τῶν λεγομένων κουρσώρων, ἤτοι τῶν προμάχων τῆς πρώτης τάξεως, ἢ καὶ τῶν ὑπερκεραστῶν, ἢ ὡς ἂν ἡ χρεία καλέσει, καθὼς καὶ ἐν τῇ περὶ τοῦ πολέμου διατάξει διωρισάμεθα. Εἰ δὲ καὶ ἔτι πλείονές εἰσιν οἱ πολέμιοι, καὶ χρεία πολλῷ πλείονος στρατοῦ, ἔστωσαν καὶ οἱ λοιποὶ τῶν ἀνατολικῶν θεμάτων στρατηγοὶ πρὸς τὴν τοιαύτην χρείαν ἕτοιμοι, ὁμοίως τῶν οἰκείων στρατῶν ἐπιλεξάμενοι καὶ διακρίνοντες τοὺς χρησίμους ἀπὸ τῶν ἀχρείων, ὡς ἄχρι τεσσάρων χιλιάδων, ὡς εἴρηται, ἐφ' ἑκάστῳ θέματι, διὰ τὴν νῦν ἐπικρατήσασαν τῶν στρατιωτῶν ἀγυμνασίαν τε καὶ ἀμέλειαν καὶ ὀλιγότητα. Καὶ οὗτοι πάντες πλῆθος δοκίμων στρατιωτῶν συλλέξουσι, καὶ παραστήσουσιν ἅμα σοὶ κατὰ τῶν πολεμίων, ὥστε καὶ ὑπὲρ τὰς τριάκοντα χιλιάδας καταστῆναι τοὺς ὀφείλοντας ἀνδρείως καὶ εὐψύχως ἐκστρατεύειν κατὰ τῶν ἐχθρῶν.

ρνδ'. Καὶ ταῦτα μὲν διωρισάμεθα τῇ ὑμῶν ἐνδοξότητι, τάχα οὐδὲ καινόν τι ἢ παρὰ τὴν δόξαν ἔχοντα· ἀλλ' ἐξ ὧν, ὡς εἴρηται, τοῖς παλαιοτέροις ἐντυχόντες ἠνθολογήσαμεν, καὶ μετρίαν πεῖραν ἐκεῖθεν συλλέξαντες συμφώνως ἐκείνοις διεταξάμεθα. Καὶ ἕτερα δὲ πλεῖστα δυνήσῃ ἐφευρεῖν ἐντεῦθεν λαμβάνων τὰς ἀφορμάς, ἅπερ, ὡς εἴρηται, οὔτε γράφειν καθ' ἓν δυνατὸν, οὔτε τῷ παρόντι συντάγματι διὰ τὴν συντομίαν ἐντάξαι ἁρμόδιον. Ἐξὸν δέ σοι φιλοπονοῦντι, καὶ τῷ πλάτει τῶν τακτικῶν ἐμμελετήσαντι, καὶ τοιαῦτα καὶ τούτων ἔτι δραστικώτερα καὶ προσεπινοῆσαι καὶ διαπράξασθαι Θεὸν ἔχοντι βοηθὸν διά τε τῆς εἰς αὐτὸν πίστεως, καὶ τῆς εἰς τὴν ἡμετέραν βασιλείαν ἀγάπης καὶ διαθέσεως.

mam et secundam aciem, in tergistites et lateranos.

153. In cornistites præterea, et insidias, reliquasque cohortes, quas supra recitavi, dividas, itaque instructus atque apparatus prodibis ad confligendum cum cursoribus, id est, proclastis primæ aciei, et cornistitibus, si ita usus ferat, quemadmodum in cap. De belli apparatu diximus. Sin plures adhuc hostes fuerint, majorique exercitu opus sit, reliqui Orientis præfecti suis cum copiis adsint ad hujusmodi usum parati, in quibus delecti viri ab improbis et ignavis separentur, ut in unoquoque themate, id est, caterva, quatuor millia virorum sint, propter militum nostrorum diligentem hanc ad formam exercitationem, et qui spectati viri strenuique fuerint, ad exercitum tuum aggregabuntur, et tecum hostes invadent. Hanc ad formam etiam triginta millia hominum instrui in acie possunt, ad fortiter et strenue inimicos oppugnandos.

154. Hæc dignitati tuæ iis de rebus commemoravimus, in quibus nihil novum fortasse, aut præter opinionem tuam invenies, sed quæ ex antiquis rei militaris scriptoribus delibavimus, et nostra mediocri experientia percepimus, hunc in librum studiose collegimus, atque in unum adduximus, quibus tu pro tua prudentia, ingenioque, occasione ex iis nostris accepta, alia quoque permulta iis similia invenire poteris, quæ neque simul scribi, neque in hunc librum conferri propter longitudinem poterant. Tu vero, qui te totum iis rebus nunc tradidisti, multa iis probatiora atque efficaciora excogitare et conficere Deo propitio poteris, si fidem in eum habeas, et rectionem nostram ullo cultu ac observantia prosequaris.

ΔΙΑΤΑΞΙΣ ΙΘ' (99).

Περὶ ναυμαχίας.

α'. Ἤδη καὶ περὶ ναυμαχίας διαταξόμεθα, οὐδὲν μὲν ἐν τοῖς παλαιοῖς τακτικοῖς περὶ αὐτῆς κεκανονισμένον εὑρόντες, ἀφ' ὧν δὲ σποράδην ἀνέγνωμεν, καὶ διὰ μετρίας πείρας τοῦ νῦν καιροῦ, παρὰ τῶν πλωΐμων στρατηγῶν ἡμῶν ἀνεμάθομεν, τὰ μὲν πεποιηκότων, τὰ δὲ πεπονθότων, ἀναλεξάμενοι μικρά τινα καὶ ὅσον ἔμφασιν δοῦναι τοῖς καὶ ἐπὶ θαλάσσης μάχεσθαι διὰ τῶν ποτε λεγομένων τριηρῶν, νῦν δὲ δρομώνων καλουμένων, μέλλουσι, ἐν ὀλίγοις διορισόμεθα.

β'. Πρῶτον μὲν οὖν, ὦ τῆς ναυτικῆς δυνάμεως στρατηγὲ (ἤδη γὰρ καὶ πρὸς σὲ δέον τὸν λόγον ποιήσασθαι), τῆς ναυμαχικῆς ἐμπειρίας καὶ τάξεως ἐπιστήμονά σε εἶναι χρεὼν, καὶ τὰς τῶν ἀέρων καὶ τῶν πνευμάτων κινήσεις προσκοπεῖν τε καὶ προειδέναι διὰ τῆς τῶν φαινομένων ἀστέρων καὶ ἐν ἄστροις

CONSTITUTIO XIX.

De navali prælio.

1. Restat jam, ut de navali prælio verba faciamus. Nihil autem de iis in antiquis rei militaris scriptoribus traditum invenimus; quæ vero sparsim diffusa legimus, et mediocri usu ipsi cognovimus, quæque præfecti nostri partim aliis inferentes, partim ab aliis accipientes, nobis explicarunt, et quæ occasionem aliquam afferre possunt ad rem bene dromonibus, id est, triremibus gerendam, ea paucis explicabo.

2. Primum autem (nam ad te nunc, navarche, verba facienda sunt) rei navalis peritia ac instructione pollere te oportet, et aeris, ventorum flatus prænoscere, per stellarum apparentium motum, et astrorum signa, tempestivitatum etiam mutationem perfecte cognoscas, ut si perfectus iis in rebus

NOTÆ.

(98) *Τάγματα.* Scribebatur, δόγματα.

(99) In codice Laurent. est cap. 20.

fueris, tutus et securus ab omnibus maris tempestatibus conserveris.

A σημείων πεῖρας, καὶ τῶν καθ' ἥλιόν τε καὶ σελήνην γινομένων σημασιῶν, καὶ δὴ καὶ τῆς τῶν καιρῶν ἐναλλαγῆς τὴν ἀκρίβειαν ἐπιγινώσκειν, ὡς ἂν ἔχων περὶ ταῦτ' ἐμπείρως ἀσφαλὴς καὶ ἀκίνδυνος ἀπὸ τῶν τῆς θαλάσσης διαφυλάττῃ χειμώνων.

3. Dromones, id est, triremes fabricandæ sunt ad navale prælium idoneæ, adversum hostium instructam classem. Itaque perspecto classis illorum apparatu et universa constitutione, tuam classem omnino sic parabis, ut ad pugnandum cum illis aptissima sit.

γ'. Κατασκευασθῆναι δὲ καὶ δρόμωνας δεῖ ἀρκοῦντας πρὸς ναυμαχίαν κατὰ τῶν ἀντιστρατευομένων πλωΐμων πολεμίων, καὶ πρὸς τὴν ἐκείνων διάθεσίν τε καὶ κατάστασιν, καὶ τῶν σῶν ποιήσασθαι τὴν κατασκευὴν δυνατὴν πρὸς ἅπαντα, ἐκείνοις ἀντιμάχεσθαι.

4. Triremium confectio, neque admodum crassa sit, ut ne tardæ sint ad cursum, neque ad nimiam exilitatem attenuatæ, ne infirma ac fragilis facile adversarum navium impetu elidatur; sed mediocrem habeat confectionem, ut incitatus, celerque ad cursum sit, et firmus, ac stabilis ad hostes repellendos.

δ'. Ἡ δὲ τῶν δρομώνων κατασκευὴ μήτε ἄγαν ἔστω παχεῖα, ἵνα μὴ ἀργοὶ γένωνται ἐν ταῖς ἐλασίαις· μήτε λίαν εἰς λεπτότητα ἐξειργασμένη, ἵνα μὴ ἀσθενὴς οὖσα καὶ σαθρὰ ῥᾳδίως ὑπὸ τῶν κυμάτων καὶ τῆς τῶν ἐναντίων συναράξεώς τε καὶ κρούσεως διαλύεται. Ἀλλὰ σύμμετρον ἐχέτω τὴν ἐργασίαν ὁ δρό-
B μων, ἵνα καὶ ἐλαυνόμενος μὴ λίαν ἀργός ἐστιν, καὶ κλυδωνιζόμενος, ἢ παρὰ τῶν ἐχθρῶν συγκρουόμενος ἰσχυρότερος διαμένῃ καὶ ἄῤῥηκτος.

5. Ad triremis confectionem omnia parata habeant, eaque in promptu, et dupla, ut auchenes, remos, scalmos, funes, caria, et transtra illorum, ceratia, et catartia, et quæcunque alia nautica ars ad usum requirit. Habeat præterea ligna concava, asseres, stuppam, picem, picem liquidam, omniaque instrumenta navalia, et ad fabricandas naves spectantia, unus aliquis vector, ut asciam, terebrum, serram, atque alia ejus generis.

ε'. Ἐχέτωσαν δὲ καὶ πάντα τὰ πρὸς ἐξαρτισμὸν δρόμωνος ἀπαράλειπτα καὶ διπλᾶ, οἷον αὐχένας (1), κώπας, σκαρμοὺς, σχοινία, κάροια, καὶ τὰ ἄρμενα δὲ αὐτῶν καὶ κερατάρια, καὶ κατάρτια, καὶ ὁπόσα ἄλλα ἡ ναυτικὴ τέχνη πρὸς χρείαν ἀπαιτεῖ. Ἐχέτω δὲ καὶ ἐκ περισσοῦ ξύλα τινὰ ἐγκοίλια, καὶ σανίδας, καὶ στυππία, καὶ πίσσαν, καὶ ὑγρόπισσον, καὶ ναυπηγὸν, μετὰ πάντων τῶν ἐργαλείων αὐτοῦ, ἕνα τῶν ἐλατῶν οἷον σκεπάρνου, τελέτρου (2), πρίονος, καὶ τῶν ὁμοίων.

6. In prora siphonem ære obtectum de more habeas ad ignem in hostes ejaculandum, et celse supra siphonem pseudopatium ex asseribus confectum, et asseribus circumtectum, in quo viri ad bellandum instructi sint, qui adversum hostes ex prora pugnent, vel in hostilem navem tela, aut alia ad vastandos hostes spectantia injiciant.

ς'. Ἐχέτω δὲ πάντως τὸν σίφωνα κατὰ τὴν πρώραν ἔμπροσθεν χαλκῷ ἠμφιεσμένον, ὡς ἔθος, δι' οὗ τὸ
C ἐσκευασμένων (3) πῦρ κατὰ τῶν ἐναντίων ἀκοντίσει (4). Καὶ ἄνωθεν δὲ τοῦ τοιούτου σίφωνος ψευδοπάτιον ἀπὸ σανίδων, καὶ αὐτὸ περιτετειχισμένον σανίσιν, ἐν ᾧ στήσονται ἄνδρες πολεμισταὶ τοῖς ἐπερχομένοις ἀπὸ τῆς πρώρας τῶν πολεμίων ἀντιμαχόμενοι, ἢ κατὰ τῆς πολεμίας νεὼς ὅλης βάλλοντες δι' ὅσων ἂν ἐπινοήσωσιν ὅπλων.

7. Sed et lignea castra, quæ in medio catartii sunt, maximis in triremibus asseribus exædificantur, e quibus milites in mediam hostilem navem conjicient vel lapides molares, vel grave ferrum, ut mazas cuspidatas, quibus vel navem confringent, vel subjectos in nave contundent, vel alia in illos profundent, aut hostium navem incendent, aut hostes ipsos in navi interficient. Unaquæque autem triremis oblonga sit, et moderata, duos habens ordines remorum: alium superiorem, alium inferiorem.

ζ'. Ἀλλὰ καὶ τὰ λεγόμενα ξυλόκαστρα περὶ τὸ μέσον που τοῦ καταρτίου ἐν τοῖς μεγίστοις δρόμωσιν ἐπιστήσουσι περιτετειχισμένα σανίσιν, ἐξ ὧν ἄνδρες τινὲς τὸ μέσον τῆς πολεμίας νηὸς ἀκοντίσουσιν ἢ λίθους μυλικοὺς, ἢ σίδηρα βαρέα, οἷον μάζας ξιφοειδεῖς, δι' ὧν ἢ τὴν ναῦν διαθρύψουσιν, ἢ τοὺς ὑποκειμένους συνθλάσουσιν σφοδρῶς καταφερόμενα, ἤ τε
D ἕτερον ἐπιχύσουσιν ἢ ἐμπρῆσαι δυνάμενον τὴν ναῦν τῶν ἐναντίων, ἢ τοὺς ἐν αὐτῇ πολεμίους θανατῶσαι. Ἕκαστος δὲ τῶν δρομώνων εὐμήκης ἔστω, καὶ σύμμετρος, ἔχων μὲν τὰς λεγομένας ἐλασίας δύο, τήν τε κάτω καὶ τὴν ἄνω.

8. Ordo unusquisque habeat ad minimum juga viginti quinque, in quibus remiges considebunt, unus ad dextram, alter ad sinistram, qui tum armati milites, tum remiges sunt superiores, atque inferiores viri centum; præter hos triremis cen-

η'. Ἑκάστη δὲ ἐχέτω ζυγοὺς τὸ ἐλάχιστον πέντε καὶ εἴκοσι, ἐν οἷς οἱ κωπηλάται καθεσθήσονται. Ὡς εἶναι ζυγοὺς τοὺς ἅπαντας κάτω μὲν εἴκοσι καὶ πέντε, ἄνω δὲ ὁμοίως εἴκοσι καὶ πέντε, ὁμοῦ πεντήκοντα· καθ' ἕνα δὲ αὐτῶν δύο καθεζέσθωσαν οἱ

NOTÆ.

(1) Ab *αὐχένας*, usque ad *καὶ στυππία*, codex Laurentianus hiat.

(2) *Τελέτρου.* Scribe, *τερέτρου*.

(3) *Ἐσκευασμένων*. Scribe, *ἐσκευασμένον*.

(4) *Ἀκοντίσει*. Scribe, *ἀκοντίσαι*.

κωπηλατοῦντες, εἰς μὲν δεξιὰ, εἰς δὲ ἀριστερά. Ὡς εἶναι τοὺς ἅπαντας κωπηλάτας ὁμοῦ καὶ τοὺς αὐτοὺς καὶ στρατιώτας τούς τε ἄνω καὶ τοὺς κάτω ἄνδρας ἑκατόν. Ἔξω δὲ τούτων τὴν κένταρχον τοῦ δρόμωνος, καὶ τὸν τὸ φλάμουλον κατέχοντα, καὶ τοὺς δύο κυβερνήτας τῶν τοῦ δρόμωνος αὐχένων, οὓς καλοῦσι καὶ πρωτοκαράβους. Καὶ εἴ τινα δέον εἰς τὴν τοῦ κεντάρχου ὑπηρεσίαν· τῶν δὲ πρωρέων ἐλατῶν οἱ τελευταῖοι δύο ὁ μὲν ἔστω σιφωνάτωρ, ὁ δὲ ἕτερος ὁ τὰς ἀγκύρας βάλλων κατὰ θάλασσαν· ἔστω δὲ καὶ ὁ πρωρεὺς ἄνω που τῆς πρώρας καθήμενος ἔνοπλος, καὶ ὁ τοῦ ναυάρχου δὲ ἤτοι τοῦ κεντάρχου κράββατος ἐπὶ τῆς πρύμνης γινέσθω, ὁμοῦ μὲν ἀφωρισμένον δεικνύων τὸν ἄρχοντα ὁμοῦ δὲ καὶ φυλάττων μὲν καιρῷ συμβολῆς ἀπὸ τῶν ῥιπτομένων βελῶν παρὰ τῶν ἐναντίων, ἐξ οὗ καὶ τὰ ἕκαστα βλέπων πρὸς τὴν χρείαν ἄγεσθαι κελεύσοι ὁ ἄρχων τὸν δρόμωνα.

A turio, et qui flamulum tenet, et duo gubernatores colli triremis, quos πρωτοκαράβους vocant, et si quis alius administer centurionis est. Ex iis remigibus, qui in puppi sunt, extremi duo sint : alter siphonator, alter qui anchoram in mare jaciat. Sit et proreta, in summa parte proræ sedens armatus, et navarchi, id est, centurionis grabatus in puppe sit, qui simul separatum a cæteris notet centurionem esse, simul prælii tempore illum a conjectis hostium telis defendat. Quorum loco singula perlustrans, ad omnem usum adduci triremem jubebit.

θ'. Καὶ ἕτεροι δὲ δρόμωνες κατασκευαζέσθωσάν σοι τούτων μείζονες, ἀπὸ διακοσίων χωροῦντες ἀνδρῶν, ἢ πλείω τούτων ἢ ἐλάττω, κατὰ τὴν χρείαν τὴν δέουσαν ἐπὶ καιροῦ κατὰ τῶν ἐναντίων· ὧν οἱ μὲν πεντήκοντα τὴν κάτω ἐλασίαν ὑπουργήσουσιν, οἱ δὲ ἑκατὸν πεντήκοντα ἄνω ἑστῶτες ἅπαντες ἔνοπλοι μαχήσονται τοῖς πολεμίοις.

B 9. Aliæ triremes iis majores fiant, ducentos viros, aut plures vel minores, pro opportunitate locorum temporumque, capientes; e quibus quinquaginta in inferiore remorum ordine locabuntur, centum quinquaginta superius stantes, omnes adversum hostes armati pugnabunt.

ι'. Καὶ ἔτι δὲ κατασκευάσεις δρόμωνας ἐλάττους δρομικωτάτους, οἱονεὶ γαλαίας ἢ μονήρεις λεγομένους, ταχινοὺς καὶ ἐλαφρούς, οἵσπερ χρήσῃ ἐν ταῖς βίγλαις καὶ ταῖς ἄλλαις ταχιναῖς χρείαις.

10. Triremes minores fabricabis ad cursum celerrimas unum remorum ordinem habentes, quas galeas vocant, agiles et expeditas, quibus ad excubias aliasque celeres causas uteris.

ια'. Καὶ ἑτέρας δὲ ναῦς ποιήσεις φορτηγοὺς καὶ ἱππαγωγούς, οἱονεὶ τούλδου δίκην, αἵτινες τὴν ἀποσκευὴν ἅπασαν τῶν στρατιωτῶν βαστάσωσιν, ἵνα μὴ δι' αὐτὴν βαροῦνται οἱ δρόμωνες, καὶ μάλιστα ἐν ἀγῶνος καιρῷ. Ὅτε δὲ χρεία μικρᾶς δαπάνης, ἢ ὅπλων, ἢ ἄλλης ὕλης, ἐκεῖθεν ἀναλαμβάνωσι τὰς διοικήσεις.

11. Alias præterea naves onerarias, et equiferas parabis, quas impedimentorum loco habebis, quæ apparatum universum militarem gestabunt, ut ne iis rebus triremes aliæ graventur, bellique C potissimum tempore. Ubi autem commeatu aut armis, aut alia materia opus est, inde ad usum suum depromant.

ιβ'. Τὸν δὲ τῶν δρομώνων ἀριθμὸν, καὶ τῶν ἐν αὐτοῖς στρατιωτῶν, ἀνείκαστόν ἐστι καὶ ἄδηλον διορίσασθαι. Ἡ γὰρ κατὰ τὸν καιρὸν χρεία πρὸς τὴν τῶν ἀντιμαχομένων πολεμίων δύναμιν, ὡς ἂν ἀπαιτήσῃ καὶ τὸ πλῆθος τῶν δρομώνων. Καὶ πάλιν τὸν ἀριθμὸν τοῦ ἐν αὐτοῖς λαοῦ κατὰ τὸ μέγεθος τῶν πλοίων, καὶ τὴν δέουσαν ἐν αὐτοῖς πολεμικὴν ὅπλισιν οὕτω καὶ ποιήσεις.

12. Triremium singularum, militumque, qui in illis vehentur, numerum definire facile non est; temporum enim ipsorum opportunitas ad copias hostium expugnandas, tum triremium numerum, tum militum etiam, omnesque res præterea ad bellum necessarias, indicabit.

ιγ'. Προσέτι δὲ καὶ τὰ σκευοφόρα καὶ ἱππαγωγὰ πλοῖα τοὺς ἐν αὐτοῖς ἀρκοῦντας ἕξουσι ναύτας (5), οὐδὲ αὐτοὺς ἀνόπλους. Ἀλλὰ καὶ τόξα ἔχοντας, καὶ σαγίττας, καὶ ῥικτάρια, καὶ εἴ τι χρειῶδες πρὸς πόλεμον ἕτερον, διὰ τὰς ἀναγκαίας περιστάσεις. Ἐπιφερέσθωσαν δὲ καὶ περιττὰ ὅπλα· ποτὲ γὰρ καὶ λειπόντων ὅπλων, ἐκεῖθεν οἱ στρατιῶται πορίσονται. Τὰ δὲ τοιαῦτα πλοῖα καὶ ἅρματα ἐχέτωσαν, καὶ μάγγανα, καὶ τὰ ἄλλα ὅπλα πρὸς χρείαν, εἰ τύχοι, μήποτε ἐπιλείπουσι διὰ τὸ ὀλιγοῦσθαι αὐτὰ ἐν ταῖς μάχαις. Ἐκτὸς δὲ τῶν στρατιωτῶν ἤτοι τῶν ἄνω ἐλατῶν, ὅσοι ἂν εἰσιν ἀπό τε τοῦ κεντάρχου καὶ ἐφεξῆς ἕως τοῦ ἐσχάτου κατάφρακτοι ἔσονται ὅπλα ἔχοντες οἷον σκουτάρια, μέναυλα, τόξα, σαγίττας ἐκ περισσοῦ, σπαθία, ῥικτάρια, λωρίκια, κλιβάνια, εἰ καὶ μὴ ὄπισθεν, ἀλλὰ πάντων ἔμπροσθεν· κασσίδας, χειρό-

13. Naves onerarias, et equestres omnia idonea in se habere oportebit, neque res solum ad navigandum necessarias, sed etiam arcus, sagittas, D jacula, et si quid præterea propter res circumstantes ad bellicum usum pertinet. Afferantur etiam armorum genera permulta, ut defectis sæpe militibus arma inde suppeditentur. Mangana etiam habeant, reliquaque ejus generis arma, ne militibus horum defectu offensiones magnæ fiant. Præter milites autem, et superiores remiges, quicunque cum centurione sunt, reliquique a primo ad extremum, omnes armati sint, et scuta, hastas longiores, arcus, sagittas permultas, spathas, jacula, galeas, thoraces, si non a tergo, ante se saltem habeant; cassides, brachialia, anterioraque corporis omnis in ipsa dimicatione, et concerta-

NOTÆ.

(5) Ἕξουσι ναύτας. Scribebatur, ἔχουσιν αὐτάς.

tione manuum. Qui autem galeas, aut thoraces non habent, omnia hæc ex nervis confecta cum duplicibus cenduclis gestent; et hi a tergo cæterorum locati arcubus utantur, et lapides maniplares, quos cochlaces vocant, in triremibus habeant, quos in hostes conjiciant, ac pro armis utantur; lapides enim arma sunt bona et certa.

ψελα, καὶ μάλιστα οἱ ἔμπροσθεν ἐν τῇ προσβολῇ τῆς μάχης κατὰ χεῖρας συμπλεκόμενοι καὶ ἀγωνιζόμενοι. Οἱ δὲ μὴ ἔχοντες λωρίκια, ἢ κλιβάνια, πάντως φορείτωσαν τὰ λεγόμενα νευρικά· ἅπερ ἀπὸ διπλῶν κενδούκλων γίνεται. Καὶ οὗτοι ὄπισθεν τῶν ἄλλων σκεπόμενοι τόξοις χρήσονται, καὶ λίθους δὲ χειροπληθεῖς πλείστους ἐχέτωσαν ἤτοι κόχλακας ἐν τοῖς δρομωνίοις, ὥσπερ κατὰ τῶν πολεμίων βάλλοντες οὐδὲν ἧττον τῶν ἄλλων ὅπλων ἀνύσουσιν. Ὅπλα γάρ εἰσιν οἱ λίθοι εὐπόριστα καὶ ἀνελλιπῆ.

14. Neque vero sic lapides conjiciant, ut omne virium robur in illis consumant, et de cætero otiose consistant, ne hostes scuta addensantes, et impetum horum excipientes, omnes facile lapides absumant; iis finitis, et conjectoribus lapidum fatigatis, conferti exsurgentes spathis et longis hastis se defendere conentur, et robustiores hoc confecto impetu existimati, et fatigatos milites adorti, facile milites fundant atque expugnent; ita enim solent Barbari facere.

ιδʹ. Μὴ μέντοι οὕτω βαλλέτωσαν τοὺς λίθους μόνον, ὥστε τὴν ἀκμὴν τῆς αὐτῶν δυνάμεως ἐν τούτοις ἐκδαπανῆσαι, καὶ στῆναι τοῦ λοιποῦ, ἢ καὶ τὰ ὅπλα τὰ βαλλόμενα ἀποκενῶσαι, μήποτε οἱ ἐναντίοι σύσκουτα ποιήσαντες, καὶ τὰς βολὰς ὁπωσοῦν δεξάμενοι, εἶτα τούτων πληρωθέντων, καὶ τῶν βαλλόντων ἀποκαμόντων, ἀθρόοι ἀναστάντες ἀπάρξωνται ταῖς σπάθαις καὶ τοῖς μὲν αὔλοις (6) ἀμύνασθαι· καὶ ὥσπερ ἀκμαιότεροι τῇ ἀθρόᾳ κινήσει ἀναφανέντες, καὶ τοῖς κεκμηκόσι στρατιώταις ἐπιτεθέντες ἰσχυρότεροι γένωνται, καὶ ῥᾳδίως αὐτοὺς καταπολεμήσωσι. Φιλεῖ γὰρ τὰ τοιαῦτα τὸ βάρβαρον.

15. Saraceni impetum belli primo excipiunt, ubi hostes jam fatigatos, armisque defectos, aut sagittis, aut lapidibus, aut aliis hujusmodi viderint, tum insultant, et perterrefaciunt hostes, et cominus consertis manibus, spathis, hastisque longioribus fortiter ac impetuose invadunt.

ιεʹ. Ὑπομένουσι γὰρ οἱ Σαρακηνοὶ τὴν βίαν τῆς προσβολῆς. Καὶ ὅταν ἀποκαμόντας ἴδωσι, καὶ τῶν ὅπλων κενωθέντας, ἢ σαγιττῶν, ἢ λίθων, ἢ τινων ἑτέρων, τότε ἀναπηδῶντες ὁμοῦ τε καταπλήττουσι, καὶ ταῖς ἐκ χειρὸς ἀπὸ σπαθίων καὶ μεναύλων προσβολαῖς εὐρώστως καὶ ἀκμαιότερον ἐπέρχονται.

16. Itaque hujusmodi cavenda sunt, ac provisione opportuna efficiendum est ut hostes potius damnosa accipiant, quam exercitus noster ullum damnum accipiat. Robur enim militum, et numerus telorum conjiciendorum dimetiendus est, et ab initio ad finem usque belli hostium constitutio diligenter perspicienda, atque adeo pugna instituenda est.

ιϛʹ. Διὸ φυλάττεσθαι χρὴ τὰ τοιαῦτα, καὶ μετὰ τοῦ δέοντος σκοποῦ ποιεῖσθαι τὴν προσβολήν, ἵνα μᾶλλον οἱ πολέμιοι πάθωσι τὰ πρὸς βλάβην γινόμενα, ἢ οἱ ἡμέτεροι στρατιῶται. Δεῖ γὰρ αὐτοὺς τὴν οἰκείαν ἀκμὴν καὶ τὰς βολὰς φυλάττειν ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς μάχης, καὶ μετρεῖν τῶν ἐναντίων τὴν διάθεσιν, καὶ οὕτως τὴν μάχην διασκευάζειν.

17. Ad hæc, imperator, providebis, ut res necessarias commeatumque milites habeant, ut ne iis rebus defecti, vel seditionem faciant vel nostra in regione municipes et subjectos sub imperium nostrum vexent, et injuriis tyrannideque opprimant, inedia necessitateque compulsi. Atque, si fieri potest, hostilem celeriter populaberis terram, et omnem illis commeatum inde suppeditabis; præfectisque mandabis ut nullum sub dominatu tuo militem injuria afficiat, vel ullum munus ab illo capiat, ne ea quidem quæ consueta munera nominantur. De tua autem dignitate quid dicendum est, qui ne de donis accipiendis cogitare quidem debes, neque donum aliquod ab iis, qui sub te subjecti sunt, sive ditioribus, sive tenuioribus ulla ratione capere?

vexaverit, primus tu temperantiam ac moderationem in victu demonstrato, reliquis militibus leviorem et faciliorem rerum necessariarum perpessionem efficias. Seu in cominus conserendis manibus, a dimicatione teipsum retrahe, ut consilio et descriptione rerum, reliquaque administratione, in ipsa temporis opportunitate exercitum juvare possis. Neque vero incircumspecte aut periculose, nisi si necessitas vehementer urgeat, cum hostibus conseras manus: non enim tantum, quemadmodum supra dixi, pugnando aciem adjuvabis, quantum cadendo lædes. Quod futurum est autem, incertum est.

3. Mores tui et rerum agendarum studium militibus tuis legis vice sint: ita enim, qui tibi subjecti sunt, imperatoris sui virtutem animo repetentes, Deum colent, imperata facient, et ea quasi divinitus proposita explebunt.

4. Ubi militum magna multitudo unum aliquem in locum convenerit, illorum delicta leniter et sedato animo feras, neque judicia nimis severa crudeliaque facias, ut ne communis dolor in magnam perturbationem et ordinis confusionem illos conjiciat, sed pedetentim in auctores horum flagitiorum animadvertere oportet.

5. Sobrius ac vigilans sis, imperator, tum multis aliis de causis, tum vel maxime, ut in victu simplex, in reliqua vita militibus tuis expositus sis. Paternum geras erga illos affectum: cum omni lenitate omnia tum facito, tum dicito, nisi necessaria aliqua causa te ad severitatem vocet. De rebus necessariis semper per te apud illos verba facias. Procurabis etiam, ut nulla cura rerum necessariarum sollicitentur, aut commeatus aliorumque inopia premantur. Neque enim ordine aliquo contineri possunt, nisi hæc necessaria omnia illis ad manum sint. In justis suppliciis inferendis terribilis aliis sis. Initia et causas tumultuum et seditionum præcidas, neque exspectes dum in majus crescant. Hæc enim imperatoria virtus est, constantem et justum militibus videri, et ex suis finibus injustitiam omnem expellere, injurios homines coercere, milites municipesque suos tutos ab aliorum insultibus conservare.

ἀδικοῦντας ἀμύνασθαι καὶ ἀνεπηρεάστους τούς τε τηρεῖν.

6. Neque humanitas neque severitas importuna, sed digna imperatore sit, et omnia opportune dimetiatur, atque ita supplicia inferat, et agentis animum, tempus, locum, modum rei gerendæ, causam, ipsius rei gestæ magnitudinem consideret, et pro istarum rerum ratione puniat.

7. Magna imperatoria laus est, temperantem in victu, et vigilantem esse: noctu enim de rebus gravibus magis deliberamus, faciliusque noctu conclu-

A τῆς ἐγκρατείας τὴν καρτερίαν ἐπίδειξον, ἵνα καὶ τοῖς ὑπὸ χεῖρα κούφην καὶ εὐκολωτέραν τὴν ὑπομονὴν τῆς ἀνάγκης ἐργάσῃ. Ἐν δὲ ταῖς κατὰ τὰς μάχας παραβούλοις ἐκ χειρὸς συμπλοκαῖς φύλασσε σεαυτὸν, ἵνα τῇ μὲν γνώμῃ καὶ τῇ διατάξει καὶ ταῖς ἄλλαις διευθετήσεσιν ἐν αὐτῷ τῷ ὀξεῖ τοῦ καιροῦ συμπαρῇς μὲν, καὶ τῶν τοιούτων ἀγώνων ἐφάπτῃ, μὴ μέντοι ἀφυλάκτως οὕτω καὶ ἐπικινδύνως, ὅτε μὴ τούτου χρεία καλεῖ, διὰ χειρῶν ἐμπλέκῃ τοῖς πολεμίοις. Οὐ τοσοῦτον γὰρ, ὥς μοι καὶ ἄνω που εἴρηται, συμπλεκόμενος ὡς εἷς τῶν στρατιωτῶν ὠφελήσεις, ὅσον εἴ γε συμβῇ τι τοιοῦτον πεσὼν βλάψεις. Τὸ γὰρ μέλλον ἀόρατον.

γ'. Νόμος γινέσθω τοῖς στρατιώταις, ὦ στρατηγὲ, ὁ τρόπος ὁ σὸς, καὶ ἡ περὶ τὰ πρακτέα σπουδή σου. B Οὕτως γὰρ τῆς τοῦ οἰκείου ἄρχοντος ἀρετῆς ὁ ὑποχείριος μεμνημένος, καὶ τὸν Θεὸν θεραπεύσει, καὶ τοῖς κελευομένοις ὑπακούσεται, καὶ ὡς ἀπὸ Θεοῦ ταῦτα δεχόμενος τελέσει.

δ'. Ὅταν τὸ πλῆθος τῶν στρατιωτῶν ἐπὶ ἕνα τόπον συναχθῇ, τότε δεῖ σε τὰ παρ' αὐτῶν ἁμαρτανόμενα μακροθύμως φέρειν, καὶ μὴ τὰς ἐπεξελεύσεις καὶ κατακρίσεις ἀπαραιτήτους ποιεῖσθαι, ἵνα μὴ ἡ κοινὴ λύπη εἰς σύναρσιν καὶ ἀταξίαν συνάψῃ αὐτοὺς, ἀλλὰ κατ' ὀλίγον μᾶλλον κατὰ τῶν προκαταρξάντων τῶν τοιούτων ἁμαρτημάτων ποιεῖσθαι τὴν παίδευσιν.

ε'. Νήφειν καὶ ἐγρηγορεῖν καὶ πρὸς τὰ ἄλλα κελεύομέν σοι, ὦ στρατηγὲ, τὸ δὲ πλέον, ὥστε σε εἶναι C ἁπλοῦν ἐν τῇ διαγωγῇ, καὶ κοινὸν ἐν τῇ διαίτῃ μετὰ τῶν ὑπὸ σὲ στρατιωτῶν. Καὶ πατρικὴν σε ἔχειν στοργὴν πρὸς αὐτοὺς, μετὰ πρᾳότητος καὶ τὰ πράγματα καὶ τοὺς λόγους ποιούμενον, εἰ μή τις ἀναγκαία χρεία καὶ συμφέρουσα πρὸς τραχύτητά σε καλέσει. Χρὴ δὲ καὶ συνεχῶς διὰ σεαυτοῦ τὰ περὶ τῶν ἀναγκαίων αὐτοῖς παραινεῖν καὶ διαλέγεσθαι. Φροντίσεις δὲ καὶ περὶ τῆς ἀπαθείας αὐτῶν καὶ τῆς ἄλλης διοικήσεως καὶ ἀποτροφῆς. Ἐκτὸς γὰρ τούτων οὐ δυνατόν ἐστι κρατῆσαι στρατοῦ κατὰ στάσεως. Ἐν δὲ ταῖς δικαίαις ἐπεξελεύσεσι κατὰ τῶν ἁμαρτανόντων δέον σε φοβερὸν εἶναι, καὶ τὰς ἀρχὰς μάλιστα τῶν ἀταξιῶν ἐκκόπτειν, καὶ μὴ ἀναμένειν, ὥστε ἐπὶ μείζονα ταύτας προκόπτειν. Καὶ γὰρ στρατηγοῦ προτέρημά ἐστι τὸ ἀκατάπληκτον αὐτὸν τοῖς D στρατιώταις φαίνεσθαι καὶ δίκαιον, καὶ τὴν ἀδικίαν ἅπασαν ἀπὸ τῆς ἑαυτοῦ ἐνορίας ἐκκόπτειν. Καὶ τοὺς στρατιώτας καὶ τοὺς συντελεστὰς ἐν πᾶσι δια-

ϛ'. Οὔτε τὸ φιλάνθρωπον ἀκαίρως, οὔτε τὸ ἀπηνὲς ἄξιόν ἐστι στρατηγοῦ, ἀλλὰ τὸ σταθμίζειν ἐν καιρῷ πάντα, καὶ οὕτως ἐπὶ τοῖς ἁμαρτανομένοις ἐπάγειν τὰς τιμωρίας, ἐπιβλέποντα καὶ τὴν τοῦ πράξαντος διάνοιαν, καὶ τὸν καιρὸν, καὶ τὸν τόπον, καὶ διὰ ποίου τρόπου ἐπράχθη, καὶ διὰ ποίαν αἰτίαν· καὶ αὐτοῦ τοῦ πράγματος τὴν ποιότητα, καὶ οὕτως ἐπὶ τὰς δεούσας τιμωρίας ἔρχεσθαι.

ζ'. Μέγα προτέρημα στρατηγοῦ τὸ συμμέτρως διαιτᾶσθαι, καὶ ἀγρυπνεῖν, καὶ ἐν ταῖς νυξὶ μᾶλλον βουλεύεσθαι τὰ περὶ τῶν ἀναγκαίων. Καὶ γὰρ εὐχε-

ῶς ἐν νυκτὶ τελειοῦται βουλή, ὅταν ἡ ψυχὴ ἐκ τῶν ἔξωθεν θορύβων ἠρεμεῖ.

η'. Ἄλλα φήμιζε τοῖς ἐχθροῖς, καὶ ἕτερα πράττε, καὶ τὰ περὶ τῶν ἀναγκαίων κρύπτεσθαι δέοντα μὴ πολλοῖς ἀνατίθου, ἀλλ' ὀλίγοις καὶ τοῖς γνησιωτέροις σου μᾶλλον. Τὸ γὰρ οὕτως ἐξαπατᾷν τοὺς ἐχθροὺς ἀναγκαῖον ἀπεδείχθη πολλάκις.

θ'. Τὸ βουλεύεσθαι βραδέως καὶ ἀσφαλῶς, καὶ ὅσα δόξει τῇ βουλῇ, μὴ ἀναβάλλεσθαι τοὺς καιροὺς διά τινα ὄκνον ἢ δειλίαν, ἀναγκαιότατόν ἐστιν. Ἡ γὰρ δειλία οὐ μόνον οὐκ ἀσφαλὲς πρᾶγμά ἐστιν, ἀλλὰ καὶ τῆς τοῦ καλοῦ ἐναντιώσεως ἐπίνοια.

ι'. Ἴσθι ὅτι τὸ μήτ' ἐπαίρεσθαι ἐν ταῖς εὐτυχίαις μήτε πάλιν καταπίπτειν ἐν ταῖς δυστυχίαις, ἐῤῥωμένου ἐστὶ λογισμοῦ καὶ ψυχῆς ἀνδρείας, καὶ δυναμένης ἀσφαλῶς ἐν τοῖς ἀναγκαίοις πάντοτε πράγμασιν ἐπιβάλλειν.

ια'. Οὐκ ἀναγκαῖόν ἐστιν, ὡς ἡ πεῖρα δείκνυσι, τὸ ταῖς αὐταῖς ἐγχειρήσεσι κατὰ τῶν ἐχθρῶν συνεχῶς κεχρῆσθαι, κἂν πολλάκις δόξῃς ἐν αὐταῖς εὐτυχεῖν. Διὰ γὰρ τῆς συνεχείας προσεπινοοῦντες οἱ ἐχθροὶ τὰ ἐναντία, καὶ κανονίζοντες συμφορὰς πολλάκις προσάγουσι ταῖς τοιαύταις κατ' αὐτῶν ἐπιβολαῖς.

ιβ'. Τὸ διὰ βουλῆς μᾶλλον καὶ στρατηγίας κρατεῖν τῶν ἐχθρῶν, ἀσφαλὲς ἐμοὶ δοκεῖ καὶ ὠφέλιμον, ἢ τὸ χειρὶ βιάζεσθαι καὶ δυνάμει, καὶ πρὸς τὰς κατὰ πρόσωπον μάχας ἀποκινδυνεύειν. Τὸ μὲν γὰρ μεθ' ἑκουσίου γνώμης γίνεται, καὶ ὡς ἂν ὁ προσβαλὼν τὸ συμφέρον γινώσκῃ· τὸ δὲ μετά τινος ζημίας πάντως ἔχειν τὴν ἔκβασιν (19).

ιγ'. Ὑπερτίθεσθαι ἢ ἀναβάλλεσθαι πρὸς τὰ φημιζόμενα κακὰ ἢ δολερὰ καὶ ἐπίβουλα, οὐ δίκαιον, οὐδὲ πρέπον, οὐδὲ καταφρονεῖν αὐτῶν κἄν τε περὶ τῶν ἐχθρῶν λέγωνται, κἄν τε περὶ ἰδίων. Ἀλλὰ μᾶλλον σπουδάζειν σε χρή, ὦ στρατηγέ, μεθοδεύειν καὶ καταπαύειν αὐτὰ πρὶν εἰς ἔργον ἔλθωσιν· ὅτε τάχα οὐδὲ ἀναστέλλειν ταῦτα δύνασαι.

ιδ'. Ποιήσει θάρσος τοῖς στρατιώταις ἐν καιρῷ πολέμου ἀγγελία ἐρχομένη, ὅτι Ἐν ἄλλοις τόποις τοὺς πολεμίους νενικήκαμεν. Οὕτως γὰρ καὶ τὰ δειλὰ φρονήματα διαναστήσονται, καὶ τὰ ἀνδρεῖα μᾶλλον θαρσήσουσιν, ἀγαθὸν σύμβολον τὸ τῆς νίκης ὄνομα καὶ τὴν πρᾶξιν ὡς ἐκ Θεοῦ δεξάμενοι.

ιε'. Ἀπατήσεις μᾶλλον τοὺς πολεμίους, ἐὰν διὰ προσφύγων ἀπὸ σοῦ πρὸς αὐτοὺς ἐναντία φημίσῃς ὧν σὺ βουλεύῃ ποιῆσαι κατὰ τῶν ἐχθρῶν· ἢ γὰρ ἀπιστήσαντες ἀμελήσουσιν, ἢ πιστεύσαντες ἀστοχήσουσιν. Καὶ τὰ μὲν σὰ βουλεύματα τελεσθήσονται, τὰ δὲ ἐκείνων ἄπρακτα ἀποβήσονται.

ιϛ'. Τὸ κρύπτειν τὰ ἀπαγγελλόμενα ἀτυχήματα ὅσα συμβαίνειν εἴωθεν, ὡς εἰκὸς, ἐν πλήθει στρατοῦ καὶ τὰ ἐναντία τῶν ἀληθῶν ποιεῖν ἀπαγγέλλεσθαι, στρατήγημά ἐστιν ἀνδρὸς ἔμφρονος, καὶ ἀνιστᾷν φρονήματα στρατιωτῶν καταπίπτοντα δυναμένου.

ιζ'. Ῥώμην ἐντίθησι στρατηγὸς ἡττηθέντι στρα-

A ditur, quando animus ab omni externo rerum tumultu quiescit.

8. Alia inimicis dicito, alia ipse facito. Res graves atque secretas cum multis ne communices, sed paucis, iisque fidelioribus amicis tuis. Ita enim hostes decipere, sæpe necessarium esse diximus.

9. Tarde ac circumspecte deliberare, et ea quæ deliberata constitutaque sunt, aliqua cunctatione aut formidine non rejicere, necessarium cumprimis est : timor enim non solum tuta res non est, sed etiam rebus bonis inventis adversissima est.

10. Neque rebus prosperis efferri nec adversis dejici, firmi animi constantisque est, qui possit tuto ad omnem rerum eventum consilium ex tempore
B capere.

11. Iisdem aggressionibus hostes semper invadere, quanquam illis sæpenumero feliciter usus sis, utile non est : hostes enim cum te assidue uti iisdem vident, aliquid adversum molientur et excogitabunt, et permulta damna inferent tibi utenti.

12. Consilio et prudentia imperatoria hostes superare potius, quam manu et vi et pugna conserta, tutum mihi videtur esse et utile. Illud enim ex animi sententia, et quemadmodum optimum judicaveris, procedit, hoc autem semper aliqua cum of-
C fensione belli exitum habet.

13. Rejicere bellum aut differre, quoniam fama aliqua mali aut doli aut insidiarum percrebuit, neque justum neque decorum est : neque contra fama hæc omnino contemnenda est, sive de hostibus sive de nostris commemoretur, sed adversum hæc omnia potius aliquid moliendum conficiendumque est, priusquam ea in opus aliquod exeant.

14. Animabit milites magnopere, si belli tempore hic rumor differatur, hostes in aliis lociis a nobis victos esse : ita enim fiet ut timidæ mentes excitentur, et fortes magis exacuantur. Bonum enim omen est victoriæ nomen, et felicitatem ejus a Deo capimus.

D 15. Hostes decipies, si per profugos tuos contraria iis quæ facturus es, aut deliberas facere, narraveris : si enim non credant, negligent : sin credant, ab eo tamen quod tu proposuisti aberrabunt, et consilia quæ tu susceperis proficient, illorum autem conatus irriti erunt.

16. Infortunia, et si quæ alia hujusmodi in exercitu accidunt, occultare, et quæ veris contraria sunt militibus divulgare, consilii imperatorii et prudentis viri est, qui dejectos militum animos sublevare possit.

17. Exercitui jam superato robur afferre poteris,

NOTÆ.

(19) Paragraphus duodecimus in codice Laurentiano anteit undecimum.

si variis modis, spe bona, tum re tum verbo illos pertractes : exprobrare enim et vehementer insultare iis qui jam offensionem acceperunt, animorum debilitationem desperationemque affert, quæ in primis mihi periculosum noxiumque esse videtur.

18. Quando belli tempore a militibus aliquid peccatur, dissimulandum ad tempus et tegendum est; post belli exitum auctores seditionum si cognoscas, pœna illos justa afficias.

19. Militum ignavia dissimulanda, non exprobranda est, ne animi illorum concidant admodum, ac quotidie magis magisque debilitentur.

20. Magnam animi perturbationem hostibus tuis injicies, si post bellum ubi commodissime poteris tuos in prælio cadentes congregaveris, hostium cadavera insepulta jacere permittas, ac secure iterum discedas, si opportunitas talis incidat.

21. Et id clam hostes facere poteris, si ignes multos uno in loco accenderis, et alio in loco ipse requieveris. Hostes enim ad ignes accedent et decipientur, tu vero quod proposuisti efficies.

22. Ut dissensionem et suspicionem inter primarios et optimates belli injicias, quando agros hostium popularis, illorum agros non vastabis, quædam cum illis signa amicitiæ vel per litteras vel aliis modis ostendes. Hoc idem facies si per captivos, quos ad exercitum suum iterum remittis, occulte illis secreta quædam narraveris. Hæc vero si sæpe abs te fiant, quanquam dolus hostibus solum atque illusio fiant, in suspicionem tamen et dubitationem quamdam illorum incidit.

23. Deditionem hostium abs te obsessorum facile comparabis, si sagittis litteras alligaveris quas in civitatem aut munitionem jacies, et libertatem illis securitatemque promittas. Hoc idem feceris si per captivos illis libertatem promiseris.

24. Neque hostium humanitate, neque discessionis et fugæ simulatione decipiaris : dolosa enim hostium sunt consilia, et ad suam utilitatem hostes omnia excogitant. Itaque utilitas illorum tibi magnæ offensioni erit : et dolus illorum, noxa tua erit.

25. Suspiciosum esse debet hostes per ea loca insequi, quæ ad insidias capiendas opportuna sunt : quare recedendum celeriter est, et incursio impetuosior facienda est ad tempus : quod consilium imperatorium laudandum in primis est.

26. Suspicionem timoris habet cunctatio et pallor : ubi igitur tales videris milites, a dimicatione prælii illos semoveas, et ad opus aliquod necessarium faciendum amandabis.

A τῷ, ἐὰν ποικίλοις τρόποις καὶ ἐλπίσιν ἀγαθαῖς διά τε λόγων καὶ δι' ἔργων μεθοδεύσῃ αὐτούς· τὸ γὰρ κατονειδίζειν καὶ ἐπικεῖσθαι τῶν ἡττωμένων τῷ πλήθει, καὶ διὰ τούτων εἰς ἀπόνοιαν αὐτοὺς ἄγειν, σφαλερόν μοι δοκεῖ καὶ λίαν ἐπιβλαβές.

ιη'. Ὅταν ἐν καιρῷ πολέμου παρὰ τῶν στρατιωτῶν ἁμαρτήματα γίνωνται, δέον προσποιεῖσθαί σε ἄγνοιαν αὐτῶν, καὶ τέως αὐτὰ παρορᾷν. Μετὰ δὲ τὸν καιρὸν τῆς τοῦ πολέμου λύσεως τοὺς αἰτίους τῶν στάσεων ὡς ἂν συγγινώσκῃς τὸ δίκαιον ὑπεξέρχου.

ιθ'. Συγκαλύπτειν σοι προσήκει τὰς δειλίας τῶν στρατιωτῶν, καὶ μὴ προχείρως ἐλέγχειν, ἵνα μὴ καταπίπτῃ τὰ φρονήματα αὐτῶν παντελῶς, καὶ ταπεινότεροι ἑαυτῶν ἀποδειχθῶσιν.

κ'. Κατασκευάσεις ἀθυμίαν τοῖς πολεμίοις, ὅταν B ἐν καιρῷ μετὰ τὸν πόλεμον ποιῆσαι δυνηθῇς τὴν ταφὴν ἀφανῶς τῶν ἀπὸ τοῦ σοῦ στρατοῦ πεσόντων, τὰ δὲ σώματα τῶν πεσόντων πολεμίων ἐάσῃς.

κα'. Ἀκινδύνως φεύξῃ, εἴ ποτε καιρός σοι τοιοῦτος γένηται τοὺς πολεμίους λαθεῖν, ἐὰν πυρὰ πολλὰ ἀλλαχοῦ ἀνακαύσῃς, καὶ ἐν ἄλλῳ τόπῳ ἡσυχάσῃς. Οἱ γὰρ πολέμιοι ἐπὶ τὰ πυρὰ χωρήσαντες ἀπατηθήσονται· καὶ σὺ τὸ πρακτέον διανύσεις, καθὼς σοι καὶ ἐν ἄλλοις ὑπεθέμεθα.

κβ'. Ἵνα δὲ διχόνοιαν καὶ ὑπόνοιαν κατασκευάσῃς κατὰ τῶν ἐπισήμων ἀνδρῶν ἐν τοῖς πολεμίοις, ὅταν κατατρέχῃς τὴν πολεμίαν σου χώραν, τὰ ἐκείνων χωρία μὴ ἐμπύριζε, ἀλλά καί τινα σημεῖα φιλίας τῆς πρὸς αὐτοὺς ἢ διὰ γραμμάτων, ἢ δι' ἑτέρου τρό- C που καταλίμπανε. Τὸ αὐτὸ δὲ ποιήσεις, καὶ ἐὰν διὰ τῶν κρατουμένων παρὰ σοῦ αἰχμαλώτων κρυφαίως αὐτοῖς ἐπιτηδεύσῃς δηλοποιεῖν περί τινων ἀποῤῥήτων. Εἰ πολλάκις τὰ τοιαῦτα γεγονότα φανερὰν ἀπάτην δοκεῖ τοῖς πολεμίοις καὶ δόλον γίνεσθαι, ἀλλ' οὖν εἰς ὑποψίαν καὶ διχόνοιαν τὴν περὶ τῶν ἀνδρῶν ἐκείνων πάντως ἐμπέσωσι.

κγ'. Τρόπον εὐπειθείας ὑποδείξω σοι, ὥστε τοῖς πολιορκουμένοις διὰ βελῶν ἀπὸ τόξου πεμπομένων ἐπιστολὰς ἐκπέμπειν, καὶ δι' αὐτῶν ἐλευθερίαν καὶ ἀπάθειαν αὐτοῖς ἐπαγγέλλεσθαι. Τὸ αὐτὸ δὲ ποιήσεις δηλοποιῶν αὐτοῖς καὶ δι' αἰχμαλώτων ἀφέσεως.

κδ'. Οὔτε ταῖς φιλανθρωπίαις τῶν πολεμίων ἐξαπατᾶσθαί σε δέον, οὔτε ἐάν ποτε προσποιοῦνται D ἀναχώρησιν· δολερὰ γὰρ ἀεὶ τῶν ἐχθρῶν τὰ βουλεύματα, καὶ πρὸς τὸ οἰκεῖον συμφέρον ὁ ἐναντίος τὰ πάντα ἐπινοεῖ, ὥστε τὸ ἐκείνου συμφέρον ἀσύμφορόν σοι ἀποδειχθῆναι, καὶ διὰ τῆς ἐναντίας ἀπάτης ἐμποιήσει σοι βλάβην.

κε'. Ὑφορᾶσθαί σε προσήκει τὰς διώξεις τὰς ἀγούσας εἰς χωρία ἐπιτήδεια πρὸς ἐγκρύμματα. Διὸ καὶ τὸ ἀναχωρεῖν εὐκαίρως τὸν στρατηγόν, καὶ πάλιν σφοδροτέραν ποιεῖσθαι τὴν ἐπέλευσιν κατὰ τῶν πολεμίων, μάλιστά ἐστι στρατηγικόν.

κς'. Ὑπόνοια δειλίας ἐστὶν ὄκνος καὶ ὠχρίασις. Ὅταν οὖν τοιούτους ἴδῃς τινὰς τῶν στρατιωτῶν, καὶ πρὸ ἐρωτήσεως, χώριζε αὐτοὺς τῆς ἀναγκαίας ἐγχειρήσεως τοῦ πολέμου, καὶ δεόντως αὐτοῖς ἐπίτρεπε τὰ ἁρμόζοντα πράττειν τῷ τοιούτῳ καιρῷ.

κζ'. Ἴσθι λίαν ἀσφαλὲς καὶ ἐν καιρῷ τάχα φιλίας A ἔνθα ἂν ὑπάρχῃς πλησίον πολεμίων στρατοπεδεύων περιβάλλειν φοσσάτον δι' ὀρύγματος, ἢ κτίσματος λίθου, ἢ πλίνθου, ἢ χάρακα διὰ ξύλων, καὶ οὕτως πέριξ ὀχυροποιῆσαι τὸν στρατόν. Ἐὰν γάρ τι συμβῇ τῶν ἐναντίων, καὶ λέγῃς, ὅτι Τοῦτο οὐκ ὑπενόουν, οὐκ ἔστι στρατηγικόν.

κη'. Ὅταν Θεοῦ διδόντος πόλις παρὰ σοῦ τῶν πολεμίων ἁλίσκεται, ἀνοίγεσθαι συγχώρει τὰς πύλας ὥστε φεύγειν τοὺς πολλοὺς καὶ μὴ χωρεῖν εἰς ἀπόγνωσιν. Τὸ αὐτὸ δὲ καὶ φοσσάτου ἁλισκομένου τῶν ἐχθρῶν παρὰ σοῦ ποιήσεις· ἀναγκαῖα γὰρ εἶναι ταῦτα καὶ ἀκινδυνότερα πρὸς τὴν τῶν ἁλισκομένων κατακράτησιν.

κθ'. Ὑφόρασιν προδοσίας καὶ ὑπόνοιαν δώσεις τοῖς πολεμίοις κατὰ τῶν προσφευγόντων ἀπὸ σοῦ B πρὸς αὐτούς, ὥστε αὐτοῖς ἢ ἀπιστεῖν, ἢ ἀποκτείνειν, ἐὰν γράμματα πέμπῃς καὶ ὡς δῆθεν ἐκπεσόντα τῶν διακομιζόντων τοῖς πολεμίοις ἐγχειρισθῶσιν. Ἐν οἷς ὡς ἐν τάξει ὑπομιμνήσκεις τοῖς προσφύγοις καιροῦ προδοσίας συντεθειμένου καὶ πραγμάτων τινῶν πιθανῶν. Ἐντεῦθεν γὰρ ἢ κατασχεθήσονται οἱ προσφυγόντες, ἢ ἀπιστηθήσονται, καὶ φοβηθέντες πάλιν ὑποστρέψουσι πρὸς τὰ ἴδια.

λ'. Καὶ ἑτέρως δὲ τὴν τῶν δειλῶν διάκρισιν ἐν τοῖς ἀναγκαίοις καὶ αἰφνιδίοις ἐγχειρήμασι ποιήσεις, ἐὰν τοὺς ἀῤῥώστους ἢ τοὺς κεκτημένους ἵππους ἀδυνάτους προστάξεις χωρίζεσθαι ἰδίως· οἱ γὰρ δειλοὶ ἢ ἀῤῥωστίαν προσποιούμενοι, ἢ τῶν ἵππων ἀσθένειαν, εὐθέως χωρισθήσονται τῶν ἀναγκαίων τοῦ C πολέμου ἐγχειρήσεων. Τοὺς δὲ τοιούτους ἢ εἰς παραφυλακὴν κάστρου, ὡς ἄνω που εἴρηται ἡμῖν, ἢ εἰς ἄλλων ὀχυρωμάτων, ἢ εἰς ἑτέρας ἀκινδύνους χρείας διατάξας ἐκπέμψεις, ἵνα μὴ τῇ δειλίᾳ καὶ τοὺς ἀνδρείους μολύνωσιν. Εἰ δὲ τῆς παρατάξεως ἱσταμένης πρὸς μάχην παραυτὰ κηρύξεις, Ὁ βουλόμενος πρωτοστάτης ὑποχωρείτω, καὶ ὁ βουλόμενος ἀντ' ἐκείνου εἰσίτω, οὐ μόνον τοὺς δειλοὺς τότε νοήσεις, ἀλλὰ καὶ τοὺς ἀνδρείους ἀναμάθῃς. Οἱ μὲν γὰρ δειλοὶ καὶ τὸ ἄρχειν προδώσουσιν ὑπὲρ τοῦ μὴ κινδυνεύειν, οἱ δὲ ἀνδρεῖοι μετὰ τοῦ ἄρχειν καὶ τὸ συγκινδυνεύειν αἱρήσονται.

λα'. Ἀκμὴν καιροῦ ἐπιτηρεῖν σε δέον, μὴ παρούσης ἀνάγκης, καὶ οὕτως ἐκστρατεύειν κατὰ τῶν πολεμίων, ἵνα καὶ σὺ περὶ τὴν δαπάνην μὴ στενοῦσαι, D καὶ οἱ πολέμιοι πλέον λυποῦνται τῶν καμάτων αὐτῶν ληϊζομένων.

λβ'. Ἱκανά σε χρὴ φυλακὴν περιποιεῖσθαι καὶ μετὰ τὴν τῶν πολεμίων σου νίκην, καὶ μὴ ἀμελῶς ἔχειν, ἀλλὰ φυλάττεσθαι τὰς αἰφνιδίους ἐπελεύσεις τῶν ἡττηθέντων· οὐ γὰρ ἠρεμεῖ τὸ ἀντίπαλον ἀεὶ, ἀλλὰ τὴν οἰκείαν ἧτταν πολλάκις ἀναμαχήσασθαι προθυμότερον γίνεται.

λγ'. Τῶν ἐναντίων τοὺς πρεσβευτὰς ὑβρίζειν οὐ δίκαιον, οὐδ' ἂν πολὺ προέχωμεν τῇ δυνάμει. Φιλίας γὰρ τρόπῳ παραγίνονται, καὶ λόγῳ ἀτρέπτῳ ὑπὸ τὰς χεῖρας ἑαυτοὺς τὰς σὰς καταπιστεύουσιν, εἰ καὶ παρὰ πολεμίων ἀποστέλλονται. Τὰ οὖν ὅσια ἐπὶ ἑκάστῳ καὶ πρέποντα παραφυλακτέον. Εἰ μὴ

27. Castra munire semper tutum est, et amicitiæ pacisque tempore. Si prope hostes fueris, fossatum circumducito vel ex lapidibus vel ex lateribus circumvallatum, et ita castra tua in tuto ponas. Si enim aliquid adversum contingat, minus imperatorium erit dicere aliquando, Non putaram.

28. Quando sine deditione hostium civitas aliqua aut munitio capiatur, jube aperiri portas ut multi aufugiant, et non in summam animi desperationem cadant. Hoc idem fossato hostium capto præstabis. Necessarium autem hoc est et securum in primis ad captivos retinendos.

29. Suspicionem proditionis et opinionem falsitatis injicies hostibus de iis, qui abs te ad eos profugerunt, ut illis vel diffidant, vel interficiant, si litteras ad eos miseris, ut statim post has litteras perlatas hostes invadant, et proditionis tempus inter te et profugos cæteraque probabilia constituta videantur. Hoc pacto fiet, ut in custodia teneantur profugi, vel ut fides illis non habeatur, vel ut ad te iterum redeant.

30. Timiditatem militum tuorum aliqua necessaria et nec opinata incursione hoc modo explorabis, si infirmos et eos qui debiles equos habent jubebis ab aliis separari : timidi enim vel valetudinem, vel equorum imbecillitatem simulabunt, atque adeo ab hac bellica incursione separabuntur. Tales vel ad castelli, vel ad alterius munitionis custodiam, vel ad alios usus securos emittes, ut ne ignavia sua etiam strenuiores milites labefactent. Sin acie jam instructa ad prælium mandaveris, ut qui præstes discedere vult discedat, et qui vult in illius locum ingrediatur, non modo timidos milites cognosces, sed etiam fortes strenuosque scies. Timidi enim initio prodent se priusquam bellum incipiat, fortes autem post bellum incœptum simul periclitari cupient.

31. Temporis opportunitas, nisi aliter necessitas urgeat, abs te conservanda est, atque adeo hostes invadas, ut neque tui commeatu deficiantur, et hostes magis vexentur omni labore, et agris jam depopulatis.

32. Victis jam hostibus idonea abs te custodia ad tuos defendendos collocanda est : vitamdæ enim subitæ incursiones hostium sunt : non enim quiescunt hostes ullo tempore, sed belli offensionem, occasionem sibi ad res melius et cautius gerendas accipiunt.

33. Hostium legati, quamvis magnitudine copiarum admodum valeas, abs te minime violandi sunt : sociali enim modo adsunt tibi, et quanquam ab hostibus mittuntur, seipsos tamen quodammodo in manus tuas tradunt. Sanctum et justum quod est, erga omnes servandum est. Alias enim de sua

salute laborantes legati nunquam ad te venient, et A legationis genus ipsum apud omnes nationes minus usitatum erit.

34. Quando magnis cum copiis civitatem aut castellum obsides, castra tua haud munita custodiis relinquere non oportet, neque solo vallo aut fossis contentum esse, sed et excubias habeas accuratas, et exercitus tuus ad portas civitatis sedeat, propter excursiones quæ e portis fiunt, et propter irruptiones quæ ab externis locis eo confluunt.

35. Proditores quidam persæpe in exercitu tuo esse timentur. Ut igitur ex iis utilitatem capias, percommodum fuerit contraria eorum quæ facturus es illis narrare, ut hoc modo deceptis hostibus, B facilius et melius consilia tua procedant.

36. Sine ingenti utilitate aut necessitate periculum ingrediendum non est. Qui enim talia suscipiunt pericula, similes hominibus sunt qui auri impostura inescantur, et propter coloris solum suavitatem aurum hoc possidere vehementer cupiunt.

37. Vigilans et sobrius in omnibus rebus gerendis, et adversus omnes hostium aggressiones sis, ut neque intermissionis belli tempus socordiæ tempus putes, neque ante pacis perfectæ tempus ullam rem tibi negligendam arbitreris, sed hostium insidias sedulo vitabis, et prudenter illorum perfidiam qualis sit cogitabis: ubi enim malum acceperis, hæc sera pœnitentia nullum momentum C afferre potest.

38. Qui ad te ab hostibus profugerunt, facile tibi hostium consilia nuntiare possunt: sed certius cognosces, si qui in incursionibus abs te capti sunt, ad te de hostibus aliquid referant. Quod si quæ a transfugis et captivis dicuntur conveniant, veritatem magis eorum quæ quæruntur intelliges.

39. Nullo modo nullave de causa jusjurandum hostibus firmatum violes: magnum enim malum perjurii crimen est. In quibus enim rebus Deus intercedit, firma necesse est pacta esse. Ignominia D enim magna est Romanis ac Christianis, si cum reliquæ nationes jusjurandum fidemque conservent, ii perfidi Deo intercedente ac mediatore deprehendantur.

40. Vallo aut fossato circumseptus, si quando res exigat, ne in sola munitione spem salutis reponas, quasi ad te defendendum idonea, sed secundum Deum armis tuis confidas: neque quamvis tutissimo in loco fueris, cætera arma contemnas, si vere Romanus sis. Prima enim, et extrema vero militi salus erit armorum suorum

γὰρ τοῦτο φυλάττηται, ἀπιστοῦντες οἱ πρέσβεις ἑκάστου ἔθνους τὴν ἑαυτῶν σωτηρίαν οὐδέποτε πρεσβεύσουσιν (20), καὶ πολλῶν τῶν ἐκ τῆς πρεσβείας ἀγαθῶν τοῖς ἔθνεσι γινομένων ἑκάστοις ἀποστέρησις ἔσται.

λδʹ. Ὅταν πολλῇ δυνάμει πόλιν ἢ φρούριον πολιορκῇς, οὐ δεῖ σε ποιεῖν ἀφύλακτον τὴν στρατοπέδειαν, οὐδὲ μόνῳ τῷ χάρακι ἢ ταῖς φόσσαις ἀρκεῖσθαι εἰς ἀσφάλειαν, ἀλλὰ καὶ βίγλας ἔχειν ἀσφαλεῖς, καὶ παρὰ τὰς πόρτας τῆς πόλεως ἐγκαθίζειν, διὰ τὰς ἀπ' αὐτῆς ἐκ τῶν πορτῶν καταδρομὰς, μάλιστα δὲ κατὰ τὰς ἀπὸ τῶν ἔξωθέν ποθεν ὑφορωμένας προσβολάς.

λεʹ. Ὑποπτεύονται τινες προδόται καὶ παρὰ σοὶ πολλάκις ὄντες. Ἵνα δὲ καὶ ἐκ τῶν τοιούτων ὠφέλειαν σεαυτῷ περιποιήσῃ, τὰ ἐναντία ὧν βουλεύῃ λέγε πρὸς αὐτοὺς, ὥστε δι' αὐτῶν ἐξαπατωμένων τῶν πολεμίων εὐχερέστερον κατορθοῦνται τὰ σὰ βουλεύματα.

λϛʹ. Ἄνευ ὠφελείας ἢ ἀνάγκης ἐπί τινι πράγματι οὐ δέον παρακινδυνεύειν. Οἱ γὰρ τοιούτοις ἐπιχειροῦντες κινδύνοις οὐδὲν διαφέρουσιν ἀνθρώπων τῶν ἀπάτῃ χρυσοῦ δελεαζομένων, καὶ διὰ τὸ τὴν εὔχροιαν μόνον ὁρᾷν τὴν κτῆσιν αὐτοῦ ἔχειν ἀγωνιζομένων.

λζʹ. Γίνου πάντοτε νήφων καὶ ἐγρηγορὼς πρὸς τὰς τῶν πολεμίων ἀντικαταστάσεις, ὥστε μηδὲ τὸν τῆς ἀνοχῆς τοῦ πολέμου καιρὸν ποιεῖσθαι ἀμελείας καιρὸν, μηδὲ πρὸ καιροῦ εἰρήνης βεβαίας γενομένης καταμελήσῃς· ἀλλὰ πάντοτε τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς φυλάττου, καὶ ἀσφαλῶς κατανόει τὸ τούτων ἄπιστον· μετὰ γὰρ τὸ παθεῖν ἡ μεταμέλεια οὐδεμίαν τίκτει ὠφέλειαν.

ληʹ. Ἱκανοὶ μὲν ἴσως καὶ οἱ προσφεύγοντες ἀπὸ τῶν πολεμίων παρασχεῖν σοι πίστιν περὶ τῶν ἐρωτωμένων αὐτοῖς. Ἀλλὰ μᾶλλον ἀσφαλέστερον ἀναμάθοις τὰ παρὰ τῶν ἐξ ἐπιδρομῆς ἀθρόως κρατουμένων λεγόμενα· καὶ γὰρ ὅταν ἀμφότερα τά τε παρὰ τῶν αὐτομόλων, καὶ τὰ παρὰ τῶν αἰχμαλώτων λεγόμενα συμβαλὼν διακρίνῃς, τότε τὸ ἀληθὲς μᾶλλον γνώσῃ περὶ ὧν ἐπιζητεῖς.

λθʹ. Οὐδενὶ τρόπῳ, οὐδὲ οἱαδήποτε προφάσει τὸν πρὸς τοὺς πολεμίους ὅρκον παραβήσῃ ποτέ· μέγα γὰρ κακὸν ἐπιορκίας ἔγκλημα. Ἐν οἷς γὰρ Θεὸς μεσιτεύει, βέβαια (21) χρὴ μένειν τὰ συντιθέμενα. Αἰσχύνη γὰρ Ῥωμαίοις καὶ μάλιστα Χριστιανοῖς, τῶν ἄλλων ἐθνῶν τὰς οἰκείας πίστεις τηρούντων, τούτους ἀπίστους περὶ τὰ συμφωνούμενα ὑπὸ Θεῷ μεσίτῃ ἐλέγχεσθαι.

μʹ. Ὑπὸ χάρακός ποτε ἢ φοσσάτου περιφρουρούμενος, ὅτε καλέσει καιρὸς, μὴ τῷ τοιούτῳ μόνον ὀχυρώματι τὰς ἐλπίδας τῆς σωτηρίας καταπίστευε, ὡς ἑτοίμῳ ὄντι πρὸς παράληψιν, ἀλλὰ μετὰ Θεὸν καὶ ἐν τοῖς ὅπλοις ἔχῃς τὴν πεποίθησιν, καὶ μὴ τούτων ἀμέλει διὰ τὴν ἄλλην φρουρὰν, εἴγε Ῥωμαῖος ὑπάρχεις ἀληθής. Πρώτη γὰρ σωτηρία καὶ τελευταία τῷ

NOTÆ.

(20) *Πρεσβεύσουσιν*. Scribebatur, πρεσβεύουσιν.
(21) *Βέβαια*. Scribebatur, βίβαι.

ἀληθινῷ στρατιώτῃ ἡ τῶν ὅπλων ἐστὶν ἐπιμέλεια καὶ μεταχείρισις, τὰ δὲ ἄλλα καὶ τοῖς χυδαίοις τῶν ὄχλων ἐπινοεῖται πολλάκις. Καὶ γὰρ καὶ τοῖς πάλαι Ῥωμαίοις κατ' ἀρχὰς ἀντὶ τειχῶν τῇ Ῥώμῃ φόσσαν καὶ τὰ ὅπλα χρηματίζειν λέγεται. Καὶ Λακεδαιμονίων ποτὲ στρατιώτης ἐρωτώμενος, Ποῦ οἱ τῆς γῆς ὑμῶν ὅροι, λέγεται εἰπεῖν, Ὧδε, δείξας τὸ ἐν τῇ χειρὶ κατεχόμενον δόρυ.

μα'. Παρακελεύου τοίνυν τοῖς στρατιώταις, οὕτως εἶναι παρεσκευασμένους ἀεὶ (22) ὡς καὶ ἐν ἑορτῇ καὶ ἐν ὄμβρῳ, καὶ ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ, καὶ ὅταν ἡ χρεία καλέσῃ, μέλλειν αὐτὸν ἐξιέναι κατὰ τῶν πολεμίων· διὰ τοῦτο γὰρ ἐπὶ τὸν τοιοῦτον καιρὸν οὐδ' ἡμέραν αὐτοὺς δεῖ προλέγειν ὡρισμένην, διὰ τὸ ἑτοίμους αὐτοὺς εἶναι διὰ παντός.

μβ'. Νίκης σοι παρὰ Θεοῦ ἐν δημοσίᾳ μάχῃ παρεχομένης, ἐὰν συμβῇ τοὺς ἀντιπάλους ἢ ἐν χάρακι ἢ ἐν ἑτέρῳ ὀχυρῷ τόπῳ καταφυγεῖν, μὴ ἐνδώσῃς αὐτοῖς καιρὸν ἀνέσεως, ἀλλὰ τοῦ φόβου νεάζοντος αὐτοῖς ἐπέρχου καὶ ἐπιτίθου, ἵνα μὴ τῇ ἐνδόσει ἀσφαλέστεροι γενόμενοι θαῤῥήσωσι τὴν ἧτταν αὐτῶν ἀναμαχήσασθαι.

μγ'. Ἐάν τινες ἱκέται προσφεύγωσιν ἀπὸ τῶν πολεμίων πρὸς σὲ, μὴ ὡς ἔτυχε τούτους προσδέχου· πολλάκις γὰρ ὑπὸ τῶν ἐχθρῶν πέμπονται δόλῳ ὡς ἱκέται καί τινων δεόμενοι, καὶ οὕτως τοῖς δεξαμένοις ἐπιβουλεύουσιν.

μδ'. Ὑπονοεῖν δεῖ καὶ παραφυλάττειν ἀσφαλῶς τοὺς προσρυομένους ταῖς πολιορκουμέναις ἡμῶν πόλεσι παρὰ τῶν ἐχθρῶν, διὰ τὸ μὴ παρ' αὐτῶν τινα βλάβην ὑποστῆναι· πολλάκις γὰρ ἐμπρησμοὺς ποιοῦσιν, καὶ τῶν ἔσωθεν ἀνθρώπων περὶ τοὺς ἐμπρησμοὺς ἀσχολουμένων, ἔξωθεν οἱ πολέμιοι ἀδεέστερον ἐπιτίθενται.

με'. Μάχης προκειμένης ἐὰν ἄρα δοκιμάζῃς ἀξιόμαχος εἶναι τῶν ἐχθρῶν, ὦ στρατηγὲ, ἐν τῇ ἐκείνων χώρᾳ τὴν μάχην ἐπιτηδεύσεις· τοῦτο γὰρ μᾶλλον ἁρμόδιον ἤπερ ἐν τῇ ἰδίᾳ· τῶν γὰρ ἐν τῇ πολεμίᾳ γῇ μαχομένων καὶ τὰ φρονήματα μείζονα γίνονται, καὶ ὁ ἀγὼν οὐχ ἔστι ὡς ὑπὲρ τοῦ ἰδίου ἔθνους μόνου πρόκειται αὐτοῖς ὁ τοῦ πολέμου, ἀλλὰ καὶ ὑπὲρ τῆς αὐτῶν σωτηρίας. Καὶ γὰρ οἴδασιν, ὡς ἐὰν μὴ στεῤῥῶς ἀντικαταστάντες εἰς φυγὴν ἐν τῇ πολεμίᾳ γῇ τραπῶσιν, ἀνέλπιστος αὐτοῖς ἡ σωτηρία γίνεται, ὅπερ ἐν τῇ ἰδίᾳ γῇ πολεμούντων αὐτῶν γίνεσθαι οὐκ ἀναγκαῖον. Καὶ γὰρ καὶ φυγόντες, ἐλπίζουσιν ἀκινδύνως σωθῆναι, καὶ ὀχυρωμάτων ἐπιλαβέσθαι ἐν οἷς σωθήσονται· καὶ διὰ τοῦτο γενναίως ἀντιστῆναι τοῖς πολεμίοις οἱ στρατιῶται μὴ συγχωρούμενοι εἰς φυγὴν ἀκίνδυνον συνωθοῦνται ἐλθεῖν.

μς'. Ἀεί τι πραττέτωσαν οἱ στρατιῶται, ὅταν μὴ ὁ πόλεμος ἐνοχλῇ, καὶ μὴ ἀργείτωσαν· ἡ γὰρ ἀργία στρατιώταις συντρεφομένη ταραχῆς ὑπάρχει γεννητική.

μζ'. Τὸ θεραπεύειν τὸ Θεῖον διὰ παντὸς χρεὼν

A cura, et conservatio : reliqua omnia præ hoc plebeia et vulgaria existimanda sunt. Antiquos enim Romanos murorum vice fossam, et arma usurpasse legimus. Et Lacedæmonius miles olim interrogatus, ubi ditionis suæ termini essent, dixisse fertur, Hic, hastam vibratam manu ostendens.

41. Adhortaberis milites semper, ut ita parati sint, ut omni tempore, sereno, pluvio, noctu, interdiu, ubi usus fert, adversum hostes instruantur : talibus enim temporibus ne horam quidem aliquam constitutam assignare oportet, ut in promptu omnino sint.

B 42. Victoria tibi in publico prælio a Deo objecta, si forte hostes, vel ad vallum vel ad aliquem munitum locum confugiant, nullum relaxandi tempus illis tribue, sed terrore recente impendente illos adoriaris, ne relaxatione aliqua illis concessa, firmiores et paratiores fiant ad victoriam amissam quantum possunt recuperandam.

43. Si qui servi hostium ab illis ad te confugerint, ne quosvis statim recipias : sæpe enim ab hostibus dolo mittuntur quasi servi et cæterarum rerum egentes, atque adeo illis, qui se recipiunt insidiantur.

44. Cavendum sedulo observandumque est ab iis, qui ab hostibus ad obsessas urbes vestras

C dilabuntur : sæpe enim hujusmodi civitates solent incendere, et civibus in restinguenda flamma occupatis, obsessores civitatem melius invadunt.

45. Bello proposito si speraveris te habilem ad oppugnandos hostes esse, illorum in regione prælium committas : hoc enim magis idoneum erit, quam si in tua ipsius regione pugnes, et animos tuorum strenuiores facit : et de sua natione bellum non erit, sed de sua ipsorum salute. Noverunt enim se, si non strenue atque alacriter in bello cum hostibus dimicent, in fugam vertendos esse, et de salute sua nullam spem esse posse. At regione in sua contra sperant : nam et fuga salutem

D quærere se posse sperant, et ad munitiones venire, quibus serventur : atque adeo cum strenue hostibus resistere non necesse habent, ad fugam securam se convertunt.

46. Ubi belli nulla perturbatio est, non otio torpescant milites, sed hæc agant potius : otium enim militibus magnarum seditionum et turbarum causa est.

47. Colendus omnino Deus est. Bellorum autem

NOTÆ.

(22) Post ista, παρεσκευασμένους ἀεί, typotheta omisit, ὡς ἐν ἑορτῇ, καὶ ἐν ὄβρῳ. Scribe vero, ἐν ὄμβρῳ. Sed nec illud, ἐν ἑορτῇ, istius loci videtur : nam ἑορτὴ καὶ ὄμβρος, non sunt ἀντίθετα, ut ἡμέρα καὶ νύξ.

in exordiis maxime illum veneraberis : si enim illum colueris pure ac religiose, sicuti fas est, in omnibus periculis et perturbationibus supplicabis illi quasi amico, et salutem ab illo comparabis.

48. Vigilans imperator, et exercitum suum contentione corporis, et laboribus occupatum tenens, minus omnibus periclitabitur.

49. Milites in prælium educendi non sunt priusquam illorum periculum feceris, sed cognoscendus unusquisque miles est, quam ad rem, et qua in acie sit utilis, itaque instruendus est.

50. Hæc sola adversus hostes deliberabimus quæ incognita illis sunt, antequam a nobis gerantur : si enim aliquam harum rerum notitiam habeant, facile adversus conatus nostros aliquid molientur.

51. Dolis, incursionibus, fame, hostes lædendi vexandique sunt, et crebrioribus aggressionibus insultibusque adoriendi : neque ad commune publicumque prælium evocandi, ubi valere fortunæ instabilitas solet, potius quam ulla virtutis constantia.

52. Milites laboribus assuefacti strenuiores in dies fiunt, otiosi autem magis ac magis debilitantur. Efficiendum igitur est ut laboribus exercitati sint, quemadmodum tibi alias præscripsimus.

53. Ad omnes vitæ partes, præterquam in bello, incallidum te esse præcipimus. Ibi autem, et in iis te imperatoriis consiliis dolus adjuvat, ubi hostes eo decepturus es.

54. Cognosce, et expende tuas vires, atque hostium diligenter : hoc si feceris, imperator, et singula diligenter fideliterque perlustraveris, ægre in bellicis rebus superaberis, aut expugnaberis.

55. Fortitudine ac instructione militari longe majores res in bello geruntur, quam multitudine militum ignavorum confusa.

56. Locorum situs sæpe pugnantes vehementer juvant, et imbecillioribus victoriam promovent. Itaque iis in locis te ad pugnandum præpares in quibus cognoveris exercitum tuum meliores partes, hostium autem deteriores habiturum.

57. Imperatoris solertia generosos milites reddit : natura enim paucos fortes creat; cura autem, et industria, si imperatoria solertia adjungatur, multos strenuos facit.

58. Bonum mihi videtur esse justam habere causam bellandi; nam qui injuriam illatam propulsat, hic justus est, et divinam justitiam adjutricem ha-

ἐστιν. Μάλιστα δὲ τοῦτο θεραπεύσεις, ὦ στρατηγὲ, τῶν πολεμικῶν κινδύνων ἀπάρχεσθαι μέλλων· ἐὰν γὰρ γνησίως τότε τὸν Θεὸν θεραπεύσῃς, τάχα θαῤῥήσεις ἐν τοῖς δεινοῖς ὡς πρὸς φίλον σοι τοῦτον τὰς ἱκεσίας ποιεῖσθαι, καὶ τὴν σωτηρίαν μετὰ παῤῥησίας ἐπιζητεῖν.

μη'. Ὁ συναγρυπνῶν τῷ στρατεύματι στρατηγὸς, καὶ πλέον πονῶν ἐν τῷ γυμνάζεσθαι τοὺς στρατιώτας, ἧττον εἶναι οὐ κινδυνεύσει κατὰ τὸν πόλεμον.

μθ'. Στρατιώτας ἐξάγειν ἐπὶ μάχην ἐκείνους οὐ δέον, ὧν μὴ πρότερον εἴληφας τὴν πεῖραν ἱκανὴν ἐπὶ ἀνδρείαν, τυγχάνουσαν· ἀλλὰ δεῖ σε γινώσκειν, εἰ δυνατὸν, ἕκαστον τῶν στρατιωτῶν ἐν ποίῳ πράγματι καὶ ἐν ποίῳ τάγματί ἐστιν ἁρμόδιος, καὶ οὕτως αὐτοὺς διατάττειν.

ν'. Ταῦτα μόνα καλῶς βουλευσόμεθα κατὰ τῶν πολεμίων, ὅσα πρὶν ἢ πράξομεν ἠγνόησαν ἐκεῖνοι· ἐὰν δὲ τούτων τὴν γνῶσιν λάβωσιν, ταχέως κατὰ τῶν βουλευμάτων ἡμῶν μεθοδεύσουσιν.

να'. Ἢ δόλοις ἢ ἐπιδρομαῖς, ἢ λιμῷ τοὺς πολεμίους βλάπτειν καλόν ἐστιν, καὶ λυπεῖν αὐτοὺς κατὰ μακρὸν διὰ συχνοτέρων ἐπαγωγῶν καὶ ἐπιτηδεύσεων· οὐχὶ δὲ πάντως ἐπὶ δημόσιον ἐγκαλεῖσθαι πόλεμον, ἔνθα πολλάκις τὸ πλέον ὁρῶμεν τῆς τύχης προτέρημα, ἢ τῆς ἐπιδεικνυμένης ἀνδρείας.

νβ'. Στρατιῶται πρὸς πόνους γυμναζόμενοι προκόπτουσιν εἰς ἀνδρείαν. Ἀργοῦντες δὲ νωθροὶ καὶ ἀσθενεῖς μᾶλλον γίνονται. Διὸ φροντίσεις μὴ ἀργεῖν αὐτοὺς, ἀλλὰ πρὸς τὰς γυμνασίας πονεῖν, καθὼς σοι καὶ ἐν ἑτέροις διεταξάμεθα.

νγ'. Ἄδολον μὲν ἐν τοῖς ἄλλοις ἅπασι διαζῇν σε παρακελευόμεθα, ἐν δὲ τοῖς κατὰ πόλεμον στρατηγήμασι μόνοις καὶ δόλος ὠφελήσει πολλάκις, ὅταν τοὺς ἐχθροὺς καὶ πολεμίους ἐξαπατᾷν μέλλῃς δι' αὐτοῦ.

νδ'. Γίνωσκε καὶ σύγκρινε τάς τε σὰς δυνάμεις, καὶ τὰς τῶν πολεμίων, ὅπως ἔχουσι. Τοῦτο γὰρ ποιῶν στρατηγὸς, καὶ ἀνακρίνων κατὰ μέρος τάς τε τῶν οἰκείων καὶ τὰς τῶν πολεμίων ἀρετὰς, δυσκόλως ἐν τοῖς κατὰ πόλεμον ἔργοις σφαλήσεται.

νε'. Ἴσθι ἀκριβῶς, ὦ στρατηγὲ, ὅτι ἀνδρεία μᾶλλον καὶ τάξις στρατηγικὴ οἴδασιν ἐν πολέμῳ εὐεργετεῖν, ἢ πλῆθος τῶν μαχομένων ἄνανδρον καὶ ἄτακτον.

νς'. Αἱ τῶν τόπων θέσεις πολλάκις μεγάλα τοὺς μαχομένους ὠφέλησαν· καὶ γὰρ ἐνίοτε καὶ τοὺς ἀσθενεστέρους καλλίονας ἔδειξαν, διὸ χρή σε μάλιστα τοιούτοις τόποις ἁρμόζεσθαι πρὸς μάχην, ἐν οἷς ἂν γινώσκῃς τὸν μὲν σὸν στρατὸν προτερῆσαι, τὸν δὲ τῶν πολεμίων ἐλαττωθῆναι.

νζ'. Σρατηγοῦ ἀγχίνοια γενναίους τοὺς στρατιώτας ποιεῖ. Ἡ μὲν γὰρ φύσις ὀλίγους ἀνδρείους ἀπογεννᾷ, ἡ δὲ ἐπιμέλεια καὶ γυμνασία μετὰ στρατηγοῦ φρονήσεως γινομένη πολλοὺς χρησίμους ἀποδεικνύει.

νη'. Καλόν μοι δοκεῖ δικαίαν εἶναι τὴν ἀρχὴν τοῦ πολέμου. Ὁ γὰρ τοῖς ἀδικήσασιν ἀνταμυνόμενος οὗτος δίκαιός ἐστιν καὶ τὴν θείαν ἔχει δι-

καιοσύνην βοηθόν τε [καὶ σύμμαχον κατὰ τῶν ἀδίκων ἐκστρατευόμενος. Ὁ δὲ πρῶτος κατάρξας ἀδικίας παρ' αὐτῆς τῆς θείας δίκης ἀφαιρεῖται τὴν νίκην.

νθ'. Ἀσφαλῶς δίωκε τοὺς πολεμίους μετὰ νίκην, ὦ στρατηγὲ, καὶ μὴ διεσπαρμένως ἐπέρχου, μάλιστα συντεταγμένοις ἐκείνοις. Ὁ γὰρ τοῦτο ποιῶν, τὴν ἑαυτοῦ νίκην τοῖς πολεμίοις προδίδωσι. Καὶ γὰρ ἀντιστρέψαντες μετὰ συντάξεως οἱ ἐχθροὶ κατὰ τοῦ ἀσυντάκτως καὶ διεσπαρμένως διώκοντος, ῥᾳδίως σου περιγένωνται, καὶ πρὸς τὸ ἐναντίον ἀντιπνεύσουσι τὴν κατ' αὐτῶν μάχην.

ξ'. Ἰσχύσεις μᾶλλον, ὦ στρατηγὲ, κατὰ τῶν σῶν πολεμίων, ὅταν ἀφορᾷς (23) πρὸς τὴν ποιότητα τῶν καιρῶν καὶ τῶν τόπων καὶ τῶν ἀντιμαχομένων ἐχθρῶν. Καὶ οὕτως πρὸς τὴν ἑκάστου χρείαν ταῖς οἰκείαις τέχναις καὶ μεθόδοις συγκέχρησαι.

ξα'. Οὔτε συνάγειν ὁμοῦ βουλῆς ἕνεκα τὸ στράτευμα πρέπον ἐστὶν, οὔτε συνεχῶς καλεῖν τὸν στρατηγὸν πρὸς ἑαυτὸν ἀργοῦντας καὶ πρὸς μηδὲν ἀσχολουμένους ἕτερον· ταῦτα γὰρ ἀκαίρου μελέτης καὶ στάσεως αἴτια τοῖς στρατεύμασι γίνεται.

ξβ'. Μεγάλη σύνεσις στρατηγοῦ, ὅταν χρῆται μὲν συμμάχοις μετρίοις εἰς τὴν ἑαυτοῦ χώραν, ἀλλὰ μὴ πλέον τῆς οἰκείας δυνάμεως, τούτους εἰσάγων μάλιστα, δυσμενεῖς ποτε τοὺς τοιούτους ἔσεσθαι ἐλπιζομένους, μήποτε συμφρονήσαντες ἀντάρωσι καὶ τῆς χώρας κρατήσωσιν, δι' ἣν εἰς (24) συμμαχίαν ἐκλήθησαν. Οἱ γὰρ ἕνεκεν χρημάτων ὑπὲρ σοῦ κινδυνεύειν ἑλόμενοι, τάχα καὶ πλειόνων χρημάτων πορισμοῦ ἕνεκεν καὶ κατὰ σοῦ παρακινδυνεύσουσιν.

ξγ'. Ὅταν μὴ τοῖς στρατεύμασι τὰ ἐπιτήδεια καὶ τὰς ἀναγκαίας τροφὰς προευτρεπίσῃς, τότε καὶ πολεμίων χωρὶς ἡττηθήσῃ. Ἡ γὰρ σπάνις καὶ ἔνδεια τῆς δαπάνης καὶ τοὺς στρατιώτας καὶ τοὺς ἵππους ἐκλυθῆναι παρασκευάσει.

ξδ'. Ὅταν τοῖς ἰδίοις καβαλλαρίοις θαῤῥῇς καὶ μάλιστα τοῖς μετὰ κονταρίων πολεμοῦσιν τοὺς στενοὺς καὶ ἀνωμάλους τόπους ἔκφευγε, ἐπιζήτει δὲ τόπους ὁμαλοὺς καὶ ἴσους· οὗτοι γάρ εἰσι τοῖς οὕτω παρατασσομένοις ἁρμόδιοι, καὶ ἐνταῦθα συγκρότει τὸν πόλεμον. Εἰ δὲ πεζικαῖς θαῤῥεῖς δυνάμεσιν, ἀνωμάλους καὶ δασεῖς καὶ τραχυτέρους ἐπιλέγου τόπους, καὶ ἐν τούτοις ἐπιτέλει τὴν μάχην.

ξε'. Ὑπὲρ σεαυτοῦ καὶ τοῦ σοῦ λαοῦ ἀντιβουλεύσῃ (25) κατὰ τῶν πολεμίων, καὶ τὴν τοιαύτην βουλὴν ἀκούσῃς προδεδομένην αὐτοῖς, καθόλου τὰ βεβουλευμένα, εἴτε ἐν παρατάξει, εἴτε ἐν ἄλλαις παραγγελίαις, ἢ σχήμασιν, ἐναλλάσσειν ὀφείλεις.

ξς'. Σὺν πλείοσι μὲν περὶ ὧν μέλλεις πράττειν βουλεύου, τί δὲ πράξεις σὺν ὀλίγοις καὶ τούτοις πιστοῖς, τὸ δὲ συμφέρον σου, ἤγουν τὴν πασῶν

A bet, dum injurios homines repellit. Qui vero primus injuriam intulerit, divina vindicta, ac justitia a victoria belli abest.

59. Circumspecte post victoriam hostes insequaris, neque dissipatis copiis tuis illos in acie instructa fugientes persequaris : qui enim hoc facit, victoriam suam hostibus prodit : nam hostes acie instructa conversi in tuos confuse, et disjecte insequentes facile te superabunt, et momenta victoriæ ad se transferent.

60. Hostes maxime expugnabis quando in locorum temporumque opportunitates, et hostium pugnantium vires intueris, atque ad omnem usum B bellicum consilia conatusque tuos conferas.

61. Neque congregare simul exercitum consilii causa par est : neque idoneum, ut singulos otiosos milites, et nulla in re occupatos ad te voces, atque increpes : hæc enim seditionis et importunarum turbarum causa esset.

62. Magna prudentia imperatoris est, quando iis sociis ad regionem suam defendendam utitur, qui minores et non plures propriis copiis exsistunt, quosque alias inimicos sibi maxime futuros arbitretur, ne, si plures fuerint, et inter se consenserint, eam invadant regionem, et superent, propter C quam in societatem tuam asciti sunt. Qui vero pecuniarum causa pro te periclitari volunt, fortassis majoris summæ causa contra te ex contraria parte dimicarent.

63. Quando exercitui commeatum, et res necessarias non præparas, facile absque hostibus superaberis : egestas enim, et inopia commeatus, tum milites, tum equos etiam contabefacit.

64. Si quando equestribus copiis tuis fretus es, et iis in primis, qui hastati sunt, angusta atque inæqualia loca devita, et loca plana expositaque exquire ; hæc enim sunt iis qui sic instruuntur idonea, ibique committe prælium. Sin pedestribus copiis fretus sis, inæqualia, condensa et asperiora D loca elige, et in illis bellum geras.

65. Si de te tuisque copiis adversum hostes, aliquid deliberaveris, et consilium tuum hostibus patefactum esse intellexeris, omne consilium tuum, quod intenderas, sive in acie instruenda, sive in aliis præceptionibus formisque sit, repudiato.

66. Cum plurimis de rebus gerendis delibera : quid tu ipse facturus sis, cum paucis, iisque fidelibus admodum communica. Quid vero potissimum

NOTÆ.

(23) Ἀφορᾷς. Scribebatur, ἀφορμάς.
(24) Δι' . . . εἰς. Scribe, δι' ἣν εἰς.

(25) Ἀντιβουλεύσῃ. Scribe, ἄν τι βουλεύσῃ.

factu sit, et quod ex omnibus consilium est optimum apud teipsum solum serva.

A καλλίονα βουλὴν κατὰ σεαυτὸν ἐπιλεξάμενος κάτεχε.

67. Ut exercitus integer, ac sine ulla perturbatione sit, vel eo exercitum ducito, ubi commeatus rerumque necessariarum abundantia est, aut ipsum commeatum, et res necessarias exercitui apportabis.

ξζ'. Ἵνα δέ σοι ἡ ἐκστρατεία ἄλυπος διατηρῆται καὶ ἐῤῥωμένη, δέον σε ἢ πρὸς τὰ ἐπιτήδεια τῆς χρείας τὸ στράτευμα ἀπάγειν, ἢ αὐτὰ τὰ ἐπιτήδεια πρὸς τὸ στράτευμα μετακομίζειν.

68. Non per speculatores solum perlustranda via exercitus tui est, sed et tu imperator, si commode, et clam poteris, tuis ipsius oculis omnia loca pervestigabis : neque vias solum, sed etiam hostium adventantium multitudinem, et illorum aciem, ut inde tu instructus possis ad tuorum salutem, et hostium offensionem omnia excogitare.

ξη'. Οὐ διὰ σκοπῶν δεῖ μόνον προερευνᾷν τὰς ὁδοὺς, ἀλλὰ καὶ αὐτὸν, εἰ δυνατὸν, τὸν στρατηγὸν λαθραίως τοῖς οἰκείοις ὀφθαλμοῖς μετὰ ἀκριβείας ταύτας κατανοεῖν· καὶ οὐ μόνον τὰς ὁδοὺς, ἀλλ' εἴγε δυνατὸν καὶ τὸ πλῆθος τῶν ἐπερχομένων πολεμίων, καὶ τὴν τάξιν αὐτῶν, ὡς ἂν ἐντεῦθεν διδασκόμενος δύναται καὶ κατ' αὐτῶν καὶ ὑπὲρ ἑαυτοῦ ἀσφαλῶς τὰ ἐνδεχόμενα ἐπινοεῖν καὶ μεθ-
B οδεύειν.

69. Formidinem militum, ac animorum demissionem ad magnitudinem animi revocabis, et artibus variis, ac modis illos exsuscitabis, interdum oratione, interdum donis sublevabis, et abjectas illorum mentes ad aliquam tranquillitatem ac strenuitatem eriges.

ξθ'. Ὑψηλῇ διανοίᾳ τὴν ἐμπεσουμένην ποτὲ δειλίαν τοῖς στρατιώταις ἀνακαλοῦ, καὶ τέχναις διαφόροις εἰς θάρσος τούτους ἐπάναγε, ποτὲ μὲν λόγοις, ποτὲ δὲ δώροις ἀνακτώμενος, καὶ πρὸς εὐθυμίαν μεθέλκων τὴν ἀθυμίαν.

70. Aliqua etiam sacrorum templorum atque asilorum religio sit, et conserventur, qui ad ea loca profugerunt : neque tu neque ex tuis quisquam eos, qui ad sacra confugerunt violes. Eos autem, qui tale aliquid patrant, justo supplicio coercebis.

ο'. Καλὸν, ἐν παντὶ καιρῷ τιμᾷν καὶ σέβεσθαι τοὺς ἱεροὺς τοῦ Θεοῦ ναοὺς, μάλιστα δὲ καὶ ἐν τῷ ἀσύλους αὐτοὺς διατηρεῖσθαι εἰς τοὺς ἐν αὐτοῖς προσφεύγοντας· διὰ τοῦτο παραφύλαττε, ὦ στρατηγὲ, καὶ μήτε σὺ αὐτὸς, μήτε εἴς τινα ἕτερον καταδέξῃ ἀπὸ θείου ναοῦ ἀποσπᾶσαί τινα ἱκέτην καθήμενον, ἕως ἂν τοῦ δικαίου αὐτοῦ ἐπιτύχῃ. Τοὺς δέ τι τοιοῦτον τολμῶντας ὡς ἀσεβεῖς κόλαζε, ἵνα μὴ τὰ θεῖα καταφρονοῦνται.

71. Ab omni negotio domestico, atque injuria liberam plebem tuam conservabis, quæcunque in exercitu est, et quæ exauctorata est. Satis enim illis est tributum publicum pendere, nullaque alia re premi. Si castellum aliquod, aut porta, aut pons conficiendus sit, vel via aliqua sternenda, aut aliud quid publicum exstruendum est, neque publicis ærarii expensis absolvi potest, unusquisque tum ex æquo huic operi inserviat, nemoque ab hac re excusetur neque amicitia, neque donis, ut ab officio suo absit, sed justa et certa cum proportione unusquisque tum dives, tum pauper pro viribus suis publicum servitium præstet.

C οα'. Ἀγγαρείας ἁπάσης ἰδιωτικῆς καὶ ἀδικίας ἐλεύθερον φύλαττε τὸν ὑπὸ σὲ τεταγμένον λαὸν, ὅσοι τοῦ στρατοῦ εἰσι, καὶ ὅσοι τῆς λεγομένης ἐξατωρίας (26)· ἀρκεῖ γὰρ αὐτοῖς τελεῖν τούς τε δημοσίους φόρους καὶ τὰ ἐπικείμενα αὐτοῖς ἀερικὰ καὶ μηδὲν πλέον καταβαρεῖσθαι. Ἐὰν δέῃ (27) καστροκτισία γένηται, ἢ καραβοποιία, ἢ γεφύρας ἀνάκτισις, ἢ ὁδοῦ κατάστασις, ἢ ἀνάγκη τις ἑτέρα τῶν δημοσίων διοικήσεων, καὶ οὐκ ἐπαρκεῖ τὸ κατὰ τὸν τόπον δημόσιον διὰ μισθοῦ ταῦτα ἐργάζεσθαι. Τότε μετὰ τοῦ δικαίου λόγου καὶ τῆς ἰσότητος ἅπαντες δουλευέτωσαν, καὶ μηδεὶς παρά τινος ἐξκουσευέ[τω]σθω, μήτε διὰ δώρων, μήτε διὰ φιλίαν τῆς τοιαύτης δουλείας ἀπολιμπανέσθω, ἀλλὰ κατὰ ἀλογίαν τῆς (28) δυνάμεως αὐτοῦ ἕκαστος καὶ πλούσιος καὶ πένης τὴν δημοσίαν δουλείαν ἐπιτελείτωσαν.

72. Militum in bello cadentium, atque eorum potissimum, qui strenue se gerunt, et pro fide Christiana mortui sunt, corpora honeste sepeliantur, eosque bona atque honesta commendatione mortuos prosequamur. Sed et liberi illorum, et conjuges, universaque familia, tua providentia ac præsidio alantur. Ita enim milites alacres, atque incitati ad bellica pericula suscipienda erunt, si in illorum excessu e vita cernant, quid postea se, ac suis fiat, si se strenuos in bello gesserint.

D οβ'. Ἱερά εἰσι τὰ τῶν τελευτώντων ἐν πολέμῳ στρατιωτῶν σώματα, καὶ μάλιστα τῶν ἀριστευσάντων, ἐν τῇ ὑπὲρ τῶν Χριστιανῶν μάχῃ. Καὶ ταῦτα χρεὼν ἐκ παντὸς τρόπου τιμᾷν ὁσίως καὶ ταφῆς ἀξιοῦν καὶ μνήμης ἀειμνήστου, ἀλλὰ καὶ τὰ τέκνα τούτων καὶ τὰς γαμετὰς καὶ τοὺς ὅλους οἴκους αὐτῶν δέον τῆς παρὰ σοῦ προνοίας ἀπολαύειν, ὦ στρατηγὲ, καὶ ἐπιμελείας καὶ ἀντιλήψεως. Οὕτως γὰρ οἱ στρατιῶται καὶ εὔψυχοι καὶ πρόθυμοι πρὸς τοὺς πολεμικοὺς κινδύνους γενήσονται, ἐν ἐκείνοις βλέποντες εἰ αὐτοῖς συμβήσεται μετὰ τὸ τέλος, ἐὰν προθύμως ἀριστεύσαντες ἀγωνίζωνται.

NOTÆ.

(26) *Ἐξατωρίας*. Scribe, ἐξαυτωρείας. Jam ἐξαυτωρεία, est Latinum, *Exauctoratio*. Vide *Glossarium* nostrum.

(27) *Ἐὰν δέῃ*. Scribe, ἐὰν δὲ ᾖ.

(28) *Ἀλογίαν*. Scribe, ἀναλογίαν.

ογ'. Παρασκευῆς τῆς ἐν πολέμοις ὀφειλούσης μὴ A ἀμέλει, ὦ στρατηγὲ, κατὰ τὸν καιρὸν τοῦ χειμῶνος· ἵνα τοῦ ἔαρος ἐπιγινομένου ἀνυστερήτως καὶ ἀνεμποδίστως τὴν στρατείαν ἐξάγῃς.

οδ'. Ῥήμασι πειθηνίοις ὁμίλει συνεχῶς τῷ πλήθει τῶν στρατιωτῶν, ὥστε ὁμονοεῖν αὐτοὺς ἐν τῷ καιρῷ τῆς μάχης, καὶ φιλικῶς αὐτοὺς διακεῖσθαι ἐπιτήδευε, ἵνα ἡδέως ὑπὲρ ἀλλήλων συναγωνίζωνται.

οε'. Ὅταν δημοσίως παρατάξῃς σύμμικτον στρατὸν, ἤγουν πεζῶν ὁμοῦ καὶ καβαλλαρίων, τοὺς μὲν πεζοὺς δέκα τὸ βάθος, ἤγουν ἐπὶ δέκα τὸ πάχος ποιήσεις τοὺς ὀρδίνους· τοὺς δὲ καβαλλαρίους ἐκτάξεις ὥσπερ δύο κέρατα ἔνθεν κἀκεῖθεν πρὸ τῆς παρατάξεως.

ος'. Στρατιωτῶν γενναίων δοκιμασία γίνεται, ἐὰν B ἀγνοούντων αὐτῶν ἀθρόον κτύπον τινὰ, ἤτοι ἦχον μέγαν ἢ τυμπάνου, ἢ ἑτέρου τινὸς ἐξαισίου, προσφέρῃς ἀπροσδοκήτως· τό τε γὰρ τοὺς μὴ καταπλησσομένους, ἀλλ' ἀτρεμοῦντας πρὸς τὸν ἐξαίσιον κτύπον, ἐκλέγου ὡς σταθεροὺς καὶ ἀνδρείους, ἐξ ὧν καὶ ἄρχοντας καταστήσεις.

οζ'. Κατὰ τὸν καιρὸν τοῦ πολέμου δεῖ μὲν εὐχὰς πρὸς Θεὸν καταβαλέσθαι, καὶ σύμμαχον ἐκεῖνον καλεῖν, μὴ μέντοι τῶν προκειμένων ἀγώνων καταμελεῖν, ἢ τῶν ὀφειλομένων πράξεων κατολιγωρεῖν. Σὺν Θεῷ γὰρ δεῖ καὶ τὰς χεῖρας σαλεύειν, καὶ ὡς ὄργανα παρέχειν ὑπηρετοῦντα. Οὔτε γὰρ τοξότης ἐὰν μὴ ῥίψῃ τὸ βέλος εὐστοχήσει ποτὲ, οὔτε ὁ μὴ μένων, ἀλλὰ φεύγων, κρατήσει τῶν ἐχ- C θρῶν, οὔτε ὅλως ὁ μὴ πράξεως ἀρξάμενος εὐπραγήσει· ἀλλ' εὔχεσθαι μὲν δεῖ τὴν νίκην λαβεῖν τοῦ πολέμου παρὰ Θεοῦ, ὁμοῦ δὲ καὶ τὰ ὅπλα κατέχειν. Καὶ μαχόμενον σύμμαχον ἐπικαλεῖσθαι τὸ Θεῖον.

οη'. Ὑπό τινος συνηθείας πολλάκις ὁ στρατὸς ἀπὸ συμβόλων ἢ σημείων τινῶν εἰς δειλίαν εἴωθε τρέπεσθαι, ἀλλ' εἴποτε τοιοῦτόν τι γένηται, ἀναζητήσεις αὐτὸς, καὶ εὑρὼν ἀντιμεταλλάξεις αὐτῶν τὴν διάνοιαν διὰ τῆς σῆς ἀγχινοίας μεθερμηνεύων τὰ σύμβολα ὡς ἐνδέχεται· ἵνα δι' ὧν εἰς δειλίαν κατέπεσον, διὰ τούτων εἰς θάρσος αὐτοὺς καὶ ἐλπίδας ἀγαθὰς διαναστήσεις.

οθ'. Νίκης φημιζομένης προθυμότερον πρὸς τὰς μάχας τὸ στράτευμα γίνεται. Ἐὰν τοίνυν διὰ μὲν D τοιαύτης φήμης θάρσος ἐμποιήσῃς τοῖς στρατιώταις· μετὰ εὐψυχίας δὲ καὶ ἀνδρείας ἐπιμελῶς ἐγχειρήσῃς τῆς μάχης, ἔλπιζε σὺν Θεῷ τὴν φημιζομένην νίκην παρέσεσθαι.

π'. Τὴν ποτε (29) καιρὸς ὅτε, Σκιπίων Ῥωμαίων ᾑρέθη ἀπὸ ψήφου κοινῆς στρατηγὸς, καὶ ἡλικίας ἦν ἐτῶν τῶν ὀκτωκαίδεκα στρατηγικῶν ἀπαρχόμενος ἔργων. Παρευθὺ δὲ τῆς ἀρχῆς ἐκέλευσεν ἀποπέμπεσθαι τοῦ στρατοῦ κραββάτους καὶ τραπέζας καὶ διάφορα ἐκπώματα, καὶ τὰ ἄλλα σκεύη πάντα, πλὴν χύτρας χαλκῆς, καὶ σουβλίου σιδηροῦ, καὶ ποτηρίου, τοῖς ἔχουσι (30) μὲν, ἀργυροῦ, τοῖς δ' ἄλλοις, ξυλί-

73. Ea quæ ad bellum pertinent hieme parabis, ut vere ineunte nulla re defectus, aut destitutus prælium inire possis.

74. Oratione blanda ac benigna milites semper appellabis, et exhortaberis ut inter se consentiant, et benevolo animo toto hoc prælii tempore inter se sint, ut alacrius se mutuo defendant.

212. Si bellum tibi cum exercitu futurum est e multis regionibus collecto, ne præstoleris donec in unum locum congregentur, sed dispersi adhuc abs te vel sua in regione, vel aliis in locis antequam simul cogantur, adoriendi sunt. Nuncque adeo cum ex Ægypto, Syria, Cilicia, Barbari adversus Romanas copias se instruant, navali classe ac navarchis Cyprus occupanda, et priusquam barbarica classis in unum coeat, satis justa et commoda classe nostra ea dispersa adhuc invadenda est : vel priusquam e regione sua exeant, classis illorum si fieri potest incendenda est.

σιβ'. Ἐὰν πολεμῇς πρὸς ἀνθρώπους ἐκ πολλῶν τόπων συλλεγομένους, ὦ στρατηγὲ, δέον σε μὴ περιμένειν ἕως εἰς ἓν συναχθῶσιν. Ἀλλ' ἔστι ἐπαρμένοις (62) αὐτοῖς, ἢ κατὰ τῆς [τὴν] ἰδίας χώρας ἕκαστον, ἢ εἰς ἑτέρους τόπους, πρὶν ἢ συνέλθωσιν ἐπιχείρει· καὶ νῦν δὲ τοῖς ἐξ Αἰγύπτου καὶ Συρίας καὶ Κιλικίας ἀθροιζομένοις Βαρβάροις πρὸς τὴν κατὰ Ῥωμαίων ἐκστρατείαν δέον τοῖς πλωΐμοις στρατηγοῖς C σὺν τῷ ναυτικῷ στόλῳ τὴν Κύπρον καταλαβόντας, πρὸ τοῦ συναφθῆναι τὰς βαρβαρικὰς ναῦς, ἀποστεῖλαι κατ' αὐτῶν πλώϊμον δύναμιν ἱκανὴν καταγωνίσασθαι τὴν βαρβαρικὴν ναυμαχίαν ἐστὶ διῃρημένην (63), ἢ τὰς ναῦς ἐκείνων ἐμπρῆσαι πρὸ τοῦ ἀποπλεῦσαι τῆς ἰδίας.

213. Exercitus tui universi corporis quasi medicum te arbitror esse : itaque quasi causæ morborum ab exercitu per te abigendæ sunt, otium, luxus, sumptus, intemperantia, divinationes, auspicia, auguria, insomnia, quæ omnia abs te veræ pietatis cultore contemnenda sunt, nisi ad victoriæ simulationem interdum illis abutaris. Neque enim par est ut ad victoriæ salutis spem ejusmodi signa imperatores quærant, sed cautione provisioneque sua ad omnes res suscipiendas quantum possunt utantur. Sed et lucri cupiditas ejicienda quantum potest ex exercitu est : multa enim per hanc cupiditatem detrimenta in militiam importari tum ex antiquis tum ex recentioribus scriptoribus cognovimus. Divinationibus autem et insomniis quidam freti decepti sunt, et salutem suam misere prodiderunt.

σιγ'. Ὑπολαμβάνω σε ἰατρὸν οἱονεὶ μεγάλου σώματος τοῦ στρατεύματος. Καὶ χρή σε ὥσπερ τῆς νόσου τὰς αἰτίας ἐξελαύνειν τοῦ στρατοῦ, οἷον ἀργίαν, τρυφὴν, πολυτέλειαν, ἀσωτίαν, ἀλλὰ καὶ μαντείας, καὶ σύμβολα, καὶ οἰωνισμοὺς, καὶ ὀνείρους· μάλιστα εὐσεβῆ τυγχάνοντα περὶ τὸ Θεῖον παρορᾷν σε χρὴ, εἰ μή τις ἀνάγκη καὶ τούτων παρεῖναι προσποίησιν (64). Οὐ γὰρ προσήκει ταῦτα στρατηγῷ, οὐδὲ πρὸς νίκην καὶ σωτηρίαν διὰ προνοίας ἰδίας D σημεῖα κρίνειν, ἀλλὰ προνοεῖν ἀσφαλῶς, καὶ πρὸς τὰ προκείμενα μετὰ ἀγχινοίας καὶ πείρας τὰς ἑαυτοῦ πράξεις διεξάγειν. Πάντων δὲ μάλιστα τὴν πορνείαν ἐξορίζειν χρεὼν τοῦ στρατεύματος. Ταύτην γὰρ τὰ μέγιστα κακὰ ἐπάγειν καὶ ἐν ταῖς παλαιαῖς ἱστορίαις καὶ ἐν ταῖς καιναῖς τοῖς στρατεύμασιν ἀνεμάθομεν. Ἀλλὰ καὶ σημείοις τινὲς καὶ ὀνείροις πεποιθότες πολλάκις ἐψεύσθησαν καὶ ἀπώλοντο τῆς ἐκείνων κρίσεως ἀστοχήσαντες.

214. Liberos tuos et nobilium virorum militumque filios tecum in expeditione habeas : hoc enim illos longe prudentiores reddet, si cognitionem si-

σιδ'. Συνεκστρατεύειν μετὰ σεαυτοῦ τούς τε σοὺς υἱοὺς καὶ τῶν ἐπισήμων ἐπ' ἀνδρείᾳ ἀρχόντων ἢ στρατιωτῶν οὐκ ἀδόκιμον, ἀλλὰ καὶ τρόπον ἡγοῦμαι

NOTÆ.

(62) Ἔτι ἐσπαρμένοις. Scribebatur, ἔστι ἐπαρμένοις.

(63) Ἐστὶ διῃρημένην. Scribe, ἔτι δ.

(64) Προσποίησιν. Scribebatur, πρὸς κίνησιν.

θέας ἕνεκα καὶ πείρας στρατιωτικῶν ἔργων καὶ ἡγεμονικῶν. Ἀναγκαῖον γὰρ διδασκαλεῖον ἀναγκαίων μαθημάτων ὁ πόλεμος. Διὸ καὶ τοὺς ἀκμάζοντας καὶ φίλων καὶ οἰκείων παῖδας ὥσπερ εὐγενεῖς σκύλακας, ὦ στρατηγὲ, συνεκστρατεύειν σε χρὴ καὶ συνεθίζειν ἀνέχεσθαι, καὶ τολμᾷν καὶ νεκρῶν ἁπτομένους καὶ πληγὰς θεωμένους, καὶ ἐν ταῖς ἐναγωνίοις βοαῖς καὶ τοῖς ἀλαλάγμασιν κατὰ τὰ πρῶτα τῆς μάχης γινομένοις παρατυγχάνοντας ἵστασθαι, ἵνα πρὸς τὰ πολεμικὰ ἔργα καὶ πάθη ἐκ νέου συνεθιζόμενοι καὶ ἀριστεύειν ἐν αὐτοῖς μάθωσιν.

σιε'. Ῥωμαλέον καὶ ἄριστον ἀναδείξει σε στρατηγὸν ἡ τῆς τόλμης ὀξύτης, καὶ τὸ βούλευμα τὸ χρηστὸν, καὶ ὁ τῶν φίλων εὐπρόθυμος συναγωνισμὸς, καὶ τὸ θαῤῥεῖν ἐν τοῖς κινδύνοις τοῦ πολέμου, καὶ τὸ χρῆσθαι τῷ τε σταθηρῷ λογισμῷ καὶ ἀκαταπλήκτῳ· ταῦτα γὰρ στεῤῥοῦ στρατηγοῦ καὶ φιλοτίμου· ἵνα καὶ αὐτὸς ἐν καιρῷ ἐξ ἑαυτοῦ παρέχῃ τὰ δέοντα, καὶ διὰ τῆς αὐτοῦ ἀγαθῆς γνώμης καὶ φιλίας συναγωνιστὰς ἔχῃ ὡς φίλους οἰκείους, καὶ συγκινδυνεύοντας αὐτῷ ἐν ἅπασι τοὺς στρατιώτας.

σις'. Ὥσπερ κυνηγέτης ἀγαθὸς τέχνῃ τοὺς λύκους μετερχόμενος ἢ τὰς ἀλώπεκας ἀγρεύει, οὕτως καὶ αὐτὸς τοὺς ἀπὸ τῶν πολεμίων κατασκόπους διὰ τέχνης ἀνευρήσεις. Ἐὰν γὰρ ἔξωθεν τοῦ σοῦ χάρακος φύλακας τάξῃς, εἶτα ἐπιλαβέσθαι τοῦ πλησίον ἑκάστῳ κελεύσῃς, καὶ μὴ ἀφεῖναι ἕως ἂν εἴπῃ καὶ τὸν ἄρχοντα, καὶ τὸ τάγμα, καὶ τὸ κοντουβέρνιον ὅθεν ἐστὶν, ἢ ἕτερον σύνθημα. Τοὺς δὲ ταῦτα λέγειν μὴ δυναμένους ἐξετάσεις, καὶ οὕτως ἀνευρήσεις τοὺς κατασκόπους.

σιζ'. Μέγα πρᾶγμα καὶ ἀναγκαῖον δημηγορῶν μετὰ φρονήσεως στρατηγός· πλείονα γὰρ πολλάκις ἐκ τῆς διὰ λόγων ὁμιλίας, ἤπερ ἐκ τῶν ὅπλων τὴν ἀνδρείαν παρασκευάσει τῷ στρατεύματι· καὶ μάλιστα προστιθεὶς τῷ λόγῳ, ὅτι πρὸς ἀντιπάλους ἐστὶ μάχεσθαι σάρκα καὶ αἷμα ἔχοντας, καὶ τὰ ἀνθρώπων πάσχοντας καὶ αὐτούς.

σιη'. Ἀναγκαῖόν σοι, ὦ στρατηγὲ, ὅταν χεῖρας συμμίξωσι πρὸς μάχην κατὰ τῶν πολεμίων οἱ στρατιῶται, παρατρέχοντα βοᾷν· Ἔτι ἅπαξ προσβαλοῦμεν τοῖς πολεμίοις, καὶ νικήσομεν· καὶ πάλιν ὁμοίως· Ἔτι ἅπαξ προσβαλοῦμεν καὶ νικήσομεν, καὶ τρίτον δὲ τοῦτο ποιῆσαι παριππεύοντα. Οὕτως γὰρ νίκην ὡς ἀληθῶς ἐκ τῆς προθυμίας ποιήσεις, ἐφεξῆς καὶ συνεχῶς τὰς τρεῖς προσβολὰς ποιούμενος. Τοῦτο δὲ ποιήσεις, ὅταν μετὰ τῆς τοῦ Θεοῦ βοηθείας ὁρᾷς, ὅτι κατὰ τὴν πρώτην συμβολὴν προτερῇς κατὰ τῶν πολεμίων.

σιθ'. Ἵνα δὲ μνήμων θαυμαζόμενος καὶ τοῖς ἀντιπολεμίοις εἶναι δόξῃς (65), καὶ διὰ τοῦτο φοβερὸς, ἐὰν σοι πρέσβεις ἀποστείλωσι, δέον σε ἀνερωτῆσαι περὶ αὐτῶν, ἐάν ποτε ἐπρεσβεύσαντο, καὶ ὑπὲρ τίνων πραγμάτων, καὶ μετὰ τίνων προσώπων, καὶ ἐν ποίῳ καιρῷ, καὶ ἐν ποίῳ τόπῳ. Ἔτι δὲ καὶ περὶ τῆς προκειμένης πρεσβείας προμελετῆσαι ἃ δεῖ, καὶ εἰ

mul et experientiam rei militaris atque imperatoriæ habeant. Ludus enim necessarius, disciplinæ necessariæ bellum est. Itaque florentes jam ætate amicorum familiariumque tuorum liberos quasi generosos catulos tecum in expeditione habeas, ut discant tolerare laborem, audaciores esse, cadavera mortuorum tangere, plagas videre, et clamores bellicos perferre, et in initio prælii bellico tumultui interesse, ut ad omnia negotia bellica ab ineunte ætate assuefacti strenui esse debent.

215. Fortem ac prudentem imperatorem te indicabunt, opportuna audacia, et bonum consilium, et amicorum alacris laborum susceptio, et in periculis obeundis confidentia, et in rebus gerendis firmitas animi atque constantia. Hæc enim strenui ducis ac nobilis sunt, ut et ipse opportuno tempore quod optimum factu sit facias, et consilii tui benevolentiæque adjutores, et omnibus in rebus voluntarios defensores habeas.

216. Quoniam venator bonus lupos et vulpes artificio venatur, sic et tu hostium speculatores solertia capies. Si enim extra vallum tuum custodias locaveris, deinde jusseris ut unumquemque ignotum teneant, et interrogent, neque dimittant priusquam præfecti nomen et contubernii, unde sit, et tesseram ejus contubernii commemoraverit, et eos qui hæc facere nequiverint, exploraveris quinam sint, facile speculatores illorum invenies.

217. Imperator qui eloquentiam cum prudentia conjunxerit, quid in exercitu præstare non potest? Majora enim sæpe diserta cohortatione efficiet, quam viribus suis et plus verbis quam robore milites ad strenuitatem incitabit, idque maxime si persuadeat cum hostibus sibi rem esse, qui ex carne et sanguine, quemadmodum cæteri homines, constituti sint, quique omnia humana facile pati possunt.

218. Utile tibi cumprimis erit, imperator, ubi manus conserunt cum hostibus milites tui, prætergrediendo milites iis verbis appellare : Semel tantum confilge cum hostibus, et vincemus; atque item similiter semel : Iterum cum hoste conflige, et vincemus. Tertio autem obequitando hoc faciat. Itaque magnum momentum ad victoriam afferes, si alacriter et assidue hos tres impetus milites faciant, et hostes animose invadant. Hoc abs te faciendum est quando primum belli ingressum Deo propitio bene vides procedere.

219. Ut vero propter multarum rerum memoriam ab hostibus in admiratione habearis, et propterea ab illis timearis, si ad te legati missi fuerint, interrogabis eos nunquid ante legatione usi fuerint, et quibus de causis, quibus cum hominibus, quo loco, quo tempore. Legatione item proposita providendum animo est, num quæ similis fuerit, vel apud te,

NOTÆ.

(65) *Εἶναι δόξῃς*. Scribebatur, εἰ καὶ δόξῃς.

vel aliam quamvis nationem, ut interrogationibus et sermone tuo videaris multarum rerum memor et peritus esse.

220. Ad quæ loca vel civitates classem emissurus es nemini indicare oportet, sed occultandæ animo civitates sunt, ut nemo de classis itinere quidquam præsentiat. Mandatum autem quoddam litteris conscribes, quod ubi scriptum fuerit obsignabis, et navarcho trades, præcipiesque illi ut ubi mare ingressus fuerit, sigillum aperiat, et cognoscat quo iturus sit. Ita clam hostes quo volueris pervenies.

221. Leges militares atque imperatoriæ si custodiantur, victores duces honoratos et memorabiles faciunt, et regibus lætitiam oblectationemque afferunt, et ad deditionem pacemque hostes cogunt, et ab omnibus perturbationibus subjectos nostros liberant, imo vero multorum bonorum atque salutarium causæ sunt, et Dei erga illos benevolentiam augent, et ad laudandum Deum omnes homines pios impellunt. Has igitur leges quasi maximas, omnium bonorum secundum Deum conservatrices, et communis salutis prospicientissimas, omni diligentia atque observantia coles, et ante omnia divinas leges, veraque illius præcepta quibus pietas continetur, summo studio et perpetuo sequaris : ita enim optimum imperium fiet, et Deo universitatis Regi Dominoque nostro Jesu Christo, et nobis qui per illum regnamus, complacitus eris.

Argumentum libri in Epilogo.

1. Ut igitur omnia quam brevissime a nobis universo hoc libro conclusa, summatim repetamus, hoc in primis dignitati tuæ præcipimus, ut qua de causa imperatores, quantum potes efficias, ut omnes qui sub imperio tuo sunt, vitam quam maxime tranquillam et securam degant.

2. Ac primum quidquid dicturus facturusve es, a Deo principium habeat, nihilque sine illius commemoratione ac deprecatione agatur.

3. Cur enim non principium omnium rerum agendarum a Deo capiendum sit, cum Deus pater noster factor et inspector dictorum factorumque omnium, judex cogitationum omnium notionumque cordis, nullaque creatura abdita coram eo sit, sed omnia nudata et explicata ante oculos ejus sint, quemadmodum divinissimus Paulus loquitur? Itaque præter sententiam ejus nihil a nobis agendum est.

4. Cognatio enim quædam a vobis cum illo est, talisque affectus qualis erga patrem esse debet : nam illius munere in lucem aspectumque venimus, pro illo et vivere et mori debemus, benignitate illius alimur, in ipso vivimus, movemur et sumus; tantum illi obedimus, quantum subjecti præfecto, servi domino, magistratus regi ; omnes illius su-

A τι ὅμοιον ἐπράχθη ποτὲ ἢ παρὰ σοὶ ἢ παρ' ἑτέρῳ ἔθνει· ἵνα ἐν ταῖς ἐρωτήσεσιν καὶ συντυχίαις ἐκπλήσσῃς αὐτοὺς ὡς πάνυ μνημονικὸς καὶ πολύπειρος.

σκ'. Ὧν ἕνεκα ἢ τόπων ποτὲ ἢ πόλεων ἐκπέμπειν μέλλεις ναυτικὸν στόλον, κρύπτειν σε δεῖ καὶ τοὺς τόπους καὶ τὰς πόλεις, ὥστε μηδένα προγνῶναι, ποῦ μέλλει γίνεσθαι ὁ κατάπλους. Ἔνταλμα δὲ γράψας, τοῦτο σφραγισάμενος ἀσφαλῶς ἐπίδος τῷ καθισταμένῳ παρὰ σοῦ ναυάρχῳ, ἵνα κατὰ τὸ πέλαγος ἐξελθὼν, τότε λύσῃ τὴν σφραγῖδα, καὶ μάθῃ ποῦ μέλλει πορεύεσθαι. Οὕτως γὰρ ποιήσας λάθῃς τοὺς πολεμίους.

σκα'. Νόμοι στρατηγικοὶ φυλαττόμενοι καὶ τοὺς στρατηγοὺς νικηφόρους καὶ ἐνδόξους καὶ δὴ καὶ ἀειμνήστους ἀποτελοῦσιν, καὶ τοῖς βασιλεύουσι χαρᾶς
B καὶ εὐφροσύνης αἴτιοι γίνονται, καὶ πρὸς εἰρήνην καὶ ὑποταγὴν τοὺς πολεμίους καταναγκάζουσι, καὶ κακῶν ἐλευθερίας παντὶ τῷ ὑπηκόῳ γινόμενοι, μᾶλλον δὲ καὶ ἀγαθῶν εὐπορίαν προξενοῦντες αὐτοῖς, τὴν εἰς Θεὸν εὐχαριστίαν ἕξουσι, καὶ πρὸς δοξολογίαν αὐτοῦ πᾶσαν εὐσεβῆ ψυχὴν διεγείρουσι. Τούτους οὖν, ὦ στρατηγὲ, καθάπερ σωτῆρας μετὰ Θεὸν καὶ εὐεργέτας τοὺς στρατηγικοὺς νόμους διὰ παντὸς περιφύλαττε. Καὶ πρό γε τούτων τοὺς θείους καὶ παναληθεῖς νόμους, δι' ὧν ἡ εὐσέβεια κρατύνεται (66), περίθαλπε, καὶ ἀνενδοιάστως τούτοις ὑπάκουε· ἐκ τούτων γὰρ ἀρίστη ἀρχὴ γένοιτο, καὶ εὐάρεστος ὀφθήσῃ στρατηγὸς αὐτῷ τε τῷ Θεῷ τῶν ὅλων καὶ Βασιλεῖ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ ἡμῖν
C τοῖς δι' αὐτοῦ βασιλεύουσιν.

Ὑπόθεσις ἐπιλόγῳ.

α'. Ὡς ἐν συνόψει δὲ τὰ προειρημένα ἡμῖν ἅπαντα οἷον ἀνακεφαλαιωσάμενοι ἐνταῦθα παρακελευόμεθα καὶ ὑποτιθέμεθα τῇ σῇ ἐνδοξότητι. Ἐξ ὧν, ὡς εἴρηται, καὶ αὐτὸς στρατηγὸς ἀναδειχθεὶς ἀγαθὸς, καὶ βίον ἀκινδυνότατόν τε καὶ ἀλυπώτατον τοῖς ὑπὸ σὲ ἀρχομένοις περιποιήσῃ.

β'. Καὶ πρῶτον μὲν πᾶν ὅπερ μέλλεις ἢ λέγειν, ἢ πράττειν ἀπὸ Θεοῦ λάμβανε τὴν ἀρχὴν, καὶ μηδὲν ἄνευ τῆς ἐκείνου μνήμης τε καὶ ἐντεύξεως μήτε λόγου ἄρξῃ μήτε πράξεως.

γ'. Οὕτω γὰρ ἐγὼ κρίνω χρεὼν εἶναι ἀπὸ Θεοῦ λαμβάνειν ἅπαντα τὴν ἀρχήν· καὶ γὰρ ὁ Θεὸς πατὴρ ἡμῶν καὶ ποιητὴς καὶ ἐπόπτης καὶ τῶν λόγων ἡμῶν
D καὶ τῶν πράξεων, καὶ κριτικός ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. Πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ κατὰ τὸν θεολογικώτατον Παῦλον. Διὸ οὐδὲν τῆς αὐτοῦ γνώμης χωρὶς πράττειν ὀφείλομεν.

δ'. Ἕπεται γάρ τις ἡμῖν οἱονεὶ συγγένεια πρὸς αὐτὸν καὶ σχέσις, ὡς οἷα γένοιτο παισὶ πρὸς πατέρα. Καὶ γὰρ παρ' αὐτοῦ εἰς φῶς καὶ βίον ἤλθομεν, καὶ ὑπὲρ αὐτοῦ καὶ ζῆν καὶ θνήσκειν ὀφείλομεν. Ἐπὶ δώροις γὰρ τοῖς ἐκείνου τρεφόμεθα, καὶ ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Καὶ τοσοῦτον αὐτῷ πειθόμεθα, ὅσον ἰδιῶται ἄρχοντι, καὶ Δεσπότῃ ἀγαθῷ

NOTÆ.

(66) *Κρατύνεται.* Scribebatur, ἀκρατύνεται.

δοῦλοι, καὶ ἄρχοντες Βασιλεῖ. Καὶ πάντες αὐτοῦ ἐσμεν, ὡς κατὰ πάντων κεκτημένου τὸ κράτος. Καὶ ἡμῖν μὲν ἐξ ἐκείνου δεδούλωται πάντα τὰ ἔμψυχα, καὶ τὰ ἄψυχα. Ἡμεῖς δὲ αὐτὸν θεραπεύομεν. Καὶ ἡ μὲν ἄλογος πᾶσα ἀγέλη ὑφ' ἡμῶν ποιμαινομένη ἄγεται, ἡμεῖς δὲ ὑπὸ τοῦ Θεοῦ ποιμαινόμεθα τοῦ καλοῦ ποιμένος, καὶ δι' ἡμᾶς φιλανθρώπως φορέσαντος τὸ ἡμέτερον.

A mus, qui omnium habet imperium : nobis per illum omnia subjecta sunt, tum animata, tum inanima, nos vero illum colimus : universa bestiarum natura a nobis gubernatur, nos vero ab illo pascimur principe pastorum, qui nostra causa nostram naturam induit.

ε'. Καὶ οὐδεὶς ἐξαρνός ποτε γένοιτο ὅτι ἔστι Θεός, εἰ μὴ καὶ τὴν ψυχὴν διεφθαρμένος ὑπάρχει. Μετὰ γὰρ (67) τὰ πάντα Θεοῦ, καὶ αὐτὸς ἐκ μὴ ὄντων ταῦτα παρήγαγεν, καὶ πάντα πληροῖ, καὶ πάντα διαπράττει, καὶ προνοεῖται, καὶ διοικεῖ.

5. Nemo autem qui mente depravata perditaque non est, Deum esse negare potest. Omnia enim Dei plena sunt, qui ea quæ non sunt eduxit ut essent, qui omnia complet, omnia agit, omnia providet, et administrat.

ϛ'. Ἔλεγχος δὲ τῆς ἀληθείας τὰ ποιήματα αὐτοῦ· οὐρανὸς, καὶ τὰ ἐν αὐτῷ· γῆ, καὶ τὰ ὅσα ἐν αὐτῇ· καὶ μέντοι καὶ θάλασσα, καὶ τὰ ἐν ἐκείνῃ ἅπαντα, καὶ ὅσα ἐν αὐτοῖς ὠφέλιμα, μαρτύρια τῆς ἐκ Θεοῦ εἰς ἡμᾶς κηδεμονίας τε καὶ προνοίας ἀναδείκνυται.

6. Opera manuum ejus quæ ab illo facta sunt, cœlum et quæ cœlo continentur, terra et quæ terra B continentur, mare et quæ mari continentur, veritatem Factoris indicant, et certa testimonia dant divinæ erga nos benevolentiæ et providentiæ.

ζ'. Καὶ αὐτὸς καὶ βασιλεῖς καθιστᾷ· καὶ γάρ φησι· *Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι*· καὶ στρατηγὸς δι' αὐτοῦ προχειρίζεται, ὁ πάσης ἀρχῆς ἐξουσίας καὶ ἀγαθῆς αὐτός ἐστιν αἴτιος. Διὸ καὶ χρὴ μὴ πρότερόν τινα τὴν ἀρχὴν ὑποδύεσθαι, πρὶν ἢ διὰ τῆς εὐχῆς καὶ ἐντεύξεως πρὸς αὐτὸν ὥσπερ ἑαυτὸν ἀφιερώσει τῷ Θεῷ, καὶ τῇ ἐκείνου προνοίᾳ τὴν ἑαυτοῦ διοίκησιν καταπιστεύσει.

7. Ipse reges designat, dicit enim : *Per me reges regnant*[a]. Imperatores ab eo eliguntur, qui omnis potestatis atque imperii auctor est. Itaque nemo imperium aut magistratum in se recipiat, priusquam prece et supplicatione seipsum quasi Deo consecraverit, et illius providentiæ voluntatem suam subjecerit.

η'. Διὰ τοῦτο δεῖ σε πάντα τὰ εἰς Θεοῦ θεραπείαν, ὦ στρατηγὲ, πρὸ τῶν ἄλλων ἁπάντων ἐπιτηδεύειν καὶ διαφυλάττειν, ἐξαιρέτως τὴν εἰς τοὺς ἱερεῖς τε καὶ ἀρχιερεῖς αὐτοῦ τιμὴν καὶ θεραπείαν· καὶ τοὺς ἁγίους αὐτοῦ ναοὺς ὥστε ἀσύλους εἶναι, καὶ μὴ αὐτῶν ἀναρπάζεσθαι τοὺς ἐν αὐτοῖς καταφεύγοντας ἄνευ διαγνώσεως τῆς ἡμετέρας βασιλείας.

8. Quæ igitur ad Dei cultum pertinent, in primis observanda et constituenda sunt, ut qui spiritus est, in spiritu et veritate ab omnibus colatur; C et quæ fidei vitæque præcepta reliquit, ea precibus impetremus ut faciamus, quæ divinis Litteris imperat ut agamus, et fide in illum, amore ac dilectione omnium in Christo Jesu renatorum, ad Christum perfectionem legis aspiremus, ut per illum in quo omnia Deo complacita sunt, nos quoque Deo placeamus, et justitiam erga omnes, etiam inimicos, æquitatemque teneamus.

θ'. Καὶ τὰ ἱερὰ δὲ τῶν μοναχῶν ἀσκητήρια, καὶ τοὺς ἐν αὐτοῖς τὴν παρθενίαν ἀσκοῦντας, ἀβλαβῆ καὶ ἀβίαστα καὶ σεμνὰ διατηρεῖσθαι. Καὶ ἁπλῶς εἰπεῖν, ὅσα τῷ Θεῷ ἀνάκεινται παραφυλάττειν ἀνεπηρέαστα, καὶ τίμια, καὶ αἰδέσιμα ὡς ἅγια πάντα καὶ τῷ ἁγίῳ Θεῷ ἀνακείμενα.

9. Religione in Deum non modo cognita, verum etiam culta, et honoribus regi secundum Deum delatis, qui gladium a Deo sibi commendatum non temere gestat.

ι'. Καὶ μηδένα βεβήλων ἢ τυραννικῶν χεῖρας ἐπαίρειν κατ' αὐτῶν, ἢ ἄλλως ἀποθρασύνεσθαι, μήτε σεαυτὸν, μήτε ἄλλον τινὰ τῶν ὑπὸ τὴν σὴν ἐξουσίαν οἵαν δή ποτέ τινα πεπιστευμένον ἀρχὴν, ἢ στρατιωτικὴν, ἢ πολεμικήν. Ἀλλ' εἶναι αὐτοὺς ὡς κτῆμα τοῦ Θεοῦ πάσης βλάβης καὶ ἐπηρείας ἐλευθέρους.

10. Et profanorum vel tyrannicorum nemo manus eis inferat; aut aliter audeat neque tu ipse, neque alius quisquam eorum, qui sub tua potestate D sunt, qualicunque præfectura ei credita fuerit, sive militaris, sive bellica; sed sint ipsi, ut Dei possessio, ab omni noxa et læsione liberi.

ια'. Καὶ μάλιστα τοὺς ἀρχιερεῖς, ὡς Πατέρας καὶ ποιμένας τῶν ἀνθρωπίνων ψυχῶν, ὅσαι τε ἀρχόντων, καὶ ὅσαι ἀρχομένων, καὶ τὰ πρὸς Θεὸν ἡμῖν μεσιτεύοντας· τούτους διὰ πάσης ἄγειν τιμῆς καὶ αἰδοῦς, καὶ μηδὲν ἐφ' ὕβρει τούτων καταδέχεσθαι.

11. Et maxime pontifices, tanquam Patres et pastores humanarum animarum, tam principum, quam subditorum, et ii qui apud Deum pro nobis intercedunt. Hos omni honore et reverentia prosequi oportet, et eorum nihil injuria et contumelia afficere.

ιβ'. Καὶ γὰρ τὰ εἰς αὐτοὺς γινόμενα εἰς τὸν Θεὸν ἀναφέρεται, παρ' οὗ καὶ τὴν ἀρχιερωσύνην εἰλή-

12. Etenim quæ in eos fiunt, in Deum referuntur, a quo et pontificatum accepere; per quem et

[a] Prov. VIII, 15.

NOTÆ.

(67) *Μετὰ γάρ*. Scribe, μεστὰ γάρ.

regere animas, et pro ipsis apud Deum intercedere, obtinuerunt. Sacerdotes enim veluti anima quædam diffusa et vivificans universum Christiani populi cum principum tum subditorum corpus, ducem regem omnium Deum possidet, et ab ipso totius corporis procurationem moderatur, gubernat atque circumagit.

13. Deinde sacerdotibus Dei, qui, quantum in se est, pascere debent gregem Christi, aliqua in veneratione habitis, atque adeo divinis fidei legibus summa observantia omnique animi inductione ab omnibus observatis, regias leges minime transgrediamini, ut justitia et judicium in medio terræ nostræ fiat.

14. Militarem laborem et arma bellica sic accurabis, non ut injuriam alicui inferas, aut injustum bellum moveas, aut prædationes et iniquas adversus integros homines incursiones facias, sed ut religiose vivens, et cum hostibus etiam, quantum in te est, pacem habens, ita pie et Deo complacite vitam transigas, ut ad injuriosorum hominum vim depellendam arma abs te sumantur.

15. Si enim vitam religiosam ac piam degas, et justa de causa bellum moveas, Deum justum in omni bellandi ratione adjutorem habebis.

16. Si enim quis certo statuat non se injuriam alicui inferre, sed injuria affectum esse, et ad bellum necessario suscipiendum, ad depellendam injuriam provocatum esse, is omnino credere debet justo bello bonum finem a Deo imponi, injusto autem contrarium.

17. Quemadmodum enim qui injurius est, non potest non iniquitatis suæ pœnam a Deo justo reportare : sic is qui injuriam propulsat, fieri haud potest quin a Deo victoriam assequatur : Dominus enim justus judex est, et cum justitia pertractat omnia.

18. Hujus rei gratia arma abs te exercenda sunt, reliquaque militaris industria huc conferenda est.

19. Belli ipsius tempore hostium tuorum natura et constitutio diligenter abs te cognoscatur, utrum illorum copiæ primo congressu impetuosiores ardentioresque sint, an patientes plagarum et telorum initio, postea autem ad prælium dimicationemque vehementiores exsistant.

20. Bellum etiam ipsum tibi cognoscendum est, nunquid breve, propter celeritatem dimicandi, et propter commeatus pecuniæque inopiam, an potius impetu animorum et incitatione celere exsistat et vehemens.

21. Talibus in bellis pro hostium natura et conatu, et pro universis illorum copiis, exercitum tuum apparabis, vel ad fortitudinem celeritatemque illorum, vel contra ad audaciam timoremque, iras

φασι, δι' ἧς καὶ τὸ ποιμαίνειν τὰς ψυχὰς, καὶ τὰ πρὸς Θεὸν αὐταῖς μεσιτεύειν ἀνεδέξαντο. Οἱ γὰρ ἱερεῖς ὥσπερ ψυχή τις διεσπαρμένη καὶ ζωογονοῦσα ὅλον τὸ σῶμα τοῦ Χριστιανικοῦ λαοῦ καὶ ἀρχόντων καὶ ἀρχομένων καθέστηκεν οὖν καὶ ἡγεμόνα τὸν βασιλέα τῶν ἁπάντων Θεὸν κεκτημένη, καὶ ἀπ' αὐτοῦ τὰς τοῦ ὅλου σώματος διοικήσεις διαπορθμεύουσα καὶ κυβερνῶσα καὶ περιάγουσα.

ιγ'. Οὕτως οὖν περὶ Θεὸν εὐσεβῶς καὶ ὀρθοδόξως καὶ περὶ τοὺς ἐκείνου θεράποντας διακείμενος, ἐπιμελοῦ μετὰ τοὺς θείους τῆς πίστεως νόμους καὶ τοὺς βασιλικοὺς διαφυλάττεσθαι νόμους ἀπαραβάτους· ὥστε ποιεῖν σε κρῖμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς σου.

ιδ'. Ἐπιμελοῦ δὲ καὶ τῶν στρατηγικῶν ἔργων, καὶ τῶν πολεμικῶν ὅπλων· οὐχ ἵνα ἀδικήσῃς, ἢ ἀδίκου πολέμου κατάρξῃς, ἢ λῃστείας τινὰς καὶ ἀδίκους κατὰ τῶν οὐδὲν ἠδικηκότων ἐπιδρομὰς ποιήσῃς, ἀλλ' ἵνα σὺν εὐσεβείᾳ ζῶν, ἀλλὰ καὶ τοῖς πολεμίοις, ὅσον τὸ ἐπὶ σοὶ, εἰρηνεύων, καὶ οὕτως εὐσεβῶς καὶ θεαρέστως (68) πολιτευόμενος, ἔχῃς τὰ ὅπλα πρὸς ἄμυναν τῶν ἀδικούντων πολεμίων.

ιε'. Ἡ γὰρ εὐσεβής σου ζωὴ ταῦτα παραλαβοῦσα, εὖ οἶδ' ὅτι καὶ Θεὸν αὐτὸν μετὰ τῆς δικαιοσύνης ἕξει συνεκστρατεύοντα.

ις'. Καὶ ἡ πίστις τοῦ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι στρατηγὸν καὶ ἡγεμόνα τὸ Θεῖον ἕξει, καὶ ἀνάγκη πιστεύειν, ὅτι δικαίῳ πολέμῳ ἀπὸ Θεοῦ ὀφείλεται τὸ τέλος ἀγαθὸν, ὥσπερ τῷ ἀδίκῳ τὸ ἐναντίον.

ιζ'. Ὥσπερ γὰρ τὸν ἀδικοῦντα ἀδύνατον μὴ παθεῖν ποτε τὴν τῆς ἀδικίας ποινὴν παρά γε Θεῷ κριτῇ, οὕτως ἀδύνατον καὶ τὸν τὴν ἀδικίαν ἀμυνόμενον, καὶ ἀντιπολεμοῦντα, μὴ τῆς παρὰ Θεοῦ νίκης ἐπιτυχεῖν· ὁ γὰρ Θεὸς κριτὴς δίκαιος, καὶ σὺν δίκῃ ἐξάγει τὰ σύμπαντα.

ιη'. Τούτων τοίνυν χάριν ἀσκεῖν σε δεῖ ὅπλων καὶ γυμνασίας καὶ τῆς ἄλλης στρατηγικῆς ἐπιμελείας.

ιθ'. Εἰδέναι δέ σε ἐπὶ τούτοις βούλομαι, ὅτι δεῖ σε ἐν πολέμου καιρῷ τῶν τε ἀντιπολεμούντων τὴν φύσιν γινώσκειν καὶ τὴν ἄλλην κατάστασιν, καὶ δὴ καὶ τὸ ἐκείνων στράτευμα πότερον ὀξύτατόν ἐστιν πρὸς τὰς ἐπιχειρήσεις, καὶ πρὸς τὰς πρώτας ὁρμὰς δραστικὸν, ἢ πρὸς μακρόθυμα καὶ χρονοτριβῆ ἔργα μᾶλλον ἐγγεγύμνασται..

κ'. Χρὴ δέ σε διαγινώσκειν καὶ αὐτὸν τὸν πόλεμον, πότερον πολυχρόνιός ἐστιν, καὶ διά τινος δαπάνης χρημάτων, ἢ μᾶλλον ὀξύτητι ῥώμης ὀλιγοχρόνιος καὶ ἐπιχειρητικός.

κα'. Ἐν δὲ τοῖς τοιούτοις πολέμοις ἀντιπαρασκευάζου πρὸς τὰς τῶν ἐναντίων ψυχὰς, καὶ πρὸς τὸ ὅλον αὐτῶν στράτευμα, ἤτοι πρὸς ἀνδρείας καὶ ὀξύτητας, ἢ καὶ πρὸς τὰ τούτων ἐναντία, ἤγουν φό-

NOTÆ.

(68) *Καὶ θεαρέστως*. Legebatur, καὶ θεαρ...

A δους καὶ θράση καὶ ὀργὰς καὶ τιμωρίας καὶ φιλοτιμίας καὶ ῥᾳθυμίας, ὥστε τὰ τοιαῦτα πάθη τῶν τε σῶν στρατευμάτων ἢ καὶ τῶν πολεμίων δύνασθαί σε καὶ αὔξειν καὶ ταπεινοῦν.

κβʹ. Καὶ μάλιστα τὰ παρὰ σοὶ διὰ παραγγελμάτων ἐντέχνων καὶ προσποιήσεως προγνωστικῆς καὶ τῆς περὶ τὸ θεῖον ἐπιμελείας, καὶ τῆς διὰ λόγων δημηγορίας. Ταῦτα δὲ παραφυλάττειν ὥστε γίνεσθαι ἐν τῷ χρόνῳ καθ' ὃν αἱ ψυχαὶ ὑπὸ τοῦ λόγου κινηθεῖσαι διαμένειν δύνανται διὰ τῆς μνήμης πρὸς τὴν διάθεσιν τῆς κινήσεως· ἀλλὰ μὴ παρὰ τὰς ἀνάγκας αὐτάς, ὅτε πρὸς τὸ διαμάχεσθαι παρασκευάζονται. Συμβαίνει γὰρ ἀπαρασκεύους διαγωνιζομένους τοὺς στρατιώτας ἀτάκτως ἔχειν πρὸς τὸν τῆς μάχης κίνδυνον.

κγʹ. Χρὴ οὖν πρὸ τῶν κινδύνων μεθαρμόζειν τὰς ψυχὰς τῶν στρατιωτῶν πρὸς τὰς παρούσας δόξας B χρησίμως, ἀλλὰ καὶ τὰς τῶν ἀντιπολεμίων ψυχὰς καταδουλοῦν ἐντέχνως εἴς τε φόβους καὶ ῥᾳθυμίας καὶ μαλακίας, καὶ τότε ἐπιτίθεσθαι αὐτοῖς, καὶ ἄνευ παντὸς ὄκνου διαμάχεσθαι. Μηδαμῶς δὲ ἄλλως δυνατόν σε περιγενέσθαι τῶν ἐναντίων, εἰ μὴ πρότερον εἰς ἀνάγκας αὐτοὺς περιστήσεις.

κδʹ. Μηδὲ ἄγειν εἰς τοιούτους κινδύνους, ἐξ ὧν βελτίονες μᾶλλον ἔσονται οἱ ἐχθροί, παρ' ὃ βούλονται.

κεʹ. Εἰ δὲ πίστεις εἰσὶ καὶ ὁμολογίαι, ταύτας χρή σε φυλάττειν ἀπαραβάτους.

κϛʹ. Ἐν δὲ ταῖς τῶν πραγμάτων ἐκβάσεσι δέον σε μήτε εὐτυχοῦντα καὶ τῆς τῶν πολεμίων ἀτυχίας κρατοῦντα μέγα φρονεῖν διαπράξασθαι, μηδὲ πρὸς C τὰ κατεργασθέντα ἐναπομένοντα τῶν πόνων ἀμελεῖν, ἀλλ' εἰς τὰ μακρόθεν καὶ ἔμπροσθεν ἀποβλέπειν, καὶ βουλεύεσθαι τί χρὴ ποιεῖν· μήτε δὴ δυστυχῶν φανερὸς γίνου ὡς καταπεπληγμένος μήτε τοῖς στρατιώταις μήτε τοῖς πολεμίοις.

κζʹ. Ἀλλὰ μηδὲ πρὸς τοὺς πολέμους (69) διάλυε, ἐν οἷς καιροῖς δυνατὸς ὑπάρχεις κατ' αὐτῶν ἀντέχειν καὶ καταγωνίσασθαι, εἰ μὴ βεβαίαν εἰρήνην καὶ ἐπωφελῆ οἱ ἐναντίοι αἰτήσονται· μεγάλαι γὰρ ἐλαττώσεις πολλάκις ἐκ τοῦ τοιούτου τρόπου γίνονται.

κηʹ. Χρεὼν δέ σε καὶ τὸ στράτευμα εἰς πόλεμον ἐξάγειν μὴ ἀτελὲς διὰ τὸ πλῆθος, μηδὲ τῶν συνεργῶν τεχνῶν καὶ πραγμάτων ἀπολειπόμενον, μηδ' ἄλλην μηδεμίαν ἔχον ἐλάττωσιν, ἐξ οὗ μάλιστα τρόπου οἱ κακοὶ στρατηγοὶ διαβάλλονται. D

κθʹ. Χρὴ δέ σε σπουδαῖον ἀναφανῆναι, καὶ μάλιστα ἐν τῇ διοικητικῇ προνοίᾳ τῶν στρατευμάτων.

λʹ. Καὶ τὰς δαπάνας εἰς τὸ δυνατὸν ὀλίγας καὶ συνεσταλμένας κελεύειν, καὶ τὰ ἄλλα τὰ κοινὰ διασώζειν ἐμπείρως.

λαʹ. Καὶ ἐπὶ τούτοις μελετᾷν σε μετὰ πόνου τὰ δέοντα ἔν τε τοῖς ἀρχαίοις καὶ τοῖς νέοις, ὥστε ἱστορικὸν εἶναι πάντων τῶν κατὰ πόλεμον, καὶ ἔμπειρον παλαιῶν στρατηγημάτων ὅσα ἀξιάγαστα γεγόνασιν.

et supplicia, studia gloriæ et ignaviam teipsum comparabis, et hujusmodi affectiones animi sive in tuo exercitu, sive in hostium copiis sint, vel augere vel minuere possis.

22. Præcepta autem tua potissimum, simulatio prædictionum, cultus divinus, disertæ cohortationis tuæ opportune per tempus adhibeantur, ut mentes omnium oratione permotæ, voluntariæ in hoc statu affectuque consistant, neque necessitate inviti ad dimicandum pertrahantur. Qui enim milites minus ad pugnandum parati sunt, iidem confusionem ordinis et perturbationem in prælio afferunt.

23. Antequam igitur pericula subeant milites, animi illorum ita pertractandi sunt, ut ad omnem impetum sustinendum alacres sint : hostium autem mentes perturbandæ sunt, et in formidinem, mollitiem, desperationemque conjiciendæ, atque adeo tum adoriendi hostes, et sine ulla dilatione invadendi. Nulla enim alia ratione hostes sperabis, nisi in aliquas angustias illos prius deducas.

24. Neque in hujusmodi pericula hostes impellantur, in quibus, ut in desperatis rebus solent, meliores, quam illorum natura fert, et impetuosiores sint.

25. Sin induciæ fœderaque sint, nullo modo abs te violentur.

26. Ex rerum eventu si prospera tibi omnia et secunda sint, et hostium victoria potitus fueris, ne nimis animo efferaris : neque in rebus gerendis ita tardus sis, ut post initia negotiorum confecta circumspicias, et deliberes quid deinceps agendum sit : nec rursus si adversæ res ingravescant, stupidus et attonitus vel tuis vel hostibus videaris.

27. Sed neque iis temporibus cede hostibus ubi poteris illis resistere, et incursiones illorum propellere, nisi pacem hostes utilem ex te petant : magnæ enim rerum offensiones hujusmodi ex causis oriuntur.

28. Exercitus tuus ad bellum educendus est, multitudinem justam habens, cæteris armis bellicis minime defectus, nullaque alia re ad bellum necessaria destitutus : quibus in rebus mali imperatores facillime reprehensiones habent.

29. Industrius admodum debes esse, præcipue autem in iis administrandis quæ ad procurationem rei bellicæ pertinent.

30. Sumptus quam minimos et frugales admittes, et rem communem diligenter asservabis : deinde quæ facto opus sunt, omnia accures.

31. Itaque historias antiquorum et recentiorum diligenter cognoscas, et omnium factorum consiliorumque imperatoriorum, quæ digna cognitione sunt, rationem teneas.

NOTÆ.

(69) *Πολέμους*. Scribe, πολεμίους.

32. Quod si quis vel artifex vel plebeius aliquid A præ se ferat dicturum quod ad rem militarem atque imperatoriam pertinet, illum admitte libenter, et eorum quæ loquitur judex sis.

33. Consilium tibi cum senibus capiendum est, et iis qui rei bellicæ periti sunt, et qui aliqua dignitate ac nobilitate prælucent, et qui cum benevolentia consilium fidele in rebus gerendis dare possunt.

34. In periculis bellicis nunquam dimices, aut manus conseras, sed cautionem tui ipsius diligentem habeas, et universo exercitui præscribas, quid gerendum in universa dimicatione sit.

35. Consiliorum et factorum imperatoriorum excogitator sis, et in aggressionibus tuis solers exsistas, tum quando hostes invasurus, tum quando B ab illis invadendus es.

36. Ad repellendas hostium incursiones habilis, ad machinationes hostibus inferendas gravis, et ad id quod futurum est animo anticipandum solers.

37. Ad tesseras quasdam contra hostes excogitandas diligens et assiduus, prudentia, ingenio, industria cæteris omnibus præfectis antecedens.

38. Corpore robustus, et ad omnem armaturam utendam habilis atque expeditus : forma decora ac liberali, omni armorum constructione decorus atque illustris, ætate florens, corpore atque animo strenuus.

C

39. Abstinens pecuniæ, continens voluptatum omnium, laboriosus ad res tolerandas, fortis ad pericula sustinenda, intrepidus ad discrimina subeunda, ad justas res persequendas alacris, magnanimus in rebus cum militibus obeundis, gerendis, magna in existimatione exsistens, non propter generis nobilitatem, civitatem aut rempublicam ab aliis administratam, sed sua virtute, et in omni usu bellico diligenti sedulitate gloriam sibi comparans benevolentia ac animi promptitudine : cæteros omnes in singulis negotiis suscipiendis superans, et perinde ac de privatis rebus negotium esset, publicos labores tolerans

40. Disertus præterea et eloquens sis, et certissimis rationibus in re vera utens, nisi ubi interdum D ad excitandos militum animos, et ad mentes illorum præsenti rerum opportunitati aptandas, mentiri interdum et fictam orationem adhibere oporteat, quo melius in contrariam sententiam traducantur.

41. Erga illos qui in bello ceciderunt, et erga bonos viros potissimum, magnificus, liberalis, et munificus sis, et honores illis tum beando, tum memorabili sepultura afficiendo habebis.

42. Ægrotos quam diligentissime sanari curabis, erga pauperes de tuo liberalis, gloriæ non nimis expetens, et liberalis tum in privatis tum in communibus hominum consuetudinibus.

43. Neque contentiosus, neque curiosus, neque

λβ'. Καὶ εἴ τις ἐπαγγέλλεταί σοι περὶ στρατηγίας τι εἰπεῖν ἢ τεχνίτης, ἢ ἰδιώτης, πάντων ἄκουε, καὶ γίνου τῶν λεγομένων κριτής.

λγ'. Συμβουλεύεσθαι δέ σε χρὴ μετὰ γερόντων ἅμα ἐμπείρων γενομένων τῶν κατὰ πόλεμον ἔργων, καὶ ἀξιώμασι διαπρεπόντων, καὶ μετὰ εὐνοίας ἐν τοῖς πράγμασι, περὶ ὧν ἂν ᾖ ἡ βουλή, διακειμένων.

λδ'. Δεῖ δέ σε ἐν τοῖς κινδύνοις τῆς μάχης μὴ ἐκ χειρὸς μάχεσθαι, ἀλλὰ φυλακὴν ἔχειν περὶ σεαυτὸν, καὶ ἑρμηνέα γίνεσθαι τοῦ στρατοῦ κατὰ τὴν ὥραν τῆς μάχης πρὸς τὴν κατεπείγουσαν χρείαν.

λε'. Ὀξέως ποιητικόν τε εἶναι στρατηγημάτων, καὶ ἀγχίνουν ἐν ταῖς ἐπιχειρήσεσιν ὑπάρχειν, καὶ ὅταν αὐτὸς ἐπιτίθεσθαι βούλει τοῖς πολεμίοις, καὶ ὅταν ἐπιβουλεύεσθαι μέλλῃς παρὰ τῶν πολεμίων.

λϛ'. Ἔσο δὲ καὶ ἐν τοῖς αἰφνιδίοις φόβοις εὔπορος, καὶ πρὸς τὰς τῶν πολεμίων κακουργίας δεινὸς προϊδεῖν, καὶ τὸ μέλλον προστοχάσασθαι.

λζ'. Εἶναι δέ σε χρὴ καὶ πρὸς τὰ συνθήματα, ὅσα κατὰ τῶν πολεμίων ἐπινοήσεις, σύντονον καὶ ἐπιμελέστατον, συνέσει τε καὶ φύσει καὶ ἐπιμελείᾳ διαφέροντα τῶν ὑπὸ σὲ ἀρχόντων.

λη'. Καὶ τῷ σώματι δὲ ῥωμαλέον καὶ πρὸς πᾶσαν ὅπλισιν, ὥστε χρῆσθαι αὐτῇ δυνατῶς καὶ ἀνεμποδίστως, καὶ εὐτρεπῆ δὲ ἐντεῦθεν γίνεσθαι τὴν εἰδέαν, καὶ κατεσκευάσθαι τῇ παντευχίᾳ τῶν ὅπλων καλῶς καὶ εὐπρεπῶς καὶ ἀπόνως, ὡς γενναίων τὴν ἡλικίαν, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα εὔρωστον.

λθ'. Εἶναι δέ σε μάλιστα καὶ ἐγκρατῆ χρημάτων καὶ ἡδονῶν ἁπασῶν, φιλόπονον δὲ πρὸς τὰς καρτερίας, ἀνδρεῖον δὲ πρὸς τοὺς κινδύνους, καὶ μὴ ταρασσόμενον ἐν τοῖς ἀγῶσιν, φιλότιμον περὶ τὰς πράξεις τὰς μετὰ δικαιοσύνης, μεγαλόψυχον δὲ ἐν τοῖς ἔργοις τοῖς πρὸς τοὺς στρατιώτας, ἀξίωμα ἔχοντα ἀντὶ πόλεως καὶ γένους καὶ πολιτείας εὐνομουμένης τὴν οἰκείαν ἀρετὴν, καὶ τῷ προέχειν ἁπάντων ἐν τῇ κατὰ πόλεμον ἐμπειρίᾳ, εὐνοίᾳ τε καὶ φιλοτιμίᾳ ἐν τοῖς παροῦσιν ἀεὶ πράγμασιν τοὺς ἄλλους νικῶντα, καὶ ὡς ὑπὲρ ἰδίων πραγμάτων τοὺς κοινοὺς κινδύνους ἀναδεχόμενον.

μ'. Προσέτι δὲ δημηγορικόν σε εἶναι χρὴ, καὶ ἀγωνιστὴν, καὶ τοῖς ἀληθεστάτοις τῶν λόγων χρώμενον περὶ τὴν ἀλήθειαν. Πλὴν ὅσον συμφέρειν οὐδὲ ἐπιψεύδεσθαι, ὥστε εἰς ἄλλο ἦθος μεταστῆσαι καὶ κινῆσαι τὰς τῶν ἀκουόντων ψυχὰς χρήσιμον, καὶ βελτίους ποιῆσαι πρὸς τὸν παρόντα καιρόν.

μα'. Περὶ δὲ τοὺς ἐν ταῖς μάχαις ἀποθνήσκοντας μεγαλοπρεπὴς γενοῦ, καὶ φιλότιμος, καὶ τιμητικὸς, μάλιστα περὶ τοὺς ἀγαθοὺς ἄνδρας, δόξαν αὐτοῖς διὰ τοῦ μακαρισμοῦ καὶ τῆς ἐντίμου ταφῆς περιποιούμενος.

μβ'. Τῶν νοσούντων θεραπευτικὸς, περὶ τοὺς ἀπόρους εὔπορος ἐκ τῶν ἰδίων, ἀφιλόδοξος δὲ καὶ ἐλευθέριος ἐν ταῖς ἰδίαις καὶ ἐν ταῖς κοινῇ συνερχομέναις ὁμιλίαις.

μγ'. Μὴ δύσερις ὑπάρχῃς μηδὲ πολυπράγμων,

μηδὲ πολύλογος, τῇ δὲ ἐσθῆτι μέτριος, καὶ τῷ σχήματι, καὶ τῷ βαδίσματι. Καὶ μᾶλλον τῶν ἄλλων τὸ ἀνεπίφθονον παραφύλαττε, ὥστε μὴ δάκνεσθαι τῷ φθόνῳ περὶ τοὺς συστρατήγους τι κατορθοῦντας, ἀλλὰ ζηλοῦν μᾶλλον καὶ μιμεῖσθαι καὶ συναγωνίζεσθαι τοῖς στρατευομένοις πρὸς ἅπαντα τὰ συμφέροντα.

μδ'. Τῷ δὲ ἀγαθῷ στρατηγῷ χρέος ἐστὶν πρὸς πᾶν ἔθνος ἁρμοζομένῳ, διαφόρους πρὸς ἕκαστον τὰς στρατηγίας ἐπινοεῖσθαι.

με'. Εἰ δέ ποτε καὶ ναυαρχίας ἐπιστήσεται, ἀκύμαντον τὴν τοῦ στόλου τάξιν διαφυλάξει, ἐμπείρως ἔχων τῆς τοῦ ἀέρος φορᾶς, καὶ τὰς οὐραγίας (70) δὲ, ἤτοι τοὺς ὀπισθοφύλακας εὐτάκτως συνάγειν, ἵνα μὴ ὑπὸ τόπου, ἢ ὑπὸ ζάλης θαλαττίας, ἢ ὑπὸ πολεμίων ἀναγκαζόμενοι φθείροιντο.

μς'. Δεῖ δέ σε γινώσκειν, ὦ στρατηγὲ, καὶ ἐξ ὅσων τρόπων αἱ μάχαι συνάπτονται. Ἢ γὰρ ἐκ παρατάξεως κατὰ πρόσωπον, ἢ ἐκ παραλογισμοῦ κατὰ μέθοδον, ἢ τόπων ἀποστερίσκοντας ὀχυρῶν, ἢ χώραν ἐξ ἐφόδου φθείροντας, ἢ δενδροτομίας, ἢ σιτοφθορίας, ἢ δώματα ἐμπυρίζοντας, ἢ λεηλατοῦντας, ἢ αἰχμαλωτίζοντας, ἢ ὑδάτων ἀποστεροῦντας, ἢ ἐξ ἐνέδρας ἐπερχομένους.

μζ'. Συνάπτονται δὲ αἱ μάχαι ἐκ τούτων, ὅταν αἰφνιδίως ἐπιστῇ στράτευμα στρατεύματι, καὶ ποταμὸν διαβαίνοντι τῷ πολεμίῳ συνάπτειν, καὶ ὡς στενοὺς τόπους ἐξ εὐρυχωρίας μεταλλασσομένῳ, καὶ ἀπὸ στενῶν τόπων εἰς εὐρυχωρίαν καθισταμένῳ, καὶ μήπω συντεταγμένῳ. Καὶ ὅταν μεταλλαγῇ (71) ἀθρόα τοῦ στρατοῦ τῶν πολεμίων γένηται, καὶ ὅταν ἐν τόποις κατακλεισθῶσι δυσδιεξοδεύτοις, καὶ ὅταν τῶν ἀναγκαίων ἀπορήσωσιν, καὶ ὅταν εἰς νόσον τὸ στράτευμα τῶν ἐναντίων ἐμπέσῃ, καὶ ὅταν ὑπὸ χειμῶνος παραλόγως ἐνοχληθῶσιν ἢ ἐναπολειφθῶσι χειμῶνι, καὶ ὅταν ἀπὸ τῶν ἡμερινῶν πόνων τὰ σώματα κατάκοποι γενόμενοι ἄσιτοί εἰσι καὶ νηστεύοντες. Ἢ πορείας μακρᾶς ἐμπεσούσης καὶ κόπος τῶν ἀλόγων καὶ ἀνδρῶν γένηται, ἢ ὅταν ἄγρυπνοι γένωνται διά τινας αἰτίας. Ἐν δὲ τοῖς ναυτικοῖς μάχαι συνάπτονται ἢ ὅταν οἱ πολέμιοι ναυαγήσωσιν, ἢ ὅταν ὑπὸ χειμῶνος ταλαιπωρηθῶσιν.

μη'. Δεῖ δὲ εἰδέναι τὰ τοιαῦτα τὸν στρατηγὸν, καὶ τὰ ἐκ τούτων ἐναντία γινόμενα, προσέτι δὲ καὶ τοὺς καταμερισμοὺς τοῦ στρατοῦ, καὶ τὰς παρατάξεις, καὶ τὰς παραγωγὰς τῶν τάξεων, ἵνα δι' ὀλίγων πείθωνται. Εἰδέναι δὲ καὶ τὰ εἴδη τῶν παραγγελμάτων.

μθ'. Καὶ πρὸς μὲν τὰς ἀπηριθμημένας ἁπάσης τῆς μάχης ἐπιβολὰς νουνεχῶς ἐπιβάλλειν σε παρακελευόμεθα, ὦ στρατηγὲ, καθόσον ἐπινοήσεις ἐνδέχεσθαι τὰς ἐγχειρήσεις, φυλάττεσθαι δὲ ἀπ' αὐτῶν τὰς τῶν πολεμίων ἐπιθέσεις. Καὶ πρὸς πάντα τὰ τοιαῦτα, εἰ οὕτω τύχοι, ἐμπίπτοντά σε φεύγειν τὰς ἐγχειρήσεις· ἃ γὰρ ἑτέροις δράσεις, δι' αὐτῶν τὰ

A loquax. Vestitu, habitu, incessu moderatus; invidiam ex omnibus rebus summe devita, neque militibus strenue rem aliquam gerentibus ea te mordeat, sed laudes eos potius et imiteris, et adjuves ad honesta omnia suscipienda.

44. Unumquemque imperatorem par est adversus ullam nationem bellum suscipientem, cogitare, et cognoscere, quænam forma aciei illorum sit, et quibus potissimum artificiis machinationibusque in bello utuntur.

45. Sin navali classi præficiatur, provideat, ut ne classis aliquibus sali tempestatibus jactetur, et astrorum, aerisque motus observet. Ultima agmina
B classis, aut aciei ordinate ad se colligat, ne locorum importunitate, aut tempestate maritima, aut hostibus oppressa pereant.

46. Cognoscendum tibi præterea est, quibus modis prælia committuntur, vel in acie ad frontem instructa, vel ex dolo quadam circuitione, vel loca occupando munitiora, vel regionem incursione diripiendo, vel ligna cædendo, vel fruges populando, vel ædes incendendo, vel agros vastando, vel captivos abducendo, vel aquas illorum detrahendo, vel insidiis adoriendo, bella cum hostibus geruntur.

47. Committuntur etiam pugnæ in bello, quando subito invadit exercitus exercitum, et fluvium
C transeuntem hostem adoritur, et e spatiosis locis in angustum compellit, et ex angustis locis in spatiosiora hostem nondum instructum educit, et quando commutatio subita est ejus qui hostes vicerat, et quando in locis includuntur ad exeundum difficilibus, et quando rebus necessariis destituuntur, et quando in aliquam offensionem valetudinis hostium copiæ cadunt, quando adventante hieme graviter perturbantur, aut ipsa in hieme defecti necessariis sunt, quando diurnis laboribus lassati, inedia cibi, potionisque vexantur. Vel si iter magnum contingat, tum homines, tum jumenta lassentur, vel quando nimis vigiles certis de causis sunt, vel quando prælium navale illis accidit, vel quando hostes naufragium fecerint, vel quando
D hieme excruciantur.

48. Hæc omnia, horumque contraria imperator cognoscat. Divisiones præterea exercitus, deductiones acierum, ut facile obtemperent, genera quoque mandatorum cognoscant.

49. Præter has prædictas omnes belli irruptiones, prudenter ut hostes adoriaris præcipimus, quantum subitæ rerum aggressiones prudentiam admittere possunt. Hostium autem incursiones quantum potes devites, et omnia hujusmodi, quæ incidere possunt, propulses. Quæ enim in hostes inferre cogites, eadem sæpe numero ab illis patie-

NOTÆ.

(70) *Καὶ τὰς οὐραγίας*. Scribebatur, τὰς οὐρανίας.

(71) *Ὅταν μελλαγῇ*. Scribe, ὅταν μεταλλαγῇ.

ris, et aliis quoque quibusdam molitionibus ab A hostibus invaderis, nisi caute, et prudenter circumspicias, et quæ facto opus sunt illis opponas.

50. Iis anni temporibus excursio facienda, quando fruges sunt.

51. In acie instruenda solem a tergo, et ventum habeas, et in hostium oculis utrumque collocabis.

52. Vocalis in mandandis rebus eris, animosus, concinnam habens vocem.

53. Naturam belli artes ipsæ adjuvant, cujus generis sunt disciplinæ armandi, rationum sub- B ducendarum, acierum instruendarum, architecturæ, astrorum, medicinæ.

54. Disciplina armandi hoc in se continet, ut corpora armis moderatis, idoneis, firmis, exquisite confectis tegantur. Eligenda hujusmodi corpora sunt, quæ ad arma capienda idonea sunt.

55. Quantus, qualisque armorum usus esse debeat, demonstrandum militibus est, horumque exercitationes, et contentiones ad omnem necessitatem, et apparitionem prælii ostendendæ sunt.

56. Cura etiam sit honorum, dignitatum, et abundantiæ pecuniarum, quibus arma, reliquæque expensæ necessariæ adhibendæ suppeditentur. Hæc C de armatura hactenus.

57. Disciplinæ rationis subducendæ munus erit, exercitum in contubernia, acies, turmas, drungos, cohortes, quincurias, decurias, centurias, reliquasque partes, atque acies dividere, atque ex iis omnibus eos separare, et quot castra custodiant, qui et quot minores natu, et provectiores, quique claudi sunt, aut propter ægritudinem languentes, quique ad civilem magistratum, et ad rem publicam gerendam delecti sunt; corpora præterea florentia a languidis secernere, et horum quoque rationem habere tum magnitudinis, tum parvitatis corporum; præfectus provecta ætate homines constituere, stationem tum quod ad longitudinem, tum D quod ad altitudinem spectat collocare; quali cum numero, et quibus cum partibus unaquæque pars ad necessarios motus belli constituatur. Hæc omnia hujus disciplinæ sunt.

58. Disciplina acierum instruendarum hæc in se habet: formas acierum demonstrare, quibus aut invadas alios, aut ab aliis invadere, et quæ ad hostium impetum excipiendum valent, et quæ ad impressionem in hostes faciendam maximum mo-

ὅμοια πάθοις πάλιν ὑφ' ἑτέρων δι' αὐτῶν (72), εἰ μὴ λίαν ὀξέως καὶ νουνεχῶς ἐπιβάλῃς τοῖς ἐμπίπτουσι καὶ ἀντιτιθῇς ταῖς ἀνάγκαις τὰ δέοντα.

ν'. Ἐν δὲ τούτοις τοῖς χρόνοις τοῦ ἐνιαυτοῦ δέον σε τὰς ἐκστρατείας ποιεῖσθαι, ὅταν εἰσὶν οἱ καρποί.

να'. Ἐν δὲ ταῖς στάσεσι τῶν παρατάξεων τὰ ἐναντία πνεύματα κατὰ νώτου ποιεῖσθαι, καὶ τὸν ἥλιον δὲ ὡσαύτως κατὰ τὰς πολεμικὰς ἀγωνίας ἐν ὄψει τῶν ἐναντίων ποιεῖν.

νβ'. Εἶναι δέ σε δεῖ μεγαλόφωνον ἐν τοῖς παραγγέλμασιν, καὶ εὐθαρσὴς, καὶ ἐμμελὲς ἔχειν τὸ φθέγμα.

νγ'. Συνεργοῦσι δὲ τῇ φύσει τοῦ πολέμου αὗται αἱ τέχναι, οἷον ὁπλιτικὴ, λογιστικὴ, ἀρχιτεκτονικὴ (73), ἀστρονομικὴ, ἱερατικὴ, ἰατρικὴ.

νδ'. Ἔργα δὲ τῆς ὁπλιτικῆς, ὥστε περιφράττειν τὰ σώματα ὅπλοις συμμέτροις καὶ ἁρμόζουσι καὶ ἰσχυροῖς καὶ ἀκριβῶς εἰργασμένοις, καὶ εὐπρέπειαν παρέχουσι τῶν φερόντων αὐτὰ σωμάτων. Ἐκλέξασθαι δὲ δεῖ καὶ τὰ σώματα, ὅσα πρὸς πανοπλίαν ἁρμόζουσιν.

νε'. Δεῖ δέ σε ὑποδεικνύναι τοῖς στρατιώταις οἵας καὶ ὅσας εἶναι χρὴ τῶν ὅπλων τὰς χρήσεις, καὶ τὰς μελέτας τούτων, καὶ πάσας τὰς ἀγωνίας πρὸς πᾶσαν συσκευὴν καὶ γυμνασίαν πρὸς τὰς μάχας.

νς'. Φροντίζειν δὲ καὶ τιμῶν καὶ οὐσιῶν καὶ εὐπορίας. Ἐξ ὧν αἱ κτήσεις τῶν ὅπλων καὶ αἱ δαπάναι αἱ περὶ τὰ σώματα ἀρκοῦσαι ἔσονται. Ταῦτα μὲν τὰ ὁπλιτικά.

νζ'. Λογιστικῆς δὲ ἔργον ἐστὶν, ὥστε μερίζειν τὸ στράτευμα κατὰ κοντουβέργια, καὶ τάξεις καὶ τούρμας, καὶ δρούγγους, καὶ βάνδα, καὶ κενταρχίας τε, καὶ δεκαρχίας, καὶ πενταρχίας, καὶ τοὺς ἄλλους ἀριθμοὺς καὶ ὅλας παρατάξεις, καὶ πάντων τούτων ποιεῖσθαι διαίρεσιν, τίνες καὶ ὅσοι τὰ κάστρα φυλάξουσιν, καὶ τίνες καὶ ὅσοι νέοι ἢ γέροντές εἰσιν, ἢ ἀνάπηροι τὰ μέλη, ἢ διὰ νόσου ἀδύνατοι, καὶ ὅσοι τῆς πολιτικῆς ἀρχῆς, ἢ περὶ τὰ δημόσια πράγματα τεταγμένοι. Ταῦτα λογιστικῆς εἰσι· διακρῖναι δὲ καὶ ἐπιλέξασθαι τὸ λοιπὸν τὰ ἀκμάζοντα σώματα πάσης τῆς στρατιᾶς, καὶ τούτων τὸν μερισμὸν, ὁπόσοι εἰσὶ κατά τε μέγεθος καὶ σμικρότητα. Καὶ ὅπως ἄρχοντας ἐπὶ τούτοις μεγάλους τὰς ἡλικίας δεῖ ποιεῖσθαι, καὶ πῶς τὰ περὶ τὴν στάσιν ἔν τε τῷ μήκει καὶ τῷ βάθει γινόμενοι ταχθήσονται, καὶ ἐν ποίοις ἀριθμοῖς ἕκαστα τῶν μερῶν καὶ ποῦ κατατάξονται πρὸς τὰς ἐν ταῖς χρείαις ἀναγκαίας κινήσεις· καὶ ταῦτα μὲν τῆς λογιστικῆς.

νη'. Τῆς δὲ τακτικῆς ἔργον ἐστὶν, ὥστε τὰ σχήματα τῶν ταγμάτων δεῖξαι. Ἐν οἷς ἡ ἐγχειρεῖσθαι συμβαίνει, καὶ ποῖα χρήσιμα πρὸς τὸ ὑποδέχεσθαι πολεμίων ἐπιφορὰς, καὶ ποῖα πρὸς τὸ ἐπέρχεσθαι ἢ ἀμύνασθαι πέφυκεν, καὶ μετὰ ποίου τρόπου γίνον-

NOTÆ.

(72) Ὑφ' ἑτέρων δι' αὐτῶν. Postrema illa, δι' αὐτῶν, male repetita censeo, et delenda.

(73) Λογιστικὴ, ἀρχιτεκτονικὴ. Scribe una voce amplius, λογιστικὴ, τακτικὴ, ἀρχιτεκτονικὴ. Patet ex sequentibus.

ται ἕκαστα· καὶ ποίας ὁπλίσεις δεῖ ποιεῖσθαι κατὰ τῶν ἐναντίων, καὶ πῶς μετακινεῖσθαι τὰς τάξεις δυνατὸν, καὶ ἐν τίνι τόπῳ, καὶ πότε χρηστέον. Ταῦτα μὲν καὶ τῆς τακτικῆς.

A mentum habent, quemadmodum singula fiant, qualem armaturam adversus hostem fabricare, quemadmodum acies moveri debeant, quo loco, temporeque utendum. Atque hæc de aciebus instruendis.

νθ'. Τῆς δὲ ἀρχιτεκτονικῆς ἐστιν τὰ τῶν στρατοπέδων καὶ φοσσάτων σχήματα ἤτοι τῶν ἀπλήκτων, πῶς δεῖ ταῦτα περιλαβεῖν διὰ φοσσάτου ἢ χάρακος, καὶ τὸν ἔσωθεν τόπον διαμερίσαι συμμέτρως, καὶ ποιῆσαι διεξόδους τὰς ἁρμοζούσας, καὶ τὸ δεῖξαι διαστήματα μεγίστου στρατοπέδου διὰ τοῦ μήκους καὶ ἐλαχίστης πάλιν διὰ συστολῆς, ὅτε καιρὸς τῆς ἑκάστου χρείας ἐστίν· ἐκλέγεσθαι δὲ καὶ τόπους ὅσοι μὴ εὐεπιβούλευτοί εἰσι τοῖς πολεμίοις, καὶ ὅσοι εὐαπάλλακτοι ἐν ταῖς ὑποστροφαῖς καὶ ταῖς ἀναζεύξεσιν.

59. Architecturæ est castrorum formas describere, quemadmodum fossa, aut vallo obsepienda sunt; interiora loca apte, distributeque sejungere, exitus aperire, maximi exercitus intervalla, minimi autem angustias tenere, ubi utrorumvis aliquis usus fuerit, loca eligere, quæ hostium insidiis minime appetantur, quæque in reversionibus, disjunctionibusque idonea esse possunt.

ξ'. Προσέτι δὲ μηχανικῆς ἐστι τειχίσματα πόλεων ἢ ἄλλων φρουρίων πρὸς τὰς τῶν πολεμίων μηχανὰς ἀκαταγώνιστα κατασκευάσαι, καὶ ὑπὸ ὑδάτων ἂν ἐπαγωγῆς ἀνάλωτα. Καὶ περὶ τὰ τείχη δὲ κατασκευὰς ποιῆσαι καὶ παρασκευάσαι ὅπλισιν· οἷον τὰ λεγόμενα μαγγανικὰ, καὶ τοξοβολίστρας, καὶ τὰ ἄλλα ὅλα ὅπλα ὅσα πρὸς τειχομαχίαν ἀντίκειται, καὶ ἑτέρας δὲ (74) πρὸς τειχομαχίας ἐπιτήδεια. Ταῦτα μὲν καὶ τῆς ἀρχιτεκτονικῆς.

B 60. Hujus artis præterea sunt, muros civitatum, aut munitionum ab hostium machinationibus integros servare, aut aquarum inundationes ab illis repellere, arma ad muros defendendos parare, ut manganica, toxobolistras, et reliqua hujus generis, quæcunque vel ad muros defendendos, vel oppugnandos spectare solent, atque hæc de architectura.

ξα'. Τῆς δὲ ἀστρονομίας εἰσὶν, τοὺς καιροὺς τοῦ ἐνιαυτοῦ προλέγειν, ἐν οἷς χειμώνων καὶ καυμάτων μεταβολαὶ γίνονται, ἢ ὑδάτων ὀμβρίων μεταφοραὶ, ἢ πνευμάτων ἐξαισίων κινήσεις, ἐξ ὧν στρατεύματα πολλάκις εἰς μεγίστους κινδύνους ἐνέπεσον. Καὶ περὶ τὰ μέρη δὲ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἀκριβῶς διαιρεῖν τοὺς καιροὺς πρὸς τὰς ὥρας τῶν ἐπιθέσεων καὶ πρὸς τὰς ἀναπαύσεις, ἐν αἷς ἀστοχοῦνται (75) πολλάκις ἄχρηστον τὴν δύναμίν τινες ἀπεργάζονται. Περί τε σεισμῶν καὶ τῶν ἄλλων σημείων τὰ μέλλοντα δηλοποιεῖν, ἢ καὶ πρὸς τὸ συμφέρον, τὰς ἐπιφανείας ἐντέχνως μεταρυθμίζειν. Πάντα ταῦτα τῆς ἀστρολογίας εἰσίν.

61. Astronomiæ est tempestivitates anni prædicere, in quibus frigorum, et calorum commutationes fiunt, aut imbrium, et aquarum pluviarum proluvies, vel ventorum ingentium flatus, e quibus magni exercitus in summa sæpe discrimina venerunt; diei C noctisque partes ita commode dividere, ut requietis ac incursionis tempora facillime cognoscantur, quibus non observatis, universæ copiarum summæ sæpe in rebus aggrediendis irritæ atque inanes fuerunt; terræ motus, reliquorumque signorum, et portentorum eventus præmonstrare, illaque ad nostros milites animandos transferre. Sed de astrologia satis.

ξβ'. Τῆς δὲ ἱερατικῆς ἐστιν τὸ, καλῶς τὰ θεῖα χρῆσθαι, καὶ ταῦτα ἐπιτελεῖν ἀδιαλείπτως τὰ στρατεύματα εὐσεβῶς τε καὶ θεαρέστως κατὰ τὸν παραδοθέντα θεσμὸν ἄνωθεν τοῖς εὐσεβοῦσι Χριστιανοῖς, διά τε ἱερολογιῶν, καὶ ἱερουργιῶν καὶ τῶν ἄλλων εὐχῶν καὶ δεήσεων πρὸς τὸν Θεὸν ἐκτενῶς γινομένων, καὶ πρὸς τὴν πανάχραντον αὐτοῦ Μητέρα καὶ Θεοτόκον, καὶ τοὺς ἁγίους αὐτοῦ θεράποντας. Ἐξ ὧν ἱλεοῦται τὸ Θεῖον, καὶ διὰ τὴν πίστιν τῆς σωτηρίας αἱ ψυχαὶ τῶν στρατιωτῶν εὐρωστότεραι πρὸς τοὺς κινδύνους παρασκευάζονται.

62. Sacrarum rerum scientiæ est, bene divinis uti, et his incessanter operari exercitu pie, et ita ut Deo placeant, juxta legem piis Christianis superius traditam, per sacros sermones, et sacrificia, et alias orationes, et preces ad Deum assidue, et ad ejus intemeratam Matrem, et Deiparam, et sanctos ejus famulos, factas, quibus propitiatur D Deus, et per fidem salutis animæ militum firmiores ad pericula subeunda parantur.

ξγ'. Τῆς δὲ ἰατρικῆς ἐστι, περὶ τὰ ἕλκη τὰ ἐκ τῶν τραυμάτων γινόμενα, καὶ περὶ τὰς πληγὰς ὅσαι ἀπὸ λίθων ἢ ἀπὸ βελῶν ἢ ἄλλου τινὸς ὅπλου γίνονται, τούτων πάντων φάρμακα ἔχειν θεραπευτικὴν, καὶ ἐπιστήμην ἰατρικήν. Ἀλλ' ὅσα νοσήματα κοινὰ συμβαίνειν εἴωθε διαψύχει (76), καὶ καύματα, καὶ πόνους, καὶ ὑδάτων μεταβολὰς, καὶ τόπων θέσεις,

63. Medicina, ulcera, quæ ex vulneribus orta sunt, vel plagas, quæ lapidibus, aut telis, aut aliis hujusmodi rebus infliguntur, sanat, et pharmaca iis parata habet. Ægritudines, quæ ex calore, aut frigore, labore, aquarum mutatione, locorum situ, aeris temperie, corporis curandi negligentia, alimentorum improbitate, novarum frugum, et fru-

NOTÆ.

(74) *Καὶ ἑτέρας δέ*. Scribe, καὶ ἕτερα δέ.
(75) *Ἀστοχοῦνται*. Scribe, ἀστοχοῦντες.
(76) *Διαψύχει*. Scribe, διὰ ψύχη.

ciuum cæterorumque hujus generis insalubritate oriuntur, arte sua pellit.

64. Ad artem rationis subducendæ præterea pertinent, sumptus militum, summa spoliorum, pecuniarum accumulatio, et quemadmodum iterum in armorum machinationumque apparatum, et in alios militiæ usus consumantur: horum omnium dijudicatio ratioque ad artem hanc spectat.

65. Ad apparatum igitur, salutemque exercitus constituendam hæ artes, atque iis artibus instructi homines pernecessarii sunt. In armorum ratione elaborant, qui armorum conficiendorum periti sunt.

66. In ratione subducenda, litterarum et summarum faciendarum periti homines; in acierum instruendarum ratione tu, imperator, atque alii qui sub te præfecti constituti sunt.

67. In architectonica, qui architecti et mechanici sunt, et longo tempore in usu harum rerum versati sunt. In astrorum ratione, qui cœlestia corpora scrutati sunt, quique in astrorum ortu atque obitu, conversionibus planetarum, operam suam collocant, qui Ptolemæum diligenter cognoscunt, et Chaldaicas quasdam observationes, Arati Φαινόμενα, Joannis Lydi diurnam menstruamque observationem tenent. Genethlialogias autem, quæ iis in libris sparsæ sunt, et ab Ecclesia Dei rejiciuntur, nos nostro quoque regno expellimus. Et hac sunt de astronomia.

68. Juxta sacrorum autem scientiam, sacerdotes puri et graves vita et moribus, et sanctificati sacrificiis, et ipsi proprii muneris finem Deo offerent; sicuti et nos, quæ paulo superius diximus, recapitulantes imperatoriæ hujus nostræ præfecturæ finem, omnium bonorum datori Deo consecramus.

69. Leges igitur imperatoriæ ac militares, a nostro regno tibi, militibusque, qui sub imperio tuo sunt, hæ præscriptæ sint, quæ abs te assidue custodiantur, et ad eas servandas omni studio ac labore enitaris; magna enim et præclara hinc adjumenta reportabis. Quando enim consilia factaque imperatoria ad aciem tuam firmandam excogi-

A καὶ ἀέρων κράσεις, καὶ σωμάτων ἀθεραπευσίαν, καὶ τροφῶν ἀταξίαν, οἷον καρπῶν νέων, καὶ τῶν ὁμοίων, τούτων πάντων ἡ ἰατρικὴ ἐστι θεραπευτική.

ξδ'. Προσέτι τῆς λογιστικῆς εἰσι διοικήσεως, καὶ τὰ ἀναλώματα τῶν στρατιωτῶν, καὶ ὅσα ἀπὸ λαφύρων συναθροίζονται, ἢ ἄλλοθεν συνάγματα χρημάτων, καὶ πάλιν ποῦ ἀναλίσκεται, εἴς τε ὅπλων καὶ μηχανημάτων κατασκευὰς, καὶ εἰς ἑτέρας χρείας, ὡς εἰκὸς, ἑκάστης ἐκστρατείας, τούτων πάντων μὴ εὐκρίνεια καὶ οἱ λόγοι τῆς λογιστικῆς εἰσι μεθόδου.

ξε'. Τέχναι μὲν οὖν τοσαῦται πρός τε κατασκευὴν καὶ σωτηρίαν στρατεύματος, καὶ τεχνῖται δὲ τούτων οἱ ἐπιστημόνως αὐτὰς μεταχειριζόμενοι.

B ξς'. Τὴν μὲν οὖν ὁπλιτικὴν οἱ περὶ τὴν τῶν ὅπλων ἐργασίαν πονοῦσι τεχνῖται, τὴν δὲ λογιστικὴν γραμμάτων καὶ ψήφων ἔμπειροι ἄνδρες, τὴν δὲ τακτικὴν σύ τε αὐτὸς, ὦ στρατηγὲ, καὶ ὅσοι ὑπὸ σὲ τεταγμένοι ἄρχοντες.

ξζ'. Τὴν δὲ ἀρχιτεκτονικὴν οἱ τέκτονες καὶ μηχανικοὶ, καὶ ἐκ πολλοῦ πρὸς τὴν τοιαύτην γυμνασίαν ἔμπειροι. Τὴν δὲ ἀστρονομίαν οἱ περὶ τὰ μετέωρα στοχάζονται, σοφίᾳ τε καὶ ἐπιστήμῃ τῆς τῶν ἀστέρων ψηφοφορίας διαφέρονται, περί τε τὸν Πτολεμαίου κανόνα, καὶ περὶ τὴν αὐτοῦ λεγομένην *Τετράβιβλον*, καὶ περὶ ἕτερά τινα τῶν Χαλδαϊκῶν παρασημειώσεων (77). Προσέτι δὲ καὶ τὴν τοῦ Ἀράτου (78) περὶ τῶν φαινομένων διαγόρευσιν.... Ἰωάννου τοῦ Λυδοῦ καθημερινήν τε καὶ μηνιαίαν C παρατήρησιν. Τὰ δὲ τῆς γενεθλιαλογίας ὅσα ἐν τοῖς εἰρημένοις παρέσπαρται, ὡς ἀπόβλητα τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἡ ἡμετέρα ἀποτρέπεται βασιλεία· καὶ ταῦτα μὲν τῆς ἀστρονομίας.

ξη'. Τὴν δὲ ἱερατικὴν, ἱερεῖς καθαροὶ, σεμνοὶ τὸν βίον καὶ τρόπον, καὶ καθηγιασμένοι τελεσιουργήσουσιν καὶ αὐτοὶ τὸ τέλος τῆς οἰκείας ἐνεργείας τῷ Θεῷ ἀναστήσουσιν, ὡσπερεὶ καὶ ἡμεῖς τὰ πρώην ἡμῖν εἰρημένα ἀνακεφαλαιωσάμενοι τὸ τέλος τῆς στρατηγικῆς ἡμῶν ταύτης ἀφηγήσεως τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ ἀνατίθεμεν.

ξθ'. Νόμοι μὲν οὖν στρατηγικοὶ καὶ τύποι τοσοῦτοι παρὰ τῆς ἡμετέρας βασιλείας σοί τε αὐτῷ, καὶ τῷ ὑπὸ σὲ στρατεύματί τε καὶ πολιτεύματι διὰ D πείρας ἐγγεγυμνασμένοι ἔστωσάν τε καὶ φυλαττέσθωσαν, ὦ στρατηγὲ, καὶ χρή σε τοῖς ἐνταῦθα ἐγγεγραμμένοις μετὰ προσοχῆς τε καὶ νήψεως πλείστης ἐμμελετᾷν. Μεγάλα γὰρ κερδήσεις ἐκ τοῦ

NOTÆ.

(77) *Παρασημειώσεων*. Scribebatur, παρασηόσεμων.

(78) *Τοῦ Ἀράτου*. Scribebatur, τοῦ Ἀοράτου. Porro Checi codex hic citat etiam Joannis Lydi *Diurnam menstruamque observationem*. Intelligit vero eo nomine Nigidii Figuli, *De tonitruum per singulos menses, et dies significatione* librum, quem Lydus hic e Latina lingua in Græcam transtulit. Exstat ipsum opus in bibliotheca Palatina, ubi nos ante quinquennium, cum illic ageremus inter peregrinandum, descripsimus, et edendum dedimus Jano Rutgersio, præstantissimi ingenii, et multarum litterarum juveni. Meminit hujus Lydi Suidas: Ἰωάννης Φιλάδελφος Λυδός. Οὗτος ἔγραψε περὶ μηνῶν βιβλίον α', καὶ περὶ διοσημειῶν ἕτερον, καὶ ἄλλων τινῶν ὑποθέσεων μαθηματικῶν. Προσομιλεῖ δὲ ταῦτα Γαβριήλῳ τινὶ ὑπάρχῳ. Vixit autem circa Justiniani tempora, uti nos decet Theophylactus Simocatta, lib. VII, cap. 16: Τινὸς δὲ σημαντικὸν ἡ τούτων ἐνδημία καθέστηκεν, εἰπεῖν ἐθάῤῥησεν ὁ Λυδὸς τῶν ἄλλων λίαν νεώτερος καθεστὼς, ὃς κατὰ τοὺς χρόνους ἐγνωρίζετο Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος.

βιβλίου τούτου, καὶ λίαν ὠφέλιμα· ὅταν γὰρ ἐν αὐτῷ ἀκριβῶς στρατηγήματά τε καὶ διατάγματα ὑπὲρ σοῦ κατανοήσεις, τότε ἄρα καὶ εἴποτε τοῖς αὐτοῖς οἱ πολέμιοι χρήσονται, ῥᾳδίως τὰ ἐναντία τούτων κατὰ ἐκείνων ἐπινοήσεις.

ο'. Ταῦτα γὰρ κατὰ τὸ δυνατὸν ἔκ τε τῆς τῶν πόλεων (79) πείρας, ὡς εἴρηται, καὶ ἐκ τῶν εἰρημένων παρὰ τῶν ἀρχαίων, εἰς κοινὴν ὠφέλειαν προτεθείκαμεν, οὔτε κάλλους λέξεως φροντίσαντες, ὡς ἐν ἀρχῇ που ἡμῖν εἴρηται τοῦ συντάγματος, οὔτε τῆς ἄλλης ἐμπεριέργου συντάξεως, ἀλλ' ἢ μόνον δὲ ἁπλαῖς καὶ κοιναῖς χρησάμενοι ταῖς λέξεσι, καὶ ὁποίαις μᾶλλον ἡ στρατιωτικὴ συνήθεια χρῆσθαι εἴωθεν.

οα'. Ὅσα δὲ κεφάλαια ἕτερα τά, ὡς εἰκός, ἁπάντων τὰ ἐν ἑκάστῳ πολέμου καιρῷ ἢ τινος ἐκείνου παρασκευῆς καὶ μάλιστα ἐν τῷ νῦν ἡμῖν ἐνοχλοῦντι Σαρακηνῶν ἔθνει, δι' ὅπερ, ὡς εἴρηταί που ἡμῖν, καὶ τὸ παρὸν συντέτακται βιβλίον. Εἰ καὶ μὴ πάντα συλλαβεῖν ἐδυνήθημεν, ἀλλ' ἔκ τε τῶν γεγραμμένων, ἔκ τε τῆς προλαβούσης πείρας, καὶ αὐτῆς δὲ τῆς τῶν πραγμάτων φύσεως στοχάζεσθαί σε δέον, καὶ ὡς δυνατὸν ἁρμόζεσθαι τοῖς ἀναφυομένοις· οὐ γὰρ οἶμαι δυνατὸν, οὔτε ἡμᾶς οὔτε τινὰ ἕτερον ἅπαντα γράφειν, ἢ πρὸς ἅπαντα τὰ μέλλοντα ἀναφύεσθαι, ὥστε παραφυλάττεσθαι ἁπάντων ἀπείρων ὄντων τῷ μέτρῳ τῶν ἐμπιπτουσῶν ἑκάστοτε διαφόρων περιστάσεων.

οβ'. Οὔτε γὰρ ὡσαύτως ἀεὶ οὔτε ὁμοίως ὑπὸ τῶν ἐναντίων τὰ ἐκείνων ἐγχειροῦνται στρατηγήματα. Διὸ οὐδὲ δύναταί τις τεκμήρασθαι τὰ μέλλοντα ἀναγκαῖα πρὸς χρῆσιν ἑκάστοτε. Ἀλλ' οὐδὲ μιᾷ γνώμῃ στρατηγοῦνται, ἀλλὰ ποικίλης οὔσης τῆς παρὰ τῶν ἐναντίων ἐγχειρήσεως (80), καὶ διάφοροι οἱ τρόποι τῶν ἀντεγχειρήσεων ὀφείλουσι γίνεσθαι· πανοῦργος γὰρ καὶ ἀκατάληπτος ἡ ἀνθρωπεία φύσις ὑπάρχουσα, πολλὰ καὶ βουλεύσεται καὶ ἐγχειρεῖν παρ' ἐλπίδας δύναται.

ογ'. Ὅθεν καὶ ἁρμοδίως καὶ καταχρέως δέον ἀεί σε, ὦ στρατηγέ, τῇ πρὸς Θεὸν δεήσει σχολάζειν καὶ τὰς αὐτοῦ ἐντολὰς φυλάττειν· ἵνα δι' αὐτοῦ δύνασαι καὶ κατ' ἐχθρῶν (81) πιέζεσθαι, καὶ αὐτὸς ἀβλαβὴς ἅμα τοῖς ὑπὸ σὲ περισώζεσθαι καὶ τὴν ἐν Χριστῷ τῷ ἀληθινῷ Θεῷ καὶ βασιλεῖ τοῦ παντὸς αἰωνίῳ, σωτηρίαν καὶ νίκην ἄνωθεν ὑποδέχεσθαι, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

A taveris, si illis iisdem hostes utantur, facile horum peritus contraria usurpare potes.

70. Hæc autem pro ratione ingenii nostri partim usu bellico, partim ex scriptoribus antiquis collecta, ad communem utilitatem hunc in librum contulimus, neque curiosam aliquam verborum inanitatem conquirentes, sed verbis tantum communibus planisque usi, militarem dicendi formam potissimum secuti sumus.

71. Quæcunque autem alia, vel ad tempus belli gerendi, vel alterius alicujus apparatus adversum B ullas nationes, et Saracenos potissimum, quorum gratia hic liber a me, ut ante dixi, conscriptus est, suscepti caput pertinent, ea, quanquam hoc libro contenta non sunt, in iis tamen, si quis se exerceat, usu aliquo belli, et naturæ rerum perscrutatione facile ea quæ desiderantur colligere comprehendereque poterit. Neque enim fieri potest, ut ego aut quisquam alius, quantocunque ingenio eruditioneque sit, omnia complectatur, quæcunque industria ac solertia humana excogitantur, aut viam doceas, qua hæc caveantur, quæ infinita atque immensa genere rebusque circumstantibus sunt.

72. Neque enim similiter, eodemque modo hostium consilia, factaque imperatoria ab illis susci- C piuntur; itaque ne hæc quidem, quæ ad usum semper necessaria sunt, indicare quis potest; sed cum neque una mente omnes imperatores sunt, sed magnæ varietates rerum ab hostibus susceptarum sunt, diversæ etiam rerum aggressiones ad eos moliendæ sunt. Astuta enim et solers humana natura cum sit, multa excogitare, multa moliri nec opinata potest.

73. Unde par est te, imperator, supplici mente semper Deo preces adhibere, et in omnibus auctori salutis, pro iis quæ maxime salutaria sunt supplicare.

NOTÆ.

(79) *Τῶν πόλεων*. Scribe, τῶν πολέμων.
(80) *Ἐγχειρήσεως*. Scribebatur, ἐγχειρήτως.
(81) *Τῶν ἐχθρῶν*. Scribebatur, τῷ ἐχρῶν.

AD LEONIS AUGUSTI TACTICA

APPENDIX.

Sequentia capita præmittuntur Programmati academico Turicensi anni 1854. « Duplicis sunt generis, inquit Editor : aut ad veterum Græcorum Macedonumque, aut ad recentiorem Byzantinorum rem militarem spectant. Et illa quidem (capp. 30, 34, 41 et 42, 53 et 54), quamvis plane novi non multum sane præbeant, haud inutiliter tamen cum Asclepiodoti, Æliani et Byzantini Anonymi relationibus comparentur. Hæc vero (capp. 35, 38, 39, 43, 50) æque breviter ac dilucide prima Byzantinæ militiæ fundamenta comprehendunt, quæ in Mauricii, Constantini et editis Leonis Tacticis sparsim nec sine difficultate leguntur. » Monet præterea Editor, se codicis scripturæ semper adhæsisse et nihil novavisse, sed vel talia reliquisse qualia sunt δαιπότατοι, κρίβαντες, δεφένσωρες ; quis vero et cujas sit codex quo usus est, omnino tacet. Interpretationem Latinam addidimus.

CAP. XXXII. — *Ordinationes peditum apud eosdem [Græcos].*

Peditum unaquæque legio quatuor armatorum et scutatorum millibus et nonaginta sex constabat ; sexdecim in legione ordines ; porro ordo quisque ducentorum et quinquaginta sex virorum. Quem vero perfectum vocabant exercitum, quatuor legionibus constabat : dividebatur autem in dextram et sinistram partem, medium quoque dextrum et medium sinistrum : unde sexdecim millia et trecenti octoginta quatuor viri. Apud antiquos porro utilis erat ille numerus, siquidem in duas æquales partes fuerit divisus, neque ideo alterutra pars unquam in unitatem desierit. Ad dimidium autem scutatorum erant semper in hujusmodi exercitu leviter armati, octo millia scilicet et centum nonaginta duo : qui separatim semper ponebantur, id est, vel parum ante scutatores, ad persequendos hostes in fugam forte conversos, vel ex utroque latere, vel etiam pone, quemadmodum requirebat necessitas. Totus itaque exercitus erat viginti quatuor millium et quingentorum septuaginta sex. Alio quoque modo exercitum disponebant. Sexdecim namque millia et trecentos octoginta quatuor, quos, ut diximus, perfectum exercitum vocabant, in duas partes æqualiter dividebant, utrinque scilicet ponentes octo millia et centum nonaginta duo, et cornu dextrum dicentes et cornu lævum, et dextram frontem partem cornu dextri anteriorem, caudamque dextram partem posteriorem ; cornu quoque lævi partes singulas pari ratione denominabant. Spatium vero illud quo inter se cornua distabant, ubi stabat dux, os et umbilicum exercitus dicebant. Separatim etiam leviter armatos octo millia et centum nonaginta duo in illa ordinatione eodem quo jam diximus modo ponebant. Intervallum in-

A ΚΕΦΑΛ. ΛΒ'. — *Παρατάξεις πεζῶν κατ' αὐτούς.*

Τῶν πεζικῶν ταγμάτων ἕκαστον ἐξ ἀνδρῶν ἦν τετρακισχιλίων ἐννενηκονταὲξ συνιστάμενον, ὁπλιτῶν ἁπάντων καὶ ἀσπιδοφόρων· εἶχε δὲ ὀρδίνους τὸ τάγμα δεκαέξ· ὁ δὲ ὄρδινος ἐξ ἀνδρῶν ἦν διακοσίων πεντηκονταέξ. Ἡ τοίνυν τελεία παρ' αὐτῶν καλουμένη παράταξις ἐκ ταγμάτων τεσσάρων ἦν συνισταμένη· διῄρητο δὲ εἰς δεξιὸν καὶ ἀριστερὸν, μέσον δεξιὸν καὶ μέσον ἀριστερὸν, ὡς εἶναι λοιπὸν τὴν παράταξιν ταύτην ἐξ ἀνδρῶν ἑκκαίδεκα χιλιάδων καὶ τριακοσίων ὀγδοήκοντα τεσσάρων. Χρήσιμος δὲ ὁ ἀριθμὸς οὗτος ἐν ταῖς παρατάξεσι παρὰ τοῖς παλαιοῖς ἦν, ἅτε δὴ τούτου εἰς δύο ἴσα διαιρουμένου [1] μηδέποτε εἰς μονάδα καταλῆγον θάτερον ἔχοντος
B μέρος. Εἶχε δὲ καὶ ψιλοὺς ἡ παράταξις ἥδε τοὺς ἡμίσεις ἀεὶ τῶν ἀσπιδοφόρων ὀκτακισχιλίους ἑκατὸν ἐννενήκοντα δύο δηλαδή· παρέταττον δὲ τούτους καθ' ἑαυτοὺς ἀεὶ καὶ ἰδίᾳ, ἢ μικρὸν τῶν ἀσπιδοφόρων ἔμπροσθεν πρὸς τὸ διώκειν τραπέντας ἴσως τοὺς πολεμίους ἢ καὶ ἑκατέρωθεν τούτων ἢ ὄπισθεν, ὡς ἀπαιτεῖν εἶχεν ἡ χρεία. Συνεποσοῦτο τοίνυν ἡ παράταξις ἅπασα εἰς εἴκοσι τέσσαρας χιλιάδας καὶ ἑξακοσίους ἑβδομηκονταέξ. Παρέταττον δὲ καὶ τρόπον ἕτερον. Τοὺς μὲν εἰρημένους ἑξακισχιλίους πρὸς τοὺς [2] δέκα καὶ τριακοσίους ὀγδοήκοντα τέσσαρας, οὓς δὴ καὶ τελείαν παράταξιν, ὡς ἔφημεν, οἱ παλαιοὶ κατωνόμαζον [3], εἰς δύο ἴσα διῄρουν, ἀνὰ ὀκτακισχιλίων δηλαδὴ καὶ ἑκατὸν ἐννενηκονταδύο ἀνδρῶν, καὶ τὸ μὲν δεξιὸν ἐκάλουν κέρας, τὸ δὲ
C ἀριστερὸν, δεξιὰν δὲ κεφαλὴν τὸ ἄνω μέρος τοῦ δεξιοῦ κέρατος, οὐρὰν δὲ ὡσαύτως δεξιὰν τὸ κάτω τούτου· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τοῦ ἀριστεροῦ ἐκαλοῦντο μέρη. Τὸ δὲ μεταξὺ τῶν δύο τῶνδε κεράτων διάστημα, ἔνθα καὶ ὁ στρατηγὸς ἵστατο, στόμα καὶ ὀμφαλὸν [4] τῆς παρατάξεως ἔλεγον. Τοὺς ,η μέντοι

VARIÆ LECTIONES.

[1] Inserit B καί. [2] τοῖς (sed ita, ut non differat a τοῦ;) B. [3] κατανόμαζον B. [4] ὄμφαλον B.

καὶ ρι,β' [5] ψιλοὺς ἰδίᾳ κἀνταῦθα καὶ καθ' ἑαυτοὺς ἔταττον, ὡς φθάσαντες ἔφημεν. Διάστημα δὲ κατὰ πλάγιον [6] ἐν τοῖσδε τοῖς τάγμασι πρὸς ἄλληλα οὐ πλέον ἦν ὀργυιῶν ὀκτώ.

A super quo in transversum separabantur legiones non erat amplius quam ulnis octo.

ΚΕΦΑΛ. ΛΓ'. — *Παρατάξεις ἱππέων κατ' αὐτούς.*

Οἱ δὲ ἱππεῖς σπανίως μὲν καθ' ἑαυτοὺς ἐπολέμουν· ὀλίγον γὰρ ἦν παρ' Ἕλλησι τὸ ἱππικόν· ὅτε δ' οὖν πρὸς ἱππομαχίαν καθίσταντο, τοὺς μὲν καταφράκτους ὁμοῦ σὺν τοῖς δορυφόροις εἰς δύο διῄρουν τάγματα, μέσον δεξιὸν καὶ μέσον ἀριστερὸν, τοὺς δ' ἐλαφροὺς καλουμένους ἀκοντιστὰς δηλαδὴ καὶ τοξότας εἰς δύο ἕτερα [7] δεξιὸν καὶ ἀριστερὸν, πρoΐεσαν δὲ μικρὸν τῶν καταφράκτων ἔμπροσθεν, ὡς ἀπὸ ὀργυιῶν ὀκτὼ μάλιστα. Τὸ μέντοι πάχος τῶν ταγμάτων οὐ πλέον ἦν ὀρδίνων τεσσάρων, δύο μὲν ἐκ τῶν καταφράκτων B τῶν εἰς προμάχους τελούντων, δύο δ' αὖθις τῶν ἐλαφρῶν καλουμένων· οὗτοι δὲ καὶ οὐραγοῦντες ἦσαν. Διάστημα δὲ κατὰ πλάγιον [8] ἐν τοῖς ἱππικοῖς τοῖσδε τάγμασι πρὸς ἄλληλα ὀργυιῶν ἦν εἴκοσι μάλιστα. Κατὰ μέντοι τὸ τῶν ὀρδίνων μῆκος δύο μὲν ἐν τοῖς καταφράκτοις τὸν τῆς ὀργυιᾶς ἐπεῖχον τόπον, ἐν δὲ τοῖς ἐλαφροῖς λεγομένοις ὀργυιᾶς ἐπεῖχεν ἕκαστος τόπον [9].

CAP. XXXIII. — *Ordinationes equitum apud eosdem.*

Raro equites separatim dimicabant; modicus enim erat apud Græcos equitatus; quoties autem ad equestrem pugnam deveniebant, cataphractos cum doryphoris simul in duas legiones dividebant, in medium scilicet dextrum et medium lævum; quos autem celeres vocabant, id est, jaculatores et sagittarios, in duas pariter legiones, dextram videlicet et lævam, quas ante cataphractos ad ulnas octo sistebant ut maxime. Legionum profunditas quatuor tantum ordinum erat, duorum videlicet ex cataphractis tanquam antesignanis et duorum ex celeribus qui extremum agmen ducebant. Intervallum autem inter illas equestres legiones viginti ulnarum erat. Quod vero ad ordinum longitudinem attinet, unius ulnæ spatium bini cataphractæ, celeres singuli occupabant.

ΚΕΦΑΛ. ΛΔ'. — *Παρατάξεις στρατοῦ συμμίκτου [10] κατ' αὐτούς.*

Συμμίκτου δὲ στρατοῦ συνεστῶτος ἐκ πεζῶν δηλαδὴ καὶ ἱππέων, τοὺς μὲν πεζοὺς καθ' ἕνα δήπου τῶν εἰρημένων [11] παρέταττον τρόπον, τοὺς δ' ἱππεῖς ἢ τῆς πεζικῆς παρατάξεως ἔμπροσθεν, ἢ καὶ ταύτης ὄπισθεν, ὡς ὁ καιρὸς ἐκάλει δηλονότι καὶ ἡ χρεία C κατήπειγεν, ἢ καὶ περὶ αὐτὰ τὰ τῆς παρατάξεως ἀκρότατα τούτους ἔταττον, ὡς ἂν ῥαδίως [12] μὲν τὰς κατὰ τῶν ἐχθρῶν ἐπελάσεις οὕτω, ῥαδίως δὲ [13] καὶ τὰς ὑποχωρήσεις ποιοῖντο, πονήσαντές τε ἤδη καὶ μὴ οἷοί τε ὄντες τὸν πόλεμον διαφέρειν ἀλύπως ἂν καὶ σὺν οὐδενὶ πόνῳ περὶ τὴν οὐραγίαν διασωθεῖεν [14]. Ὥσπερ δὲ ἄρα τὴν εἰρημένην τελείαν πεζικὴν παράταξιν εἰς ἑκκαίδεκα χιλιάδας πρὸς τοῖς τριακοσίοις ὀγδοήκοντά τε καὶ τέσσαρσιν [15] ὁπλίτας ἔφημεν συμπεσοῦσθαι, τοὺς δέ γε ψιλοὺς εἰς τὸ ἥμισυ τούτων, εἰς ,η δηλαδὴ καὶ ρ' [16] ἐννενηκονταδύο, οὕτω δὴ καὶ τοὺς ἱππεῖς εἰς τὸ ἥμισυ τῶν ψιλῶν περιίστων, εἰς ,δ,ϛ' δηλονότι, ὡς συμποσοῦσθαι λοιπὸν τὴν σύμμικτον ταύτην παράταξιν εἰς χιλιάδας κη' καὶ χοβ' [17]. Καὶ οὕτω μὲν, ὡς ἔφην, οἵ τε Μακεδόνες καὶ τὸ Ἑλληνικὸν ἅπαν ὡπλίζοντό τε καὶ παρετάττοντο· περὶ δὲ τῶν καθ' ἡμᾶς καὶ Ῥωμαϊκῶν ὁπλισμῶν τε καὶ παρατάξεων μετ' ὀλίγα λεκτέον λοιπόν.

CAP. XXXIV. — *Mixti exercitus apud eosdem ordinationes.*

Exercitus mixti pedites aliquo ex prædictis modis, equites vero aut ante aut pone peditatum, ut postulabat tempus aut urgebat necessitas, disponebant, vel etiam ad extremum quodque latus, quo facilius in hostes erumperent, faciliusque se reciperent, atque ad caudam incolumes, pressi nec impetum hostium ferentes, reverterentur. Sicut peditum perfectus exercitus constabat, sicuti jam diximus, sexdecim armatorum millibus et trecentis octoginta quatuor cum leviter armatis ad dimidium octo scilicet millibus et centum nonaginta duobus, ita equitibus ad dimidium leviter armatorum, quatuor scilicet millibus et nonaginta sex; unde mixtus exercitus octo et viginti millibus et sexcentis septuaginta duobus. — Tali modo, ut diximus, Macedones et universi Græci armabantur et exercitus instruebant; nunc autem paucis dicendum de armatura et ordinationibus nostris et Romanorum.

ΚΕΦΑΛ. ΛΕ'. — *Πῶς κατὰ Ῥωμαίους οἵ τε τοῦ στρατοῦ ἡγεμόνες καὶ τὰ ὑπ' αὐτοὺς ὀνομάζονται τάγματα.*

Πρῶτος μὲν δὴ τῶν ἡγεμόνων ἁπάντων ὁ στρατηγός ἐστιν [18]· εἶτα οἱ τουρμάρχαι οἱ καὶ μεράρχαι λεγόμενοι, μεθ' οὓς οἱ δρουγγάριοι, εἶτα οἱ κόμητες,

D CAP. XXXV. — *Ducum et agminum quæ sub ipsis erant apud Romanos denominationes.*

Ducum omnium primus est strategus, post turmarchæ, qui etiam merarchæ, post quos drungarii, deinde comites, post autem centarchæ (illi

VARIÆ LECTIONES.

[5] ρι,ζ (sic) B. [6] καταπλάγιον B. [7] ἑτρλ (sic) B. [8] καταπλάγιον B. [9] ἐπεῖχεν ἕκαστον (sic!) tantum B. [10] συμμικτοῦ B. [11] εἰρημένον (sed o incorr. script.) B. [12] ῥαδίως (α super ω scriptum et ω linea suberecta transfossum) B. [13] ῥαδίας (sed α in ω corr.) δὲ μὲν (sed utrumque linea transfixum) δὲ B. [14] διασωθεῖεν B. [15] In τέσσαρσῖν (sic) σῖν linea subducta notatum. [16] ρ B. [17] χ' ο η' B. [18] στρατηγὸς ἐστιν B.

vero centuriones dicebantur), postea quoque lochagi, decarchæ et pentarchæ et præterea qui tetrarchæ vocabantur. Legioni unicuique deserviunt bandophori, mandatores, dæpotatæ, cribantes et qui ad tuldum dicuntur; præterea quoque mensores seu mensuratores, medici etiam et buccinatores. Strategus porro exercitui universo præest, qui omne imperium a Nostra Majestate accepit traditum, omnibusque ideo ducibus præstat. Turmarchæ tres sub se drungos habent; drungarius vero drungo uni præest; drungus autem est collectio virorum usque ad tria millia; namque trium millium collectio non est jam drungus, sed neque minus quam mille; ita ut tribus minimum millibus præsit turmarcha et ad summum novem millibus; drungarius vero pariter mille minimum viris et ad summum tribus millibus. Comes unius bandi dux : apud veteres quidem bandus proprie et specialiter dicebatur flammulus, improprie vero agmen ducentorum virorum usque ad quadringentos, quoniam ducentorum et amplius virorum agmen dignum visum est quod proprium haberet ducem et bandum efficeret; comes itaque duobus minimum centarchis præerat. Nunc autem inter pedites bandus est agmen ducentorum et amplius usque ad quadringentos ad summum; inter equites vero, quinquaginta virorum minimum, sed procedere potest usque ad trecentos et quinquaginta aut ad summum quadringentos, quod idem fere est ac quod nunc allagium dicitur : hodie enim allagium dicitur agmen virorum quinquaginta, quod in suo genere ad centum quinquaginta pervenit; quæ vero in nostro imperio allagia dicuntur ad trecentos viginti aut etiam quinquaginta, et ad summum quadringentos, sicut etiamnum apud Thracios sunt virorum trecentorum et viginti, et apud Charsianos trecentorum et quinquaginta; apud Occidentales autem quædam sunt quadringentorum. Centarcha seu centurio dicitur qui centum viris præest, sicut et pentecontarcha qui quinquaginta. Lochagus, iis qui secundum agminis profunditatem seu densitatem stant : quæ profunditas sexdecim ad summum est virorum; proprie enim lochus dicitur series virorum sexdecim, improprie autem usque ad triginta duo dicitur etiam lochus : lochagus autem vocatur protostates et promachus. Decarcha vero dicitur non quidem qui decem præsit, sed qui primus est inter decem ; ubi enim sunt decem, unus novem cæteris præest; sicut et pentarcha non quinque præest, sed est primus inter quinque, et pariter tetrarcha : non lochagus autem solum dicitur protostates et promachus, sed et aliquando fit ut decarcha etiam eo nomine vocetur ; quando

A μεθ' οὓς [19] οἱ κένταρχοι (καλοῦνται δὲ οὗτοι καὶ [20] ἑκατόνταρχοι)· μετὰ τούτους λοχαγοὶ καὶ δέκαρχοι καὶ πένταρχοι, ἔτι γε μὴν πρὸς τούτοις οἱ τέτραρχοι καλούμενοι. Ὑπηρέται δὲ καθ' ἕκαστον τάγμα οἵ τε βανδοφόροι καὶ οἱ μανδάτωρες, δαιπότατοί τε καὶ κρίβαντες καὶ οἱ ἐπὶ τοῦ τούλδου καλούμενοι· καὶ πρὸς τούτοις οἱ λεγόμενοι μίνσωρες ἢ μινσουράτωρες, ἰατροί τε καὶ βυκινάτωρες. Στρατηγὸς μὲν οὖν ἐστιν ὁ τοῦ στρατοῦ παντὸς ἀφηγούμενος καὶ τὴν πᾶσαν ἀρχὴν παρὰ τῆς βασιλείας ἡμῶν ἐπιτετραμμένος καὶ τῶν ἡγεμόνων διὰ τοῦτο πάντων ἐξουσιάζων· τουρμάρχης δὲ ὁ τρεῖς [21] δρούγγους ὑφ' ἑαυτὸν ἔχων· δρουγγάριος δὲ ὁ δρούγγου ἄρχων ἑνός· εἴη δ' ἂν δροῦγγος [22] τὸ μέχρι τῶν τρισχιλίων ἀνδρῶν σύστημα, οὔτε δὲ τῶν τρισχιλίων ἐπέκεινα εἴη ἂν B δροῦγγος, οὔτε μὴν τῶν χιλίων ἔλαττον, ὥστε εἴη ἂν ὁ μὲν τουρμάρχης τρισχιλίων ἀνδρῶν ἄρχων τὸ ἔλαττον, τὸ δὲ πλεῖστον ἐνναкισχιλίων, ὁ δὲ δρουγγάριος ὡσαύτως τὸ μὲν ἔλαττον χιλίων, τρισχιλίων δέ γε καὶ [23] τὸ πλεῖστον· κόμης δὲ ὁ βάνδου ἄρχων ἑνός. Εἴη δ' ἂν κατὰ τοὺς παλαιοὺς βάνδον κυρίως μὲν τὸ ἰδιωτικῶς καλούμενον φλάμουλον, καταχρηστικῶς δὲ τὸ τῶν διακοσίων καὶ μέχρι τῶν τετρακοσίων ἀνδρῶν συνεστὸς [24] πλῆθος ἐλέγετο, ὡς ἀξιολόγου τοῦ τῶν διακοσίων καὶ ἐπέκεινα [25] συστήματος ὄντος λοιπὸν, ὥστε καὶ ἀρχήν τινα καθ' ἑαυτοῦ ὑπεμφαίνειν τοῦτο καὶ βάνδον ἀνιστᾷν ἴδιον, ὥστε ἦν ἂν ὁ κόμης δύο κεντάρχων ἄρχων τὸ ἔλαττον. Νῦν δὲ βάνδον ἐπὶ μὲν πεζικῶν ταγμάτων τὸ τῶν διακοσίων ἀνδρῶν καὶ ἐπέκεινα [26] σύστημα μέχρι τῶν C τετρακοσίων τὸ πλεῖστον, ἐπὶ μέντοι γε [27] τῶν ἱππικῶν τὸ τῶν πεντήκοντα μὲν τὸ ἐλάχιστον, προκόπτον δὲ μέχρι καὶ τριακοσίων πεντήκοντα ἢ τὸ πλεῖστον τετρακοσίων, ταὐτό [28] πως ὂν τῷ νῦν ἀλλαγίῳ [29] καλουμένῳ· ἀλλάγιον γὰρ λέγεται μὲν ἀρτίως καὶ τὸ τῶν πεντήκοντα σύστημα, πρόεισι δὲ τὸ μὲν ἰδιωτικὸν καὶ μέχρι τῶν ρ' [30] πεντήκοντα, τὰ δέ γε τῆς βασιλείας ἡμῶν καλούμενα ἀλλάγια καὶ μέχρι τῶν τκ' [31] καὶ τν' [32] ἢ τόγε πλεῖστον υ', ὁποῖα νῦν εἰσι τὸ μὲν τῶν Θρᾳκησίων τκ', τὸ δέ γε τῶν Χαρσιανῶν τριακοσίων ν', καὶ τῶν ἑσπερίων ταγμάτων αὖθις ἔνια μέχρι καὶ τεσσαρακοσίων ἀνδρῶν τὴν σύστασιν ἔχουσι. Κένταρχος δὲ καλεῖται καὶ κεντηρίων ὁ ἑκατόνταρχος, ὥσπερ δὴ καὶ πεντηκόνταρχος ὁ πεντήκοντα ἀνδρῶν ἀφηγούμενος· λοχαγὸς D δὲ ὁ τῶν κατὰ τὸ τοῦ τάγματος βάθος ἢ πάχος παρισταμένων ἡγεμονεύων, ὃ δὴ μάλιστα ἀπὸ ἀνδρῶν συνέστηκε [33] δεκαέξ· λόχος γὰρ τὸ τῶν δεκαέξ ἀνδρῶν σύστημα λέγεται κυρίως, καταχρηστικῶς δὲ καὶ τὸ μέχρι τῶν τριάκοντα δύο [34] λόχος καλεῖται· ὁ δὲ δὴ λοχαγὸς καὶ πρωτοστάτης καὶ πρόμαχος λέγεται. Δέκαρχος δὲ καλεῖται οὐχ ὁ δέκα ἄρχων ἀνδρῶν, ἀλλ' ὁ [35] ἐκ τῶν δέκα πρῶτος· δέκα γὰρ ὄντων ὁ εἷς τῶν λοιπῶν ἄρχει ἐννέα, ὥσπερ δὴ καὶ πένταρχος οὐχ ὁ

VARIÆ LECTIONES.

[19] Verba οἱ δρουγγάριοι — μεθ' οὓς omissa in textu ead. m. ad marg. adscripta. [20] οἱ B. [21] (τῆς, sublocato τρεῖς, linea transfossum). B. [22] Ead. m. ascript. ad marg. ὅρα τὸν δροῦγγον. [23] δέ γε καὶ] λέγεται B. [24] συνεστώς B. [25] ἐπικεινα (sic) B. [26] ἐπίκεινα B. [27] μέντοι γε] μὲν δέ τοι B. [28] ταυτό B. [29] Ead. m. ascript. ad marg. ὅρα τὰ τῶν ἱππέων ἀλλάγια. [30] ρ̄ B. [31] τ' κ' B. [32] τ' ν' B. [33] συνέστησε B. Ead. m. ascript. ad marg. ὅρα τοίνυν τὸν λοχαγόν. [34] τριάκονδύο (sic) B. [35] ὁ om. B.

τῶν πέντε ἄρχων, ἀλλ' ὁ ἐκ τῶν πέντε πρῶτος· ὡσαύτως δὲ καὶ ὁ τέτραρχος· λέγεται δὲ [37] καὶ πρόμαχος καὶ πρωτοστάτης [38] μὴ μόνον ὁ λοχαγὸς, ἀλλὰ καὶ ὁ δέκαρχος ἔσθ' ὅτε· τοῦ γὰρ βάθους ἢ πάχους τοῦ τάγματος ἀπὸ ις' μὴ ὄντος ἀνδρῶν, ἀλλὰ ἀπὸ δέκα, τότε δὴ ὁ δέκαρχος καὶ πρωτοστάτης καλεῖται καὶ πρόμαχος, ἐπιστάτης δὲ ὁ δεύτερος [39] ἢ μετὰ τὸν λοχαγὸν ἢ τὸν δέκαρχον ἱστάμενος· οὐραγὸς δὲ ὁ τοῦ πάχους τοῦ τάγματος ὕστατος. Δεῖ δὲ πρὸς τούτοις εἰδέναι, ὡς τάγμα μὲν καὶ τάξις μέρος τῆς παρατάξεώς ἐστιν [40], ἐξ οὗ καὶ ταγματάρχης καὶ ταξίαρχος λέγεται. Τὸ δὲ τάγμα [41] διακοσίων ἀνδρῶν τὸ ἐλάχιστον εἶναι δοκεῖ· τὸ γὰρ τούτων ἔτι ἔλαττον οὐκέτι τάγμα λοιπὸν, ἀλλ' ἀπόμοιρα τάγματος κληθείη ἄν. Παράταξις δὲ καλεῖται τὸ ἐκ πολλῶν ἤδη συνιστάμενον πλῆθος. Στόμα δὲ καὶ ὀμφαλὸς παρατάξεως ὁ μέσος [42] αὐτῆς τόπος, ἔνθα καὶ ὁ στρατηγὸς μετὰ τῶν βάνδων ἕστηκε, μέτωπον δὲ ὁ πρῶτος ὄρδινος τῶν προμάχων λεγομένων, ὥσπερ δὴ καὶ οὐρὰ ὁ πάντων, ὡς ἔφημεν, ὕστατος ὄρδινος [43] ἐν ἑκάστῳ τάγματι λέγεται. Κοντουβέρνιον δὲ καλεῖται τὸ ἑκάστου τάγματος βάθος ἢ πάχος. Καὶ ταῦτα μὲν περὶ ἡγεμόνων. Τῶν δὲ ἀνὰ τάγματα ὑπηρετούντων βανδοφόροι μὲν οἱ τὰ κοινῶς [44] καλούμενα φλάμουλα φέροντες, μανδάτωρες δὲ οἱ τὰς τῶν ἡγεμόνων ἐπιταγὰς ἐπὶ τοὺς στρατιώτας διακομίζοντες, δεπότατοι δὲ καὶ κρίβαντες οἱ τῶν ταγμάτων κατόπιν ἐρχόμενοι καὶ τοὺς τραυματίας εὐθὺς ἀναλαμβανόμενοι καὶ τοῖς ἰατροῖς τούτους ἀποκομίζοντες. Ἐπὶ τοῦ τούλδου [45] δὲ καλοῦνται οἱ τὴν ἀποσκευὴν ἐγκεχειρισμένοι τοῦ στρατοῦ σύμπαντος· τοῦλδον γὰρ ἡ ἀποσκευὴ λέγεται. Προκουρσάτωρες δὲ οἱ πρὸ τῆς τοῦ πολέμου συμβολῆς προεκτρέχοντες καὶ τοὺς ἐναντίους πρὸς συμπλοκὴν ἐρεθίζοντες· κουρσάτωρες δὲ οἱ εἰς πραῖδαν ἀπερχόμενοι καὶ τὴν τῶν πολεμίων ληϊζόμενοι χώραν· δεφένσωρες δὲ οἱ κατόπιν τῶν προκουρσατώρων ἀεὶ ὄντες καὶ τούτους ἐκ τῆς τροπῆς ὑποστρέφοντας [46] ὑποδεχόμενοι καὶ ὑπὲρ αὐτῶν ἀγωνιζόμενοι [47]. Ὑπερκεράσται δὲ καλοῦνται οἱ περὶ τὸ δεξιὸν ἄκρον τῆς παρατάξεως ἱστάμενοι ἐπὶ τῷ [48] κυκλῶσαι τοὺς πολεμίους· πλαγιοφύλακες δὲ αὖθις οἱ ἐκ τοῦ ἀριστεροῦ μέρους τῆς παρατάξεως ἱστάμενοι ἐπὶ τῷ τὰς παρὰ τῶν πολεμίων γινομένας κυκλώσεις φυλάττεσθαι καὶ κατὰ τὸ δυνατὸν αὐτοῖς ἀντιπολεμεῖν καὶ ἀντικαθίστασθαι· μίνσωρες [49] δὲ ἢ [50] μινσουράτωρες οἱ τοῦ στρατοῦ προεκτρέχειν ἀποτεταγμένοι καὶ τὰς [51] ὁδοὺς ἐξομαλίζοντες καὶ τὴν τῶν ἵππων νομὴν ἐρευνῶντες καὶ τὰ ὕδατα καὶ πρὸς τούτοις τὴν τοῦ στρατοπέδου διάθεσιν καὶ πᾶσαν ἄλλην ὑπηρεσίαν αὐτοῦ.

A enim agminis profunditas non est sexdecim virorum, sed decem tantum, tunc decarcha protostates dicitur et promachus; epistates vero dicitur qui stat secundo loco, sive post lochagum, sive post decarcham; caudarius autem qui in agminis profunditate stat extremus. Sciendum præterea tagmata et taxes esse partes parataxeos; unde dicuntur et tagmatarchæ et taxiarchæ. Tagma porro ducentorum minimum virorum esse videtur: si etenim minor esset numerus, non jam tagma, sed tagmatis pars diceretur. Parataxis vero dicitur multitudo plurimis tagmatibus constans. Os seu umbilicus parataxeos est locus medius ubi stat cum bandis strategus; frons vero est primus ordo, eorum scilicet qui promachi dicuntur, sicut et cauda in singulis tagmatibus extremus omnium, ut B diximus, ordo. Contubernium vocant cujusque tagmatis profunditatem seu densitatem. Illa de ducibus; quod autem ad servientes tagmatibus attinet, bandophori sunt qui flammulas vulgo dictas portant; mandatores qui ducum mandata ad milites deferunt; dæpotatæ et cribantes qui pone tagmata gradientes vulneratos levant et ad medicos portant: ad tuldum dicuntur qui totius exercitus impedimenta curant: tuldum enim dicunt impedimenta; procursatores qui ante initam pugnam currunt ad excitandos ad congressionem adversarios; cursatores vero qui ad prædam dispersi regionem hostium pervastant; defensores autem qui C pone procursatores semper incedentes eos redeuntes accipiunt et pro eis dimicant; hypercerastæ qui in dextro exercitus cornu positi hostes circumfundere tentant; plagiophylaces, qui in lævo cornu ad impediendas hostium circumvolutiones et ad repugnandum atque pro sua facultate resistendum sunt parati; mensores seu mensuratores qui exercitui ante euntes vias complanant, equorum escam vestigantur et aquas, et præterea exercitus stationes parant atque omni ministerio deserviunt.

ΚΕΦΑΛ. ΛΗ'. — Ὁπλισμὸς πεζῶν κατὰ Ῥωμαίους.

Πεζικῶν δὲ Ῥωμαϊκῶν παρατάξεων ἔχοι ἂν ὁπλισμὸς ὧδε· τῶν μὲν ὁπλιτῶν καλουμένων ἢ τετράγωνοι ἔστων αἱ ἀσπίδες εἰς στενὸν ἀποτελευτῶσαι κάτωθεν σπιθαμῶν ἓξ ἔγγιστα, ἢ καὶ τρίγωνοι πλὴν ἀνδρομήκεις σχεδὸν κατὰ τὰς τετραγώνους, ἢ καὶ στρογγύλαι σπιθαμῶν τριῶν πρὸς τῇ ἡμισείᾳ·

D CAP. XXXVIII. — *Peditum apud Romanos armatura.*

Romanouum exercituum peditibus constantium armatura hac esse debet. Eorum qui hoplitæ dicuntur sint clypei quadranguli in angustum ab imo desinentes sex dodrantium ut proximi, vel etiam trianguli ad hominis fere longitudinem sicut et quadranguli, vel tandem rotundi trium dodrantium

VARIÆ LECTIONES.

[37] δὲ om. B. [38] Ead. m. ascript. ad marg. ὅρα τὸν πρωτοστάτην. [39] β', suprascripto ος B. [40] παρατάξεως ἐστίν B. [41] Ead. m. ascript. ad marg. ὅρα τί δήποτ' ἐστὶ τὸ τάγμα. [42] μεσός B. [43] τῶν προμά correcto errore add. B. [44] ταχοινῶς B. [45] Ad marg. ascript. περὶ τοῦ τούλδου. [46] ὑπεστρέφοντας B. [47] ἀγωνιζώμενοι B. [48] τὸ B. [49] μίνσουρες B. [50] οἱ B. [51] τάς τε B.

cum dimidio : similis color et signum singulis cujusque partis clypeis, mediæ scilicet, dextræ, sinistræ et cæterarum. Lanceæ decem cubitorum aut minimum octo, cum cuspidibus dodrantis unius cum dimidio. Spicula non ex lignis securi excisis, sed ex quercubus recens acutis, vel craniis vel artzicidiis, ut dicunt, vel quovis alio. Præterea loricia ferant aut etiam clibana sive ferrea, sive cornea, quæ nisi suppetant, suppara habeant cum bambace et cucullio ad genua pendentia, manicasque habentia usque ad cubitum, scissuris patentes circum brachia ad emittendas manus; alligentur autem pone humeros manicæ muliebribus fibulis. Femoralibus vero præcingantur, id est, gladiis altera parte acutis dodrantium cum capulo quatuor. Chiropsella quoque sint, quæ manicillia dicuntur, et podopsella ænea, deinde galeæ eximiæ tufis in apice distinctæ, similes autem tufæ pone humeros in loriciis et clibanis. Eorum tamen qui peltastæ vocantur, leviorem armaturam esse oportet. Scuta etenim orbicularia debent habere trium ad summum dodrantium aut oblonga dodrantium quatuor, lanceas autem cubitorum octo et jacula missilia ulnæ unius cum tertia parte circiter, non amplius videlicet quam duodecim dodrantium cum cuspide; thoraces quoque hamis inter se consertis loricia scilicet et clibana aut ferrea ambo aut cornea, vel si desint, suppara spissiora ex lana vel cuculla, sicut supra diximus, prætereaque femoralia et galeas a fronte apertas. Velitum autem hæc sit armatura : super humeris pharetras portent marsupiis instructas triginta vel quadraginta tela continentibus, nervos insuper duo tubulos ligneos cum telis parvis et similibus marsupiis : quæ parva tela quidam vocant menas. Perutilia autem hujusmodi tela in bello quoniam longissime arcubus mittuntur et hostibus sunt invisibilia ob brevitatem, et sic celerrime interficiunt, prætereaque hostibus propter imperitiam sunt inutilia. Jacula quoque et scuta orbicularia et femoralia seu secures in coriaceis loculis; aliqui eorum fundas sex dodrantium, nec minores; eorum vestes non sint talares, sed ad genua tantum descendant, et calceamenta laxe ligentur : commoda etenim ea omnia et maxime in itineribus. Sit autem insuper in illis peditum legionibus pro singulis decarchiis plaustrum unum molam ferens manualem, asciamque bipennem et ligones duos atque ventilabra et cilicium et junceum cophinum et cætera, præterea quoque securim ac falcem et tribulos ferreos colligatos clavis ferreis per dicta sphecomata ut facilius mittantur et rursus retrahantur; ferat etiam plaustrum quodque arcus necessitate plures et tela, paxamataque ac tritum milium et quæcunque necessaria a nobis omissa.

A ἐχέτωσαν δὲ μέρους ἑκάστου αἱ ἀσπίδες καὶ χρῶμα καὶ σημεῖον ταυτὸ, τοῦ μέσου δηλαδὴ, τοῦ δεξιοῦ, τοῦ ἀριστεροῦ καὶ τῶν λοιπῶν. Δόρατα δὲ αὐτοῖς ἔστωσαν δεκαπήχη ἢ καὶ ὀκταπήχη τὸ ἔλαττον, τὰς αἰχμὰς ἔχοντα σπιθαμῆς μιᾶς πρὸς τῇ ἡμισείᾳ· τὰ μέντοι μεναύλια μὴ ἀπὸ πελεκητῶν ἔστωσαν ξύλων, ἀλλ' ἀπὸ νεακέων δρυῶν ἢ κρανιῶν ἢ τῶν λεγομένων ἀρτζικιδίων ἢ ἑτέρου τοίου τινός[52]. Πρὸς τούτοις λωρίκια φορείτωσαν ἢ καὶ κλιβάνια καὶ ταῦτα ἢ σιδηρᾶ[53] ἢ κεράτινα, τούτων δὲ μὴ ὄντων καβάδια ἐχέτωσαν μετὰ βαμβάκης καὶ κουκουλλίου[54] μέχρι γονάτων φθάνοντα, τὰ μανίκια μέχρι τῶν ἀγκώνων[55] ἔχοντα σχίσματά τε περὶ τὰς ὠλένας πρὸς τὸ ἐκεῖθεν ἐκβάλλειν τὰς χεῖρας· κρατείσθω δὲ τὰ μανίκια διὰ κομποθηλύκων τῶν ὤμων ὄπισθεν. B Ζωννύσθωσαν δὲ καὶ παραμήρια ξίφη δηλαδὴ ἑτερόστομα σπιθαμῶν μετὰ τῆς κώπης[56] ὄντων τεσσάρων· χειρόψελλά τε αὐτοῖς ἔστωσαν, ἃ δὴ καὶ μανικέλλια λέγονται, ἔτι τε καὶ ποδόψελλα εἴτ' οὖν χαλκότουβα, καὶ κόρυθες τέλειαι[57] τουφία ἔχουσαι κατὰ τὴν κορυφήν· τὰ δὲ αὐτὰ τουφία καὶ ἐν τοῖς λωρικίοις ἔστω καὶ κλιβανίοις τῶν ὤμων ἄνωθεν. Τῶν μέντοι πελταστῶν καλουμένων ἐλαφροτέραν τὴν ἐξόπλισιν ποιητέον· ἀσπίδες γὰρ αὐτοῖς περιφερεῖς ἔστωσαν σπιθαμῶν τριῶν μάλιστα, ἢ καὶ ἐπιμήκεις τετρασπίθαμοι, δόρατά τε ὀκταπήχη καὶ ἀκόντια εἴτ' οὖν ῥιπτάρια ὀργυιᾶς μιᾶς πρὸς τῷ τρίτῳ ἔγγιστα, μὴ πλέον δηλαδὴ σπιθαμῶν δώδεκα ἕκαστον σὺν τῇ αἰχμῇ· θώρακες δὲ ἀλυσιδωτοί[58], λωρίκια δηλαδὴ καὶ κλιβάνια, ἢ σιδηρᾶ[59] ἄμφω ἢ καὶ C κεράτινα, ἢ τούτων μὴ ὄντων καβάδια παχύτατα ἐκ βαμβάκης καὶ κουκουλλίου, ὡς ἄνωθεν ἔφημεν, πρὸς τούτοις παραμήρια καὶ κόρυθες ἀσκεπὲς ἔχουσαι τὸ πρόσωπον. Τῶν δὲ ψιλῶν λεγομένων ὧδέ πως ἔστω ὁπλισμός· περὶ μὲν τοὺς ὤμους τοξοφάρετρα βαστάζέτωσαν κούκουρα ἔχοντες ἀνὰ τριάκοντα ἢ καὶ τεσσαράκοντα ὀϊστοὺς χωροῦντα, ἐχέτωσαν δὲ καὶ νευρὰς ἀνὰ δύο καὶ σωληνάρια ξύλινα μετὰ μικρῶν ἕκαστον[60.61] ὀϊστῶν καὶ κουκούρων τοιούτων· τοὺς δὲ μικροὺς τοιούτους ὀϊστοὺς καὶ μένας καλοῦσί τινες[62]. Χρήσιμα δὲ τὰ βέλη ταῦτα κατὰ τὸν πόλεμον, ὅτι τε[63] πορρωτάτω διὰ τῶν τόξων πέμπονται, καὶ ὅτι ἀθέατα τοῖς πολεμίοις εἰσὶ διὰ τὴν βραχύτητα καὶ διὰ τοῦτο τάχιστα ἀναιροῦσιν, ἄλλως τε καὶ ὅτι D τοῖς πολεμίοις οὐ χρησιμεύουσι ταῦτα τὰ βέλη δι' ἀπειρίαν. Οἱ δ' αὐτοὶ ψιλοὶ καὶ ἀκόντια φερέτωσαν καὶ ἀσπιδίσκια στρογγύλα καὶ παραμήρια ἢ τζικούρια διὰ θηκαρίων βασταζόμενα δερματίνων· τούτων δὲ ἔνιοι καὶ σφενδόνας ἐχέτωσαν οὐκ ἐλάττους σπιθαμῶν ἕξ. Ἱμάτια δὲ αὐτοῖς μὴ ποδήρη, ἀλλὰ μέχρι γονάτων ἔστω φθάνοντα καὶ ὑποδήματα μετρίως καθηλωμένα· ταῦτα γὰρ χρήσιμα καὶ μάλιστα ἐν ταῖς ὁδοιπορίαις. Ἔστω δὲ πρὸς τούτοις ἐν τοῖς πεζικοῖς τοῖσδε τάγμασι καὶ κατὰ δεκαρχίαν ἅμαξα[64] μία χειρόμυλον φέρουσα καὶ ἀξίνην καὶ πελέκιον καὶ ὀρύττας δύο καὶ πτύα καὶ κιλίκιον καὶ κόφινον σκέ-

VARIÆ LECTIONES.

[52] τοιοῦτινός B. [53] σιδηρὰ B. [54] κουκουλίου B. [55] ἀγκόνων B. [56] κόπης B. [57] τελεῖαι B. [58] ἀλυσειδωτοί B. [59] σιδηρᾶ καὶ B. [60] [61] ἕκαστος B. [62] καλοῦσι τινές B. [63] τὲ B. [64] ἅμαξ B.

παρνόν τε καὶ τὰ λοιπὰ, πρὸς τούτοις τζικούριον καὶ φαλκίον [65] τριβόλιά τε σιδηρᾶ διὰ τῶν λεγομένων σφηκωμάτων ἀποδεδεμένα ἥλοις σιδηροῖς πρὸς τὸ ῥᾳδίως αὐτὰ ῥίπτεσθαι καὶ αὖθις συνάγεσθαι· φερέτω δὲ τῶν ἁμαξῶν ἑκάστη καὶ τόξα τῆς χρείας πλείω καὶ ὀϊστοὺς παξαμάτας τε καὶ κέγχρον ἀληλεσμένην [66] καὶ ὅσα τῶν χρειῶν δ' ἕτερα ἡμῖν παραλέλειπται.

ΚΕΦΑΛ. ΛΘ'. — *Ὁπλισμὸς ἱππέων κατ' αὐτούς.*

Τοὺς δ' ἱππεῖς τοῦτον ὁπλιστέον τὸν τρόπον· ἀσπίδες μὲν τοῖς καταφράκτοις ἔστωσαν ἐπιμήκεις σπιθαμῶν μάλιστα τεσσάρων καὶ ἡμισείας, δόρατά τε ὀκταπήχη φλαμουλίσκια ἔχοντα καὶ αἰχμὰς σπιθαμιαίους, καὶ πρὸς θώρακές τε ἁλυσιδωτοὶ [67] τέλειοι μέχρι μὲν ἀστραγάλων διήκοντες, ἀνασειρόμενοι δὲ διὰ λωρίων καὶ κρικέλων ἢ κλιβάνια σιδηρᾶ ἢ καὶ κεράτινα ἢ καὶ ἐπιλωρίκια μακρὰ μετὰ βαμβάκης καὶ κουκουλλίου [68], σχίσματα ἔχοντα περὶ τὰς ὠλένας, ὡς ἄνω που ἔφημεν, ἐπανωκλίβανά τε πρὸς τούτοις τουφία εἴτ' οὖν λιβέλους περὶ τοὺς ὤμους ἔχοντα· ἀπεωρείσθω [69] δὲ τῶν αὐτῶν ὤμων καὶ ξίφη δίστομα σπιθαμῶν ὄντα [70] μάλιστα τεσσάρων τῆς κώπης χωρὶς, τὰ δ' ἐλάχιστα τέσσαρας μετὰ B τῆς κώπης· καὶ ἕτερα δὲ μονόστομα ξίφη τοῖς διστόμοις ἰσομήκη παραζωννύσθωσαν οἱ αὐτοὶ, ἃ δὴ καὶ παραμήρια λέγονται. Καὶ τὰς μὲν χεῖρας ὁπλιζέτωσαν τοῖς χειροψέλλοις, τοὺς δ' αὖ πόδας τοῖς ποδοψέλλοις ὀνομαζομένοις, καὶ τούτοις ἢ σιδηροῖς ἢ ξυλίνοις ἢ καὶ ἐκ βύρσης εἰργασμένοις βοείας. Περὶ δὲ τὰς ἐφεστρίδας βαρδούκια πάντες ἐχέτωσαν, εἴτ' οὖν [71] σιδηροραύδια, καὶ σελοπούγγια πρὸς τούτοις ἀνὰ δύο ἢ καὶ τριῶν ἔχοντα παξαμάτων ἢ κέγχρου ἀληλεσμένης, ὡς ἐν τῷ εἰκοστῷ κεφαλαίῳ πλατυκώτερον περὶ τούτου εἰρήκαμεν· περὶ δὲ τὰς κεφαλὰς κόρυθας ὡσαύτως σιδηρᾶς τελείας σεσαμιωμένας τουφία καὶ ταύτας ἐχούσας ἄνωθεν· φερέτωσαν δὲ καὶ κούκουρα ἀνὰ λ' ἢ μ' ὀϊστοὺς χωροῦντα C ἕκαστον· οἱ μέντοι ὀϊστοὶ ἀνὰ θ' παλαιστῶν ἔστωσαν καὶ μὴ ἔλαττον· τόξα τε πολὺ τῆς δυνάμεως ἐλασσούμενα, παλαιστῶν καὶ ταῦτα δεκαὲξ ἢ τὸ ἔλασσον ιε' μετὰ τῶν θηκῶν αὐτῶν· ἐχέτω δὲ ἕκαστος εἰς τὰ τῶν κουκούρων ζωνάρια καὶ ῥῖνον καὶ σουβλίον καὶ μαχαίρια καὶ κόλλαν καὶ ἕτερα τοιαῦτα τῶν χρειωδῶν. Οἱ μέντοι αὐτῶν ἵπποι προμετωπιδίοις καὶ περιστηθίοις καὶ κατανωτίοις σκεπάσθωσαν [72] ἢ λωρικίοις ἢ κλιβάνοις, καὶ τούτοις ἢ σιδηροῖς ἢ καὶ διὰ κεράτων συμπεπλεγμένοις. Ὁπλιζέσθωσαν δὲ καὶ οἱ δορυφόροι τοῖς ὁμοίοις σχεδὸν ὅπλοις τῶν καταφράκτων, ἐλαφροτέροις μέντοι τούτων καὶ ἧττον στεγανωτέροις, καὶ οἱ ἵπποι δὲ πρὸς τούτοις αὐτῶν ἄοπλοι ἔστωσαν διά τε [73] τὰς ἐπελάσεις καὶ αὖθις ὑποχωρήσεις. Καὶ ταῦτα μὲν περὶ τούτων· D τῶν δὲ ψιλῶν καλουμένων ἱππέων οἱ μὲν ἀκοντισταὶ ἀνὰ δύο ἢ καὶ τριῶν φερέτω ἕκαστος ἀκόντια σπιθαμῶν μάλιστα ιβ', καὶ πρὸς τούτοις δόρυ ὀκτάπηχυ καὶ ἀσπίδα ἐπιμήκη σπιθαμῶν τεττάρων ἔγγιστα ἢ καὶ περιφερῆ τρισπίθαμον καὶ κόρυθας ἐπὶ τούτοις ἀσκεπεῖς τὰ κύκλῳ· οἱ δὲ τοξόται κούκουρά τε ἐχέτωσαν καὶ τόξα τῆς δυνάμεως ἐλασσούμενα, ὡς ἄνω που ἔφημεν, διὰ τὸ εὐάγωγόν τε καὶ εὔστοχον μά-

A CAP. XXXIX. — *Equitum armatura apud eosdem.*

Equites hoc modo armari oportet: Cataphractis sint scuta dodrantium ad summum quatuor cum dimidio, lanceæ autem cubitorum octo flammula habentes et cuspides dodrantis unius, et thoraces hamis inter se consertis ad spondylos devenientes lorisque et annulis ligati, vel clibana ferrea aut cornea, vel etiam epiloricia longa cum bambace et cucullio, fissuras habentia circum brachia, sicuti supra diximus, atque epanoclibana tufas circum humeros et libelos habentia. Suspendantur simul ab humeris gladii ancipites dodrantium ut maxime quatuor absque capulo, minimum autem quatuor cum capulo, et simul aliis gladiis altera parte B acutis, ancipitibus longitudine æqualibus præcingantur, qui femoralia dicuntur, manus suas chiropselliis muniant, pedesque podopselliis, vel ferreis, vel ligneis aut ex bovinis pellibus. Circum sellas clavos cuncti habeant et sideroraudia et sellæ sacculos in quibus duo aut tria paxamata, vel milium tritum, sicut vigesimo capite fusius diximus. In capitibus galeas pariter ferreas integras signo insignitas et tufis desuper. Ferant quoque tela triginta aut quadraginta in marsupiis: tela autem novem palmorum sint, nec minus; arcus vero robore multo minores, sexdecim aut minimum quindecim palmorum, cum thecis suis; habeatque unusquisque in marsupiorum cingula, pellem et subulam et novaculas et gluten et cætera necessaria. Equi vero C eorum frontalibus, pectoralibusque et dorsualibus muniantur, aut loriciis aut clibanis sive ferreis sive corneis. Armandi doryphori eisdem fere quam cataphractæ, sed levioribus armis, et minus solidis; inermes quoque eorum equi, propter impetus et subductiones. Hæc de his. Inter eos autem qui leves vocantur equites, jaculatorum quisque ferat duo vel tria jacula dodrantium duodecim ut maxime et insuper lanceam cubitorum octo et oblongum scutum dodrantium fere quatuor aut orbiculare trium dodrantium, galeas præterea in circuitu nudas. Sagittarii vero marsupia et arcus robore minores; ut supra diximus, ad tractandi facilitatem et imprimis jaculandi; femoralia quoque et galeas non D integras, sellæ marsupla simul a zonariis marsupiorum aliqua necessariorum suspensa, ut de cataphractis disserentes diximus.

VARIÆ LECTIONES.

[65] o corr. ex ω in B. [66] ἀληθεσμένον B. [67] ἁλυσειδωτοὶ B. [68] κουκουλίου B. [69] ἀπεωρεῖσθω B. [70] ὄντων B. [71] εἴτουν hic quidem B. [72] σκεπέσθωσαν B. [73] πρός τε, superscr. διά τε eadem manu B.

λιστα, παραμήριά τε καὶ κόρυθας μὴ τελείας, σελλοπούγγιά τε ὡσαύτως, καὶ περὶ τὰ τῶν κουκούρων ζωνάρια τῶν χρειωδῶν ἀπῃωρημένα τινὰ, ὡς ἐν τῷ περὶ τῶν καταφράκτων ἔφημεν λόγῳ.

CAP. XLI. — *Exercitus motuum denominationes.*

Flexio ad lanceam, flexio ad scutum, in frontem procedere, ad cornu procedere, epagoge, paragoge, metabole, epistrophe, anastrophe, antiperispasis, exallagmus, hyperphalangisis, hypercerosis, in ordine procedere, jungere, diplasiasmus, entaxis, hypotaxis, protaxis, parabole, systole. Flexio ad lanceam dicitur, uniuscujusque ad dextram motus; flexio ad scutum, ad sinistram; in frontem procedere, cum parataxis procedit habens convenientem longitudinem: ad cornu autem, quum propter locorum angustias præcedit dextrum, sequitur medium, pone incedit lævum: cornu etenim vocatur, ut dictum est universæ parataxeos pars extrema; epagoge, cum lochagos promachosque et caudarios in suo ordine habet phalanx. Metabole, cum retrorsum miles se vertit; epistrophe, cum omne agmen tanquam unus homo se vertit; anastrophe, cum ad præcedentem figuram revertitur; antiperispasis, cum inopinato fit motus ad decipiendos hostes in aliqua parte superantes; exallagmus, cum promachi caudam capiunt et vice versa caudarii fiunt promachi; hyperphalangisis, cum phalangis frons ex utraque parte ultra hostes extenditur; hypercerosis autem, cum ex altera tantum parte; in ordine procedere, cum directo invicem sunt milites secundum agminis profunditatem, seu densitatem, id est, lochagi cum mediis et caudariis; jungere cum directo sunt qui secundum ordinis longitudinem stant: jugum enim vocatur agminum secundum longitudinem ordo; diplasiasmus, cum duo lochi unus fiunt: quod vel secundum longitudinem vel secundum profunditatem fit; entaxis cum velites inter hoplitas sistuntur permixti vir ad virum; hypotaxis vero, cum seorsim velites pone hoplitas ponuntur; protaxis autem, cum ante; parabole, cum in latius extenditur frons phalangis; systole autem cum in prius contrahitur.

A ΚΕΦΑΛ. ΜΑ'. — *Ὀνομασίαι κινήσεων στρατοῦ.*

Κλίσις ἐπὶ δόρυ, κλίσις ἐπ' ἀσπίδα, ἐπὶ μέτωπον πορεύεσθαι, ἐπὶ κέρας πορεύεσθαι, ἐπαγωγὴ, παραγωγὴ, μεταβολὴ [76], ἐπιστροφὴ, ἀναστροφὴ, ἀντιπερίσπασις, ἐξαλλαγμὸς, ὑπερφαλάγγισις, ὑπερκέρωσις, στοιχεῖν [75], ζυγοῦν, διπλασιασμὸς, ἔνταξις, ὑπόταξις, πρόταξις, παρεκβολὴ, συστολή. Κλίσις μὲν οὖν ἐπὶ δόρυ ἡ [76] ἐπὶ δεξιὰ ἑκάστου ἀνδρὸς κίνησις λέγεται, κλίσις δ' ἐπ' ἀσπίδα ἡ ἐπ' ἀριστερά [77]· ἐπὶ μέτωπον πορεύεσθαι, ὅτι τὸ προσῆκον ἔχουσα μῆκος ἡ παράταξις πρόεισιν, ἐπὶ κέρας δὲ, ὅτε διὰ στενοτάτων τόπων προηγούμενον μὲν ἔχει [78] τὸ δεξιὸν ἡ παράταξις, ἑπόμενον δὲ τὸ μέσον, ὕστατον δὲ τὸ ἀριστερὸν (κέρας γὰρ, ὡς ἔφημεν, τὸ ἀκρότατον B πάσης παρατάξεως λέγεται). Ἐπαγωγὴ, ὅτε κατὰ τὴν οἰκείαν τάξιν ἡ φάλαγξ τούς τε λοχαγοὺς εἴτ' οὖν προμάχους καὶ τοὺς οὐραγοὺς ἔχει. . . . . [79].

Μεταβολὴ τὸ μεταστραφῆναι τὸν στρατιώτην ἐπὶ τὸ ὄπισθεν· ἐπιστροφὴ τὸ ἐπιστραφῆναι ἅπαν τὸ τάγμα ὡς ἕνα ἄνθρωπον· ἀναστροφὴ δὲ τὸ ἀποκατασταθῆναι τοῦτο αὖθις εἰς τὸ πρότερον σχῆμα. Ἀντιπερίσπασις, ὅτε παρὰ προσδοκίαν γίνεται [80] κίνησις ἐπὶ τῷ ἀπατηθέντας ἐντεῦθεν τοὺς πολεμίους ἐνδοῦναι, καθ' ὃ ἀγωνιζόμενοι μέρος ἰσχύουσιν· ἐξαλλαγμὸς, ὅτε οἱ μὲν πρόμαχοι οὐραγοῦσιν, οἱ δὲ οὐραγοῦντες πρόμαχοι γίνονται. Ὑπερφαλάγγισις, ὅτε τῆς φάλαγγος μέτωπον ἐξ ἑκατέρου μέρους ὑπερεκτείνεται τῶν πολεμίων· ὑπερκέρωσις δὲ, ὅτε μόνον ἐξ ἑνὸς ὑπερ- C τείνεται μέρους. Στοιχεῖν δὲ τὸ ἐπ' εὐθείας ἀλλήλοις εἶναι τοὺς κατὰ βάθος εἴτ' οὖν [81] πάχος ἱσταμένους τοῦ τάγματος, τοὺς λοχαγοὺς δηλαδὴ μετὰ τῶν μέσων καὶ τῶν οὐραγῶν· ζυγοῦν τὸ ἐπ' εὐθείας εἶναι τοὺς κατὰ τὸ τοῦ ὀρθίνου μῆκος ἑστῶτας (ζυγὸς γὰρ ὁ τῶν ταγμάτων κατὰ μῆκος ὀρθινὸς λέγεται). Διπλασιασμὸς δὲ, ὅτε οἱ δύο λόχοι γίνονται εἷς· τοῦτο δὲ ἢ κατὰ μῆκος ἢ κατὰ βάθος ἐστὶ γινόμενον· ἔνταξις δὲ, ὅτε [82] οἱ ψιλοὶ μετὰ τῶν ὁπλιτῶν ἀναμὶξ τάττονται ἀνὴρ παρ' ἄνδρα· ὑπόταξις δὲ, ὅτε μονομερῶς οἱ ψιλοὶ τῶν ὁπλιτῶν ὄπισθεν ἵστανται· πρόταξις δὲ, ὅτε τῶν ὁπλιτῶν ἔμπροσθεν οὗτοι τάττονται [83]· παρεκβολὴ, ὅτε τὸ τῆς φάλαγγος μέτωπον εἰς πλέον μῆκος ἐκτείνεται, συστολὴ δὲ τὸ ἔμπαλιν.

CAP. XLII. — *Phalangis figuræ.*

Quadrangularis phalanx, æquilateralis phalanx, transversa phalanx, recta phalanx, obliqua phalanx, bifrons phalanx, adversa phalanx. Quadrangularis dicitur phalanx quæ quatuor lateribus terminatur, non autem æqualibus, sed oblonga figura; æquilateralis, quæ in quatuor lateribus æqualia habet agmina, et quadratum agmen vocatur; transversa phalanx, quæ frontem multo longiorem profunditate habet et secundum longitudinem quadrangularem se efficit: quod perutile, inirataxibus

ΚΕΦΑΛ. ΜΒ'. — *Σχηματισμοὶ φάλαγγος.*

Πλαισία φάλαγξ, ἰσόπλευρος φάλαγξ, πλαγία φάλαγξ, ὀρθία φάλαγξ, λοξὴ φάλαγξ, ἀμφίστομος φάλαγξ, ἀντίστομος φάλαγξ. Καὶ πλαισία λέγεται φά- D λαγξ ἡ ἐκ τεσσάρων μὲν πλευρῶν συγκειμένη πλὴν οὐκ ἐν ἰσοπλεύρῳ, ἀλλ' ἐν ἐπιμήκει σχήματι· ἰσόπλευρος δὲ ἡ ἐκ τεσσάρων μερῶν ἴσα τὰ τάγματα ἔχουσα, τοῦτο δὲ καὶ πλινθίον καλεῖται· πλαγία φάλαγξ ἡ τὸ μέτωπον πολὺ μεῖζον τοῦ βάθους ἐκτεινόμενον ἔχουσα καὶ ἐπὶ μήκει ταύτην ποιοῦσα τετράγωνον, ὃ δὴ χρήσιμον ἐν ταῖς παρατάξεσι μάλιστα·

VARIÆ LECTIONES.

[74] καταβολὴ B. [75] στοιχεῖον B. [76] ἢ B. [77] ἀριστερὰ B. [78] ἔχῃ B. [79] Apertæ lacunæ qua paragogæ explicatio hausta est, nullum in B. vestigium. [80] γένηται B. [81] εἴτουν hic quidem B. [82] ὅταν B. [83] τάττωνται B.

ὀρθία φάλαγξ ἡ τὸ πάχος πολὺ μεῖζον τοῦ μήκους [84] A ἔχουσα, ὃ δὴ καὶ ἐν μόναις ταῖς δυσχωρίαις χρήσιμον· λοξὴ φάλαγξ ἡ καθ' ἓν ἀγωνιζομένη κέρας, τὸ δὲ λοιπὸν ἠρέμα [85] ὑποστέλλουσα. Ἀμφίστομος φάλαγξ διαφέρει τῆς ἀντιστόμου· ἡ μὲν γὰρ ἀμφίστομος ἐν ἐπιμήκει ὀρθίῳ θεωρουμένη σχήματι ἐκ τῶν δύο πλαγίων τὸν πόλεμον ἔχουσα ἀγωνίζεται, ἡ δὲ ἀντίστομος ἐν ἐπιμήκει πλαγίῳ ἑκατέρωθεν μὲν καὶ αὐτὴ τὸν πόλεμον ἔχει, πλὴν οὐκ ἐκ πλαγίων, ἀλλ' ἐκ τῶν ἔμπροσθέν τε καὶ ὄπισθεν.

ΚΕΦΑΛ. ΜΓ'. — *Περὶ βάθους εἴτ' οὖν πάχους τῶν τε πεζικῶν καὶ ἱππικῶν τάξεων, ἔτι δὲ καὶ μήκους αὐτῶν, καὶ πόσον ἐν τῇ παρατάξει τόπον ὅ τε πεζὸς ἐπέχων, ὅ τε ἱππεὺς πρὸς τούτοις, καὶ περὶ τῶν ἐν ταῖς τάξεσι πρὸς ἀλλήλας διαλειμμάτων [86] ἐπ' εὐθείας τε ὡσαύτως καὶ ἐκ πλαγίου, ἐν ᾧ καὶ περὶ τόξου* B *βολῆς.*

Τῶν μὲν οὖν πεζικῶν ταγμάτων βάθος τὸ μέγιστον οὐ πλέον ὀρδίνων ἐστὶ δεκαέξ, τὸ μέντοι ἔλαττον ἑπτά· τό τε [87] γὰρ ἐπέκεινα τῶν δεκαὲξ πάχος ἀνωφελὲς διὰ τὸ [88] καὶ τοὺς ἀκοντιστάς τούς τε τοξότας καὶ τοὺς σφενδονήτας ὑπὸ τῶν ἔμπροσθεν ἱσταμένων πολλῶν ὄντων ἐμποδίζεσθαι, καὶ τὸ ἔλαττον δὲ τῶν ἑπτὰ καθ' ἕτερον τρόπον ἄχρηστον· τῶν γὰρ πολεμίων ἐκ τῶν ἔμπροσθεν ἔσθ' ὅτε καὶ ὄπισθεν ἐπιθεμένων ὁμοῦ καὶ ἀντιστόμου διὰ τοῦτο τῆς φάλαγγος γινομένης ῥᾳδίως ταύτην ληφθῆναι παρὰ τῶν πολεμίων συμβήσεται βάθος μὴ ἔχουσαν ἀξιόλογον [89]. Εἰς δώδεκα μὲν οὖν χιλιάδας καὶ ἐπέκεινα τοῦ πεζικοῦ ποσουμένου στρατοῦ τότε δεῖ καὶ τὰ τάγματα ἀνὰ δεκαὲξ ὀρδίνων ποιεῖν, ἐλάττονος δ' οὔσης τῆς C στρατιᾶς καὶ μέχρι τῶν ἑπτὰ συστέλλειν αὐτὰ ἔξεστι. Καὶ οὕτω μὲν τὸ βάθος ἢ πάχος ἕξει τῆς πεζικῆς τάξεως, τὸ δὲ μῆκος ταύτης ἀόριστον· ἔξεστι γὰρ καὶ ἐκτείνειν ταύτην καὶ συστέλλειν ἔσθ' ὅτε κατὰ τὸ τῆς στρατιᾶς δηλονότι πλῆθος [90]. Τὸ δ' οὖν μάλιστα σύμμετρον δοκοῦν ἐν παρατάξει μῆκος ἀνδρῶν ἐστι τριακοσίων, τὸ δὲ ἐλάχιστον διακοσίων. Ἱππικῶν δὲ ταγμάτων τὸ μὲν μέγιστον βάθος ὀρδίνων ἐστὶ δέκα, τὸ δὲ ἔλαττον ποτὲ καὶ μέχρι τεσσάρων· ἡ γὰρ μὴ ἔχουσα πάχος ἱππικὴ παράταξις εἰς μὲν πολέμους ἄχρηστος, ἐπεὶ διακοπτομένη παρὰ τῶν πολεμίων κύκλωσιν ὑπομένει καὶ ῥᾷστα φθορᾷ παραδίδοται, αἰχμαλωτίσαι [91] δὲ καὶ χώραν τάχιστα ἐρημῶσαι καὶ λίαν χρήσιμος [92]. Εἰς δέκα μὲν οὖν D χιλιάδας τοῦ ἱππικοῦ ποσουμένου στρατοῦ τότε δεῖ καὶ τὰ τάγματα ἀνὰ δέκα ποιεῖν ὀρδίνων, ἐλάττονος δ' οὔσης τῆς στρατιᾶς ἀνὰ πέντε ἢ τεσσάρων τοὐλάχιστον, ὃ δὴ μάλιστα καὶ ἐνεργὸν καὶ χρήσιμόν ἐστιν ἐν ταῖς παρατάξεσιν [93], ἐπεὶ ὁ ὀπίσω τῶν πέντε ἱππέων ἱστάμενος τοξότης διὰ τοὺς ἐπιπροσθοῦντας [94] αὐτῷ τοξεύειν εἰς ὕψος ἀναγκασθήσεται, κἀντεῦθεν ἀνενεργεῖς συμβαίνει τοὺς

præsertim ; recta phalanx, quæ profunditatem multo majorem habet longitudine : quod in angustiis tantum locorum perutile ; obliqua phalanx, quæ uno tantum cornu dimicat, reliquis otium agentibus ; bifrons phalanx cum adversa differt : bifrons etenim oblonga et recta figura dimicat utroque latere ; adversa vero oblongam utroque latere ipsa quoque figuram habet, non autem e transverso, sed adversum et retrorsum dimicat.

CAP. XLIII. — *De profunditate seu densitate peditum et equitum taxeon et de earum longitudine, atque quantum in parataxi loci obtinet pedes et eques, de intervallis quoque taxeon inter se sive directo sive e transverso, ubi necnon et de teli jactu.*

Peditum agmina maximam profunditatem sexdecim ordinum habeant, nec amplius, minimam vero septem : ultra namque sexdecim ordines noxia esset profunditas propter jaculatores sagittariosque et fundatores qui a pluribus ante se stantibus impedirentur ; minor autem ordinibus septem alio quoque modo noxia : accidere enim potest ut phalanx, hostibus ante et post insistentibus, unde adversa fieri cogitur, facile tollatur sufficienti carens profunditate. Cum igitur duodecim millia habet exercitus pedestris aut ultra, tunc oportet agmina sexdecim ordinum facere ; quod si minor sit numerus, usque ad septem ordines descendere licet. Ea esse debet pedestris aciei profunditas, seu densitas, longitudo autem illimitata : potest enim aut extendi aut contrahi pro exercitus scilicet numerositate. Aptior porro videtur in parataxi longitudo ad summum trecentorum virorum et minimum ducentorum. Equestrium agminum profunditas maxima ordinum decem, minima vero adusque quatuor : parataxis namque equestris, nisi profunda, nullam in hostes utilitatem præbet, siquidem perrupta circumducetur et facillime conficietur ; utilis autem quam maxime est ad abducendos captivos et regionem celerrime depopulandam. Cum igitur equestris exercitus decem millium est, tunc oportet agmina decem esse ordinum ; si vero minor est ad quinque et minimum quatuor est descendendum : quod in parataxibus potens et utile est, quoniam qui post quinque equites sistitur sagittarius, sursum tela mittere cogetur, unde inutilia fiunt, et præserti m quoniam potest quidem pedes eos qui ante se stant, in pugnam impellere, nullo autem modo eques. Sed fusius de singulis capite quadragesimo sexto dicetur. Ea esse debet equestris parataxeos profunditas seu densitas, longitudo autem hic etiam illimitata :

VARIÆ LECTIONES.

[84] βάθους superscr. μήκους (ead. m.) B. [85] ἠρέμα B. [86] διαστημάτων (sed στημάτων et punctis superne positis et linea subducta notatum) et in marg. λειμμάτων B. [87] τό γε B. [88] τοῦτο B. [89] Ead. m. ascript. ad marg. βάθος πεζικῶν ταγμάτων τὸ μέγιστον. [90] Ead. m. ascript. ad marg. deinceps : βάθος πεζικῶν ταγμά[των τὸ ἐλάχιστον] μῆκον (sic) σύμμετρον [βάθος ἱππικῶν ταγμά]των τὸ μέγιστον. [91] αἰχμαλιώτισαι B. [92] χρήσημος B. [93] Ead. m. ascript. ad marg. βάθος ἱππικῶν ταγμάτων τὸ ἐλάχιστον. [94] ἐπιπροσθοοῦντας B.

pro numerositate enim exercitus varia erit; conveniens tamen videtur et hic ducentorum virorum longitudo, minimaque centum et viginti. Hæc de longitudine et profunditate taxeon tam peditum quam equitum. Spatium autem in transversum tenere debet pedes quisque et eques in itineribus ulnæ unius, id est quatuor cubitorum; pugna vero imminente semiulnæ, id est trium pedum, in articulo autem congressionis tertiæ partis ulnæ, id est pedum duorum : quod synaspismus dicitur. In sola testudinis dicta parataxi, quæ vulgo syscutum vocatur, quartam ulnæ partem seu cubitum unum occupat pedes quisque; conveniens vero peditis et equitis est semiulna. Directo autem unam ulnam occupat pedes propter fundarum demissionem et jaculorum intorsionem. Intervalla quibus inter se distant taxes peditum, sex ulnarum est nec amplius in transversum: sufficiens enim hic videtur intervallum quod decem et octo equites transmissos contineat; equitum vero illimitatum; conveniens vero videtur et hic tredecim ulnarum intervallum. In sola tamen parataxi dicta auxiliatrice ad dimidium teli jactum licet intervalla in transversum ponere, ut capite quadragesimo sexto dicetur. Directo autem intervalla inter taxes in itineribus duorum sint teli jactuum, aliquandoque unius aut plus aut minus: pugnæ tamen tempore unius teli jactu ad summum; raro equitibus minus erit, sed peditibus multo minus : si de mixto exercitu agitur, quam minimum cum juxta figuram descriptam pedites inter se medium habent equitatum, sicut fusius capite quadragesimo septimo dicetur de mixto exercitu atque de peditum in illo taxibus; tunc enim non plus viginti et octo ulnis peditum taxes inter se distant. Qui procursatores vocantur eorumque defensores (hi sunt qui ante pugnam commissam ante taxes currunt ad excitandos ad pugnam hostes), duobus aut ad summum tribus milliaribus a cæteris hominibus distabunt, ultra jam non esset securum. Similiter opisthophylaces duobus teli jactibus a tuldo, ne hostibus a tergo tela in opisthophylaces jacientibus, ii qui in tuldo sunt feriantur. Teli porro jactus quam convenientissime centum et quinquaginta ulnarum deputatur, ulnarum autem simplicium dictarum centum et septuaginta aut ut maxime centum et octoginta.

A ὀϊστοὺς πέμπεσθαι· ἄλλως τε ὁ μὲν πεζὸς ῥᾳδίως τὸν ἔμπροσθεν ἱστάμενον αὐτοῦ [95] ὠθεῖν ὡς πρὸς τὸν πόλεμον δύναται, οὐκέτι δὲ καὶ ὁ ἱππεύς. Πλατυκώτερον δὲ περὶ τούτων ἑκάστων [96] ἐν τῷ τεσσαρακοστῷ ἕκτῳ κεφαλαίῳ εἰρήσεται. Τὸ μὲν οὖν βάθος ἢ πάχος οὕτως ἕξει τῆς ἱππικῆς παρατάξεως, τὸ δὲ μῆκος κἀνταῦθά ἐστιν [97] ἀόριστον· πρὸς γὰρ τὸ πλῆθος ἔσται τῆς στρατιᾶς· σύμμετρον [98] δ' οὖν κἀνταῦθα δοκεῖ μῆκος μάλιστα τὸ τῶν διακοσίων ἀνδρῶν, ἐλάχιστον δὲ τὸ τῶν ἑκατὸν εἴκοσι. Καὶ ταῦτα μὲν περὶ μήκους καὶ βάθους τῶν τε πεζικῶν ὁμοῦ καὶ ἱππικῶν τάξεων· τόπον [99] δὲ κατὰ πλάγιον ὅ τε πεζὸς καὶ ἱππεὺς ἐν παρατάξει ἐπέχειν λέγεται ἐν μὲν ὁδοιπορίᾳ ὀργυιᾶς μιᾶς πήχεων δηλαδὴ τεσσάρων, πολέμου δὲ προσδοκίας οὔσης ὀργυιᾶς ἡμίσεως B ποδῶν δηλαδὴ τριῶν, ἐν αὐτῷ δὲ τῷ τῆς συμπλοκῆς καιρῷ τρίτον ὀργυιᾶς ἤτοι ποδῶν δύο· τοῦτο δὲ καὶ συνασπισμὸς λέγεται [1]. Ἐν μόνῃ δὲ ἄρα τῇ τῆς χελώνης καλουμένῃ παρατάξει, ὃ δὴ καὶ σύσκουτον ἡ δημώδης ὀνομάζει φωνή, τέταρτον ὀργυιᾶς εἴτ' οὖν [2] πῆχυν ἕνα τῶν πεζῶν ἕκαστος ἐπέχει· σύμμετρος δὲ τόπος ἱππέως τε καὶ πεζοῦ τὸ τῆς ὀργυιᾶς ἐστιν ἥμισυ. Ἐπ' εὐθείας δὲ τόπον ὁ πεζὸς ἐπέχει μιᾶς ὀργυιᾶς διά τε τὰς τῶν σφενδονῶν ἀφέσεις καὶ τὰς τῶν ἀκοντίων ἀνατάσεις. Διαλείμματα [3] δὲ τάξεων πρὸς ἀλλήλας ἐν ταῖς πεζικαῖς κατὰ μὲν πλάγιον οὐ πλέον ὀργυιῶν ἐστιν ἕξ (ἱκανὸν γὰρ ἐνταῦθα δοκεῖ διάλειμμα τὸ δεκαοκτὼ ἱππεῖς διιόντας δεχόμενον), ἐν δὲ ταῖς ἱππικαῖς μάλιστα μὲν ἀόριστον, C σύμμετρον δ' οὖν κἀνταῦθα [4] δοκεῖ τὸ τῶν δεκατριῶν ὀργυιῶν διάλειμμα. Ἐν μόνῃ δὲ ἄρα τῇ βοηθῷ καλουμένῃ παρατάξει καὶ μέχρι ἡμίσεως [5] τόξου βολῆς ποιεῖν τὰ ἐκ πλαγίου διαλείμματα ἔξεστιν, ὡς ἐν τῷ τεσσαρακοστῷ [6] ἕκτῳ κεφαλαίῳ λέξεται. Ἐπ' εὐθείας δὲ διαλείμματα ἐν ταῖς τάξεσιν ἐν μὲν ὁδοιπορίαις δυσὶ τόξου βολαῖς [7] ἑτέρα τάξις θατέρας ἀφέξεται, καὶ μιᾷ ἔσθ' ὅτε καὶ πλέον καὶ ἔλαττον· ἐν μέντοι πολέμου καιρῷ [8] τὸ μὲν πλεῖστόν [9] ἄχρι τόξου βολῆς [10], σπανίως γε μὴν ἐν ταῖς ἱππικαῖς ἔτι ἔλαττον [11] ἔσται, πολὺ δὲ ἔλαττον ἐν ταῖς πεζικαῖς· ἐπὶ συμμίκτου μέντοι στρατοῦ καὶ ἔτι ἐλάχιστον, ὅταν ἐν παρατεταγμένῳ [12] σχήματι μέσον οἱ πεζοὶ τὸ ἱππικὸν συνέχωσιν, ὡς ἐν τῷ τεσσαρακοστῷ ἑβδόμῳ κεφαλαίῳ εἰρήσεται πλατυκώτερον περί τε D συμμίκτου στρατοῦ καὶ τῶν ἐν αὐτῷ πεζικῶν τάξεων. τότε γὰρ οὐ πλέον ὀργυιῶν κη' τὰ ἐπ' εὐθείας εἰσὶ τῶν πεζικῶν τάξεων διαλείμματα. Οἱ μέντοι προκουρσάτωρες λεγόμενοι καὶ οἱ τούτων δεφένσωρες (εἶεν δ' ἂν οὗτοι οἱ κατὰ τὸν τοῦ πολέμου καιρὸν τῶν τάξεων προερχόμενοι καὶ τοὺς πολεμίους πρὸς συμπλοκὴν ἐρεθίζοντες [13]) καὶ μέχρι δύο μιλίων ἢ τριῶν τὸ πλεῖστον τῶν λοιπῶν ταγμάτων ἀφέξονται, τὸ δὲ τούτων ἐπέκεινα οὐκ ἀσφαλές. Ὡσαύτως δὲ καὶ οἱ ὀπισθοφύλακες [14] δυσὶ τόξου βολαῖς ἀφέ-

VARIÆ LECTIONES.

[95] αὐτὸν (sic) B. [96] ἕκαστον B. [97] κανταῦθα, ἔστιν B. [98] Ead. m. ascript. ad marg. μῆκος σύμμετρον. [99] Ead. m. ascript. ad marg. τόπος ἱππέων καὶ πεζῶν. [1] Ead. m. ascript. ad marg. τόπος ἕτερος. [2] εἴτουν hic quidem B. [3] Ead. m. ascript. ad marg. Διαλείμματα πεζικῶν ταγμάτων. [4] κανταῦθα B. Ead. m. ascript. ad marg. Διάλειμμα σύμμετρον ἱππικῶν ταγμάτων. [5] ἡμήσεως corr. ex ἡμῖσεος B. [6] τεσσαρακοντοστῷ (sed ντο et linea transfossum et punctis subditis notatum) B. [7] βουλαῖς B. [8] καιροῦ B. [9] πλέον; et; tum καὶ ἔλασσον ἄχρῖ (hoc corr. ex ἀρρῖ et tria verba punctis subditis notata) add. in fine paginæ B. [10] βουλῆς B. [11] ἐπέλαττον pro ἔτι ἔλαττον B. Haud scio an subsit lacuna : τὸ μὲν πλέον ἄχρι... καὶ ἔλαττον ἄχρι τόξου βολῆς, etc. [12] παραταττόμενον B. [13] ἐρρεθίζοντες B. [14] Ead. m ascript. ad marg. Διάλειμμα ἐπ' εὐθείας ὀπισθοφυλάκων.

ξονται [15] τοῦ τούλδου, ἵνα μὴ τῶν πολεμίων ἐκ τῶν ὄπισθεν τοῖς ὀπισθοφυλαχοῦσι προσβαλόντων οἱ ἐν τῷ τούλδῳ κατατοξεύοιντο. Ἡ δὲ σύμμετρος τόξου βολὴ [16] ὀργυιῶν ἂν εἴη μάλιστα ἑκατὸν πεντηκονταέξ, τῶν δὲ ἁπλῶν ὀργυιῶν καλουμένων ἑκατὸν ἑβδομήκοντα ἔγγιστα ἢ τὸ πλεῖστον ἑκατὸν ὀγδοήκοντα.

ΚΕΦΑΛ. ΝΓ'. — *Τί χρὴ ποιῆσαι πολιορκούμενον [17] τὸν στρατηγόν.*

Πολιορκεῖσθαι δὲ παρὰ τῶν πολεμίων ὁ στρατηγὸς ὑφορώμενος τροφὰς πρὸ πάντων συγκομιζέτω πρὸς χρονίαν ἀρκούσας πολιορκίαν, τροφῶν δὲ μὴ εὐπορῶν ἱκανῶν τοὺς μὲν ἀσθενεῖς καὶ γέροντας παῖδάς τε [18] καὶ γυναῖκας πρὸ τῆς τῶν πολεμίων ἐφόδου ἐν ὀχυροῖς καὶ ἀνεπιβουλεύτοις προεκπεμπέτω χωρίοις· καὶ πρὸ τούτου [19] τοὺς ὑπόπτους σπουδαζέτω· εἶτα τοὺς πιστοτάτους ταῖς τῆς πόλεως ἐφιστάτω πύλαις, φύλακάς τε μὴ τοὺς αὐτοὺς ἐν τοῖς αὐτοῖς ἀεὶ τόποις ἐχέτω, ἀλλ', εἰ δυνατὸν, καθ' ἑκάστην, εἰ δ' οὖν κατὰ δύο ἢ καὶ τρεῖς τὸ πλεῖστον ἡμέρας ἐναλλαττέτω διὰ τὴν προδοσίαν· μάλιστα δὲ ἐν ταῖς χειμερίοις καὶ ἀσελήνοις ἢ καὶ ἑορτασίμοις νυξὶν ἀσφαλεστάτας ὅτι μάλιστα ποιείσθω τὰς φυλακάς· ὁ γὰρ τῆς ἐπιβουλῆς καιρὸς οὗτός ἐστιν [20] ὡς ἐπὶ τὸ πλεῖστον. Τὴν μέντοι δύναμιν ἐν τοῖς ἐπιμαχωτέροις τῶν τειχέων [21] παρεκτεινέτω, καὶ ἄλλην δὲ ἐχέτω μεθ' ἑαυτοῦ ἐπὶ τῷ βοήθειαν εὐχερῶς παρέχειν τῷ κάμνοντι μέρει. Καὶ πρὸς τούτοις δι' ἀλλαγίων τούς τε νύκτωρ καὶ τοὺς μεθ' ἡμέραν πολεμοῦντας διαναπαύειν, ἵνα μὴ δι' ὀλιγανδρίαν ἀναγκαζόμενοι τόπους ἐκ τόπων ἀμείβειν [22] ῥᾳδίως ἐπὶ τὴν τῆς πόλεως φυλακὴν ἀπαγορεύσωσιν οἱ στρατιῶται. Τῆς δὲ πολιορκίας ἀρχομένης ἤδη, κἂν τάχα καὶ πλείους καὶ ἀνδρειότεροι [23] τυγχάνωσιν, οἱ πολιορκούμενοι μὴ ἐκτὸς τειχέων πολεμείτωσαν, εἰ μὴ ἄρα μεγίστη κατεπείγει [24] ἀνάγκη καὶ οὐ δυνατόν ἐστι [25] τοὺς ἐπὶ τῶν τειχέων ἑστῶτας [26] τὰς προσαγομένας ἀποκρούεσθαι μηχανάς. Πρὸς τούτοις μηδ' ἀκαίρως κατ' ἐχθρῶν τὰ βέλη πεμπέτωσαν· περιφρόνησιν γὰρ αὐτοῖς ἐμποιεῖ κενὰ καὶ μὴ ἐνεργῆ δεικνύμενα. Καὶ τὰ πλησιάζοντα δὲ τοῖς τῆς πόλεως τείχεσιν ἐκκοπτέτω δένδρα καὶ πάντα περιαναιρείτω φραγμὸν, ὡς ἂν μήτε κρύπτοιντο ἐν αὐτοῖς οἱ πολέμιοι, μήτε μὴν τροφῆς σπάνιν ἔχοντες τοῖς ἐκ τῶν δένδρων καρποῖς ἀποτρέφοιντο. Ταμίαι δὲ τοῦ σίτου καὶ τῶν ἀνὰ τὴν πόλιν βρωσίμων πάντων καὶ αὐτοῦ δὴ τοῦ ὕδατος ἔστωσαν· ἂν ἄρα κατὰ τὴν πόλιν ὑδάτων ἢ καὶ φρεάτων μὴ εἴη δαψίλεια, δοχείοις δέ τισι καὶ κινστέρναις τὸ ποτὸν περικλείοιτο· τῆς γὰρ πολιορκίας ἐπὶ πλεῖστον παραταθείσης ἐπιμετρεῖσθαι δεῖ τὸ ὕδωρ καὶ ἐν ὅτι πλείστῃ ἀσφαλείᾳ εἶναι, ὡς ἂν μὴ ῥᾳδίως ὑπὸ τῶν ἰσχυροτέρων ἁρπάζοιτο [27].

CAP. LIII. — *Quid sit duci obsesso agendum.*

A Dux autem qui se ab hostibus esse obsidendum conjicit, ante omnia cibaria pro diuturnitate obsidionis comparare debet; quod si vero cibariorum sufficiens copia non suppetat, infirmos, senes, infantes et mulieres ante hostis adventum in oppida quædam munita et hostium insidiis impervia transmittat oportet, et prius suspectos ejicere curet; deinde fidelissimi quique ad portas urbis collocandi: cavendum tamen ne iidem custodes in iisdem locis semper maneant, sed, si fieri potest, singulis diebus, aut saltem post duos vel tres dies transmutandi sunt, proditionis causa: per noctes præsertim hiemales, obscuras aut festivas fiant custodiæ quam B maxime securæ: id enim insidiarum, ut plurimum, tempus; copias ad murorum debiliora loca distribuat, cæteras secum habeat ut facilius auxilio sit parti inclinanti. Præterea eos qui noctu et eos qui diu pugnaverunt interquiescere vicissim faciat, ne propter virorum indigentiam, locum pro loco tenere coacti, urbis custodia facilius deficiant. Incepta jam obsidione, quamvis forte plures et ferociores sint obsessi, extra mœnia ne prælientur, nisi maxima urgeat necessitas, aut non sit possibile machinas muris advolutas depellere quin foris exeatur. Insuper tela in hostes importune ne jaciantur: contemptum enim generant tela inutilia atque inania. Cædendæ autem arbores muris proximæ, C et evellendæ sepes quæcunque, ne inter eas latescant hostes aut cibariorum egentes arborum fructibus vescantur. Sint frumenti cibariorumque omnium et aquæ cellæ; quod si aquarum aut puteorum non sit in urbe copia, vasibus et cisternis potum recondat: obsidionis quoque tempore parce metienda aqua et perquam sedulo cavendum ne a validioribus rapiatur

Πρὸς μέντοι τὰς παρὰ τῶν πολεμίων ἐπαγομένας [28] τοῖς τείχεσι μηχανὰς τόνδε τὸν τρόπον ἀνθοπλιστέον· Πρὸς μὲν τοὺς ἀπὸ τῶν πετροβόλων ὀργάνων καὶ ἑλεπόλεων ἀφιεμένους [29] λίθους κιλίκια τῶν προμαχώνων [30] ἐκκρεμαννύτω τοῦ τείχους ἐκτὸς ἢ βύρσας νεοδόρων βοῶν πρὸς τὸ κολποῦσθαι ταύτας

Contra vero machinas muris ab hostibus admotas, isto modo armari oportet: Et quidem contra D lapides catapultarum ope emissos, suspendantur a murorum externis propugnaculis cilicia vel pelles boum recens excoriatorum ut in sinus facilius caventur, vel etiam ligna tanquam tela inter-

VARIÆ LECTIONES.

[15] ἀφίξονται B. [16] Ead. m. ascript. ad marg. Σύμμετρος τόξου βουλὴ (sic). [17] πολιορκόμενον B. [18] παῖδας τὲ B. [19] Fort. πρὸς τούτοις. Tum post ὑπόπτους non dubito quin desit verbum expellendi notione instructum. [20] οὗτος ἐστὶν B. [21] τείχων hic quidem B. [22] ἀμοίβειν B. [23] ἀνδριότεροι B. Tum post τυγχάνωσιν excidisse videtur οἱ πολιορκοῦντες. [24] κατεπείγῃ (sic) B. [25] δυνατὸν ἐστὶ B. [26] ἑστῶτας B. [27] Ad marginem totius loci § 1—8 hæc verba leguntur singulis litteris altera infra alteram positis. Σημείωσαι τοῦτο ὅλον τὸ χωρίον. [28] ἐπιγομένας B. [29] ἀφιμένους B. [30] προμάχων B

texta (quæ Romani vocant pontila) : contra vero A arietum ictus sub coacta densissima aut sacci palea vel arena referti. Contra testudines parentur trabes acutissimo ferro desinentes quæ infixæ altius eas facillime subvertunt; pix quoque in testudines mittatur vel plumbum, et utrumque bulliens, vel ignis, vel gravissimi lapides machina demissi et statim sursum projecti. Contra scalas muris oppositas et eos qui temere conscendere tentant, lapides sint molares propugnaculis juncorum ope alligati aut ligna gravissimi ponderis similiter propugnaculis alligata, sed oblique, et pix et oleum et telis, quæ ferventia in scalas effundantur. Sed contra turres ligneas quæ cylindrorum ope muris admoventur et a tacticis vocantur mosynes, expedit torques illos paravisse qui liquidum emittunt B ignem illum quem vulgo celerem nominant et chirosiphones, quos nuper excogitavit Nostra Majestas, et turres præterea ex adverso lateribus, lignis aut lapidibus exstructas, et quamlibet materiem in medio exaggeratam et statim incensum. Contra quoque hostium effossiones figendæ suspectis in locis virgæ æneæ, aut apponenda scuta vel vasa pariter ænea quorum strepitu pateant effossiones; oportet etiam quam profundissimam fossam ante muros aperiri ut pateant hostes effodientes. E regione quoque est et effodiendum et occurrentibus implendum dolium pilis aut plumis, et igne immisso os dolii ære ad instar cribri perforato obturandum et ad hostes vertendum et dolii fundo perforato continuos C tanquam fabri machina flatus excitandum; facile etenim vi fumi e pilis nati hostes a secreta effossione prohibebuntur. Præterea necesse est per fenestras vulgo ignotas inopinato in machinas irruere cum maxima urgebit necessitas, aut alio quovis modo ut suadebunt copiæ aut coget necessitas hostibus se opponere.

ῥᾳδίως ἢ ξύλα συνηρμοσμένα ὡς ὕφασμα (πόντιλα ταῦτα Ῥωμαῖοι καλοῦσι), πρὸς δὲ τὰς ἀπὸ τῶν κριῶν ἐμβολὰς πῖλα [31] παχύτατα καὶ σάκκους ἀχύρου μεστοὺς ἢ ἄμμου· πρὸς δὲ τὰς καλουμένας χελώνας καὶ δοκοὺς κατασκευαζέτω περὶ τὸ ἄκρον ὀξυτάτῳ σιδήρῳ ἐστομωμένας· ἐμπηγνύμενοι γὰρ οὗτοι ῥᾳδίως αὐτὰς ἀνατρέπουσι· καὶ πίσσα δὲ ταῖς εἰρημέναις προσαγέσθω χελώναις ἢ μόλιβδος καὶ [32] ἄμφω καχλάζοντα ἢ πῦρ ἢ καὶ λίθοι βαρύτατοι διὰ μηχανῆς καθιέμενοι καὶ εὐθὺς ἀνιμώμενοι. Πρὸς δὲ τὰς προσφερομένας τοῖς τείχεσι κλίμακας ἢ καὶ τοὺς προπετῶς πλησιάζειν αὐτοῖς τολμῶντας λίθοι μυλικοὶ καθ' ἕκαστον προμαχῶνα σχοινίοις ἀποδεδεμένοι καὶ ξύλα βαρύτατα τοῖς προμαχῶσι καὶ ταῦτα προσδεδεμένα ἐγκάρσια [33] καὶ πίσσα καὶ ἔλαιον καὶ τῆλις ζέοντα πάντα καὶ ταῖς εἰρημέναις προσχεόμενα [34] κλίμαξι· πρὸς μέντοι τοὺς διὰ κυλίνδρων τοῖς τείχεσι προσαγομένους ξυλίνους πύργους, οὓς οἱ τακτικοὶ μόσυνας ὀνομάζουσι, λυσιτελεῖ τὰ στρεπτὰ καλούμενα τὰ διὰ μηχανῆς τὸ ὑγρὸν πέμποντα δηλαδὴ πῦρ [35], ὃ δὴ καὶ λαμπρὸν παρὰ τοῖς πολλοῖς ὀνομάζεται, καὶ τὰ λεγόμενα χειροσίφωνα, ἅπερ νῦν ἡ βασιλεία ἡμῶν ἐπενόησε, καὶ πύργοι πρὸς τούτοις οἱ κατέναντι αὐτῶν ὑψούμενοι λίθοις ἢ πλίνθοις ἢ ξύλοις, καὶ ὕλη παντοία ἐν τῷ μεταξὺ τόπῳ συμφορηθεῖσα καὶ μετὰ μικρὸν ἐξαφθεῖσα· πρὸς δὲ τὰ παρὰ τῶν πολεμίων ὀρύγματα ῥάβδους χαλκᾶς [36] ἐν τοῖς ὑπόπτοις χρὴ καταπήσσειν τόποις, ἢ ἀσπίδας τοιαύτας ἢ πυέλους ἐπιτιθέναι· φανερὰ γὰρ οὕτω διὰ τοῦ κτύπου τὰ ὀρύγματα ἔσται· καὶ τάφρον δὲ δεῖ πρὸ τῶν τειχῶν βαθυτάτην ὀρύττειν· καὶ οὕτω γὰρ καταφανεῖς οἱ τὰ ὀρύγματα ποιοῦντες πολέμιοι ἔσονται. Δεῖ δὲ καὶ ἀντορύττειν καὶ ὑπαντήσαντας πίθον εὐθὺς πίλων ἢ πτερῶν ἐμπλῆσαι καὶ πῦρ ἐμβαλεῖν αὐτῷ καὶ τὸ μὲν στόμα χαλκῷ κατατετρημένῳ κοσκίνου δίκην ἀσφαλῶς περικλείσαντας τοῦτο μὲν ὡς πρὸς τοὺς πολεμίους τρέψαι, τὸν δὲ τοῦ πίθου πυθμένα [37] διατρήσαντας οὕτω δὴ λοιπὸν διὰ μηχανῆς, ὡς οἱ χαλκεῖς, φύσας συνεχῶς προσφέρειν· ῥᾷστα γὰρ διὰ τὴν ἐκ τοῦ καπνοῦ τῶν πίλων δριμύτητα [38] οἱ πολέμιοι φεύξονται τοῦ ὀρύσσειν ἐπιλαθόμενοι. Δεῖ δὲ πρὸς τούτοις καὶ διὰ πυλίδων τοῖς πολλοῖς ἀγνώστων ἀπροσδοκήτως ταῖς μηχαναῖς ἐπιτίθεσθαι μεγίστης ἐπικειμένης ἀνάγκης ἢ καὶ τρόπον ἕτερον τοῖς πολεμίοις ἀντικαθίστασθαι, ὡς ἡ δύναμις ἀπαιτεῖ δηλαδὴ καὶ ἡ χρεία παρακαλεῖ.

CAP. LIV. — *Quid faciet dux hostes obsidens.*

Ante omnia oportet ducem obsidentem remissa D omnimode confirmari et, sicuti capite vigesimo secundo posuit Nostra Majestas, concedere ab urbe ad duo ut maxime milliaria, minimum autem ad octo stadia : semper enim terribiliores obsidentium copiæ a longe conspectæ hostibus videntur, et præsertim ne deturbetur illa exercitus pars quæ requiescere obtinuit : milites e fortissimis quam proxime ad urbem collocandi ad obsistendum repentinis hostium incursibus, maxime vero prandii tempore. Exercitus in partes dividatur et cuique parti sua assignentur officia, ne omnes simul dimi-

ΚΕΦΑΛ. ΝΔ'. — *Τί ποιήσει πολιορκῶν τοὺς πολεμίους ὁ στρατηγός.*

Τὸν πολιορκοῦντα δεῖ στρατηγὸν πρῶτα μὲν τὸ ἄπληκτον παντοίως ἐξασφαλίζεσθαι καὶ ὁποῖον ἐν τῷ κβ' κεφαλαίῳ ἡ βασιλεία ἡμῶν διετάξατο ἀποκαθιστᾷν διέχον τῆς πόλεως δυσὶ μάλιστα μιλίοις ἢ ὀκτὼ σταδίοις τοὐλάχιστον· φοβερώτερα γὰρ ἀεὶ τὰ τῶν πολιορκούντων τοῖς πολεμίοις δοκεῖ μήκοθεν καθορώμενα, ἄλλως τε καὶ ἵνα μὴ ἀκαίρως ἐν ταῖς προσβολαῖς θορυβῆται [39] τὸ διαναπαύεσθαι λαχὸν στράτευμα· στρατιώτας δὲ τῶν ἀνδρειοτάτων ἔγγιστα τῆς πόλεως μᾶλλον ἐφιστᾷν ἐπὶ τῷ τὰς παρὰ τῶν ἐχθρῶν αἰφνιδίους [40] κωλύειν ἐπιδρομὰς καὶ μάλιστα περὶ αὐτὸν τὸν τοῦ ἀρίστου καιρόν· τὴν δὲ

VARIÆ LECTIONES.

[31] πῖλα B. [32] καὶ delendum videtur. [33] ἀεγκάρσια B. [34] προχεόμενα B. [35] πυρῶν B. [36] χαλκᾶς B. [37] πιθμένα B. [38] δρυμύτητα B. [39] θορυβεῖται B. [40] αἰφνηδίους B.

στρατιὰν εἰς ἀλλάγια καταμερίσαι ἑκάστῳ τε τάγματι τὴν οἰκείαν ἀποτάξαι χρείαν, ὡς ἂν μὴ ἀπὸ μιᾶς πολεμοῦντες πάντες ῥᾳδίως πρὸς τὴν πολιορκίαν ἀπαγορεύσωσι. Στρατὸν δὲ σὺν αὐτῷ πλεῖστον ὁ στρατηγὸς ἔχων καὶ νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ διαδοχὴν ἀπαύστως ποιείτω τὰς προσβολὰς καὶ μάλιστα ἐν νυκτὶ, ὅτε δὴ καὶ αἱ ἐπιδρομαὶ κατὰ πολὺ [41] φοβερώτεραι τοῖς πολιορκουμένοις δοκοῦσιν, ἄλλως τε καὶ ὑπὸ τῶν συνεχῶν προσβολῶν ἀνέσεως καιρὸν μὴ ἔχοντες οἱ πολέμιοι καὶ διὰ τοῦτο ὑπό τε κόπων [42] ὑπό τε ἀγρυπνίας κατειργασμένοι ῥᾷστα ἂν καὶ τὴν πόλιν καὶ σφᾶς αὐτοὺς παραδοῖεν. Ἄριστον δὲ ἐν τειχομαχίᾳ τὸ πᾶσαν ὁμοῦ προσφέρειν μηχανήν· οἵ τε τοίνυν τοξόται καὶ ἀκοντισταὶ χαλαζηδὸν τὰ βέλη κατὰ τῶν τὰς ἐπάλξεις [43] τηρούντων πεμπέτωσαν, καὶ οἱ κριοὶ τὰ τείχη τυπτέτωσαν, καὶ οἱ ἐν ταῖς χελώναις ὡσαύτως τοὺς θεμελίους ὑπορυττέτωσαν [44]. καὶ αἱ κλίμακες προσαγέσθωσαν ξύλοις ὀρθίοις ἐπικείμεναι καὶ διὰ τροχῶν [45] τοῖς τείχεσι προσπελάζουσαι, καὶ οἱ ἐπὶ τῶν ξυλίνων δὲ πύργων [46] διὰ κυλίνδρων ὡσαύτως τοῖς τείχεσι πλησιάσαντες ἐξ ὑπερδεξίων βαλλέτωσαν· καὶ οἱ μὲν κριοὶ οἵ τε ξύλινοι πύργοι βύρσαις νεοδόρων βοῶν περιφραγχίσθωσαν, αἱ δὲ χελῶναι πηλῷ διαχρίσθωσαν [47] ἄνωθεν, καὶ σπόγγοι δὲ ὄξει διάβροχοι [48] ταύταις ἐπιτιθέσθωσαν ἔξωθεν (ἀποτρέποι γὰρ ἂν [49] τὸ ὄξος τὴν τοῦ πυρὸς ῥώμην, μάλιστα τοῦ ὑγροῦ καλουμένου [50], τόν τε ἐπιχεόμενον μόλιβδον ἢ πίσσαν ἢ βρασσόμενον ἔλαιον ὅτι τάχιστα σβέννυσι [51] τοῦ ὕδατος προσφερόμενον μᾶλλον)· παραγγελλέτω [52] δὲ πᾶσι τοξόταις ἀκοντισταῖς τε καὶ πετροβόλοις πῦρ διὰ τῶν ἀφιεμένων βελῶν ἢ λίθων τοῖς τῶν πολεμίων καταπέμπειν οἰκήμασι [53] σφοδρότατον ἐπιτηρήσασιν ἄνεμον. Διὰ τῶν εἰρημένων τοίνυν στρατηγημάτων τὰς ψυχὰς τῷ φόβῳ κατασεισθέντες καὶ τοῖς ὅλοις ἀπαγορεύσαντες οἱ πολέμιοι ἢ τὴν πόλιν καὶ σφᾶς αὐτοὺς ὀψέ ποτε παραδώσουσιν ἢ καὶ ἄκοντες τῶν ἐπάλξεων ἀποβήσονται. Ληφθείσης μέντοι πολέμου νόμῳ τῆς [54] πόλεως διαλαλείτω πᾶσι στρατιώταις διὰ μανδατώρων ὁ στρατηγὸς κατὰ τὴν τῶν πολεμίων διάλεκτον ὡς μή τινα τῶν πολιτῶν ἄοπλον ὄντα κτείνειν, εἰ μή τί γε [55] ὡπλισμένος [56] τις εἴη καὶ ξίφος φέρων· τῆς γὰρ διαλαλιᾶς ταύτης τῶν πολεμίων ἀκούων ἕκαστος τῶν ὅπλων ἀφέμενος τὴν δουλείαν αἱρήσεται [57] ἄσμενος, καὶ οὕτω τῶν μαχίμων ἐπιλιπόντων ἀκινδύνως ἂν ἡ πόλις ληφθείη.

A cantes, ab obsidione lassentur facilius. Majorem exercitus secum habens partem dux ipse noctu diuque vicissim sine intermissione impetum, et in primis per noctem faciat, eo scilicet tempore quo terribiliores obsessis videntur aggressiones, præcipue etiam ut continuis impetibus lacessiti, remissionisque tempus non habentes et laboribus et vigiliis fracti urbem hostes et seipsos facilius dedant. Optimum vero est in obsidionibus omne machinarum genus adhibere. Sagittarii itaque et jaculatores in propugnaculorum custodes telorum imbrem immittant, arietes quoque muros feriant, et qui in testudinibus sunt murorum perforent fundamenta; scalæ etiam afferantur quæ lignis erectis impositæ muris annulorum ope admoveantur;
B qui autem sunt in turribus ligneis cylindrorum ope ad mœnia admotis desuper jacula mittant. Arietes autem et turres ligna pellibus boum recens excoriatorum supervestiri debent, testudines vero limo desuper inungi et exterius spongiis acete madidis circumoperiri : acetum enim vim ignis et præsertim ejus qui liquidus dicitur et liquens plumbum et picem et oleum fervens multo melius aqua effusa restinguit. Jubeantur quoque sagittarii jaculatoresque et petrobolæ universi ignem quam frequentissimum in hostium domos cum telis et lapidibus servatis validioribus ventis projicere. Quibus omnibus industriis perterriti hostes et omnibus desperantes serius tandem oppidum et seipsos tradent aut inviti a propugnaculis descendent.
C Capto autem juxta belli leges oppido, cunctis militibus per mandatores denuntiare ducem oportet hostium ipso idiomate ut nullum civium inermem occidant sed eos tantum qui armati aut gladium portantes occurrent ; illa enim audita monitione, hostis quisque arma deponet, servitute libenter accepta, et sic oppidum, cedentibus bellatoribus, sine periculo erit captum.

ΚΕΦΑΛ. ΝΕ'. — *Πῶς χρὴ διὰ τάχους φρούριον κτίζειν παρὰ τοὺς τῶν πολεμίων ὅρους κειμένων δημοσίου πολέμου χωρίς.*

Τὰ μὲν πρῶτα δι' ἑαυτοῦ χρὴ κατασκοπῆσαι τὸν στρατηγὸν τὴν τοῦ τόπου θέσιν καὶ τὸν ὀχυρώτερον ἐκλέξασθαι τόπον, καὶ ἔνθα δυνατόν ἐστιν ἐν δυοκαίδεκα τὸ πλεῖστον ἡμέραις ἢ ξηροῖς πρῶτον λίθοις ἢ πλίνθοις ἢ ξύλοις κύκλῳ τὸν χῶρον ἐκεῖνον διαληφθῆναι· εἶτα τὰ πρὸς χρείαν ἱκανῶς παρεσκευασμένον [58] καὶ πρὸ τῶν ἄλλων ὁπλίτας πεζοὺς τοὺς μὲν πολεμίους δι' ἀποστολῆς στρατιᾶς ἑτέρας ἐξαπατῆσαι, ὡς ἀλλαχοῦ φρούριον ἔχοι πρὸς βουλῆς [59]

CAP. LV. — *Quomodo celeriter construi possit oppidum prope hostium fines absque gentilis belli periculo.*

Primo quidem locorum situm ipse investigare
D debet dux, et locum munitissimum eligere ubi sit possibile intra dies ad summum duodecim spatium sufficiens siccis primum lapidibus vel lateribus, vel lignis circumclaudere ; deinde comparatis omnibus necessariis, ante omnia pedites armati debent hostes in errorem inducere, quadam scilicet exercitus parte profecta, quasi in voluntate haberet alibi oppidum construere ; ducem interea oportet iisdem

VARIÆ LECTIONES.

[41] καταπολὺ B. [42] κόπων corr. ex κώπων B. [43] ἐπιτάξεις (sic) in textu et alterum ad marg. B. [44] ὑποχρυπτέτωσαν B. [45] διατροχῶν B. [46] πύρων B. [47] διαχριέσθωσαν B. [48] διάβοχοι B. [49] ἂν om. B. [50] καλομένου B. [51] σβέννωσι B. [52] παραγγελέτω B. [53] οἰχήμασι corr. ex οἰκούμασι B. [54] τῆς bis B. [55] μήτιγε B. [56] ὁπλισμένος B. [57] αἱρήσεται B. [58] παρασκευασμένον B. [59] ἔχει προσβουλῆς B.

locis insistentem oppidi tandem incipere constructionem, et primo quidem aptis stationibus ponendi fide digni speculatores (Romani vigiles vocant); postea fossam una die aperire eamque cito peditibus occupare oportet, sicque constructionem incipere turrimque statim ædificare sive aliud propugnaculum ob repentinos incursus et ita deinceps reliquum construere vallum siccis, ut diximus, lapidibus, sin autem, propter materiæ inopiam, lateribus aut lignis. Si vero non sint in oppido aquæ, facienda mox cisterna lignea juncturis asphalto aut pice glutinatis : cujus longitudo viginti ad summum pedum, decem vero latitudo, æqualis et latitudini, altitudo vel juxta exercitus numerositatem ; ne vero immota aqua male oleat, parvum vas ligneum fluentem aquam recipiat et cum plenus fuerit in prædictam cisternam effundatur. Optimum quoque aquis male olere incipientibus acetum infusum, earum quoque odorem fluviorum lapilli injecti depellunt. Ædificato oppido, si hostes in illud invehi audiat dux, cum equitum manu occurrat, sufficienti custodia prius in oppido relicta ; satis autem distet ab hostibus, ut eos ad gentile bellum non evidenter proquinquitate excitet, non autem tanto intervallo ut propter nimiam distantiam non jam periclitantibus auxiliari vel omnia quæ ad obsidionem attinent videre possit. Tempus porro istiusmodi oppidis exstruendis aptum illud præsertim est quod circiter comprehendit mensem Panemum, Lonm et Gorpiæum, quos Romani Julium, Augustum et Septembrem nominant : sicca etenim tunc herba igni facile traditur, quo vexatus hostium equitatus quam citissime obsidionem relinquet. Qua soluta, dux, comparata materia, oppidum tunc exstruat, machinisque plurimis, armis, variis cibariis et cæteris omnibus muniat, quo videlicet modo siverit vel tempus vel facultas.

A κτίζειν, αὐτὸν δὲ τοῖς εἰρημένοις ἐπιστάντα τόποις ἀπροσδοκήτως οὕτω δὴ τῆς τοῦ ὀχυρώματος λοιπὸν ἄρχεσθαι κτίσεως· καὶ πρῶτα μὲν ἐν τοῖς ἐπικαίροις τῶν τόπων ἀξιολόγους ἐπιστῆσαι σκοποὺς (βίγλας τούτους Ῥωμαῖοι καλοῦσιν), εἶτα τάφρον αὐθημερὸν διορύξαι καὶ τοῖς πεζοῖς αὐτίκα ταύτην διαλαβεῖν, καὶ οὕτω τῆς κτίσεως ἄρξασθαι, καὶ πύργον [60] εὐθὺς ἀνεγεῖραι ἤ τι θριγκεῖον ἕτερον διὰ τὰς αἰφνιδίους ἐπιδρομάς, εἶθ' οὕτω τὸν λοιπὸν κτίζειν [61] περίβολον ξηροῖς, ὡς ἔφημεν, λίθοις· εἰ δὲ μή, πλίνθοις ἢ ξύλοις εὐπορίας μὴ οὔσης ὕλης. Ὑδάτων δὲ μὴ ὄντων ἐν τῷ ὀχυρώματι, ξυλίνην τέως ποιητέον κινστέρναν ἀσφάλτῳ καὶ πίσσῃ τὰς ἁρμονίας κατασφαλισαμένους [62]· ἔστω δὲ τὸ μὲν ταύτης μῆκος ποδῶν κ' μάλιστα, δέκα δέ γε τὸ πλάτος, ἴσον δὲ τῷ B πλάτει τὸ βάθος ἢ καὶ κατὰ τὸ τῆς στρατιᾶς πλῆθος· ὡς ἂν τὸ ὕδωρ ἀκίνητον μένον μὴ ἀποζέσῃ, ξύλινον ἔστω μικρὸν δοχεῖον, ὃ δὴ τὸ μὲν καταῤῥέον δέχεται ὕδωρ, ὅταν δὲ πλῆρες ἤδη γένηται, κενοῦται αὖθις ἐν τῇ εἰρημένῃ ξυλοκινστέρνῃ. Χρήσιμον δὲ καὶ τὸ ὄξος τοῖς ὄζειν ἀρχομένοις ἐπιβαλλόμενον ὕδασι, καὶ κάχληκες δὲ ποτάμιοι τὴν τῶν τοιούτων ὑδάτων ὀσμὴν διαλύουσιν [63] ἐμβαλλόμενοι. Τοῦ δὲ ὀχυρώματος ἀπαρτισθέντος, εἴπερ ἄρα κατ' αὐτοῦ χωρεῖν τοὺς πολεμίους ὁ στρατηγὸς καταμάθοι, ἐκεῖθεν αὐτὸς σὺν τῷ ἱππικῷ προϋπαναχωρησάτω [64] τὴν ἀποχρῶσαν τῷ ὀχυρώματι καταλιπὼν φρουρὰν πρότερον· διεχέτω γε μὴν τοσοῦτον, ὡς μήτε διὰ τὴν ἐγγύτητα προδήλως τοὺς πολεμίους πρὸς δημόσιον πόλεμον ἐρεθίζειν [65], μήτε μὴν διὰ [66] τὸ πλεῖ- C στον ἀφεστάναι [67] μὴ ῥαδίως ἔχειν τοῖς κινδυνεύουσιν [68] ἐπαμύνειν καὶ τὰ κατὰ τὴν πολιορκίαν καθορᾷν ἅπαντα. Καιρὸς [69] δὲ τῆς τῶν τοιούτων φρουρίων κτίσεως εἴη ἂν μάλιστα ὁ κατὰ τὸν Πάνεμον [70] μῆνα καὶ Λῷον καὶ Γορπιαῖον, οὓς δὴ Ῥωμαῖοι Ἰούλιον, Αὔγουστόν τε καὶ Σεπτέβριον ὀνομάζουσι· ξηρὸς γὰρ ὁ χόρτος ὢν τηνικάδε ῥᾳδίως πυρὶ παραδίδοται, κἀντεῦθεν [71] τὸ τῶν πολεμίων στενοχωρούμενον ἱππικὸν τάχιστα ἂν τῆς πολιορκίας ἀπαναστάίη. Λυθείσης δὲ ταύτης τότε δὴ καὶ δι' ἐγχορήγου κτιζέτω ὕλης ὁ στρατηγὸς τὸ ὀχύρωμα, μηχαναῖς τε πλείσταις καὶ ὅπλοις καὶ τροφῶν δαψιλείᾳ καὶ τοῖς λοιποῖς ἅπασιν αὐτὸ κατασφαλιζέσθω, ὡς ὁ καιρὸς δηλονότι καὶ ἡ δύναμις δίδωσι.

VARIÆ LECTIONES.

[60] πῦργον B. [61] λοιχτίζειν pro λοιπὸν κτίζειν B. [62] καταφαλισαμένους B. [63] διαλύουσῖ B. [64] προϋπαναχωρησάτω B. [65] ἐρρεθίζοντες punctis deletoriis τῷ ζοντες notato et ζειν suprascripto. B. [66] διὰ om. B. [67] ἀφεστᾶναι B. [68] κινδυνεύουσῖ B. [69] Ead. m. ad marg. ascript. notum illud σῆ. [70] πόλεμον (punctis inferne positis notatum) πάνεμον (sic) B. [71] χαντεῦθεν B.

IMPERATORIS LEONIS

COGNOMINE SAPIENTIS

ORACULA

CUM FIGURIS ET ANTIQUA GRÆCA PARAPHRASI.

—

LECTORI PETRUS LAMBECIUS.

Ne quid omnino deesset corpori Historiæ Byzantinæ, necessario ei inserenda esse duxi imperatoris Leonis cognomine Sapientis Oracula cum picturis fatidicis, quibus futuros Constantinopolitani imperii casus portendi vulgo opinio est. Primus vero ea Græce et Latine in lucem edidit Janus Rutgersius Variarum Lectionum lib. v, cap. 8. Quam editionem ego, cum abhinc quadriennio in Batavia degerem, contuli cum antiquo codice ms. Bibliothecæ Amsterodamensis, quem ille non viderat: nec paucas inde satis magni momenti variantes lectiones excerpsi, quas reperies in meis adnotationibus. Præterea in eodem codice inveni anonymi cujusdam Oraculorum Leonis Græcam Paraphrasin, quam ob argumenti similitudinem una edendam esse duxi. Sed nondum satis mihi constat, sitne hæc eadem atque illa Theophili presbyteri Expositio Oraculorum Leonis, quæ in bibliotheca Vaticana asservari dicitur. Quod superest, benevole lector, hunc quoque laborem meum boni consule; qui si minus accuratus tibi videbitur, propterea saltem mihi ignoscas, quia vix integri tridui spatio in itinere mihi sub manu natus est. Vale. Lutetiæ Parisiorum anno MDCL, die 20 Septembris.

VETERUM AUCTORUM TESTIMONIA

DE IMPERATORE LEONE, COGNOMINATO SAPIENTE, EJUSQUE ORACULIS.

—

Zonaras, pag. 143, Basil. edit.

Ἔχων δὲ δι' ἐφέσεως οὗτος ὁ αὐτοκράτωρ (scilicet Λέων) μᾶλλον μέντοι καὶ κεχρηματισμένον ἐσχηκὼς τοῦτο. Ἦν γὰρ ἐραστὴς σοφίας παντοδαπῆς, καὶ αὐτῆς δῆτα τῆς ἀποῤῥήτου, ἣ δι' ἐπῳδῶν μαντεύεται τὰ ἐσόμενα, καὶ περὶ τὰς τῶν ἀστέρων ἐσχολάκει κινήσεις, καὶ τὴν ἐκ τούτων ἀποτελεσματικὴν ἐπιστήμην μετήρχετο, καὶ εὕρισκεν, ὡς ἕξει παῖδα τῆς βασιλείας διάδοχον, etc.

A Verum imperator suscipiendæ prolis avidus, præsertim cum id a vatibus ei prædictum esset. Fuit enim doctrinarum omnis generis amator, et arcanæ quoque illius, quæ per incantationes futura divinat: versatus etiam in doctrina de motibus siderum eorumque effectibus, in qua inveniebat, se filium habiturum imperii successorem, etc.

Idem, pag. 145.

Μὴ ἀπατάτω σε, Κωνσταντῖνε, τὸ ὄνομα, μηδ' οἴου τῆς βασιλείας τυχεῖν, ὡς Κωνσταντίνου Ῥωμαίων μέλλοντος ἄρξαι. Ἴσθι γὰρ ἀκριβῶς, τοῦτον εἶναι τὸν υἱὸν τὸν ἐμόν. Σὺ δὲ, εἰ μὲν ἣν ἔλαχες Σπάρταν κοσμεῖς, ἔσται σοι εὖ, εἰ δὲ νεωτερίσεις καὶ τυραννίδι ἐπιχειρήσεις, ἴσο βεβαίως εἰδὼς, ὡς διὰ τῆσδε τῆς πύλης (τὴν πρὸς δύσιν οὖσαν τοῦ χρυσο-

Ne te decipiat nomen, Constantine, tuum, nec putaris, eo quod Constantinus Romanis imperaturus sit, te imperio potiturum. Certo enim scito, filium hunc meum, illum esse. Quod si tu Spartam tuam ornaris, bene tibi erit. Sin rebus novis studueris, et tyrannidem affectaris; noli dubitare, quin per hanc portam (demonstrata Occidentali au-

A rei triclinii porta) caput tuum absque reliquo corpore sit transiturum. Id quod postea factum est.

τρικλινίου δείξας αὐτῷ) ἡ κεφαλή σου, τοῦ λοιποῦ σώματος χωρὶς εἰσαχθήσεται· ὃ καὶ γέγονε ὕστερον κατὰ τὴν πρόῤῥησιν τοῦ βασιλεύσαντος Λέοντος.

Idem, ubi agit de præsagiis interitus Leonis Armenii.

Perhibetur etiam in regia bibliotheca fuisse liber, quo oracula de imperatoribus continerentur, formæque et hominum et ferarum expressæ; atque inter cæteras leo etiam fera illic pictus, littera X tergo ejus insculpta : pone bestiam vir stabat, qui leonem per medium X confodiebat. Et hæc liber continebat, quæ Sibyllina oracula putabantur. Ejus picturæ obscurum involucrum quæstor illius temporis explicasse fertur, et dixisse imperatorem die Nativitatis Christi occisum iri : et feram quidem imperatorem significare, X vero B jam dictum Nativitatis Christi diem : quod autem leo per medium X confoderetur, portendere imperatorem ipso Nativitatis Christi die occisum iri.

Ἀλλὰ καί τί φασι τῇ τῶν ἀνακτόρων [βιβλιοθήκῃ] βιβλίον ἐναποκεῖσθαι, ἐν ᾧ καὶ χρησμοὶ περὶ τῶν βασιλέων ἦσαν καὶ μορφαὶ ἐνεγράφοντο ἀνθρώπων τε καὶ θηρῶν· καὶ μετὰ τῶν ἄλλων ἐκεῖ καὶ λέων θὴρ ἐχρωμάτιστο, ᾧ κατὰ νώτου τὸ στοιχεῖον X ἐγκεχάρακτο· ἀνὴρ δὲ ἦν ὄπισθεν τοῦ θηρὸς, δόρατι διὰ μέσου τοῦ X διελαύνων τὸν λέοντα. Ἡ μὲν οὖν βίβλος εἶχε ταῦτα, καὶ ἦσαν, ὡς ἐδόκει, Σιβύλλεια χρησμῳδήματα. Τὸ δὲ τῆς εἰρημένης χρωματουργίας αἰνιγματῶδες δυσερμήνευτον ὄν, ὁ τότε κοιαίστωρ, ὡς λέγεται, διεσάφησεν, εἰπὼν κατὰ τὴν ἡμέραν τῆς γεννήσεως τοῦ Χριστοῦ βασιλέα ἀναιρεθῆναι. Τὸ μὲν γὰρ θηρίον βασιλέα δηλοῦν, τὸ δὲ X τὴν εἰρημένην ἡμέραν αἰνίττεσθαι· τὸ δὲ διὰ μέσου τοῦ X τῷ λέοντι τὸ δόρυ ἐμπήγνυσθαι, τὸ κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς τὸν βασιλέα κτανθήσεσθαι.

Idem, ubi agit de obitu Michaelis Balbi.

Sub illo (scilicet Michaele imperatore) etiam Dalmatia imperii jugum excussit, idque vetusto hoc oraculo prædictum ferunt :

Babylone quando Balbus imperaverit
Draco subactus auri amore perdito,
Tellus malorum sentiet primordia.

Ἐπ' ἐκείνου δὲ καὶ Δαλματία τῆς τῶν Ῥωμαίων ἀρχῆς ἀφηνίασε· λέγεται δὲ καὶ ἀρχαῖον εἶναι χρησμὸν οὑτωσὶ περιέχοντα·

Ἀρχὴ κακῶν γε προσπεσεῖται τῇ χθονὶ,
Ὅταν κατάρξῃ τῆς Βαβυλῶνος δράκων
Δύσγλωττος οὗτος καὶ φιλόχρυσος λίαν.

Cedrenus, pag. 493, edit. Reg.

C Fuit hoc oraculum Sibyllinum, inscriptum libro cuidam bibliothecæ imperatoriæ, quo non oracula modo continebantur, sed et figuræ imperatorum coloribus expictæ. In eo libro depicta erat fera leo, etc.

Σιβυλλιανὸς δὲ ἦν ὁ χρησμὸς ἔν τινι βίβλῳ τῆς βασιλικῆς βιβλιοθήκης ἐγγεγραμμένος, οὐ χρησμοὺς μόνον ἁπλῶς ἐχούσῃ, ἀλλὰ καὶ μορφὰς καὶ σχήματα τῶν βασιλέων διὰ χρωμάτων. Ἦν οὖν θηρίον μεμορφωμένον ὁ λέων ἐν τῷ βιβλίῳ, etc.

Nicephorus Gregoras, edit. Colon. Allobrog., pag. 102.

Invenit enim imperator librum antiquum litteras quasdam et imagines ænigmaticas continentem, quibus futura imperatorum successio in perpetuum præsignificabatur.

Εὕρηται γὰρ ἐκ πολλοῦ βίβλος τῷ βασιλεῖ γράμματά τε αἰνιγματώδη καὶ ἀμυδρά τινα δι' εἰκόνων γνωρίσματα φέρουσα τῶν μελλόντων ἀεὶ βασιλεύειν, etc.

Nicetas, lib. I de imperio Isaacii Angeli, pag. 229, edit. Reg.

Isaacius Angelus perpetuo habebat in ore, et falso sibi attribuebat oraculum de imperatore bovis figura expresso, quod est tale :

Figura mores nec minus locum notat.
Unde advenisti ? conspectu ut lætor tuo.
Virtute multo cæteris præstantior
Modeste leniterque castigas tuos.
Hinc consecutus exitum prosperrimum :
Decusque solum ductus ex palatio,
Relicta mortuo potentia brevi :
Te namque regni prosperi manet decus.

Ἰσαάκιος ὁ Ἄγγελος, καὶ εἰς ἑαυτὸν οὐκ ὀρθῶς ἕλκων τὰ ἔπη, καὶ ἀνὰ στόμα φέρων διὰ παντὸς, ἃ περὶ τοῦ βοοσχήμονος βασιλέως ἐκπεφώνηται καὶ διεξίασιν οὑτωσί·

D

Τὸ σχῆμα φαίνει τὸν τόπον καὶ τὸν τρόπον.
Ὅθεν μολήσας; οἷος ὀφθείς μοι φίλος.
Πρώτας γὰρ ἔχεις ἀρετὰς ἄλλων πλέον,
Καὶ σωφρονίζεις σωφρονῶν τοὺς φιλτάτους·
Ὅθεν τέτευχας χρηστοτάτου τοῦ τέλους,
Μόνος ἀναχθεὶς ἐξ ἀνακτόρων κλέους
Καὶ τῷ νεκρῷ, κράτιστε, λιπὼν τὸ κράτος·
Ὡς ἐν βραχεῖ γὰρ εὐτυχήσεις τὸ κράτος.

Idem, lib. V de imperio Manuelis Comneni, pag. 110, edit. Reg.

Puerum Alexium nominavit, idque non temere, nec tam ut eum proavi sui nomine honoraret, quam propter oraculum, quo ei per ambages responsum fuerat, seriem Comneniæ familiæ duraturam tantum, quot litteras nomen AIMA complecteretur. Ac per A Alexius, per I Joannes, per M et

Ἀλέξιον τὸν παῖδα ὠνόμασεν, οὐχ ἁπλῶς τὴν κλῆσιν ἀπολεξάμενος, οὐδὲ τὸν παῖδα τιμῶν τῷ τοῦ τεκόντος τὸν γεγεννηκότα ἐκεῖνον ὀνόματι, ἀλλὰ προσέχων τὸν νοῦν προῤῥήματι πρὸς τὴν ἀποβληθεῖσαν ἐρώτησιν ἐξενεχθέντι, ἥτις ἦν, ἐς ὅσον ἡ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ παραταθείη σειρά·

τὸ δὲ προαγόρευμα, AIMA, ὃ τῆς συλλαβῆς διιστάμενον καὶ κατὰ στοιχεῖον ἀναλεγόμενον, διὰ μὲν τοῦ A σαφῶς ὑπέγραφε τὸν Ἀλέξιον, διὰ δὲ τοῦ I τὸν Ἰωάννην, διὰ δὲ τῶν ἐφεξῆς δύο γραμμάτων τὸν Μανουὴλ καὶ τὸν ἐξ ἐκείνου πάλιν παραληψόμενον τὴν ἀρχήν.

A A Manuel et filius ejus alter Alexius haud obscure significabantur.

Idem, de imperio Joannis Comneni, pag. 27 et 28, edit. Reg.

Ὑετοῦ δὲ κατενεχθέντος ῥαγδαίου, καὶ τῆς κοιλάδος καταῤῥύτου γενομένης, ἐφ' ἧς ἐστρατοπεδεύσατο, ἥ τε βασιλέως κλίνη μετεφέρετο πρὸς τὸ καταῤῥεῦσαν ὕδατος μέρος, καὶ αὐτὸς ἦν ἐπὶ στόματος ἔχων τὸ φάσκον οὕτω χρησμῴδημα,

Τόποις δ' ἐν ὑγροῖς καὶ παρ' ἐλπίδα πέσῃς.

Οἱ δὲ τὰς τῶν βασιλέων διαδοχὰς καὶ μεταθέσεις φιλοκρινοῦντες, καὶ τοῦτο πέρας εἰληφέναι ἔλεγον·

Ὦ πῶς γενήσῃ βρῶμα δεινῶν κοράκων!

πῇ μὲν ἐς τὰ μέλανα καὶ σίζοντα σιδήρια τὸ παλαίφατον τοῦτο λόγιον ἀφορμὴν ἰσχυριζόμενοι, δι' ὧν ὁ καυτὴρ τῇ χειρὶ τοῦ βασιλέως ἐπενήνεκται, πῇ δὲ ἐς τὸ τῶν βουνῶν προσώνυμον, ἐφ' ὧν ἐκεῖνος κατεσκηνώκει τὸ προφοίβασμα ἀπολύοντες.

Enimvero valle in qua castra habebat, ingenti pluvia inundata, etiam lectulus ejus impetu decurrentis aquæ est avectus, cum illud oraculum,

Cades aquosis improvisus in locis

subinde in ore haberet. Qui vero imperatorum successiones et mutationes pervestigant, illud etiam B eventu comprobatum esse ferunt :

Heu corvis esca eris miser voracibus.

Id oraculum partim ad nigra et stridentia ferramenta, quibus manus ejus usta esset, partim ad cognomentum montium pertinere existimantes. Vocabantur autem κοράκων φωλεοί, sive corvorum nidi.

Idem, lib. VII de Manuele Comneno Joannis filio, pag. 143 edit. Reg.

Τοῦ βίου γοῦν οὕτω καὶ τῆς βασιλείας μεθίσταται τριάκοντα καὶ ὀκτὼ χρόνους γεγονὼς ἐν τῇ βασιλείᾳ λειπόντων μηνῶν τριῶν. Πρὸς ἣν οἶμαι παράτασιν τῆς ἀρχῆς καὶ τὸ παλαιότατον ἐκεῖνο λόγιον ἀφορᾶν, ὃ διέξεισι οὑτωσί·

Ἀλλ' ὑστάτη σε κερδανεῖ λαβὴ λόγου·

ἡ γὰρ τελευταία τοῦ ὀνόματος συλλαβὴ τὸν ὀκτὼ καὶ τριάκοντα διασημαίνεται ἀριθμόν.

Sic igitur et vita et imperio cedit, quod annos triginta octo gubernavit, tribus mensibus demptis, ad quod imperii spatium vetustissimum illud oraculum alludere videtur

C *Ultima te prehendet syllaba nominis ;*

nam ηλ postrema syllaba nominis Manuelis apud Græcos tantum numerum complectitur.

Constantinus Manasses, pag. 110 edit. Reg.

Ὁ δὲ φιλοσοφώτατος ἐν βασιλεῦσι Λέων,
Περιπεσὼν ταῖς φυσικαῖς τοῦ σώματος ἀνάγκαις,
Καὶ νόσῳ χειμαζόμενος κίνδυνον ἐπαγούσῃ,
Ἤδη πρὸς ἔτος εἰκοστὸν σὺν ἕκτῳ διιθύνας
Τὸ κράτος τὸ βασίλειον καὶ τὴν Ῥωμαίων τύχην,
Καὶ συνιδὼν τὸν θάνατον καὶ τὴν τοῦ σκήνους λύσιν,
Κράτορας ἀναδείκνυται αὐτάνακτας κατάρχους
Ἀλέξανδρον τὸν ἀδελφὸν καὶ παῖδα Κωνσταντῖνον,
Τοῦτο καὶ μόνον προσειπὼν πνοαῖς ἐν ταῖς ἐσχάταις,
Βλέπω καὶ τὸν Ἀλέξανδρον, ὡς κακοδότην χρόνον,
Μετὰ τρὶς καὶ δέκα μηνῶν, ἄντικρυς τούτῳ λέγων,
Ὅτι τοσοῦτον ἔσεσθαι τὸ κράτος Ἀλεξάνδρου.
Καὶ γοῦν οὐ διαπέπτωκεν ὁ λόγος, οὐδὲ σφάλλει.
Ὁ γὰρ Ἀλέξανδρος, etc.

« Cum autem doctissimus imperatorum Leo morbo correptus periculum minitante : administrato jam per viginti sex annos Romanorum imperio, mortem sibi imminere cerneret, Alexandrum fratrem et Constantinum filium imperatores creat, hoc solo in extremis respirationibus pronuntiato. *Alexandrum etiam (proh parcum malignumque tempus !) post tredecim menses video.* Volebat autem significare regnum Alexandri tantillum temporis duraturum, quæ sane Leonis vox minime vana fuit. Nam Alexander, » etc.

Joannes Tzetzes, Chiliad. 9, vers. 657.

